Utrecht University Library
Partner in Science
Universiteit Utrecht

# Te?s Theias Graphe?s palaias de?lade? kai neas hapanta =

https://hdl.handle.net/1874/398348

## Dit boek hoort bij de Collectie Van Buchell

Huybert van Buchell (1513-1599)

Meer informatie over de collectie is beschikbaar op:
http://repertorium.library.uu.nl/node/2732

Wegens onderzoek aan deze collectie is bij deze boeken ook de volledige buitenkant gescand. De hierna volgende scans zijn in volgorde waarop ze getoond worden:

- de rug van het boek
- de kopsnede
- de frontsnede
- de staartsnede
- het achterplat

## This book is part of the Van Buchell Collection

Huybert van Buchell (1513-1599)

More information on this collection is available at:
http://repertorium.library.uu.nl/node/2732

Due to research concerning this collection the outside of these books has been scanned in full. The following scans are, in order of appearance:

- the spine
- the head edge
- the fore edge
- the bottom edge
- the back board

N°.2 f.

Kast 108
N°.21

40
1

reddidit aut Apollinis genitrix infanda ad lenimentum
dolorum sua [illegible] laus. Penelopes autem et si egre-
plurimum fuerit viri absentia longe tulit [illegible]
[illegible] ex [illegible] [illegible] multas lacrimas et Ulixe
[illegible] [illegible] [illegible] [illegible] [illegible] Laertem et Thelema-
chum [illegible] [illegible] [illegible] et [illegible] [illegible] [illegible]
[illegible] [illegible] [illegible] [illegible] forma [illegible] maris
[illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] diligenda atque [illegible]
[illegible] [illegible] [illegible] [illegible] [illegible] nobilium ex Ytachia atque [illegible]
[illegible] [illegible] [illegible] [illegible] [illegible] plurimum [illegible]
Lama et [illegible] [illegible] [illegible] [illegible] Ulixem
[illegible] separata [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible]
[illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible]
[illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] procedens
[illegible] Ulixes [illegible] [illegible] et Penelopem [illegible]
atque [illegible] [illegible] et [illegible] [illegible] [illegible] [illegible]
[illegible] [illegible] mulier [illegible] ne [illegible] [illegible] [illegible]
[illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible]
[illegible] [illegible] illustria [illegible] [illegible] [illegible] [illegible] [illegible]
[illegible] ad [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible]
[illegible] [illegible] [illegible]

...tio apertis
...o peris ...
columba ...
...ria. Aqua ...
...columbam
...diluuium
...medium ...
...o spaliter in
...m Anglorum
Vxor Angle
...go ora ...
...e dona. q ...
...e hoc afferet
...sacdoti. 7 ...
...rite ...
...bus pet ...
...orante ...
...horez ...
...epinata fu...
...dam. xii. ...
...monu clam...
...e. q dimoes
...apte di tce...
...o adnos ...
...albis ...
...die Ascensio...
...lin sic ce...
...orone pso...
...muerat ...
...vocatu ...
...rali sporo...
...spialem ...
...ligata ...
...cos ...nibus. sic
...lia sit ad su...
...tpe audi...
...sit sco ...
...re sit q ...
...uideretur pso...
...bit ...
...teri ...

laicoibus
posit[us]
piue
eni-s3 cu
ius ille
dilecorar
fic adma
ros ē ate
es Ipha
q in x
apls ma
ti Ipe ū
finite alii
artina ma
ipas vic
ie 2 ī ahi
ī ēc ipo
z gr̄a spē
lesses vol
ric īmo
cenras cū
ci usq3 ad
n. coronas
ere vido
... vicib[us] z
corona sibi
nudo. ac
llator. Roge
De s[an]c[t]o Pe
Ammonz
ual mre
gra cu ad
rona enzc
perit acclesi
omar[us] cor
do q fui p
efect[us] īpãs
cur nol sci
r[us] z p[er]se

[illegible]
ex stare
R. castor
inin' gk
v' g'no...
an. ʒ. i. ⁊
na. pure
aro. nit
inct. cassi
lob. campo
reupo. ⁊
an. ʒ. i. ⁊
rat. pe
finoni.
cau8. t
tic. sal
⁊ g'na
pulegii. o
radic ba
yne arit
batemen
llu. an
oppob. an
pis an
lauine.
penicedan
yreos. g
q. s. dat
psilonibz
epiic ca
Splenetri
laiiti
g'tuoz co
mo man
ad horā
d
O pie
pi
xp
prisie. e
nic. ⁊
⁊ lic ⁊
aspi. ow
sgā. albi
zn. cum

carni
arnalca.
rie nāle
capperi
ad
calo
ad
eatur
si
aut
aspi
riste
ad
bail
dolup
uiss
nc͞to
ras
erpē
hei
tri
rabita
rom
pre
rite
pozis pt
ne. balan
aloe spi
pule
ossiu
iiii.
aga
a
rozis
se.

137

Biblia et interpretes

Octavo n°. 137.

137

D

~~Q°. 137~~

Kast 108

H. M. 21

S. S. 48. C

# ΔΕΥΤΕ
# ΡΟΝ ΒΙΒΛΙ-
# ΩΝ ΜΕ-
# ΡΟΣ.

Ex dono [illegible]

Argentorati apud Vuolph. Ceph.
MDXXVI.

# ΕΛΕΓΧΟΣ ΤΩΝ ΒΙΒΛΙ-
ων τοῦ δευτέρου
μέρους.


| | |
|---|---|
| βασιλειῶν πρώτη. | 2 |
| βασιλειῶν δευτέρα | 38 |
| βασιλειῶν τρίτη | 69 |
| βασιλειῶν τετάρτη. | 106 |
| παραλειπομένων α. | 139 |
| παραλειπομένων β. | 169 |
| Εσδρας. | 208 |
| Νεεμίας. | 218 |
| Εσθήρ. | 234 |
| Ιώβ. | 246. |
| Ψαλτήριον. | 271 |


Οἱ ἐν τῇ τρίτῃ τῶν βασιλειῶν ἀστερίσκοι, * *, τοῦ αὐτοῦ μεταπλασμὸν, σύγχυσίν τε, καὶ ἄσοχον διαδίπλωσιν ἤτοι διαφορὰν, σημαίνουσι.

# ΒΑΣΙΛΕΙΩΝ ΠΡΩΤΗ.

Κεφάλαιον α.

ΚΑὶ ἐγένετο ἄνθρωπος εἷς ἐξ ἀρμα-
θαὶμ σιφὰ ἐξ ὄρους ἐφραίμ. καὶ ὄνο-
μα αὐτῷ ἐλκανὰ υἱὸς ἰερεμεὴλ υἱοῦ
ἠλὶ υἱοῦ θοκὲλ ἐν σαείβ. ἐξ ἀρμαθαὶμ ἐξ
ὄρους ἐφραίμ. καὶ τούτῳ, δύο γυναῖ-
κες. ὄνομα τῇ μιᾷ, ἄννα. καὶ ὄνομα
τῇ δευτέρᾳ, φεννάνα. καὶ ἦν τῇ φεν-
νάνᾳ παιδία. καὶ τῇ ἄννᾳ οὐκ ἦν παιδίον. καὶ ἀνέβαινεν ὁ ἄν-
θρωπος ἐξ ἡμερῶν ἡμέρας, ἐκ πόλεως αὐτοῦ ἐξ ἀρμαθαὶμ
προσκυνεῖν, καὶ θύειν κυρίῳ τῷ θεῷ σαβαὼθ ἐν σηλώμ. καὶ ἐ-
κεῖ ἠλὶ καὶ δύο υἱοὶ αὐτοῦ ὀφνὶ καὶ φινεὲς ἱερεῖς κυρίου. καὶ ἐγε-
νήθη ἡμέρα καὶ ἔθυσεν ἐλκανὰ καὶ ἔδωκε τῇ φεννάνᾳ γυναι-
κὶ αὐτοῦ. καὶ τοῖς υἱοῖς αὐτῆς καὶ ταῖς θυγατράσιν αὐτῆς μερί-
δας. καὶ τῇ ἄννᾳ ἔδωκε μερίδα μίαν. ὅτι οὐκ ἦν αὐτῇ παιδίον.
πλὴν ὅτι τὴν ἄνναν ἠγάπα ἐλκανὰ ὑπὲρ τὴν φεννάναν, καὶ κύ-
ριος ἀπέκλεισε τὰ περὶ τὴν μήτραν αὐτῆς. ὅτι οὐκ ἔδωκεν αὐ-
τῇ κύριος παιδίον κατὰ τὴν θλῖψιν αὐτῆς. καὶ κατὰ τὴν ἀθυ-
μίαν τῆς θλίψεως αὐτῆς. καὶ ἠθύμει διὰ τοῦτο. ὅτι συνέκλεισε κύρι-
ος τὰ περὶ τὴν μήτραν αὐτῆς τοῦ μὴ δοῦναι αὐτῇ παιδίον. οὕ-
τως ἐποίει ἐνιαυτὸν κατ' ἐνιαυτόν, ἐν τῷ ἀναβαίνειν αὐτὴν εἰς
οἶκον κυρίου. καὶ ἠθύμει καὶ ἔκλαιε καὶ οὐκ ἤσθιε. καὶ εἶπεν αὐτῇ ἐλκα-
νὰ ὁ ἀνὴρ αὐτῆς, ἄννα. καὶ εἶπεν ἰδοὺ ἐγὼ κύριε. καὶ εἶπεν αὐτῇ. τί ἐ-
στί σοι ὅτι κλαίεις. καὶ ἵνα τί οὐκ ἐσθίεις. καὶ ἵνα τί τύπτει σε ἡ καρδία.

σου. οὐκ ἀγαθὸς ἐγώ σοι ὑπὲρ δέκα τέκνα; καὶ ἀνέστη ἄννα μετὰ τὸ φαγεῖν αὐτοὺς ἐν σηλὼμ, καὶ κατέστη ἐνώπιον κυρίου, καὶ ἠλὶ ὁ ἱερεὺς ἐκάθητο ἐπὶ τοῦ δίφρου ἐπὶ τῶν φλιῶν πυλῶν ναοῦ κυρίου. καὶ αὐτὴ κατώδυνος ψυχῇ, καὶ προσηύξατο πρὸς κύριον καὶ κλαίουσα ἔκλαυσε, καὶ ηὔξατο εὐχὴν κυρίῳ λέγουσα. ἀδωναῒ κύριε ἐλωῒ σαβαώθ. ἐὰν ἐπιβλέπων ἐπιβλέψῃς ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης σου καὶ μνησθῇς μου, καὶ δὸς τῇ δούλῃ σου σπέρμα ἀνδρὸς καὶ δώσω σοι αὐτὸν ἐνώπιόν σου δοτὸν ἕως ἡμέρας θανάτου αὐτοῦ, καὶ οἶνον καὶ μέθυσμα οὐ πίεται, καὶ σίδηρος οὐκ ἀναβήσεται ἐπὶ τὴν κεφαλὴν αὐτοῦ. καὶ ἐγενήθη ὅτε ἐπλήθυνε προσευχομένη ἐνώπιον κυρίου, καὶ ἠλὶ ὁ ἱερεὺς ἐφύλαξε τὸ στόμα αὐτῆς. καὶ αὐτὴ ἐλάλει ἐν τῇ καρδίᾳ αὐτῆς. καὶ τὰ χείλη αὐτῆς, ἐκινεῖτο, καὶ ἡ φωνὴ αὐτῆς οὐκ ἠκούετο. καὶ εἰσήκουσεν αὐτῆς κύριος. καὶ ἐλογίσατο αὐτὴν ἠλὶ εἰς μεθύουσαν. καὶ εἶπεν αὐτῇ τὸ παιδάριον ἠλί. ἕως πότε μεθυσθήσῃ. περιελοῦ τὸν οἶνόν σου, καὶ πορεύου ἐκ τοῦ τόπου κυρίου. καὶ ἀπεκρίθη ἄννα καὶ εἶπεν. οὐχὶ κύριε. γυνὴ ᾗ σκληρᾷ ἡμέρᾳ ἐγώ εἰμι. καὶ οἶνον καὶ μέθυσμα οὐ πέπωκα. μὴ δῷς τὴν δούλην σου εἰς θυγατέρα λοιμήν. ὅτι ἐκ πλήθους ἀδολεσχίας μου καὶ ἐκ πλήθους ἀθυμίας μου ἐκτέτηκα ἕως τοῦ νῦν. καὶ ἀπεκρίθη ἠλὶ καὶ εἶπε πρὸς αὐτήν. πορεύου εἰς εἰρήνην. ὁ θεὸς ἰσραὴλ δώῃ σοι πᾶν αἴτημά σου ὃ ᾐτήσω παρ' αὐτοῦ. καὶ εἶπεν ἄννα. εὗρεν ἡ δούλη σου χάριν ἐν ὀφθαλμοῖς σου. καὶ ἐπορεύθη ἡ γυνὴ εἰς τὴν ὁδὸν αὐτῆς. καὶ εἰσῆλθεν εἰς τὸ κατάλυμα αὐτῆς καὶ ἔφαγε μετὰ τοῦ ἀνδρὸς αὐτῆς καὶ ἔπιε. καὶ τὸ πρόσωπον αὐτῆς, οὐ συνέπεσεν ἔτι. καὶ ὀρθρίζουσι τὸ πρωῒ καὶ προσκυνοῦσι τῷ κυρίῳ καὶ πορεύονται τὴν ὁδὸν αὐτῶν. καὶ εἰσῆλθεν ἐλκανὰ εἰς τὸν οἶκον αὐτοῦ εἰς ἀρμαθαίμ. καὶ ἔγνω ἐλκανὰ τὴν γυναῖκα αὐτοῦ ἄνναν. καὶ ἐμνήσθη αὐτῆς κύριος καὶ συνέλαβε. καὶ ἐγενήθη τῷ καιρῷ τῶν ἡμερῶν, καὶ ἔτεκεν υἱόν.

καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ σαμουήλ. λέγουσα ὅτι παρὰ κυρίου
θεοῦ σαβαὼθ ᾐτησάμην αὐτόν. καὶ ἀνέβη ὁ ἄνθρωπος ἐλκανὰ καὶ
πᾶς ὁ οἶκος αὐτοῦ ἐν σηλὼμ, θῦσαι τὴν θυσίαν τῶν ἡμερῶν. καὶ
τὰς εὐχὰς αὐτοῦ καὶ πάσας τὰς δεκάτας τῆς γῆς αὐτοῦ. καὶ ἄν-
να οὐκ ἀνέβη μετ' αὐτοῦ. ὅτι εἶπε τῷ ἀνδρὶ αὐτῆς ἕως τοῦ ἀνα-
βῆναι τὸ παιδάριον ἐὰν ἀπογαλακτίσω αὐτό. καὶ ὀφθήσεται
τῷ προσώπῳ κυρίου. καὶ καθήσεται ἕως αἰῶνος ἐκεῖ. καὶ εἶ-
πεν αὐτῇ ἐλκανὰ ὁ ἀνὴρ αὐτῆς. ποίει τὸ ἀγαθὸν ἐν ὀφθαλμοῖς
σου. κάθου ἕως ἂν ἀπογαλακτίσῃς αὐτό. ἀλλὰ στήσαι κύριος τὸ ἐ-
ξελθὸν ἐκ τοῦ στόματός σου. καὶ ἐκάθισεν ἡ γυνὴ καὶ ἐθήλασε τὸν υἱ-
ὸν αὐτῆς, ἕως τοῦ ἀπογαλακτίσαι αὐτὴν αὐτόν. καὶ ἀνέβη μετ' αὐ-
τοῦ ἐν σηλὼμ, ἐν μόσχῳ τριετίζοντι. καὶ ἄρτοις. καὶ οἶφι σεμιδά-
λεως. καὶ νέβελ οἴνου. καὶ εἰσῆλθον εἰς τὸν οἶκον κυρίου ἐν σηλώμ.
καὶ τὸ παιδάριον μετ' αὐτῶν. καὶ προσήγαγον ἐνώπιον κυρίου
καὶ ἔσφαξεν ὁ πατὴρ αὐτοῦ τὴν θυσίαν ἣν ἐποίει ἐξ ἡμερῶν
εἰς ἡμέρας τῷ κυρίῳ. καὶ προσήγαγε τὸ παιδάριον καὶ ἔσφα-
ξε τὸν μόσχον. καὶ προσήγαγεν ἄννα ἡ μήτηρ τοῦ παιδαρίου πρὸς
ἠλὶ καὶ εἶπεν. ἐν ἐμοὶ κύριε ζῇ ἡ ψυχή σου. ἐγώ εἰμι ἡ γυνὴ ἡ
καταστᾶσα ἐνώπιόν σου μετὰ σοῦ ἐν τῷ προσεύξασθαι πρὸς κύ-
ριον ὑπὲρ τοῦ παιδαρίου τούτου προσηυχόμην. καὶ ἔδωκέ μοι κύ-
ριος τὸ αἴτημά μου ὃ ᾐτησάμην παρ' αὐτοῦ. κἀγὼ κιχρῶ αὐτὸν τῷ
κυρίῳ πάσας τὰς ἡμέρας ἃς ζῇ αὐτὸς χρῆσιν τῷ κυρίῳ. καὶ προ-
σεκύνησαν ἐκεῖ τῷ κυρίῳ. καὶ ηὔξατο ἄννα καὶ εἶπεν.

Κεφάλαιον β΄ 2

Στερεώθη ἡ καρδία μου ἐν κυρίῳ. ὑψώθη κέρας μου
ε ἐν θεῷ μου. ἐπλατύνθη ἐπ' ἐχθροὺς μου τὸ στόμα μου
εὐφράνθην ἐν σωτηρίᾳ σου. ὅτι οὐκ ἔστιν ἅγιος ὡς
ὁ κύριος. καὶ οὐκ ἔστι δίκαιος ὡς ὁ θεὸς ἡμῶν. καὶ οὐκ ἔστιν ἅγιος
πλὴν σοῦ. μὴ καυχᾶσθε καὶ μὴ λαλεῖτε ὑψηλὰ εἰς ὑπεροχήν.
καὶ μὴ ἐξελθέτω μεγαλορρημοσύνη ἐκ τοῦ στόματος ὑμῶν. ὅτι

θεὸς γνώσεων κύριος καὶ θεὸς ἑτοιμάζων ἐπιτηδεύματα αὐτοῦ. τόξον δυνατῶν ἠσθένησε, καὶ οἱ ἀσθενοῦντες, περιεζώσαντο δύναμιν. πλήρεις ἄρτων ἠλαττώθησαν καὶ οἱ πεινῶντες παρῆκαν γῆν. ὅτι στεῖρα ἔτεκεν ἑπτά. καὶ ἡ πολλὴ ἐν τέκνοις ἠσθένησε. κύριος θανατοῖ καὶ ζωογονεῖ. κατάγει εἰς ᾅδου καὶ ἀνάγει. κύριος πτωχίζει καὶ πλουτίζει. ταπεινοῖ καὶ ἀνυψοῖ. ἀνιστᾷ ἀπὸ γῆς πένητα, καὶ ἀπὸ κοπρίας ἐγείρει πτωχόν. τοῦ καθίσαι αὐτὸν μετὰ δυναστῶν λαοῦ. καὶ θρόνον δόξης κατακληρονομῶν αὐτοῖς. διδοὺς εὐχὴν τῷ εὐχομένῳ. καὶ εὐλόγησεν ἔτη δικαίων. ὅτι οὐκ ἐν ἰσχύι δυνατὸς ἀνήρ. κύριος ἀσθενῆ ποιήσει τὸν ἀντίδικον αὐτοῦ. κύριος ἅγιος. μὴ καυχάσθω ὁ φρόνιμος ἐν τῇ φρονήσει αὐτοῦ. καὶ μὴ καυχάσθω ὁ δυνατὸς ἐν τῇ δυνάμει αὐτοῦ. καὶ μὴ καυχάσθω ὁ πλούσιος ἐν τῷ πλούτῳ αὐτοῦ. ἀλλ᾽ ἐν τούτῳ καυχάσθω ὁ καυχώμενος ἐν τῷ συνιεῖν καὶ γινώσκειν τὸν κύριον, καὶ ποιεῖν κρίμα καὶ δικαιοσύνην ἐν μέσῳ τῆς γῆς. κύριος ἀνέβη εἰς οὐρανοὺς καὶ ἐβρόντησεν. αὐτὸς κρινεῖ ἄκρα γῆς δίκαιος ὤν. καὶ δίδωσιν ἰσχὺν τοῖς βασιλεῦσιν ἡμῶν. καὶ ὑψώσει κέρας χριστοῦ αὐτοῦ. Καὶ κατέλιπον αὐτὸν ἐκεῖ ἐνώπιον κυρίου. καὶ ἀπῆλθον εἰς ἀρμαθαίμ. καὶ τὸ παιδάριον ἦν λειτουργῶν τῷ προσώπῳ κυρίου ἐνώπιον ἠλὶ τοῦ ἱερέως. καὶ οἱ υἱοὶ ἠλὶ τοῦ ἱερέως υἱοὶ λοιμοὶ οὐκ εἰδότες τὸν κύριον. καὶ τὸ δικαίωμα τοῦ ἱερέως παρὰ τοῦ λαοῦ παντὸς τοῦ θύοντος καὶ ἤρχετο τὸ παιδάριον τοῦ ἱερέως ὡς ἂν ἡψήθη τὸ κρέας. καὶ κρεάγρα τριόδους ἐν τῇ χειρὶ αὐτοῦ. καὶ καθῆκεν αὐτὴν εἰς τὸν λέβητα τὸν μέγαν, ἢ εἰς τὸ χαλκεῖον. ἢ εἰς τὴν χύτραν. καὶ πᾶν ὃ ἐὰν ἀνέβη ἐν τῇ κρεάγρᾳ, ἐλάμβανεν ἑαυτῷ ὁ ἱερεύς. κατὰ τάδε ἐποίουν παντὶ ἰσραὴλ τοῖς ἐρχομένοις θῦσαι τῷ κυρίῳ ἐν σηλώμ. καὶ πρὶν θυμιαθῆναι τὸ στέαρ, ἤρχετο τὸ παιδάριον τοῦ ἱερέως καὶ ἔλεγε τῷ ἀνδρὶ τῷ θύοντι. δὸς κρέας ὀπτῆσαι τῷ ἱερεῖ, καὶ οὐ μὴ λάβω παρὰ σοῦ κρέας ἑφθὸν ἐκ τοῦ λέβητος. καὶ ἔλεγεν ὁ ἀνὴρ ὁ θύων. θυμιαθήτω δὴ πρῶτον ὡς καθήκει τὸ στέ-

ας· καὶ τότε λάβε σεαυτῷ ἐκ πάντων ὧν ἂν ἐπιθυμῇ ἡ ψυχή
σου. καὶ εἶπεν οὐχί· ὅτι νῦν δώσεις καὶ εἰ μὴ λήψομαι κραται-
ῶς. καὶ ἦν ἡ ἁμαρτία ἐνώπιον κυρίου τῶν παιδαρίων μεγάλη
σφόδρα. ὅτι ἠθέτουν τὴν θυσίαν κυρίου. καὶ σαμουὴλ ἦν λειτουρ-
γῶν ἐνώπιον κυρίου. παιδάριον περιεζωσμένον ἐφοὺδ βάρ. καὶ
διπλοΐδα μικρὰν ἐποίησεν αὐτῷ ἡ μήτηρ αὐτοῦ. καὶ ἀνέφερεν
αὐτῷ ἐξ ἡμερῶν εἰς ἡμέρας ἐν τῷ ἀναβαίνειν αὐτὴν μετὰ τοῦ
ἀνδρὸς αὐτῆς θῦσαι τὴν θυσίαν τῶν ἡμερῶν. καὶ εὐλόγησεν ἡ-
λὶ τὸν ἐλκανᾶ καὶ τὴν γυναῖκα αὐτοῦ λέγων· ἀποτίσαι σοι κύριος
σπέρμα ἐκ τῆς γυναικὸς ταύτης, ἀντὶ τοῦ χρέους οὗ ἔχρησας τῷ
κυρίῳ. καὶ ἀπῆλθεν ὁ ἄνθρωπος εἰς τὸν τόπον αὐτοῦ. καὶ ἐπισκέψα-
το κύριος τὴν ἄνναν. καὶ ἔτεκεν ἔτι τρεῖς υἱοὺς καὶ δύο θυγατέ-
ρας. καὶ ἐμεγαλύνθη τὸ παιδάριον σαμουὴλ ἐνώπιον κυρίου. καὶ ἡ-
λὶ πρεσβύτης σφόδρα. καὶ ἤκουσεν ἃ ἐποίουν οἱ υἱοὶ αὐτοῦ τοῖς
υἱοῖς ἰσραήλ, καὶ εἶπεν αὐτοῖς· ἵνα τί ποιεῖτε κατὰ τὸ ῥῆμα τοῦτο,
ὃ ἐγὼ ἀκούω ἐκ στόματος παντὸς τοῦ λαοῦ κυρίου. μὴ τέκνα, μή
ὅτι οὐκ ἀγαθὴ ἡ ἀκοὴ ἣν ἐγὼ ἀκούω περὶ ὑμῶν. μὴ ποιεῖτε οὕ-
τως. ὅτι οὐκ ἀγαθαὶ αἱ ἀκοαὶ ἃς ἐγὼ ἀκούω τοῦ μὴ δουλεύειν λα-
ὸν θεῷ. ἐὰν ἁμαρτάνων ἁμάρτῃ ἀνὴρ εἰς ἄνδρα, καὶ προσεύ-
ξονται περὶ αὐτοῦ πρὸς κύριον. καὶ ἐὰν τῷ κυρίῳ ἁμάρτῃ τίς,
προσεύξεται περὶ αὐτοῦ. καὶ οὐκ ἤκουον τῆς φωνῆς τοῦ πατρὸς αὐτῶν.
ὅτι βουλόμενος ἐβούλετο κύριος διαφθεῖραι αὐτούς. καὶ τὸ παι-
δάριον σαμουὴλ ἐπορεύετο μεγαλυνόμενον. καὶ ἦν ἀγαθὸν με-
τὰ κυρίου καὶ μετὰ ἀνθρώπων. καὶ ἦλθεν ὁ ἄνθρωπος τοῦ θεοῦ πρὸς
ἡλὶ, καὶ εἶπε· τάδε λέγει κύριος, ἀποκαλυφθεὶς ἀπεκαλύφθην
πρὸς τὸν οἶκον τοῦ πατρός σου. ὄντων αὐτῶν ἐν γῇ αἰγύπτῳ δούλων
τῷ οἴκῳ φαραὼ. καὶ ἐξελεξάμην τὸν οἶκον τοῦ πατρός σου, ἐκ
πάντων τῶν οἴκων ἰσραήλ. ἐμοὶ ἱερατεύειν τοῦ ἀναβαίνειν ἐ-
πὶ τὸ θυσιαστήριόν μου καὶ θυμιᾶν θυμίαμα. καὶ αἴρειν ἐφοὺδ.
καὶ ἔδωκα τῷ οἴκῳ τοῦ πατρός σου τὰ πάντα τοῦ πυρὸς τῶν

υἱῶν ἰσραὴλ εἰς βρῶσιν. καὶ ἵνα τί ἐπέβλεψας ἐπὶ τὸ θυμίαμά μου καὶ εἰς τὴν θυσίαν μου ἀναιδεῖ ὀφθαλμῷ. καὶ ἐδόξασας τοὺς υἱούς σου ὑπὲρ ἐμὲ ἐνευλογεῖσθαι ἀπαρχῆς πάσης θυσίας τοῦ ἰσραὴλ ἔμπροσθέν μου, διὰ τοῦτο τάδε λέγει κύριος ὁ θεὸς ἰσραήλ. εἶπα ὁ οἶκός σου καὶ ὁ οἶκος τοῦ πατρός σου, διελεύσεται, ἐνώπιόν μου ἕως αἰῶνος. καὶ νῦν φησὶ κύριος μηδαμῶς ἐμοί. ὅτι ἀλλ' ἢ τοὺς δοξάζοντάς με δοξάσω. καὶ ὁ ἐξουθενῶν με, ἀτιμωθήσεται. ἰδοὺ ἔρχονται ἡμέραι. καὶ ἐξολοθρεύσω τὸ σπέρμα σου καὶ τὸ σπέρμα οἴκου πατρός σου. καὶ οὐκ ἔσται σοι πρεσβύτης ἐν οἴκῳ σου πάσας τὰς ἡμέρας. καὶ ἄνδρα οὐκ ἐξολοθρεύσω σοι ἀπὸ τοῦ θυσιαστηρίου μου πάσας τὰς ἡμέρας ἀλλ' ὥστε ἐκλείπειν τοὺς ὀφθαλμοὺς αὐτοῦ ποιήσω. καὶ καταρρεῖν τὴν ψυχὴν αὐτοῦ. καὶ πᾶς περισσεύων οἴκου σου, πεσοῦνται ἐν ῥομφαίᾳ ἀνδρῶν καὶ τοῦτό σοι τὸ σημεῖον ὃ ἥξει ἐπὶ τοὺς δύο υἱούς σου τούτους. ὀφνεὶ καὶ φινεές. ἐν μιᾷ ἡμέρᾳ ἀποθανοῦνται ἀμφότεροι. καὶ ἀναστήσω ἐμαυτῷ ἱερέα πιστόν. ὃς πάντα τὰ ἐν τῇ καρδίᾳ μου καὶ τὰ ἐν τῇ ψυχῇ μου ποιήσει. καὶ οἰκοδομήσω ἐμαυτῷ οἶκον πιστόν. καὶ διελεύσεται ἐνώπιον χριστοῦ μου πάσας τὰς ἡμέρας καὶ ἔσται ὁ ὑπολελειμμένος ἐν τῷ οἴκῳ σου ἥξει προσκυνεῖν αὐτῷ ὀβολοῦ ἀργυρίου λέγων. παράρριψόν με ἐπὶ μίαν τῶν ἱερατειῶν σου φαγεῖν ἄρτον.

Κεφ. γ'. 3.

κ Αἰ τὸ παιδάριον σαμουὴλ ἦν λειτουργῶν τῷ κυρίῳ ἐνώπιον ἠλὶ τοῦ ἱερέως. καὶ ῥῆμα κυρίου ἦν τίμιον. ἐν ταῖς ἡμέραις ἐκείναις οὐκ ἦν ὅρασις διαστέλλουσα. Καὶ ἐγένετο ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ ἠλὶ ἐκάθευδεν ἐν τῷ τόπῳ αὐτοῦ. καὶ οἱ ὀφθαλμοὶ αὐτοῦ ἤρξαντο βαρύνεσθαι. καὶ οὐκ ἠδύναντο βλέπειν. καὶ ὁ λύχνος τοῦ θεοῦ πρὶν ἢ ἐπισκευασθῆναι. καὶ σαμουὴλ ἐκάθευδεν ἐν τῷ ναῷ κυρίου οὗ ἡ κιβωτὸς τοῦ θεοῦ. καὶ κατέστη καὶ ἐκάλεσε κύριος σαμουὴλ σαμουήλ. καὶ εἶπεν ἰδοὺ ἐγώ. καὶ ἔδραμε πρὸς ἠλὶ καὶ εἶπεν. ἰδοὺ ἐγὼ ὅτι κέκληκάς με.

καὶ εἶπεν ἠλί· οὐ κέκληκά σε· ἀνάστρεφε κάθευδε. καὶ ἀνέστρεψε
καὶ ἐκάθευδε. καὶ προσέθετο ἔτι κύριος καλέσαι τὸν σαμουήλ.
καὶ ἐκάλεσε σαμουήλ σαμουήλ. καὶ ἐπορεύθη πρὸς ἠλὶ τὸ δεύτερον
καὶ εἶπεν. ἰδοὺ ἐγὼ ὅτι κέκληκάς με. καὶ εἶπεν οὐ κέκληκά σε
τέκνον ἀνάστρεφε καὶ καθεύδε. καὶ σαμουὴλ πρινὴ γνῶναι θε-
όν, καὶ πρινὴ ἀποκαλυφθῆναι αὐτῷ ῥῆμα κυρίου. καὶ προσέθετο
κύριος τοῦ καλέσαι τὸν σαμουὴλ ἐν τρίτῳ. καὶ ἀνέστη καὶ ἐπο-
ρεύθη πρὸς ἠλί, καὶ εἶπεν. ἰδοὺ ἐγὼ ὅτι κέκληκάς με, καὶ ἐσο-
φίσατο ἠλὶ ὅτι κύριος κέκληκε τὸ παιδάριον. καὶ εἶπεν ἀνάστρε-
φε καὶ κάθευδε τέκνον. καὶ ἔσται ἐὰν καλέσῃ σε ὁ καλῶν. καὶ ἐρεῖς
λάλει κύριε· ὅτι ἀκούει ὁ δοῦλός σου. καὶ ἐπορεύθη σαμουήλ, καὶ ἐκοι-
μήθη ἐν τῷ τόπῳ αὐτοῦ, καὶ ἦλθε κύριος καὶ κατέστη. καὶ ἐκάλε-
σεν αὐτὸν ὡς ἅπαξ καὶ ἅπαξ. καὶ εἶπε σαμουήλ. λάλει ὅτι ἀκούει
ὁ δοῦλός σου. καὶ εἶπε κύριος πρὸς σαμουήλ. ἰδοὺ ἐγὼ ποιῶ
τὰ ῥήματά μου ἐν ἰσραήλ. ὥστε παντὸς ἀκούοντος αὐτὰ ἠχή-
σει ἀμφότερα τὰ ὦτα αὐτοῦ. ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐπεγερῶ ἐπὶ
ἠλὶ πάντα ὅσα ἐλάλησα εἰς τὸν οἶκον αὐτοῦ, ἄρξομαι καὶ ἐπιτε-
λέσω καὶ ἀπήγγελκα αὐτῷ, ὅτι ἐκδικῶ ἐγὼ ἐπὶ τὸν οἶκον αὐτοῦ
ἕως αἰῶνος. ἐν ἀδικίαις υἱῶν αὐτοῦ αἷς ἔγνω ὅτι κακολογοῦντες
θεὸν οἱ υἱοὶ αὐτοῦ, καὶ οὐκ ἐνουθέτει αὐτούς. καὶ οὐδ᾽ οὕτως ὤμο-
σα τῷ οἴκῳ ἠλί. εἰ ἐξιλασθήσεται ἀδικία οἴκου ἠλί, ἐν θυμιά-
ματι καὶ ἐν θυσίαις αὐτοῦ ἕως αἰῶνος. καὶ κοιμᾶται σαμουὴλ ἕ-
ως πρωΐ. καὶ ὤρθρισε τὸ πρωΐ. καὶ ἤνοιξε τὰς θύρας οἴκου κυρίου. καὶ
σαμουὴλ ἐφοβήθη ἀπαγγεῖλαι τὴν ὅρασιν τῷ ἠλί, καὶ εἶπεν ἠ-
λὶ πρὸς σαμουήλ. σαμουὴλ τέκνον. καὶ εἶπεν. ἰδοὺ ἐγὼ καὶ εἶπε.
τί τὸ ῥῆμα τὸ λαληθὲν πρὸς σέ. μὴ δὴ κρύψῃς ἀπ᾽ ἐμοῦ ῥῆμα
ἐκ πάντων τῶν λόγων τῶν λαληθέντων πρὸς σὲ ἐν τοῖς ὠσί
μου, καὶ ἀπήγγειλε σαμουὴλ τῷ ἠλὶ πάντας τοὺς λόγους. καὶ οὐκ
ἔκρυψεν ἀπ᾽ αὐτοῦ. καὶ εἶπεν ἠλί. κύριος αὐτὸς τὸ ἀγαθὸν ἐνώ-
πιον αὐτοῦ ποιήσει. καὶ ἐμεγαλύνθη σαμουήλ. καὶ ἦν κύριος μετ᾽

αὐτοῦ. καὶ οὐκ ἔπεσεν ἀπὸ πάντων τῶν λόγων αὐτοῦ ἐπὶ τὴν γῆν. καὶ ἔγνωσαν πᾶς ἰσραὴλ ἀπὸ δὰν καὶ ἕως βηρσαβεὲ, ὅτι πιστὸς σαμουὴλ εἰς προφήτην γενέσθαι τῷ κυρίῳ καὶ προσέθετο κύριος δηλωθῆναι ἐν σηλώμ. ὅτι ἀπεκαλύφθη κύριος πρὸς σαμουὴλ καὶ ἐπιστεύθη σαμουὴλ τοῦ γενέσθαι εἰς προφήτην τοῦ κυρίου εἰς πάντα ἰσραήλ. ἀπ' ἄκρων τῆς γῆς ἕως ἄκρων. καὶ ἠλὶ πρεσβύτης σφόδρα. καὶ οἱ υἱοὶ αὐτοῦ πορευόμενοι ἐπορεύοντο, καὶ πονηρὰ ἡ ὁδὸς αὐτῶν ἐνώπιον κυρίου.

Κεφάλαιον Δ. 4.

Αἰ ἐγενήθη ἐν ταῖς ἡμέραις ἐκείναις. καὶ συναθροί-
κ ζονται ἀλλόφυλοι ἐπὶ ἰσραὴλ εἰς πόλεμον. καὶ ἐξῆλθεν ἰσραὴλ εἰς ἀπάντησιν αὐτοῖς εἰς πόλεμον. καὶ παρεμβάλλουσιν ἐπὶ ἀβενέζερ. καὶ οἱ ἀλλόφυλοι παρεμβάλλουσιν ἐν ἀφέκ. καὶ παρατάσσονται ἀλλόφυλοι εἰς πόλεμον ἐπὶ ἰσραήλ. καὶ ἔκλινεν ὁ πόλεμος. καὶ ἔπταισεν ἀνὴρ ἰσραὴλ ἐνώπιον ἀλλοφύλων, καὶ ἐπλήγησαν ἐν τῇ παρατάξει ἐν ἀγρῷ, τέσσαρες χιλιάδες ἀνδρῶν. καὶ ἦλθεν ὁ λαὸς εἰς τὴν παρεμβολήν. καὶ εἶπον οἱ πρεσβύτεροι ἰσραήλ. κατὰ τί ἔπταισεν ἡμᾶς κύριος σήμερον ἐνώπιον ἀλλοφύλων. λάβωμεν τὴν κιβωτὸν τοῦ θεοῦ ἡμῶν ἐκ σηλὼμ καὶ ἐξελθέτω ἐκ μέσου ἡμῶν καὶ σώσει ἡμᾶς ἐκ χειρὸς ἐχθρῶν ἡμῶν. καὶ ἀπέστειλεν ὁ λαὸς εἰς σηλὼμ καὶ αἴρουσιν ἐκεῖθεν τὴν κιβωτὸν κυρίου καθημένου χερουβείμ. καὶ ἀμφότεροι οἱ υἱοὶ ἠλὶ μετὰ τῆς κιβωτοῦ ὀφνεὶ καὶ φινεές. καὶ ἐγενήθη ὡς ἦλθεν ἡ κιβωτὸς κυρίου εἰς τὴν παρεμβολήν. καὶ ἀνέκραξε πᾶς ἰσραὴλ φωνῇ μεγάλῃ καὶ ἤχησεν ἡ γῆ. καὶ ἤκουσαν οἱ ἀλλόφυλοι τῆς κραυγῆς. καὶ εἶπον οἱ ἀλλόφυλοι. τίς ἡ κραυγὴ ἡ μεγάλη αὕτη ἐν τῇ παρεμβολῇ τῶν ἑβραίων. καὶ ἔγνωσαν ὅτι ἡ κιβωτὸς τοῦ κυρίου ἥκει εἰς τὴν παρεμβολήν. καὶ ἐφοβήθησαν οἱ ἀλλόφυλοι καὶ εἶπον. οὗτοι οἱ θεοὶ ἥκασι πρὸς αὐτοὺς εἰς τὴν παρεμβολήν. οὐαὶ ἡμῖν. ἐξελοῦ ἡμᾶς κύριε σήμερον. ὅτι

οὐ γέγονε τοιαύτη ἐχθὲς καὶ τρίτην. οὐαὶ ἡμῖν. τίς ἐξελεῖται ἡ-
μᾶς ἐκ χειρὸς τῶν θεῶν τῶν στερεωτέρων τούτων. οὗτοί εἰσιν οἱ
θεοὶ οἱ πατάξαντες τὴν αἴγυπτον ἐν πάσῃ πληγῇ. καὶ ἐν τῇ
ἐρήμῳ. κραταιοῦσθε καὶ γίνεσθε εἰς ἄνδρας ἀλλόφυλοι ὅπως μὴ
δουλεύσητε τοῖς ἑβραίοις καθὼς ἐδούλευσαν ἡμῖν. καὶ ἔσεσθε εἰς
ἄνδρας. καὶ πολεμήσετε αὐτούς, καὶ ἐπολέμησαν αὐτούς. καὶ πταίει
ἀνὴρ ἰσραὴλ. ἐνώπιον ἀλλοφύλων καὶ ἔφυγεν ἕκαστος εἰς τὸ σκή-
νωμα αὐτοῦ. καὶ ἐγένετο πληγὴ μεγάλη σφόδρα. καὶ ἔπεσον ἐξ ἰ-
σραὴλ τριάκοντα χιλιάδες ταγμάτων. καὶ ἡ κιβωτὸς τοῦ θεοῦ ἐλή-
φθη. καὶ ἀμφότεροι οἱ υἱοὶ ἠλὶ ἀπέθανον ὀφνὶ καὶ φινεές. καὶ ἔδρα-
μεν ἀνὴρ ἰεμιναῖος ἐκ τῆς παρατάξεως, καὶ ἦλθεν εἰς σηλὼμ ἐν
τῇ ἡμέρᾳ ἐκείνῃ. καὶ τὰ ἱμάτια αὐτοῦ διεῤῥωγότα, καὶ γῆ ἐπὶ
τῆς κεφαλῆς αὐτοῦ καὶ ἦλθε. καὶ ἰδοὺ ἠλὶ ἐκάθητο ἐπὶ τοῦ δίφρου
αὐτοῦ παρὰ τὴν θύραν τῆς πύλεως σκοπεύων τὴν ὁδόν. ὅτι ἦν ἡ
καρδία αὐτοῦ ἐξεστηκυῖα περὶ τῆς κιβωτοῦ τοῦ θεοῦ. καὶ ὁ ἄνθρω-
πος εἰσῆλθεν εἰς τὴν πόλιν ἀπαγγεῖλαι. καὶ ἀνεβόησεν ὅλη ἡ
πόλις φωνὴν μεγάλην. καὶ ἤκουσεν ἠλὶ τὴν φωνὴν τῆς βοῆς
καὶ εἶπε. τίς ἡ φωνὴ τῆς βοῆς ταύτης. καὶ ὁ ἄνθρωπος σπεύσας
εἰσῆλθε καὶ ἀπήγγειλε τῷ ἠλί. καὶ ἠλὶ υἱὸς ἐννενήκοντα ἐτῶν. καὶ
οἱ ὀφθαλμοὶ αὐτοῦ ἐπανέστησαν καὶ οὐκ ἐπέβλεψε. καὶ εἶπεν ἠλὶ τοῖς
ἀνδράσι τοῖς παρεστηκόσιν αὐτῷ. τίς ἡ φωνὴ τοῦ ἤχου τούτου. καὶ
ὁ ἀνὴρ σπεύσας προσῆλθε πρὸς ἠλὶ καὶ εἶπεν αὐτῷ, ἐγώ εἰμι
ὁ ἥκων ἐκ τῆς παρεμβολῆς. κἀγὼ πέφευγα ἐκ τῆς παρατάξε-
ως τοῦ πολέμου σήμερον. καὶ εἶπεν ἠλί. τί τὸ γεγονὸς ῥῆμα τέ-
κνον. καὶ ἀπεκρίθη τὸ παιδάριον καὶ εἶπε. πέφευγεν ἀνὴρ ἰηλ ἐκ
προσώπου ἀλλοφύλων. καὶ ἐγένετο πληγὴ μεγάλη ἐν τῷ λαῷ,
καὶ ἀμφότεροι οἱ υἱοί σου τεθνήκασι. καὶ ἡ κιβωτὸς τοῦ θεοῦ ἐλήφθη
καὶ ἐγένετο ὡς ἐμνήσθη τῆς κιβωτοῦ τοῦ θεοῦ, καὶ ἔπεσεν ἀπὸ τοῦ δίφρου
ὀπισθίως ἐχόμενος τῆς πύλης. καὶ συνετρίβη ὁ νῶτος αὐτοῦ καὶ ἀ-
πέθανεν. ὅτι πρεσβύτης ὁ ἄνθρωπος καὶ βαρύς. καὶ αὐτὸς

ἔκρινε τὸν ἰσραὴλ τεσσαράκοντα ἔτη. καὶ νύμφη αὐτοῦ γυνὴ φι-
νεὲς συνειληφυῖα τοῦ τεκεῖν. καὶ ἤκουσε τὴν ἀγγελίαν ὅτι ἐλή-
φθη ἡ κιβωτὸς τοῦ θεοῦ. καὶ ὅτι τέθνηκεν ὁ πενθερὸς αὐτῆς καὶ
ὁ ἀνὴρ αὐτῆς καὶ ἔκλαυσε. καὶ ἔτεκεν ὅτι ἐπεστράφησαν ἐπ'
αὐτὴν ὠδῖνες αὐτῆς. καὶ ἐν τῷ καιρῷ αὐτῆς ἀποθνήσκει.
καὶ εἶπον αὐτῇ αἱ γυναῖκες αἱ παρεστηκυῖαι αὐτῇ. μὴ φοβοῦ ὅ-
τι υἱὸν τέτοκας. καὶ οὐκ ἀπεκρίθη καὶ οὐκ ἐνόησεν ἡ καρδία αὐ-
τῆς, καὶ ἐκάλεσαν τὸ παιδάριον οὐαιβαρυβαρχαβώθ, ὑπὲρ τῆς κιβω-
τοῦ τοῦ θεοῦ. καὶ ὑπὲρ τοῦ πενθεροῦ αὐτῆς. καὶ ὑπὲρ τοῦ ἀνδρὸς
αὐτῆς. καὶ εἶπαν. ἀπῴκισται δόξα ἰσραὴλ ἐν τῷ ληφθῆναι τὴν
κιβωτὸν τοῦ θεοῦ.

## Κεφάλαιον ε. ς.

Αἰ ἔλαβον οἱ ἀλλόφυλοι τὴν κιβωτὸν τοῦ θεοῦ καὶ
α ἐξήνεγκαν αὐτὴν ἐξ ἀβενεζὲρ εἰς ἄζωτον. καὶ ἔλα-
βον οἱ ἀλλόφυλοι τὴν κιβωτὸν κυρίου. καὶ εἰσήνεγ-
καν αὐτὴν εἰς οἶκον δαγὼν καὶ κατέστησαν αὐτὴν παρὰ δαγών,
καὶ ὤρθρισαν οἱ ἀζώτιοι τῇ ἐπαύριον. καὶ εἰσῆλθον εἰς οἶκον δα-
γὼν καὶ εἶδον. καὶ ἰδοὺ δαγὼν πεπτωκὼς ἐπὶ πρόσωπον αὐτοῦ
ἐνώπιον τῆς κιβωτοῦ θεοῦ. καὶ ἤγειραν τὸν δαγὼν καὶ κατέστησαν αὐτὸν
εἰς τὸν τόπον αὐτοῦ. καὶ ἐβαρύνθη ἡ χεὶρ κυρίου ἐπὶ τοὺς ἀζωτί-
ους, καὶ ἐβασάνισεν αὐτούς. καὶ ἐπάταξεν αὐτοὺς εἰς τὰς ἕδρας
αὐτῶν. τὴν ἄζωτον καὶ τὰ ὅρια αὐτῆς. καὶ ἐγένετο ὅτε ὤρθρι-
σαν τὸ πρωΐ, καὶ ἰδοὺ δαγὼν ἐπιπεπτωκὼς ἐπὶ πρόσωπον αὐτοῦ
ἐπὶ τὴν γῆν ἐνώπιον τῆς κιβωτοῦ διαθήκης κυρίου. καὶ ἡ κεφα-
λὴ δαγὼν καὶ ἀμφότερα τὰ ἴχνη τῶν ποδῶν αὐτοῦ ἀφῃρημέ-
να ἐπὶ τὰ ἐμπρόσθια τῶν σταθμῶν. ἀφεθὲμ ἕκαστον. καὶ ἀμφότε-
ροι οἱ καρποὶ τῶν χειρῶν αὐτοῦ πεπτωκότες ἐπὶ τὸ πρόθυρον. πλὴν
ἡ ῥάχις δαγὼν ὑπελείφθη. διατοῦτο οὐκ ἐπιβαίνουσιν οἱ ἱερεῖς
δαγὼν. καὶ πᾶς ὁ εἰσπορευόμενος εἰς οἶκον δαγὼν ἐπὶ βαθ-
μὸν οἴκου δαγὼν ἐν ἀζώτῳ ἕως τῆς ἡμέρας ταύτης. ὅτι ὑπερ-

βαίνοντες ὑπερβαίνουσι. καὶ ἐβαρύνθη ἡ χεὶρ κυρίου ἐπὶ ἄζω
τον, καὶ ἐπήγαγεν αὐτοῖς καὶ ἐξέζεσεν αὐτοῖς εἰς τὰς ναῦς. καὶ
μέσον τῆς χώρας αὐτῶν ἀνεφύησαν μύες. καὶ ἐγένετο σύγχυ
σις θανάτου μεγάλη ἐν τῇ πόλει. καὶ εἶδον οἱ ἄνδρες ἀζώτου ὅτι
οὕτως, καὶ λέγουσιν. ὅτι οὐ καθήσεται κιβωτὸς τοῦ θεοῦ ἰσραὴλ μεθ᾽
ἡμῶν. ὅτι σκληρὰ χεὶρ αὐτοῦ ἐφ᾽ ἡμᾶς καὶ ἐπὶ δαγὼν τὸν θεὸν ἡ
μῶν. καὶ ἀποστέλλουσι καὶ συνάγουσι τοὺς σατράπας τῶν ἀλλοφύ
λων πρὸς αὐτοὺς, καὶ λέγουσι τί ποιήσομεν τῇ κιβωτῷ θεοῦ ἰ
σραήλ. καὶ εἶπον οἱ γεθθαῖοι. μετελθέτω κιβωτὸς τοῦ θεοῦ ἰ
σραὴλ πρὸς ἡμᾶς εἰς γέθ. καὶ μετῆλθεν ἡ κιβωτὸς τοῦ θεοῦ ἰσρα
ὴλ εἰς γέθ. καὶ ἐγενήθη μετὰ τὸ μετελθεῖν αὐτὴν, καὶ γίνεται χεὶρ
κυρίου ἐν τῇ πόλει τάραχος μέγας σφόδρα. καὶ ἐπάταξε τοὺς
ἄνδρας τῆς πόλεως ἀπὸ μικροῦ ἕως μεγάλου. καὶ ἐπάταξεν αὐ
τοὺς εἰς τὰς ἕδρας αὐτῶν. καὶ ἐποίησαν οἱ γεθθαῖοι ἑαυτοῖς ἕ
δρας. καὶ ἐξαποστέλλουσι τὴν κιβωτὸν τοῦ θεοῦ εἰς ἀσκάλωνα. καὶ
ἐγενήθη ὡς εἰσῆλθεν ἡ κιβωτὸς τοῦ θεοῦ ἰσραὴλ εἰς ἀσκάλωνα,
καὶ ἀνεβόησαν οἱ ἀσκαλωνῖται λέγοντες. τί ἀπεστρέψατε τὴν
κιβωτὸν τοῦ θεοῦ ἰσραὴλ πρὸς ἡμᾶς θανατῶσαι ἡμᾶς καὶ τὸν λα
ὸν ἡμῶν. καὶ ἀποστέλλουσι καὶ συνάγουσι πάντας τοὺς σατρά
πας τῶν ἀλλοφύλων καὶ εἶπον. ἐξαποστείλατε τὴν κιβωτὸν τοῦ
θεοῦ ἰσραήλ. καὶ ἀποκατασταθήτω εἰς τὸν τόπον αὐτῆς. καὶ οὐ
μὴ θανατώσῃ ἡμᾶς καὶ τὸν λαὸν ἡμῶν. ὅτι ἐγενήθη σύγχυσις
θανάτου ἐν ὅλῃ τῇ πόλει βαρεῖα σφόδρα ὡς εἰσῆλθεν ἡ κιβωτὸς
θεοῦ ἰσραὴλ ἐκεῖ. καὶ οἱ ζῶντες καὶ οὐκ ἀποθανόντες ἐπλήγησαν
εἰς τὰς ἕδρας καὶ ἀνέβη ἡ κραυγὴ τῆς πόλεως εἰς τὸν οὐρανόν.

Κεφάλαιον. ϛ 6.

κ Αἰ ἦν ἡ κιβωτὸς κυρίου ἐν ἀγρῷ τῶν ἀλλοφύλων ἑ
πτὰ μῆνας. καὶ ἐξέζεσεν ἡ γῆ αὐτῶν μύας. Καὶ
καλοῦσιν οἱ ἀλλόφυλοι τοὺς ἱερεῖς καὶ τοὺς μάντεις
καὶ τοὺς ἐπαοιδοὺς αὐτῶν λέγοντες. τί ποιήσωμεν τῇ κιβω

τῷ τοῦ κυρίου γνωρίσατε ἡμῖν· καὶ ἐν τίνι ἀποστελοῦμεν αὐτὴν εἰς τὸν
τόπον αὐτοῦ· καὶ εἶπον· εἰ ἐξαποστέλλετε ὑμεῖς τὴν κιβωτὸν διαθή
κης κυρίου θεοῦ ἰσραήλ, μὴ δὴ ἐξαποστείλητε αὐτὴν κενήν· ἀλλὰ ἀ
ποδιδόντες ἀπόδοτε αὐτῇ τὸ τῆς βασάνου· καὶ τότε ἰαθήσεσθε καὶ
ἐξιλασθήσεται ὑμῖν· μὴ οὐκ ἀποστῇ χεὶρ αὐτοῦ ἀφ' ἡμῶν; καὶ λέ
γουσι· τί τὸ τῆς βασάνου ἀποδώσομεν αὐτῇ· καὶ εἶπον· κατὰ ἀριθ-
μὸν τῶν σατραπειῶν τῶν ἀλλοφύλων πέντε ἕδρας χρυσᾶς· ὅτι πταῖ
σμα ἐν ὑμῖν καὶ τοῖς ἄρχουσιν ὑμῶν καὶ τῷ λαῷ· καὶ μύας χρυσοῦς
ὁμοίωμα τῶν ἑδρῶν ὑμῶν καὶ ὁμοίωμα τῶν μυῶν ὑμῶν τῶν δια
φθειρόντων τὴν γῆν· καὶ δώσετε τῷ κυρίῳ δόξαν· ὅπως κου-
φίσῃ τὴν χεῖρα αὐτοῦ ἀφ' ὑμῶν, καὶ ἀπὸ τῶν θεῶν ὑμῶν· καὶ
ἀπὸ τῆς γῆς ὑμῶν· καὶ ἵνα τί βαρύνετε τὰς καρδίας ὑμῶν· ὡς ἐβά
ρυνεν αἴγυπτος καὶ φαραὼ τὰς καρδίας αὐτῶν· οὐχὶ ὅτε ἐνέ-
παιξεν αὐτοῖς, ἐξαπέστειλαν αὐτοὺς καὶ ἀπῆλθον· καὶ λάβετε
νῦν καὶ ποιήσατε ἅμαξαν καινὴν μίαν· καὶ δύο βόας πρω-
τοτοκούσας ἄνευ τῶν τέκνων· καὶ ζεύξατε τὰς βόας ἐν τῇ ἁμά
ξῃ· καὶ ἀπαγάγετε τὰ τέκνα αὐτῶν ἀπὸ ὄπισθεν αὐτῶν εἰς οἶ
κον· καὶ λήψεσθε τὴν κιβωτόν· καὶ θήσετε αὐτὴν ἐπὶ τὴν ἅμα
ξαν· καὶ τὰ σκεύη τὰ χρυσᾶ ἀποδώσετε αὐτῇ τῆς βασάνου
καὶ θήσετε ἐν θέματι βερσεχθὰν ἐκ μέρους αὐτῆς· καὶ ἐξαποστε-
λεῖτε αὐτὴν καὶ ἀπελεύσεται· καὶ ὄψεσθε εἰ ἐν ὁδῷ ὁρίου αὐτῆς,
πορεύσεται κατὰ βαιθσαμύς· αὐτὸς πεποίηκεν ἡμῖν τὴν κακί
αν τὴν μεγάλην ταύτην· καὶ ἐὰν μὴ καὶ γνωσόμεθα ὅτι οὐχ
ἡ χεὶρ αὐτοῦ ἧπται ἡμῶν· ἀλλὰ σύμπτωμα τοῦτο γέγονεν ἡμῖν· καὶ
ἐποίησαν οἱ ἀλλόφυλοι οὕτω· καὶ ἔλαβον δύο βόας πρωτοτοκού-
σας· καὶ ἔζευξαν αὐτὰς ἐν τῇ ἁμάξῃ· καὶ τὰ τέκνα αὐτῶν ἀ-
πέκλεισαν εἰς οἶκον· καὶ ἔθεντο τὴν κιβωτὸν κυρίου ἐπὶ τὴν ἅμα
ξαν· καὶ τὸ θέμα ἐργὰβ· καὶ τοὺς μῦς τοὺς χρυσοῦς· καὶ τὰ ὁμοιώ-
ματα τῶν ἑδρῶν αὐτῶν· καὶ κατεύθυνον αἱ βόες ἐν τῇ ὁδῷ·
εἰς ὁδὸν βαιθσαμὺς ἐν τρίβῳ ἑνὶ ἐπορεύοντο καὶ ἐκοπίων· καὶ

οὐ μεθίσαντο δεξιὰ οὐδὲ ἀριστερά. καὶ οἱ σατράπαι τῶν ἀλλοφύλων ἐπορεύοντο ὀπίσω αὐτῆς. ἕως ὁρίων βαιθσαμῦς. καὶ οἱ ἐν βαιθσαμῦς ἐθέριζον θερισμὸν πυρῶν ἐν τῇ κοιλάδι. καὶ ἦραν τοὺς ὀφθαλμοὺς αὐτῶν καὶ εἶδον τὴν κιβωτὸν κυρίου, καὶ εὐφράνθησαν εἰς ἀπάντησιν αὐτῆς. καὶ ἡ ἅμαξα εἰσῆλθεν εἰς ἀγρὸν ὡσηὲ τὸν ἐν βαιθσαμῦς. καὶ ἔστησαν ἐκεῖ παρ' αὐτῇ λίθον μέγαν. καὶ σχίζουσι τὰ ξύλα τῆς ἁμάξης. καὶ τὰς βόας ἀνήνεγκαν εἰς ὁλοκαύτωσιν τῷ κυρίῳ. καὶ οἱ λευῖται ἀνήνεγκαν τὴν κιβωτὸν κυρίου καὶ τὸ θεμαργὰζ μετ' αὐτῆς καὶ τὰ ἐπ' αὐτῆς σκεύη τὰ χρυσᾶ. καὶ ἔθεντο ἐπὶ τοῦ λίθου τοῦ μεγάλου. καὶ οἱ ἄνδρες βαιθσαμῦς ἀνήνεγκαν ὁλοκαυτώσεις, καὶ ἔθυσαν θυσίαν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ τῷ κυρίῳ. καὶ οἱ πέντε σατράπαι τῶν ἀλλοφύλων ἑώρων καὶ ἀνέστρεψαν εἰς ἀκκαρὼν τῇ ἡμέρᾳ ἐκείνῃ. καὶ αὗται αἱ ἕδραι αἱ χρυσαῖ ἃς ἀπέδωκαν οἱ ἀλλόφυλοι τῆς βασάνου τῷ κυρίῳ. τῆς ἀζώτου μίαν. τῆς γάζης μίαν. τῆς ἀσκάλωνος μίαν. τῆς γὲθ μίαν. τῆς ἀκκαρὼν μίαν. καὶ μῦς οἱ χρυσοῖ. κατ' ἀριθμὸν πασῶν τῶν πόλεων τῶν ἀλλοφύλων τῶν πέντε σατραπειῶν ἐκ πόλεως ἐστερεωμένης. καὶ ἕως κώμης τοῦ φερεζαίου. καὶ ἕως λίθου τοῦ μεγάλου οὗ ἐπέθηκαν ἐπ' αὐτοῦ τὴν κιβωτὸν διαθήκης κυρίου ἕως τῆς ἡμέρας ταύτης. τοῦ ἐν ἀγρῷ ὡσηὲ τοῦ βαιθσαμυσίτου. καὶ οὐκ ἠσμένισαν οἱ υἱοὶ ἰεχονίου ἐν τοῖς ἀνδράσι βαιθσαμῦς ὅτι εἶδον τὴν κιβωτὸν κυρίου. καὶ ἐπάταξεν ἐν αὐτοῖς ἑβδομήκοντα ἄνδρας καὶ πεντήκοντα χιλιάδας ἀνδρῶν. καὶ ἐπένθησεν ὁ λαὸς ὅτι ἐπάταξε κύριος ἐν τῷ λαῷ πληγὴν μεγάλην σφόδρα. καὶ εἶπαν οἱ ἄνδρες οἱ ἐκ βαιθσαμῦς. τίς δυνήσεται διελθεῖν ἐνώπιον κυρίου τοῦ θεοῦ τοῦ ἁγίου τούτου. καὶ πρὸς τίνα ἀναβήσεται κιβωτὸς διαθήκης κυρίου ἀφ' ἡμῶν. καὶ ἀποστέλλουσιν ἀγγέλους πρὸς τοὺς κατοικοῦντας καριαθιαρεὶμ λέγοντες, ἀπεστρέφασιν οἱ ἀλλόφυλοι τὴν κιβωτὸν κυρίου κατάβητε καὶ ἀναγάγετε αὐτὴν πρὸς ἑαυτούς.

Κεφάλαιον. ζ'. 7.

Αἰ ἔρχονται οἱ ἄνδρες καριαθιαρεὶμ, καὶ ἀνάγουσι
ζ τὴν κιβωτὸν διαθήκης κυρίου. καὶ εἰσάγουσιν αὐ-
τὴν εἰς οἶκον ἀμιναδὰβ τὸν ἐν τῷ βουνῷ. καὶ τὸν ἐλε-
άζαρ τὸν υἱὸν αὐτοῦ ἡγίασαν φυλάσσειν τὴν κιβωτὸν διαθήκης κυρίου
καὶ ἐγενήθη ἀφ᾽ ἧς ἡμέρας ἦν ἡ κιβωτὸς ἐν καριαθιαρεὶμ, ἐπλη-
θύνθησαν αἱ ἡμέραι καὶ ἐγένοντο εἴκοσι ἔτη. καὶ ἐπέβλεψαν πᾶς οἶ-
κος ἰσραὴλ ὀπίσω κυρίου. καὶ εἶπε σαμουὴλ πρὸς πάντα οἶκον
ἰσραὴλ λέγων. εἰ ἐν ὅλῃ καρδίᾳ ὑμῶν ὑμεῖς ἐπιστρέφετε πρὸς
κύριον, περιέλετε τοὺς θεοὺς τοὺς ἀλλοτρίους ἐκ μέσου ὑμῶν καὶ τὰ
ἄλση. καὶ ἑτοιμάσατε τὰς καρδίας ὑμῶν πρὸς κύριον. καὶ
δουλεύσατε αὐτῷ μόνῳ. καὶ ἐξελεῖται ὑμᾶς ἐκ χειρὸς ἀλ-
λοφύλων. καὶ περιεῖλον οἱ υἱοὶ ἰσραὴλ τὰς βααλὶμ καὶ τὰ ἄλ-
ση ἀσταρὼθ καὶ ἐδούλευσαν τῷ κυρίῳ μόνῳ. καὶ εἶπε σαμου-
ήλ. ἀθροίσατε πρός με τὸν πάντα ἰσραὴλ εἰς μασσηφὰθ καὶ
προσεύξομαι περὶ ὑμῶν πρὸς κύριον. καὶ συνήχθη ὁ λαὸς εἰς
μασσηφὰθ καὶ ὑδρεύονται ὕδωρ καὶ ἐξέχεαν ἐνώπιον κυρίου ἐπὶ
τὴν γῆν. καὶ ἐνήστευσαν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ καὶ εἶπον ἡμαρ-
τήκαμεν ἐνώπιον κυρίου. καὶ ἐδίκαζε σαμουὴλ τοὺς υἱοὺς ἰσραὴλ εἰς μασση-
φάθ. καὶ ἤκουσαν οἱ ἀλλόφυλοι ὅτι συνηθροίσθησαν πάντες οἱ
υἱοὶ ἰσραὴλ εἰς μασσηφάθ. καὶ ἀνέβησαν σατράπαι τῶν ἀλλοφύλων
ἐπὶ ἰσραήλ. καὶ ἀκούουσιν οἱ υἱοὶ ἰσραὴλ καὶ ἐφοβήθησαν ἀπὸ
προσώπου ἀλλοφύλων. καὶ εἶπον οἱ υἱοὶ ἰσραὴλ πρὸς σαμουήλ
μὴ παρασιωπήσῃς ἀφ᾽ ἡμῶν τοῦ μὴ βοᾶν σαμουὴλ πρὸς κύριον
θεόν σου, καὶ σώσει ἡμᾶς ἐκ χειρὸς ἀλλοφύλων. καὶ εἶπε σα-
μουήλ. μή μοι γένοιτο ἀποστῆναι ἀπὸ κυρίου θεοῦ μου τοῦ μὴ βοᾶν
περὶ ὑμῶν προσευχόμενον. καὶ ἔλαβε σαμουὴλ ἄρνα γαλαθη-
νὸν ἕνα. καὶ ἀνήνεγκεν αὐτὸν ὁλοκαύτωσιν σὺν παντὶ τῷ λαῷ
τῷ κυρίῳ. καὶ ἐβόησε σαμουὴλ πρὸς κύριον περὶ ἰσραήλ. καὶ
ἐπήκουσεν αὐτοῦ κύριος. καὶ ἦν σαμουὴλ ἀναφέρων τὴν ὁλο-
καύτωσιν. καὶ ἀλλόφυλοι προσῆγον εἰς πόλεμον ἐπὶ ἰσραήλ.

καὶ ἐβρόντησε κύριος ἐν φωνῇ μεγάλῃ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐπὶ τοὺς ἀλλοφύλους. καὶ συνεχύθησαν καὶ ἔπταισαν ἐνώπιον ἰσραήλ. καὶ ἐξῆλθον ἄνδρες ἰσραὴλ ἐκ μασσηφάθ. καὶ κατεδίωξαν τοὺς ἀλλοφύλους καὶ ἐπάταξαν αὐτοὺς ἕως ὑποκάτω τοῦ βαιθχώρ. καὶ ἔλαβε σαμουὴλ λίθον ἕνα καὶ ἔστησεν αὐτὸν ἀνὰ μέσον μασσηφὰθ καὶ ἀνὰ μέσον τῆς παλαιᾶς. καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ ἀβενέζερ. ὃ σημαίνει λίθος τοῦ βοηθοῦ. καὶ εἶπεν. ἕως ὧδε ταῦτα ἐβοήθησεν ἡμῖν κύριος. καὶ ἐταπείνωσε κύριος τοὺς ἀλλοφύλους καὶ οὐ προσέθεντο ἔτι ἐπελθεῖν εἰς ὅριον ἰσραήλ. καὶ ἐγενήθη χεὶρ κυρίου ἐπὶ τοὺς ἀλλοφύλους πάσας τὰς ἡμέρας τοῦ σαμουήλ. καὶ ἀπεδόθησαν αἱ πόλεις ἃς ἔλαβον οἱ ἀλλόφυλοι παρὰ τῶν υἱῶν ἰσραήλ, καὶ ἀπέδωκαν αὐτὰς τῷ ἰσραὴλ ἀπὸ ἀκκαρὼν ἕως γέθ. καὶ τὸ ὅριον ἰσραὴλ ἀφείλοντο ἐκ χειρὸς ἀλλοφύλων. καὶ ἦν εἰρήνη ἀνὰ μέσον τοῦ ἰσραὴλ καὶ ἀνὰ μέσον τοῦ ἀμορραίου. καὶ ἐδίκαζε σαμουὴλ τὸν ἰσραὴλ πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτοῦ. καὶ ἐπορεύετο κατ' ἐνιαυτὸν ἐνιαυτοῦ καὶ ἐκύκλου βαιθὴλ καὶ τὴν γαλγαλὰ καὶ τὴν μασσηφάθ. καὶ ἐδίκαζε τὸν ἰσραὴλ ἐν πᾶσι τοῖς ἡγιασμένοις τούτοις. ἡ δὲ ἀποστροφὴ αὐτοῦ εἰς ἀρμαθαίμ. ὅτι ἐκεῖ ἦν ὁ οἶκος αὐτοῦ. καὶ ἐδίκαζεν ἐκεῖ τὸν ἰσραήλ. καὶ ᾠκοδόμησεν ἐκεῖ θυσιαστήριον τῷ κυρίῳ.

## Κεφάλαιον η. 8.

Αὶ ἐγένετο ὡς ἐγήρασε σαμουὴλ καὶ κατέστησε
κ τοὺς υἱοὺς αὐτοῦ δικαστὰς τοῦ ἰσραήλ. καὶ ταῦτα τὰ ὀνόματα τῶν υἱῶν αὐτοῦ. πρωτότοκος ἰωήλ. καὶ ὄνομα τοῦ δευτέρου ἀβιά. δικασταὶ ἐν βηρσαβεέ. καὶ οὐκ ἐπορεύθησαν οἱ υἱοὶ αὐτοῦ ἐν ὁδῷ καὶ ἐξέκλιναν ὀπίσω τῆς συντελείας καὶ ἐλάμβανον δῶρα καὶ ἐξέκλινον δικαιώματα. καὶ συναθροίζονται ἄνδρες ἰσραήλ, καὶ παραγίνονται εἰς ἀρμαθαὶμ πρὸς σαμουὴλ καὶ εἶπαν αὐτῷ. ἰδοὺ σὺ γεγήρακας. καὶ

οἱ υἱοί σου οὐ πορεύονται ἐν τῇ ὁδῷ σου. καὶ νῦν κατάστησον ἐφ᾽ ἡμᾶς βασιλέα δικάζειν ἡμᾶς καθὰ καὶ τὰ λοιπὰ ἔθνη. καὶ ἦν πονηρὸν τὸ ῥῆμα ἐν ὀφθαλμοῖς σαμουὴλ ὡς εἶπαν δὸς ἡμῖν βασιλέα δικάζειν ἡμᾶς. καὶ προσηύξατο σαμουὴλ πρὸς κύριον. καὶ εἶπε κύριος πρὸς σαμουήλ. ἄκουε τῆς φωνῆς τοῦ λαοῦ καθὰ ἂν λαλῶσι πρὸς σέ. ὅτι οὐ σὲ ἐξουθενήκασιν. ἀλλ᾽ ἢ ἐμὲ ἐξουθενήκασι τοῦ μὴ βασιλεύειν ἐπ᾽ αὐτῶν. κατὰ πάντα τὰ ποιήματα ἃ ἐποίησάν μοι ἀφ᾽ ἧς ἡμέρας ἀνήγαγον αὐτοὺς ἐξ αἰγύπτου ἕως τῆς ἡμέρας ταύτης, καὶ ἐγκατέλιπόν με καὶ ἐδούλευσαν θεοῖς ἑτέροις, οὕτως αὐτοὶ ποιοῦσι καὶ σοί. καὶ νῦν ἄκουε τῆς φωνῆς αὐτῶν. πλὴν ὅτι διαμαρτυρόμενος διαμαρτύρῃ αὐτοῖς. καὶ ἀπαγγελεῖς αὐτοῖς τὸ δικαίωμα τοῦ βασιλέως ὃς βασιλεύσει ἐπ᾽ αὐτούς. καὶ εἶπε σαμουήλ. πᾶν τὸ ῥῆμα κυρίου πρὸς τὸν λαὸν τοὺς αἰτοῦντας παρ᾽ αὐτοῦ βασιλέα. καὶ εἶπε. τοῦτο ἔσται τὸ δικαίωμα τοῦ βασιλέως ὃς βασιλεύσει ἐφ᾽ ὑμᾶς. τοὺς υἱοὺς ὑμῶν λήψεται καὶ θήσεται αὐτοὺς ἐν ἅρμασιν αὐτοῦ, καὶ ἐν ἱππεῦσιν αὐτοῦ. καὶ προτρέχοντας τῶν ἁρμάτων αὐτοῦ καὶ θέσθαι αὐτοὺς ἑαυτῷ ἑκατοντάρχους καὶ χιλιάρχους. καὶ θερίζειν θερισμὸν αὐτοῦ. καὶ τρυγᾶν τρυγητὸν αὐτοῦ. καὶ ποιεῖν σκεύη πολεμικὰ αὐτοῦ καὶ σκεύη ἁρμάτων αὐτοῦ. καὶ τὰς θυγατέρας ὑμῶν λήψεται εἰς μυρεψοὺς καὶ εἰς μαγειρίσσας. καὶ εἰς πεσσούσας. καὶ τοὺς ἀγροὺς ὑμῶν καὶ τοὺς ἀμπελῶνας ὑμῶν καὶ τοὺς ἐλαιῶνας ὑμῶν τοὺς ἀγαθοὺς λήψεται καὶ δώσει τοῖς δούλοις ἑαυτοῦ. καὶ τὸ σπέρμα ὑμῶν καὶ τοὺς ἀμπελῶνας ὑμῶν ἀποδεκατώσει καὶ δώσει τοῖς εὐνούχοις αὐτοῦ καὶ τοῖς δούλοις αὐτοῦ. καὶ τοὺς δούλους ὑμῶν καὶ τὰς δούλας ὑμῶν καὶ τὰ βουκόλια ὑμῶν τὰ ἀγαθὰ καὶ τοὺς ὄνους ὑμῶν λήψεται καὶ ἀποδεκατώσει εἰς τὰ ἔργα αὐτοῦ. καὶ τὰ ποίμνια ὑμῶν ἀποδεκατώσει. καὶ ὑμεῖς ἔσεσθε αὐτῷ δοῦλοι. καὶ βοήσεσθε ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐκ προσώπου τοῦ βασιλέως ὑμῶν οὗ ἐξελέξασθε ἑαυτοῖς. καὶ οὐκ ἐπακούσεται κύριος

ὑμῶν ἐν ταῖς ἡμέραις ἐκείναις, ὅτι ὑμᾶς ἐξελέξαθε ἑαυτοῖς βα-
σιλέα. καὶ οὐκ ἐβούλετο ὁ λαὸς τοῦ ἀκοῦσαι τοῦ σαμουήλ. καὶ
εἶπαν αὐτῷ, οὐχί. ἀλλ' ἢ ὅτι βασιλεὺς ἔσται ἐφ' ὑμᾶς. καὶ ἐσό-
μεθα καὶ ὑμεῖς κατὰ πάντα τὰ ἔθνη. καὶ δικάσει ὑμᾶς ὁ βασι-
λεὺς ἡμῶν. καὶ ἐξελεύσεται ἔμπροσθεν ἡμῶν. καὶ πολεμήσει τὸν
πόλεμον ἡμῶν. καὶ ἤκουσε σαμουὴλ πάντας τοὺς λόγους τοῦ λαοῦ
καὶ ἐλάλησεν αὐτοὺς εἰς τὰ ὦτα κυρίου. καὶ εἶπε κύριος πρὸς
σαμουήλ. ἄκουσον τῆς φωνῆς αὐτῶν. καὶ βασίλευσον αὐτοῖς
βασιλέα. καὶ εἶπε σαμουὴλ πρὸς ἄνδρας ἰσραήλ. ἀποτρεχέ-
τω ἕκαστος εἰς τὴν πόλιν αὐτοῦ.

Κεφάλαιον θ. 9.

Καὶ ἦν ἀνὴρ ἐξ υἱῶν βενιαμὶν. καὶ ὄνομα αὐτῷ κὶς
κ υἱὸς ἐβιήλ. υἱοῦ ἰαρέδ. υἱοῦ βαχὶρ. υἱοῦ ἀφὶκ υἱοῦ
ἀνδρὸς ἰεμιναίου. ἀνὴρ δυνατὸς ἐν ἰσχύι. καὶ τού-
τῳ υἱὸς καὶ ὄνομα αὐτῷ σαοὺλ. εὐμεγέθης ἀνὴρ ἀγαθός. καὶ οὐκ ἦν
ἐν υἱοῖς ἰσραὴλ ἀνὴρ ἀγαθὸς ὑπὲρ αὐτὸν ὑπὲρ ὠμίαν καὶ ἐπάνω.
ὑψηλὸς ὑπὲρ πᾶσαν τὴν γῆν. καὶ ἀπώλοντο αἱ ὄνοι τοῦ κὶς τοῦ πατρὸς
σαοὺλ καὶ εἶπε κὶς πρὸς σαοὺλ. τὸν υἱὸν αὐτοῦ. λάβε μετὰ σεαυτοῦ ἓν
τῶν παιδαρίων καὶ ἀνάστητε καὶ πορεύθητε καὶ ζητήσατε τὰς ὄνους.
καὶ διῆλθον δι' ὄρους ἐφραίμ. καὶ διῆλθον διὰ τῆς γῆς σελχά. καὶ
οὐχ εὗρον. καὶ διῆλθον διὰ τῆς γῆς σεγαλεὶμ καὶ οὐκ ἦν. καὶ διῆλθον
διὰ τῆς γῆς ἰαμεὶν καὶ οὐχ εὗρον. αὐτῶν δὲ ἐλθόντων εἰς τὴν σίφ. καὶ
σαοὺλ εἶπε τῷ παιδαρίῳ αὐτοῦ τῷ μετ' αὐτοῦ. δεῦρο καὶ ἀποστρέ-
ψωμεν. μὴ ἀνεὶς ὁ πατήρ μου τὰ περὶ τὰς ὄνους, φροντίζῃ τὰ περὶ
ἡμῶν. καὶ εἶπεν αὐτῷ τὸ παιδάριον. ἰδοὺ δὴ ὁ ἄνθρωπος τοῦ
θεοῦ ἐν τῇ πόλει ταύτῃ. καὶ ὁ ἄνθρωπος ἔνδοξος. πᾶν ὃ ἐ-
ὰν λαλήσῃ παραγινόμενον παρέσται. καὶ νῦν πορευθῶμεν
δὴ ἐκεῖ ὅπως ἀπαγγείλῃ ἡμῖν τὴν ὁδὸν ἡμῶν ἐφ' ἣν ἐ-
πορεύθημεν ἐπ' αὐτήν. καὶ εἶπε σαοὺλ τῷ παιδαρίῳ αὐ-
τοῦ τῷ μετ' αὐτοῦ, καὶ ἰδοὺ πορευσόμεθα. καὶ τί ἐ-

σοίσομεν τῷ ἀνθρώπῳ τοῦ θεοῦ· ὅτι ἄρτοι ἐκλελοίπασιν ἐκ τῶν ἀγγείων ἡμῶν· καὶ πλεῖον οὐκ ἔστι μεθ' ἡμῶν τοῦ εἰσενεγκεῖν τῷ ἀνθρώπῳ τοῦ θεοῦ τὸ ὑπάρχον ἡμῖν. καὶ προσέθετο τὸ παιδάριον ἀποκριθῆναι τῷ σαοὺλ καὶ εἶπεν· ἰδοὺ εὕρηται ἐν τῇ χειρί μου τέταρτον σίκλου ἀργυρίου, καὶ δώσεις τῷ ἀνθρώπῳ τοῦ θεοῦ· καὶ ἀπαγγελεῖ ἡμῖν τὴν ὁδὸν ἡμῶν. καὶ ἔμπροσθεν ἐν ἰσραὴλ, τάδε ἔλεγον ἕκαστος ἐν τῷ πορεύεσθαι ἐπερωτᾶν τὸν θεόν· δεῦρο καὶ πορευθῶμεν πρὸς τὸν βλέποντα. ὅτι τὸν προφήτην ἐκάλει ὁ λαὸς ἔμπροσθεν ὁ βλέπων. καὶ εἶπε σαοὺλ πρὸς τὸ παιδάριον αὐτοῦ· ἀγαθὸν ῥῆμα. δεῦρο καὶ πορευθῶμεν. καὶ ἐπορεύθησαν εἰς τὴν πόλιν, οὗ ἦν ἐκεῖ ὁ ἄνθρωπος τοῦ θεοῦ. αὐτῶν ἀναβαινόντων τὴν ἀνάβασιν τῆς πόλεως. καὶ αὐτοὶ εὑρίσκουσι τὰ κοράσια ἐξεληλυθότα ὑδρεύσασθαι ὕδωρ. καὶ λέγουσιν αὐταῖς· εἰ ἔστιν ἐνταῦθα ὁ βλέπων, καὶ ἀπεκρίθησαν τὰ κοράσια αὐτοῖς, καὶ λέγουσιν αὐτοῖς· ἔστιν. ἰδοὺ κατὰ πρόσωπον ὑμῶν. ταχύνατε. νῦν διὰ τὴν ἡμέραν, ἥκει εἰς τὴν πόλιν. ὅτι θυσία σήμερον τῷ λαῷ ἐν βαμᾶ. ὡς ἂν εἰσέλθητε εἰς τὴν πόλιν, οὕτως εὑρήσετε αὐτὸν ἐν τῇ πόλει πρὶν ἀναβῆναι αὐτὸν εἰς βαμὰ τοῦ φαγεῖν. ὅτι οὐ μὴ φάγῃ ὁ λαὸς ἕως τοῦ εἰσελθεῖν αὐτὸν ὅτι οὗτος εὐλογεῖ τὴν θυσίαν. καὶ μετὰ ταῦτα ἐσθίουσιν οἱ ξένοι. καὶ νῦν ἀνάβητε ὅτι διὰ τὴν ἡμέραν εὑρήσετε αὐτόν. καὶ ἀναβαίνουσιν εἰς τὴν πόλιν. αὐτῶν εἰσπορευομένων εἰς μέσον τῆς πόλεως, καὶ ἰδοὺ σαμουὴλ ἐξῆλθεν εἰς τὴν ἀπάντησιν αὐτῶν τοῦ ἀναβῆναι εἰς βαμὰ. καὶ κύριος ἀπεκάλυψε τὸ ὠτίον σαμουὴλ ἡμέρᾳ μιᾷ ἔμπροσθεν τοῦ ἐλθεῖν πρὸς αὐτὸν σαοὺλ λέγων. ὡς ὁ καιρὸς οὗτος, αὔριον ἀποστελῶ πρὸς σὲ ἄνδρα ἐκ φυλῆς βενιαμὶν. καὶ χρίσεις αὐτὸν εἰς ἄρχοντα ἐπὶ τὸν λαόν μου ἰσραήλ. καὶ σώσεις τὸν λαόν μου ἐκ χειρὸς ἀλλοφύλων. ὅτι ἐπέβλεψα ἐπὶ τὴν ταπείνωσιν τοῦ λαοῦ μου. ὅτι ἦλθε βοὴ αὐτῶν πρός με. καὶ σαμουὴλ εἶδε τὸν σαοὺλ. καὶ κύριος ἀπεκρίθη αὐτῷ ἰδοὺ ὁ ἄν-

ἄνθρωπος ὃν εἶπά σοι· οὗτος ἄρξει ἐν τῷ λαῷ μου. καὶ προσήγαγε σαοὺλ πρὸς σαμουὴλ εἰς μέσον τῆς πόλεως καὶ εἶπεν· ἀπάγγειλον δή μοι ποῖος ὁ οἶκος τοῦ βλέποντος. καὶ ἀπεκρίθη σαμουὴλ τῷ σαοὺλ· καὶ εἶπεν ἐγώ εἰμι αὐτός· ἀνάβηθι ἔμπροσθέν μου εἰς βαμᾶ. καὶ φάγε μετ᾽ ἐμοῦ σήμερον· καὶ ἐξαποστελῶ σε πρωΐ, καὶ πάντα τὰ ἐν τῇ καρδίᾳ σου ἀπαγγελῶ σοι. Καὶ περὶ τῶν ὄνων τῶν ἀπολωλυιῶν σου σήμερον τριταίων, μὴ θῇς τὴν καρδίαν σου αὐταῖς ὅτι εὕρηνται. καὶ τίνι τὰ ὡραῖα τοῦ ἰσραήλ· οὐχὶ σοὶ καὶ παντὶ τῷ οἴκῳ τοῦ πατρός σου; καὶ ἀπεκρίθη σαοὺλ καὶ εἶπεν οὐχὶ ἀνδρὸς υἱὸς ἰεμιναίου ἐγώ εἰμι τοῦ μικροτέρου σκήπτρου φυλῆς ἰσραήλ. καὶ τῆς φυλῆς τῆς ἐλαχίστης ἐξ ὅλου σκήπτρου βενιαμίν; καὶ ἡ πατριά μου ἐλαχίστη παρὰ πάσας τὰς πατριὰς βενιαμίν. καὶ ἵνα τί ἐλάλησας πρός με κατὰ τὸ ῥῆμα τοῦτο. καὶ ἔλαβε σαμουὴλ τὸν σαοὺλ καὶ τὸ παιδάριον αὐτοῦ, καὶ εἰσήγαγεν αὐτοὺς εἰς τὸ κατάλυμα. καὶ ἔθετο αὐτοῖς τόπον ἐν πρώτοις τῶν κεκλημένων ὡσεὶ ἑβδομήκοντα ἀνδρῶν. καὶ εἶπε σαμουὴλ τῷ μαγείρῳ· δός μοι τὴν μερίδα ἣν ἔδωκά σοι· ἣν εἶπά σοι θεῖναι αὐτὴν παρὰ σοί. καὶ ἦρεν ὁ μάγειρος τὴν κωλέαν καὶ τὸ ἐπ᾽ αὐτῆς. καὶ παρέθηκεν αὐτὴν ἐνώπιον σαούλ. καὶ εἶπε σαμουὴλ τῷ σαούλ· ἰδοὺ τὸ ὑπόλειμμα παράθες αὐτὸ ἐνώπιόν σου καὶ φάγε· ὅτι εἰς μαρτύριον τέθειταί σοι παρὰ τοῦ λαοῦ· ἀπόκνιζε. καὶ ἔφαγε σαοὺλ μετὰ σαμουὴλ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ. καὶ κατέβη ἐκ τῆς βαμᾶ εἰς τὴν πόλιν· καὶ διέστρωσαν τῷ σαοὺλ ἐπὶ τῷ δώματι καὶ ἐκοιμήθη· καὶ ἐγένετο ὡς ἀνέβαινεν ὁ ὄρθρος· καὶ ἐκάλεσε σαμουὴλ τὸν σαοὺλ ἐπὶ τῷ δώματι καὶ εἶπεν· ἀνάστηθι καὶ ἐξαποστελῶ σε. καὶ ἀνέστη σαοὺλ, καὶ ἐξῆλθεν αὐτὸς καὶ σαμουὴλ ἕως ἔξω. αὐτῶν καταβαινόντων εἰς μέρος τῆς πόλεως, καὶ σαμουὴλ, εἶπε τῷ σαούλ· εἰπὸν τῷ παιδαρίῳ καὶ διελθέτω ἔμπροσθεν ἡμῶν. καὶ σὺ στῆθι ὡς σήμερον, καὶ ἄκουσόν σοι ῥῆμα κυρίου.

Κεφάλαιον. ί. 10.

Αἴ ἔλαβε σαμουὴλ τὸν φακὸν τοῦ ἐλαίου, καὶ ἐπέ-
κ χεεν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ· καὶ ἐφίλησεν αὐτὸν καὶ
εἶπεν αὐτῷ ὅτι κέχρικέ σε κύριος εἰς ἄρχοντα ἐπὶ
τὸν λαὸν αὐτοῦ ἐπὶ τὸν ἰσραήλ· καὶ σὺ ἄρξεις ἐν τῷ λαῷ κυρίου
καὶ σώσεις αὐτὸν ἐκ χειρὸς ἐχθρῶν αὐτοῦ κυκλόθεν· καὶ τοῦτό
σοι τὸ σημεῖον ὅτι ἔχρισέ σε κύριος ἐπὶ κληρονομίαν αὐτοῦ εἰς
ἄρχοντα· ὡς ἂν ἀπέλθῃς σήμερον ἀπ' ἐμοῦ, καὶ εὑρήσεις δύο ἄν-
δρας πρὸς τοῖς τάφοις ῥαχὴλ ἐν τῷ ὄρει βενιαμὶν ἐν σηλὰ
ἐν βακαλὰθ ἁλλομένους μεγάλα. καὶ ἐροῦσί σοι εὕρηνται αἱ ὄ-
νοι ἃς ἐπορεύθητε ζητεῖν· καὶ ἰδοὺ ὁ πατήρ σου ἀποτετίνακται
τὸ ῥῆμα τῶν ὄνων· καὶ ἐδαψιλεύσατο δι' ὑμᾶς λέγων· τί ποιή-
σω ὑπὲρ τοῦ υἱοῦ μου. καὶ ἀπελεύσῃ ἐκεῖθεν· καὶ ἐπέκεινα ἥξεις
ἕως τῆς δρυὸς θαβὼρ, καὶ εὑρήσεις ἐκεῖ τρεῖς ἄνδρας ἀναβαίνον-
τας πρὸς τὸν θεὸν εἰς βαιθήλ. ἕνα αἴροντα τρία αἰγίδια καὶ ἕ-
να αἴροντα τρία ἀγγεῖα ἄρτων. καὶ ἕνα αἴροντα ἀσκὸν οἴνου,
καὶ ἐρωτήσουσί σε, τὰ εἰς εἰρήνην. καὶ δώσουσί σοι δύο ἀ-
παρχὰς ἄρτων. καὶ λήψῃ ἐκ τῆς χειρὸς αὐτῶν. καὶ μετὰ
ταῦτα εἰσελεύσει εἰς τὸν βουνὸν τοῦ θεοῦ· οὗ ἐστὶν ἐκεῖ τὸ ἀνάστημα
τῶν ἀλλοφύλων. ἐκεῖ νασεὶβ ὁ ἀλλόφυλος. καὶ ἔσαι ὡς ἂν εἰ-
σέλθῃς ἐκεῖ εἰς τὴν πόλιν, καὶ ἀπαντήσεις χορῷ προφητῶν κα-
ταβαινόντων ἐκ τῆς βαμᾶ. καὶ ἔμπροσθεν αὐτῶν νάβλαι καὶ
τύμπανα, καὶ αὐλὸς καὶ κινύρα καὶ αὐτοὶ προφητεύοντες. καὶ
ἐφαλεῖται ἐπὶ σὲ πνεῦμα κυρίου καὶ προφητεύσεις μετ' αὐτῶν
καὶ στραφήσῃ εἰς ἄνδρα ἄλλον. καὶ ἔσαι ὅταν ἥξῃ τὰ σημεῖα
ταῦτα ἐπὶ σὲ, ποίει πάντα ὅσα ἐὰν εὕρῃ ἡ χείρ σου ὅτι ὁ θε-
ὸς μετὰ σοῦ. καὶ καταβήσῃ ἔμπροσθεν τῆς γαλγάλ. καὶ ἰδοὺ
ἐγὼ καταβαίνω πρὸς σὲ ἀνενεγκεῖν ὁλοκαύτωσιν. καὶ θῦσαι θυ-
σίας εἰρηνικάς. ἑπτὰ ἡμέρας διαλείψεις ἕως τοῦ ἐλθεῖν με πρὸς
σὲ καὶ γνωρίσω σοι ἃ ποιήσεις. καὶ ἐγενήθη ὥστε τοῦ ἐπιστραφῆναι

τοῦ ὦμον αὐτοῦ ἀπελθεῖν ἀπὸ σαμουὴλ καὶ μετέστρεψεν αὐτῷ
ὁ θεὸς καρδίαν ἄλλην. καὶ ἦλθε πάντα τὰ σημεῖα ταῦτα ἐν τῇ
ἡμέρᾳ ἐκείνῃ. καὶ ἔρχεται ἐκεῖθεν εἰς τὸν βουνὸν, καὶ ἰδοὺ χο-
ρὸς προφητῶν ἐξεναντίας αὐτοῦ. καὶ ἥλατο ἐπ᾽ αὐτὸν
πνεῦμα θεοῦ, καὶ προεφήτευσεν ἐν μέσῳ αὐτῶν. καὶ ἐγενή-
θησαν ἅπαντες οἱ εἰδότες αὐτὸν ἐχθὲς καὶ τρίτης καὶ εἶδον.
καὶ ἰδοὺ αὐτὸς ἐν μέσῳ τῶν προφητῶν προφητεύων. καὶ εἶ-
πεν ὁ λαὸς ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ. τί τοῦτο τὸ γεγο-
νὸς τῷ υἱῷ κεῖς. ἢ καὶ σαοὺλ ἐν προφήταις. καὶ ἀπεκρίθη τις αὐ-
τῶν καὶ εἶπε. καὶ τίς ὁ πατὴρ αὐτοῦ. οὐ κεῖς. καὶ διὰ τοῦτο ἐγεν-
νήθη εἰς παραβολὴν εἰ καὶ σαοὺλ ἐν προφήταις. καὶ συνετέ-
λεσε προφητεύων. καὶ ἔρχεται ἐκεῖθεν εἰς τὸν βουνὸν, καὶ εἶπεν ὁ οἰ-
κεῖος αὐτοῦ πρὸς αὐτὸν καὶ πρὸς τὸ παιδάριον αὐτοῦ. ποῦ ἐπορεύ-
θητε. καὶ εἶπον, ζητεῖν τὰς ὄνους. καὶ εἴδομεν ὅτι οὐκ εἰσί. καὶ
εἰσήλθομεν πρὸς σαμουήλ. καὶ εἶπεν ὁ οἰκεῖος αὐτοῦ πρὸς σα-
ούλ. ἀπάγγειλον δή μοι τί εἶπέ σοι σαμουήλ. καὶ εἶπε σαοὺλ πρὸς
τὸν οἰκεῖον αὐτοῦ. ἀπήγγειλεν ἀπαγγέλλων μοι ὅτι εὕρηνται αἱ ὄνοι. τὸ
δὲ ῥῆμα τῆς βασιλείας, οὐκ ἀπήγγειλεν αὐτῷ ὃ εἶπε σαμουήλ. καὶ
παρήγγειλε σαμουὴλ παντὶ τῷ λαῷ πρὸς κύριον εἰς μασσηφάθ.
καὶ εἶπε σαμουὴλ πρὸς τοὺς υἱοὺς ἰσραήλ. τάδε εἶπε κύριος ὁ
θεὸς ἰσραὴλ λέγων. ἐγὼ ἀνήγαγον τοὺς πατέρας ὑμῶν τοὺς
υἱοὺς ἰσραὴλ ἐξ αἰγύπτου. καὶ ἐξειλάμην ὑμᾶς ἐκ χειρὸς φαραὼ
βασιλέως αἰγύπτου. καὶ ἐκ πασῶν τῶν βασιλειῶν τῶν θλιβουσῶν
ὑμᾶς. καὶ ὑμεῖς σήμερον ἐξουδενώκατε τὸν θεὸν ὃς αὐτός ἐστιν ὑ-
μῶν σωτὴρ, ἐκ πάντων τῶν κακῶν ὑμῶν, καὶ θλίψεων ὑμῶν. καὶ
εἴπατε οὐχί. ἀλλ᾽ ἢ ὅτι βασιλέα καταστήσεις ἐφ᾽ ἡμῶν. καὶ νῦν
κατάστητε ἐνώπιον κυρίου. κατὰ τὰ σκῆπτρα ὑμῶν καὶ κατὰ τὰς
φυλὰς ὑμῶν. καὶ προσήγαγε σαμουὴλ πάσας τὰς φυλὰς ἰσρα-
ήλ. καὶ κατακληροῦται σκῆπτρον βενιαμείν. καὶ προσάγει
σκῆπτρον βενιαμεὶν εἰς φυλάς. καὶ κατακληροῦται φυλὴ ματ-

τταρί· καὶ προσάγουσι τὴν φυλὴν ματταρὶ εἰς ἄνδρας· καὶ κατακλη-
ροῦται σαοὺλ υἱὸς κεὶς· καὶ ἐζήτει αὐτὸν καὶ οὐχ εὑρίσκετο· καὶ
ἐπηρώτησε σαμουὴλ ἔτι ἐν κυρίῳ λέγων εἰ ἔρχεται ὁ ἀνὴρ ἐν-
ταῦθα ἔτι· καὶ εἶπε κύριος· ἰδοὺ αὐτὸς κέκρυπται ἐν τοῖς σκεύε-
σι, καὶ ἔδραμε σαμουὴλ καὶ λαμβάνει αὐτὸν ἐκεῖθεν· καὶ κατέστη-
σεν αὐτὸν ἐν μέσῳ τοῦ λαοῦ· καὶ ὑψώθη ὑπὲρ πάντα τὸν λαὸν ὑ-
πὲρ ὠμίαν καὶ ἐπάνω· καὶ εἶπε σαμουὴλ πρὸς πάντα τὸν λα-
όν· ἑωράκατε ὃν ἐκλέλεκται αὐτῷ ὁ κύριος ὅτι οὐκ ἔστιν ὅμοιος
αὐτῷ, ἐν πᾶσιν ὑμῖν· καὶ ἔγνωσαν πᾶς ὁ λαὸς καὶ εἶπαν· ζή-
τω ὁ βασιλεύς· καὶ εἶπε σαμουὴλ πρὸς τὸν λαὸν τὸ δικαίω-
μα τῆς βασιλείας· καὶ ἔγραψεν ἐν βίβλῳ καὶ ἔθηκεν ἐνώπιον
κυρίου· καὶ ἐξαπέστειλε σαμουὴλ ἅπαντα τὸν λαόν, καὶ ἀπῆλθεν
ἕκαστος εἰς τὸν τόπον αὐτοῦ· καὶ σαοὺλ ἀπῆλθεν εἰς τὸν οἶκον αὐτοῦ
εἰς γαβαά· καὶ ἐπορεύθησαν υἱοὶ δυνάμεων ὧν ἥψατο κύριος καρ-
δίας αὐτῶν μετὰ σαούλ· καὶ υἱοὶ λοιμοὶ εἶπαν· τίς σώσει ἡμᾶς
οὗτος· καὶ ἠτίμασαν αὐτὸν καὶ οὐκ ἤνεγκαν αὐτῷ δῶρα.

## Κεφάλαιον ια. 11.

Αὶ ἐγενήθη ὡς μετὰ μῆνα καὶ ἀνέβη νάας ὁ ἀμμανί-
της καὶ παρεμβάλλει ἐπὶ ἰάβεις γαλαάδ· καὶ εἶπαν πάν-
τες οἱ ἄνδρες ἰάβεις πρὸς νάας τὸν ἀμμανίτην· δια-
θου ἡμῖν διαθήκην καὶ δουλεύσομέν σοι, καὶ εἶπε πρὸς αὐτοὺς νάας
ὁ ἀμμανίτης· ἐν ταύτῃ τῇ διαθήκῃ διαθήσομαι ὑμῖν, ἐν τῷ ἐ-
ξορύξαι ὑμῶν πάντα ὀφθαλμὸν δεξιόν· καὶ θήσομαι ὄνειδος ἐπὶ
ἰσραήλ· καὶ λέγουσιν αὐτῷ οἱ ἄνδρες ἰάβεις γαλαάδ· ἄνες ἡ-
μῖν ἑπτὰ ἡμέρας καὶ ἀποστελοῦμεν ἀγγέλους εἰς πᾶν ὅριον ἰσ-
ραήλ· καὶ ἐὰν μὴ ᾖ ὁ σώζων ἡμᾶς, ἐξελευσόμεθα πρὸς ὑμᾶς· καὶ
ἔρχονται οἱ ἄγγελοι εἰς γαβαὰ πρὸς σαοὺλ καὶ λαλοῦσι τοὺς λό-
γους τούτους εἰς τὰ ὦτα τοῦ λαοῦ· καὶ ἦραν πᾶς ὁ λαὸς τὴν φωνὴν
αὐτῶν καὶ ἔκλαυσαν· καὶ ἰδοὺ σαοὺλ ἤρχετο μετὰ τὸ πρωῒ ἐξ
ἀγροῦ· καὶ εἶπε σαούλ· τί ὅτι κλαίει ὁ λαός· καὶ διηγοῦνται αὐτῷ

τὰ ῥήματα ταῦτα τῶν ἀνδρῶν ἰαβεις. καὶ ἐφήλατο τὸ πνεῦμα κυρίου ἐπὶ σαοὺλ ὡς ἤκουσε ταῦτα, καὶ ἐθυμώθη ἐπ' αὐτοὺς ὀργῇ αὐτοῦ σφόδρα. καὶ ἔλαβε δύο βόας καὶ ἐμέλισεν αὐτὰς, καὶ ἀπέστειλεν εἰς πᾶν ὅριον ἰσραὴλ ἐν χειρὶ ἀγγέλων λέγων. ὃς οὐκ ἔστιν ἐκπορευόμενος, ὀπίσω σαοὺλ, καὶ ὀπίσω σαμουὴλ, κατὰ τάδε ποιήσουσι τοῖς βουσὶν αὐτοῦ. καὶ ἐπῆλθεν ἔκστασις κυρίου ἐπὶ τὸν λαὸν ἰσραήλ. καὶ ἐβόησαν ὡς ἀνὴρ εἷς, καὶ ἐπισκέπτεται αὐτοὺς ἀβιέζεκ ἐν βαμᾷ πάντα ἄνδρα ἰσραὴλ, ἑξακοσίας χιλιάδας, καὶ ἄνδρας ἰούδα, ἑβδομήκοντα χιλιάδας. καὶ εἶπε τοῖς ἀγγέλοις τοῖς ἐρχομένοις. τάδε ἐρεῖτε τοῖς ἀνδράσιν ἰαβεις γαλαάδ. αὔριον ἔσται ὑμῖν ἡ σωτηρία διαθερμαίνοντος τοῦ ἡλίου. καὶ ἦλθον οἱ ἄγγελοι εἰς τὴν πόλιν, καὶ ἀπαγγέλλουσι τοῖς ἀνδράσιν ἰαβεις καὶ εὐφράνθησαν. καὶ εἶπον οἱ ἄνδρες ἰαβεις πρὸς νάας τὸν ἀμμανίτην. αὔριον ἐξελευσόμεθα πρὸς ὑμᾶς, καὶ ποιήσατε ὑμῖν τὸ ἀγαθὸν ἐνώπιον ἡμῶν. καὶ ἐγενήθη μετὰ τὴν αὔριον καὶ διέθετο σαοὺλ τὸν λαὸν εἰς τρεῖς ἀρχάς. καὶ εἰσπορεύονται εἰς μέσον τῆς παρεμβολῆς ἐν φυλακῇ τῇ πρωϊνῇ. καὶ ἔτυπτον τοὺς υἱοὺς ἀμμὼν ἕως διεθερμάνθη ἡ ἡμέρα καὶ ἐγενήθη καὶ ὑπολελειμμένοι διεσπάρησαν. καὶ οὐχ ὑπελείφθησαν ἐν αὐτοῖς δύο κατὰ τὸ αὐτό. καὶ εἶπεν ὁ λαὸς πρὸς σαμουήλ. τίς γὰρ ὁ εἴπας ὅτι σαοὺλ οὐ βασιλεύσει ἡμῶν. παράδοτε τοὺς ἄνδρας καὶ θανατώσομεν αὐτούς. καὶ εἶπε σαούλ. οὐκ ἀποθανεῖται οὐδεὶς ἐν τῇ ἡμέρᾳ ταύτῃ. ὅτι σήμερον ἐποίησε κύριος σωτηρίαν ἐν ἰσραήλ. καὶ εἶπε σαμουὴλ πρὸς τὸν λαὸν λέγων. πορευθῶμεν εἰς γάλγαλα καὶ ἐγκαινίσωμεν ἐκεῖ τὴν βασιλείαν. καὶ ἐπορεύθη πᾶς ὁ λαὸς εἰς γάργαλα καὶ ἔχρισε σαμουὴλ ἐκεῖ εἰς βασιλέα τὸν σαοὺλ ἐνώπιον κυρίου ἐν γαλγάλοις. καὶ ἔθυσαν ἐκεῖ θυσίας καὶ εἰρηνικὰς ἐνώπιον κυρίου. καὶ εὐφράνθη ἐκεῖ σαμουὴλ καὶ πάντες οἱ ἄνδρες ἰσραὴλ ὥστε λίαν.

Κεφ. ιβ. 12.

Αἰ εἶπε σαμουὴλ πρὸς πάντα ἄνδρα ἰσραήλ, ἰδοὺ ἤκου-
κ σα τῆς φωνῆς ὑμῶν εἰς πάντα ὅσα εἴπατέ μοι. καὶ ἐβα-
σίλευσα ἐφ' ὑμᾶς βασιλέα. καὶ νῦν ἰδοὺ ὁ βασιλεὺς
διαπορεύεται ἐνώπιον ὑμῶν. καὶ ἐγὼ γεγήρακα καὶ καθήσομαι
καὶ οἱ υἱοί μου ἰδοὺ ἐν ὑμῖν. κἀγὼ ἰδοὺ διελήλυθα ἐνώπιον ὑμῶν
ἐκ νεότητός μου καὶ ἕως τῆς ἡμέρας ταύτης. ἰδοὺ ἐγώ. ἀπο-
κρίθητε κατ' ἐμοῦ ἐνώπιον κυρίου, καὶ ἐνώπιον χριστοῦ αὐτοῦ.
μόσχον τίνος εἴληφα ἢ ὄνον. ἢ τίνα κατεδυνάστευσα ὑμῶν, ἢ τί-
να ἐξεπίεσα. ἢ ἐκ χειρὸς τίνος εἴληφα ἐξίλασμα καὶ ὑπόδημα
ἀποκρίθητε κατ' ἐμοῦ καὶ ἀποδώσω ὑμῖν. καὶ εἶπαν πρὸς σα-
μουήλ. οὐκ ἠδίκησας ἡμᾶς καὶ οὐ κατεδυνάστευσας ἡμᾶς
οὐδὲ ἐκπεπίακας καὶ οὐκ ἔθλασας ἡμᾶς. καὶ οὐκ εἴληφας ἐκ χει-
ρὸς οὐδενὸς οὐδέν. καὶ εἶπε σαμουὴλ πρὸς τὸν λαόν. μάρτυς κύριος
ἐν ὑμῖν. καὶ μάρτυς χριστὸς αὐτοῦ. σήμερον ἐν ταύτῃ τῇ ἡμέ-
ρᾳ, ὅτι οὐκ εὑρήκατε ἐν τῇ χειρί μου οὐδέν. καὶ εἶπαν μάρτυς.
καὶ εἶπε σαμουὴλ πρὸς τὸν λαόν. μάρτυς κύριος ὁ ποιήσας
τὸν μωϋσῆν καὶ τὸν ἀαρών, καὶ ὁ ἀναγαγὼν τοὺς πατέρας ἡμῶν ἐξ
αἰγύπτου. καὶ νῦν κατάστητε καὶ δικάσω ὑμᾶς ἐνώπιον κυρίου, καὶ
ἀπαγγελῶ ὑμῖν τὴν πᾶσαν δικαιοσύνην κυρίου ἃ ἐποίησεν ἐν
ὑμῖν καὶ ἐν τοῖς πατράσιν ὑμῶν, ὡς εἰσῆλθεν ἰακὼβ καὶ οἱ υἱοὶ
αὐτοῦ εἰς αἴγυπτον. καὶ ἐταπείνωσεν αὐτοὺς αἴγυπτος. καὶ ἐβόη-
σαν οἱ πατέρες ἡμῶν πρὸς κύριον. καὶ ἀπέστειλε κύριος τὸν μω-
ϋσῆν καὶ τὸν ἀαρών. καὶ ἐξήγαγε τοὺς πατέρας ἡμῶν ἐξ αἰγύ-
πτου, καὶ κατῴκισεν αὐτοὺς ἐν τῷ τόπῳ τούτῳ καὶ ἐπελάθον-
το κυρίου τοῦ θεοῦ αὐτῶν. καὶ ἀπέδοτο αὐτοὺς εἰς χεῖρας σισά-
ρα ἀρχιστρατήγου ἰαβεὶς βασιλέως ἀσώρ. καὶ εἰς χεῖρας ἀλλοφύ-
λων. καὶ εἰς χεῖρας βασιλέως μωάβ. καὶ ἐπολέμησαν ἐν αὐτοῖς καὶ
ἐβόησαν πρὸς κύριον καὶ ἔλεγον ἡμάρτομεν. ὅτι ἐγκατελείπο-
μεν τὸν κύριον, καὶ ἐδουλεύσαμεν τοῖς βααλὶμ καὶ τοῖς ἀλ-

σεσιν. καὶ νῦν ἐξελοῦ ἡμᾶς ἐκ χειρὸς ἐχθρῶν ἡμῶν καὶ δουλεύσομέν σοι. καὶ ἀπέστειλε κύριος τὸν ἱεροβάαλ καὶ τὸν βαρὰκ καὶ τὸν ἰεφθάε. καὶ τὸν σαμουὴλ. καὶ ἐξείλετο ἡμᾶς ἐκ χειρὸς ἐχθρῶν ἡμῶν τῶν κυκλόθεν. καὶ κατῳκεῖτε πεποιθότες. καὶ ἴδετε ὅτι νάας βασιλεὺς υἱῶν ἀμμὼν ἦλθεν ἐφ᾽ ὑμᾶς. καὶ εἴπατε οὐχὶ ἀλλ᾽ ἢ βασιλεὺς βασιλεύσει ἐφ᾽ ὑμῶν. καὶ κύριος ὁ θεὸς ἡμῶν βασιλεὺς ἡμῶν. καὶ νῦν ἰδοὺ ὁ βασιλεὺς ὃν ἐξελέξασθε καὶ ὃν ᾐτήσασθε. καὶ ἰδοὺ δέδωκε κύριος ἐφ᾽ ὑμᾶς βασιλέα. ἐὰν φοβηθῆτε τὸν κύριον καὶ δουλεύσητε αὐτῷ καὶ ἀκούσητε τῆς φωνῆς αὐτοῦ, καὶ μὴ ἐρίσητε τῷ στόματι κυρίου, καὶ ἦτε καὶ ὑμεῖς καὶ ὁ βασιλεὺς καὶ ὁ βασιλεύων ἐφ᾽ ὑμῶν ὀπίσω κυρίου πορευόμενοι, οὐκ ἔσται χεὶρ κυρίου ἐφ᾽ ὑμᾶς. ἐὰν δὲ μὴ ἀκούσητε τῆς φωνῆς κυρίου, καὶ ἐρίσητε τῷ στόματι κυρίου, καὶ ἔσται χεὶρ κυρίου ἐφ᾽ ὑμᾶς καὶ ἐπὶ τὸν βασιλέα ὑμῶν καὶ νῦν κατάστητε καὶ ἴδετε τὸ ῥῆμα τὸ μέγα τοῦτο ὃ ὁ κύριος ποιήσει ἐν ὀφθαλμοῖς ὑμῶν. οὐχὶ θερισμὸς πυρῶν σήμερον. ἐπικαλέσομαι τὸν κύριον καὶ δώσει φωνὰς καὶ ὑετὸν, καὶ γνῶτε καὶ ἴδετε ὅτι ἡ κακία ὑμῶν μεγάλη, ἣν ἐποιήσατε ἐνώπιον κυρίου αἰτήσαντες ἑαυτοῖς βασιλέα, καὶ ἐπεκαλέσατο σαμουὴλ τὸν κύριον καὶ ἔδωκε κύριος φωνὰς καὶ ὑετὸν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ. καὶ ἐφοβήθησαν πᾶς ὁ λαὸς σφόδρα τὸν κύριον καὶ τὸν σαμουήλ. καὶ εἶπε πᾶς ὁ λαὸς πρὸς τὸν σαμουήλ. πρόσευξαι ὑπὲρ τῶν δούλων σου πρὸς κύριον τὸν θεόν σου καὶ οὐ μὴ ἀποθάνωμεν. ὅτι προσεθήκαμεν πρὸς πάσας τὰς ἁμαρτίας ἡμῶν κακίαν αἰτήσαντες ἑαυτοῖς βασιλέα. καὶ εἶπε σαμουὴλ πρὸς τὸν λαόν. μὴ φοβεῖσθε. ὑμεῖς πεποιήκατε τὴν πᾶσαν κακίαν ταύτην. πλὴν μὴ ἐκκλίνητε ἀπὸ ὄπισθεν κυρίου. καὶ δουλεύσατε τῷ κυρίῳ ἐν ὅλῃ καρδίᾳ ὑμῶν, καὶ μὴ παραβῆτε ὀπίσω τῶν μηθὲν ὄντων. οἳ οὐ περανοῦσιν οὐθέν. καὶ οὐκ ἐξελοῦνται. ὅτι οὐθέν εἰσιν. ὅτι οὐκ ἀπώσεται κύριος τὸν λαὸν ἑαυτοῦ διὰ τὸ ὄνομα αὐτοῦ τὸ μέγα. ὅτι

ἐπιεικῶς κύριος προσελάβετο ὑμᾶς ἑαυτῷ εἰς λαόν. καὶ ἐμοὶ μη-
δαμῶς τοῦ ἁμαρτεῖν ἐνώπιον κυρίου ἀνιέναι τοῦ προσεύχεσθαι
ἐνώπιον κυρίου περὶ ὑμῶν. καὶ δουλεύσω τῷ κυρίῳ καὶ δείξω
ὑμῖν τὴν ὁδὸν τὴν ἀγαθὴν καὶ τὴν εὐθεῖαν. πλὴν φοβεῖσθε τὸν κύ-
ριον καὶ δουλεύσατε αὐτῷ ἐν ἀληθείᾳ καὶ ἐν ὅλῃ καρδίᾳ ὑ-
μῶν. ὅτι ἴδετε ὅτι ἐμεγάλυνε ποιῆσαι μεθ᾽ ὑμῶν. καὶ ἐὰν κα-
κίᾳ κακοποιήσητε. καὶ ὑμεῖς καὶ ὁ βασιλεὺς ὑμῶν προστεθήσε-
σθε.

Κεφ. ιγ΄. 13.

Αἱ ἐκλέγεται ἑαυτῷ σαοὺλ τρεῖς χιλιάδας ἀνδρῶν
κ ἐκ τῶν ἀνδρῶν ἰσραήλ. καὶ ἦσαν μετὰ σαοὺλ δισχίλι-
οι οἱ ἐν μαχμὰς. καὶ ἐν τῷ ὄρει βαιθήλ. καὶ χίλιοι
ἦσαν μετὰ ἰωνάθαν ἐν γαβαὰ τοῦ βενιαμίν. καὶ τὸ κατάλοι-
πον τοῦ λαοῦ ἐξαπέστειλεν ἕκαστον εἰς τὸ σκήνωμα αὐτοῦ. καὶ ἐπά-
ταξεν ἰωνάθαν τὸν νασὶφ τὸν ἀλλόφυλον τὸν ἐν τῷ βουνῷ. καὶ ἀ-
κούουσιν οἱ ἀλλόφυλοι. καὶ σαοὺλ σάλπιγγι σαλπίζει εἰς πᾶ-
σαν τὴν γῆν λέγων. ἠθετήκασιν οἱ δοῦλοι. καὶ πᾶς ἰσραὴλ ἤκου-
σαν λεγόντων ὅτι πέπαικε σαοὺλ τὸν νασὶβ τὸν ἀλλόφυλον. καὶ
ᾐσχύνθησαν ἰσραὴλ ἐν τοῖς ἀλλοφύλοις. καὶ ἀνεβόησαν ὁ λαὸς ὀ-
πίσω σαοὺλ ἐν γαλγάλοις. καὶ οἱ ἀλλόφυλοι συνάγονται εἰς πό-
λεμον ἐπὶ ἰσραὴλ καὶ ἀναβαίνουσιν ἐπὶ ἰσραὴλ εἰς πόλεμον τριά-
κοντα χιλιάδες ἁρμάτων, καὶ ἓξ χιλιάδες ἱππέων. καὶ λαὸς
ὡς ἡ ἄμμος ἡ παρὰ τὸ χεῖλος τῆς θαλάσσης τῷ πλήθει. καὶ ἀνα-
βαίνουσι καὶ παρεμβάλλουσιν εἰς πόλεμον ἐν μαχμὰς ἐξ ἐναν-
τίας βαιθωρῶν κατὰ νότου. καὶ ἀνὴρ ἰσραὴλ εἶδεν ὅτι στενῶς αὐ-
τῷ μὴ προσάγειν αὐτόν, καὶ ἐκρύβη ὁ λαὸς ἐν τοῖς σπηλαίοις καὶ
ἐν ταῖς μάνδραις ἐν ταῖς πέτραις καὶ ἐν τοῖς βόθροις καὶ ἐν τοῖς
λάκκοις. καὶ οἱ διαβαίνοντες διέβησαν τὸν ἰορδάνην εἰς γῆν
γὰδ καὶ εἰς τὴν γαλαάδ. καὶ σαοὺλ, ἔτι ἦν ἐν γαλγάλοις. καὶ πᾶς
ὁ λαὸς ἐξέστη ὀπίσω αὐτοῦ. καὶ διέλιπεν ἑπτὰ ἡμέρας τῷ μαρ-
τυρίῳ ὡς εἶπε σαμουήλ. καὶ οὐ παρεγένετο σαμουὴλ εἰς γάλ-

γαλα. καὶ διεσπάρη ὁ λαὸς αὐτοῦ ἀπ' αὐτοῦ. καὶ εἶπε σαοὺλ. προ-
σαγάγετε ὅπως ποιήσω ὁλοκαύτωσιν καὶ εἰρηνικάς. καὶ ἀνήνε-
γκε τὴν ὁλοκαύτωσιν. καὶ ἐγένετο ὡς συνετέλεσεν ἀναφέρων
τὴν ὁλοκαύτωσιν, καὶ σαμουὴλ παραγίνεται. καὶ ἐξῆλθε σαοὺλ
εἰς ἀπάντησιν αὐτῷ εὐλογῆσαι αὐτόν. καὶ εἶπε σαμουὴλ. τί
πεποίηκας. καὶ εἶπε σαοὺλ. ὅτι εἶδον ὡς διεσπάρη ὁ λαὸς ἐπ' ἐ-
μοῦ καὶ σὺ οὐ παρεγένου ὡς διετάξω ἐν τῷ μαρτυρίῳ τῶν ἡμε-
ρῶν. καὶ οἱ ἀλλόφυλοι συνήχθησαν εἰς μαχμάς. καὶ εἶπα. νῦν κα-
ταβήσονται οἱ ἀλλόφυλοι πρός με εἰς γάλγαλα καὶ τοῦ προσώ-
που τοῦ κυρίου οὐκ ἐδεήθην. καὶ ἐνεκρατευσάμην καὶ ἀνήνεγκα
τὴν ὁλοκαύτωσιν. καὶ εἶπε σαμουὴλ πρὸς σαοὺλ. μεματαίωταί
σοι ὅτι οὐκ ἐφύλαξας τὴν ἐντολήν μου ἣν ἐνετείλατό σοι κύριος.
ὡς νῦν ἡτοίμασε κύριος τὴν βασιλείαν σου ἐπὶ ἰσραὴλ ἕως αἰῶ-
νος. καὶ νῦν ἡ βασιλεία σου οὐ στήσεταί σοι καὶ ζητήσει κύριος
ἑαυτῷ ἄνθρωπον κατὰ τὴν καρδίαν αὐτοῦ, καὶ ἐντελεῖται κύρι-
ος αὐτῷ εἰς ἄρχοντα ἐπὶ τὸν λαὸν αὐτοῦ. ὅτι οὐκ ἐφύλαξας ὅσα
ἐνετείλατό σοι κύριος. καὶ ἀνέστη σαμουὴλ καὶ ἀπῆλθεν ἐκ γαλ-
γάλων εἰς ὁδὸν αὐτοῦ. καὶ τὸ κατάλειμμα τοῦ λαοῦ ἀνέβη ὀπίσω
ὡς σαοὺλ εἰς ἀπάντησιν ὀπίσω τοῦ λαοῦ τοῦ πολεμιστοῦ. αὐτῶν
παραγινομένων ἐκ γαλγάλων εἰς γαβαὰ βενιαμήν. καὶ ἐπεσκέ-
ψατο σαοὺλ τὸν λαὸν τὸν εὑρεθέντα μετ' αὐτοῦ ὡς ἑξακοσίους
ἄνδρας. καὶ σαοὺλ καὶ ἰωνάθαν υἱὸς αὐτοῦ, καὶ ὁ λαὸς οἱ εὑρεθέν-
τες μετ' αὐτῶν ἐκάθισαν ἐν γαβαὰ βενιαμὴν καὶ ἔκλαιον. καὶ
οἱ ἀλλόφυλοι παρεμβεβλήκεισαν ἐν μαχμάς. καὶ ἐξῆλθε δια-
φθείρων ἐξ ἀγροῦ ἀλλοφύλων τρισὶν ἀρχαῖς. ἡ ἀρχὴ ἡ μία ἐπι-
βλέπουσα ὁδὸν γοφερὰ ἐπὶ τὴν γῆν σωβάλ. καὶ ἡ ἀρχὴ ἡ μία
ἐπιβλέπουσα ὁδὸν βαιθωρῶν. καὶ ἡ ἀρχὴ ἡ μία ἐπιβλέπουσα
ὁδὸν γαβεὲ τὴν ἐκκύπτουσαν ἐπὶ γαὶ τὴν σαβιμ τὴν ἔρημον.
καὶ τέκτων σιδήρου οὐχ εὑρίσκετο ἐν πάσῃ γῇ ἰσραήλ. ὅτι
εἶπον οἱ ἀλλόφυλοι μὴ ποιήσωσιν οἱ ἑβραῖοι ῥομφαίαν καὶ

δόρυ καὶ κατέβαινον πᾶς ἰσραὴλ εἰς γῆν ἀλλοφύλων χαλκεύειν
εἰς ἕκαστος τὸ θεριστήριον αὐτοῦ καὶ τὸ σκεῦος αὐτοῦ. καὶ ἕκαστος τὴν
ἀξίνην αὐτοῦ καὶ τὸ δρέπανον αὐτοῦ. καὶ ἦν ὁ πυγητὸς ἕτοιμος
τοῦ θερίζειν. τὰ δὲ σκεύη ἦν τρεῖς σίκλοι εἰς τὸν ὀδόντα. καὶ τῇ
ἀξίνῃ καὶ τῷ δρεπάνῳ ὑπόστασις ἦν ἡ αὐτή. καὶ ἐγενήθη ἐν
ταῖς ἡμέραις τοῦ πολέμου μαχμὰς, καὶ οὐχ εὑρέθη ῥομφαία
καὶ δόρυ ἐν χειρὶ παντὸς τοῦ λαοῦ τοῦ μετὰ σαοὺλ καὶ μετὰ ἰω-
νάθαν. καὶ εὑρέθη τῷ σαοὺλ καὶ τῷ ἰωνάθαν υἱῷ αὐτοῦ, καὶ ἐξ-
ῆλθον ἐξ ὑποστάσεως τῶν ἀλλοφύλων εἰς τὸ πέραν μαχμάς.

Κεφάλαιον ιδ. 14.

Καὶ ἐγενήθη ἡ ἡμέρα. καὶ εἶπεν ἰωνάθαν υἱὸς σαοὺλ
κ τῷ παιδαρίῳ τῷ αἴροντι τὰ σκεύη αὐτοῦ. δεῦρο καὶ
ἀναβῶμεν εἰς μεσσὰβ τῶν ἀλλοφύλων τὴν ἐν τῷ πέ-
ραν ἐκείνῳ. καὶ τῷ πατρὶ αὐτοῦ οὐκ ἀπήγγειλε. καὶ σαοὺλ ἐκάθητο
ἐν τῷ βουνῷ ἐπ᾽ ἄκρον τοῦ βουνοῦ ὑπὸ τὴν ῥοὰν τὴν ἐν μαγδών.
καὶ ἦσαν μετ᾽ αὐτοῦ ὡς ἑξακόσιοι ἄνδρες. καὶ ἀχιὰ υἱὸς ἀχιτὼβ
ἀδελφοῦ ἰωαβὴδ υἱοῦ φινεὲς υἱοῦ ἠλεὶ ἱερεὺς τοῦ θεοῦ ἐν σηλὼμ
αἴρων ἐφούδ. καὶ ὁ λαὸς οὐκ ᾔδει ὅτι πεπόρευται ἰωνάθαν. καὶ
ἀνὰ μέσον τῆς διαβάσεως οὗ ἐζήτει ἰωνάθαν διαβῆναι εἰς τὴν
ὑπόστασιν τῶν ἀλλοφύλων, καὶ ὀδὸς πέτρας ἦν ἐκ τοῦ πέραν τού-
του. καὶ ὀδὸς τῆς πέτρας ἐκ τοῦ πέραν τούτου. ὄνομα τῷ ἑνὶ μα-
σῆς, καὶ ὄνομα τῷ ἄλλῳ σεννά. ἡ ὁδὸς ἡ μία ἀπὸ βοῤῥᾶ ἐρχο-
μένῳ μαχμάς. καὶ ἡ ὁδὸς ἡ ἄλλη ἀπὸ νότου ἐρχομένῳ γαβεέ.
καὶ εἶπεν ἰωνάθαν πρὸς τὸ παιδάριον τὸ αἶρον τὰ σκεύη αὐτοῦ.
δεῦρο καὶ διαβῶμεν εἰς μεσσὰβ τῶν ἀπεριτμήτων τούτων. εἴ τι
ποιήσει κύριος ἡμῖν. ὅτι οὐκ ἔστι τῷ κυρίῳ συνεχόμενον σώ-
ζειν ἢ ἐν πολλοῖς ἢ ἐν ὀλίγοις, καὶ εἶπεν αὐτῷ ὁ αἴρων τὰ σκεύη
αὐτοῦ. ποίει πᾶν. ὃ ἐὰν ἡ καρδία σου ἐκκλίνῃ. ἰδοὺ ἐγὼ μετὰ σοῦ
εἰμί. ὡς ἡ καρδία σου καρδία μου. καὶ εἶπεν ἰωνάθαν. ἰδοὺ ἡμεῖς
διαβαίνομεν πρὸς τοὺς ἄνδρας καὶ κατακυλισθησόμεθα πρὸς

αὐτούς. καὶ ἐὰν τάδε εἴπωσι πρὸς ὑμᾶς, ἀπόστητε ἐκεῖ ἕως ἀναγ-
γείλωμεν ὑμῖν, καὶ στησόμεθα ἐφ' ἑαυτούς, καὶ οὐ μὴ ἀναβῶμεν
ἐπ' αὐτούς, καὶ ἐὰν τάδε εἴπωσι πρὸς ὑμᾶς, ἀνάβητε πρὸς ἡμᾶς,
καὶ ἀναβησόμεθα ὅτι παραδέδωκεν αὐτοὺς κύριος εἰς χεῖρας ἡ-
μῶν. τοῦτο ἡμῖν τὸ σημεῖον. καὶ εἰσῆλθον ἀμφότεροι εἰς μεσσὰβ τῶν
ἀλλοφύλων. καὶ λέγουσιν οἱ ἀλλόφυλοι. ἰδοὺ ἑβραῖοι ἐκ πορεύ-
ονται ἐκ τῶν τρωγλῶν αὐτῶν οὗ ἐκρύβησαν ἐκεῖ. καὶ ἀπεκρίθησαν
οἱ ἄνδρες μεσσὰβ πρὸς τὸν ἰωνάθαν καὶ πρὸς τὸν αἴροντα τὰ
σκεύη αὐτοῦ καὶ λέγουσιν. ἀνάβητε πρὸς ἡμᾶς, καὶ γνωριοῦμεν
ὑμῖν ῥῆμα. καὶ εἶπεν ἰωνάθαν πρὸς τὸν αἴροντα τὰ σκεύη αὐτοῦ.
ἀνάβηθι ὀπίσω μου ὅτι παρέδωκεν αὐτοὺς κύριος εἰς χεῖρας ἰ-
σραήλ. καὶ ἀνέβη ἰωνάθαν ἐπὶ τὰς χεῖρας αὐτοῦ, καὶ ἐπὶ τοὺς πό-
δας αὐτοῦ ὁ αἴρων τὰ σκεύη αὐτοῦ ὀπίσω αὐτοῦ. καὶ ἐπέβλε-
ψαν κατὰ πρόσωπον ἰωνάθαν, καὶ ἐπάταξεν αὐτούς. καὶ ὁ
αἴρων τὰ σκεύη αὐτοῦ ἐπεδίδου ὀπίσω αὐτοῦ. καὶ ἐγενήθη ἡ
πληγὴ ἡ πρώτη ἣν ἐπάταξεν ἰωνάθαν καὶ ὁ αἴρων τὰ σκεύη
αὐτοῦ ὡσεὶ εἴκοσιν ἄνδρες. ἐν βολίσι καὶ ἐν πετροβόλοις καὶ
ἐν κόχλαξι τοῦ πεδίου. καὶ ἐγενήθη ἔκστασις ἐν τῇ παρεμβο-
λῇ καὶ ἐν ἀγρῷ. καὶ πᾶς ὁ λαὸς ὁ ἐν μεσσὰβ καὶ οἱ διαφθείρον-
τες ἐξέστησαν καὶ αὐτοὶ καὶ οὐκ ἤθελον ποιεῖν. καὶ ἐθάμβησεν
ἡ γῆ καὶ ἐγενήθη ἔκστασις παρὰ κυρίου. καὶ εἶδον οἱ σκοποὶ
τοῦ σαοὺλ ἐν γαβαὰ βενιαμίν. καὶ ἰδοὺ ἡ παρεμβολὴ τεταραγ-
μένη ἔνθεν καὶ ἔνθεν. καὶ εἶπε σαοὺλ τῷ λαῷ τῷ μετ' αὐτοῦ.
ἐπισκέψασθε δὴ καὶ ἴδετε τίς πεπόρευται ἐξ ὑμῶν. καὶ ἐπεσκέ-
ψαντο καὶ ἰδοὺ οὐχ εὑρίσκετο ἰωνάθαν ὁ αἴρων τὰ σκεύη αὐτοῦ. καὶ
εἶπε σαοὺλ τῷ ἀχιᾷ. προσάγαγε τὸ ἐφούδ. ὅτι ἦν ἡ κιβωτὸς
τοῦ θεοῦ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐνώπιον ἰσραήλ. καὶ ἐγενήθη ὡς ἐλά-
λει σαμουὴλ πρὸς τὸν ἱερέα. καὶ ὁ ἦχος ἐν τῇ παρεμβολῇ τῶν ἀλ-
λοφύλων ἐπορεύετο πορευόμενος καὶ ἐπλήθυνε. καὶ εἶπε σαοὺλ
πρὸς τὸν ἱερέα. συνάγαγε τὰς χεῖράς σου. καὶ ἀνέβη σαοὺλ

καὶ πᾶς ὁ λαὸς ὁ μετ' αὐτοῦ. καὶ ἔρχονται ἕως τοῦ πολέμου. καὶ
ἰδοὺ ἐγένετο ῥομφαία ἀνδρὸς ἐπὶ τὸν πλησίον αὐτοῦ. σύγχυσις
μεγάλη σφόδρα. καὶ οἱ δοῦλοι οἱ ὄντες ἐχθὲς καὶ τρίτην ἡμέ-
ραν μετὰ τῶν ἀλλοφύλων οἱ ἀναβαίνοντες οἱ εἰς τὴν παρεμβο-
λήν, ἐπεστράφησαν καὶ αὐτοὶ εἶναι μετὰ ἰσραὴλ μετὰ σαοὺλ καὶ
ἰωνάθαν. καὶ πᾶς ἀνὴρ ἰσραὴλ οἱ κρυπτόμενοι ἐν τῷ ὄρει ἐ-
φραὶμ ἤκουσαν ὅτι πεφεύγασιν οἱ ἀλλόφυλοι. καὶ συνάπτουσι καὶ
αὐτοὶ ὀπίσω αὐτῶν εἰς πόλεμον. καὶ ἔσωσε κύριος ἐν τῇ ἡμέρᾳ
ἐκείνῃ τὸν ἰσραήλ. καὶ ὁ πόλεμος διῆλθε τὴν βαμώθ. καὶ πᾶς ὁ
λαὸς ἦν μετὰ σαοὺλ ὡς δέκα χιλιάδες ἀνδρῶν. καὶ ἦν ὁ πόλε-
μος διεσπαρμένος εἰς ὅλην τὴν πόλιν ἐν τῷ ὄρει ἐφραίμ. καὶ
σαοὺλ ἠγνόησεν ἄγνοιαν μεγάλην ἐν τῇ ἡμέρᾳ ἐκείνῃ. καὶ ἀρᾶ-
ται τῷ λαῷ λέγων. ἐπικατάρατος ὁ ἄνθρωπος ὃς φάγεται
ἄρτον ἕως ἑσπέρας. καὶ ἐκδικήσω τὸν ἐχθρόν μου. καὶ οὐκ ἐγεύ-
σατο πᾶς ὁ λαὸς ἄρτου. καὶ πᾶσα ἡ γῆ ἠρίστα. καὶ ἰδοὺ δρυμὸς
ἦν μελισσῶνος κατὰ πρόσωπον τοῦ ἀγροῦ. καὶ εἰσῆλθεν ὁ λαὸς
εἰς τὸν μελισσῶνα. καὶ ἰδοὺ ἐπορεύετο λαλῶν. καὶ οὐκ ἦν ἐπιστρέ-
φων τὴν χεῖρα αὐτοῦ εἰς τὸ στόμα αὐτοῦ. ὅτι ἐφοβήθη ὁ λαὸς τὸν
ὅρκον κυρίου. καὶ ἰωνάθαν οὐκ ἀκηκόει ἐν τῷ ὁρκίζειν τὸν πατέ-
ρα αὐτοῦ τὸν λαόν. καὶ ἐξέτεινε τὸ ἄκρον τοῦ σκήπτρου αὐτοῦ ἐν τῇ
χειρὶ αὐτοῦ καὶ ἔβαψεν αὐτὸ εἰς τὸ κηρίον τοῦ μέλιτος. καὶ ἐπέστρε-
ψε τὴν χεῖρα αὐτοῦ, εἰς τὸ στόμα αὐτοῦ. καὶ ἀνέβλεψαν οἱ ὀφθαλ-
μοὶ αὐτοῦ. καὶ ἀπεκρίθη εἷς ἐκ τοῦ λαοῦ καὶ εἶπεν. ὁρκίσας ὥρκι-
σε τὸν λαὸν ὁ πατήρ σου λέγων. ἐπικατάρατος ὁ ἄνθρωπος ὃς
φάγεται ἄρτον σήμερον. καὶ ἐξελύθη ὁ λαός. καὶ ἔγνω ἰωνάθαν
καὶ εἶπεν. ἀπήλλαχεν ὁ πατήρ μου τὴν γῆν. ἴδε διότι εἶδον
οἱ ὀφθαλμοί μου ὅτι ἐγευσάμην βραχὺ τοῦ μέλιτος τούτου.
ἀλλ' ὅτι εἰ ἔφαγεν ἔσθων σήμερον ὁ λαὸς τῶν σκύλων τῶν ἐχθρῶν
αὐτῶν ὧν εὗρεν ὅτι νῦν ἂν μείζων ἦν ἡ πληγὴ ἐν τοῖς ἀλλοφύλοις.
καὶ ἐπάταξεν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐκ τῶν ἀλλοφύλων πλείους ἐν

ἐν μαχμάς.

ἐν μαχμὰς καὶ ἐκόπασεν ὁ λαὸς σφόδρα. καὶ ὥρμησεν ὁ λαὸς
εἰς τὰ σκῦλα. καὶ ἔλαβεν ὁ λαὸς ποίμνια καὶ βουκόλια. καὶ τέκνα
βοῶν καὶ ἔσφαξαν ἐπὶ τὴν γῆν. καὶ ἤσθιεν ὁ λαὸς σὺν τῷ αἵματι.
καὶ ἀπηγγέλη τῷ σαοὺλ λεγόντων. ὅτι λαὸς ἡμάρτηκε τῷ κυρίῳ
φαγὼν σὺν τῷ αἵματι. καὶ εἶπε σαοὺλ. ἐκ γεθθὲμ κυλίσατέ μοι
λίθον ἐνταῦθα μέγαν. καὶ εἶπε σαοὺλ. διασπάρητε ἐν τῷ λαῷ
καὶ εἴπατε αὐτοῖς προσαγαγεῖν ἐνταῦθα τὸν μόσχον αὐτοῦ ἕκα-
στος ὑμῶν. καὶ ἕκαστος τὸ πρόβατον αὐτοῦ. καὶ σφαξάτω ἐπὶ τούτου τοῦ
λίθου καὶ φάγετε αὐτά, καὶ οὐ μὴ ἁμάρτητε τῷ κυρίῳ τοῦ ἐσθίε-
ιν σὺν τῷ αἵματι. καὶ προσῆγεν ὁ λαὸς ἕκαστος τὸ ἐν τῇ χει-
ρὶ αὐτοῦ τὴν νύκτα καὶ ἔσφαζον ἐκεῖ. καὶ ᾠκοδόμησεν ἐκεῖ
σαοὺλ θυσιαστήριον τῷ κυρίῳ. τοῦτο ἤρξατο σαοὺλ οἰκοδο-
μῆσαι θυσιαστήριον τῷ κυρίῳ. καὶ εἶπε σαοὺλ. καταβῶμεν ὀ-
πίσω τῶν ἀλλοφύλων τὴν νύκτα καὶ διαρπάσωμεν ἐν αὐτοῖς
ἕως διαφαύσῃ ἡ ἡμέρα καὶ μὴ ὑπολείπωμεν ἐν αὐτοῖς ἄνδρα.
καὶ εἶπαν πᾶν τὸ ἀγαθὸν ἐνώπιόν σου ποίει. καὶ εἶπεν ὁ ἱερεύς.
προσέλθωμεν ἐνταῦθα πρὸς τὸν θεόν. καὶ ἐπηρώτησε σαοὺλ τὸν
θεὸν εἰ καταβῶ ὀπίσω τῶν ἀλλοφύλων. εἰ παραδώσεις αὐτοὺς εἰς
χεῖρας ἰσραήλ. καὶ οὐκ ἀπεκρίθη αὐτῷ κύριος ἐν τῇ ἡμέρᾳ ἐ-
κείνῃ. καὶ εἶπε σαοὺλ. προσαγάγετε ἐνταῦθα πάσας τὰς γωνί-
ας τοῦ ἰσραὴλ καὶ γνῶτε καὶ ἴδετε ἐν τίνι γέγονεν ἡ ἁμαρτία αὕ-
τη σήμερον. ὅτι ζῇ κύριος ὁ σώσας τὸν ἰσραήλ. ὅτι ἐὰν ἀποκρι-
θῇ κατὰ ἰωνάθαν τοῦ υἱοῦ μου, θανάτῳ ἀποθανεῖται. καὶ οὐκ ἦν ὁ
ἀποκρινόμενος ἐκ παντὸς τοῦ λαοῦ. καὶ εἶπε παντὶ ἀνδρὶ ἰσρα-
ήλ. ὑμεῖς ἔσεσθε εἰς δουλείαν. καὶ ἐγὼ καὶ ἰωνάθαν ὁ υἱός μου,
ἐσόμεθα εἰς δούλους. καὶ εἶπεν ὁ λαὸς πρὸς σαοὺλ. τὸ ἀγαθὸν
ἐνώπιόν σου ποίει. καὶ εἶπε σαοὺλ. κύριε ὁ θεὸς ἰσραὴλ τί ὅτι
οὐκ ἀπεκρίθης τῷ δούλῳ σου σήμερον εἰ ἐν ἐμοὶ ἢ ἐν ἰωνάθαν
τῷ υἱῷ μου ἡ ἀδικία. κύριε ὁ θεὸς ἰσραήλ. δὸς δήλους. καὶ ἐὰν τά-
δε εἴπῃς δὸς δὴ τῷ λαῷ σου ἰσραήλ, δὸς δὴ ὁσιότητα. καὶ κλη-

τακληροῦνται ἰωνάθαν καὶ σαοὺλ. καὶ ὁ λαὸς ἐξῆλθε. καὶ εἶπε σα-
οὺλ. βάλλετε κλῆρον ἀνὰ μέσον ἐμοῦ καὶ ἀνὰ μέσον ἰωνάθαν τοῦ υἱοῦ
μου. ὃν ἂν κατακληρώσηται κύριος, ἀποθανέτω. καὶ εἶπεν ὁ λαὸς
πρὸς σαοὺλ. οὐκ ἔσται τὸ ῥῆμα τοῦτο. καὶ κατεκράτησε σαοὺλ τοῦ
λαοῦ, καὶ βάλλουσι κλήρους ἀνὰ μέσον αὐτοῦ καὶ ἀνὰ μέσον ἰωνά-
θαν τοῦ υἱοῦ αὐτοῦ. καὶ κατακληροῦνται ἰωνάθαν. καὶ εἶπε σαοὺλ πρὸς
ἰωνάθαν. ἀπάγγειλόν μοι τί πεποίηκας. καὶ ἀπήγγειλεν αὐτῷ ἰω-
νάθαν, καὶ εἶπε. γευσάμενος ἐγευσάμην ἐν ἄκρῳ τῷ σκήπτρῳ
τῷ ἐν τῇ χειρί μου βραχὺ μέλι. καὶ ἰδοὺ ἐγὼ ἀποθνήσκω. καὶ εἶ-
πεν αὐτῷ σαοὺλ. τάδε ποιήσαι μοι ὁ θεὸς καὶ τάδε προσθείη
ὅτι θανάτῳ ἀποθανῇ σήμερον. καὶ εἶπεν ὁ λαὸς πρὸς σαοὺλ. εἰ
σήμερον ἀποθανεῖται θανάτῳ ὁ ποιήσας τὴν σωτηρίαν τὴν με-
γάλην ταύτην ἐν ἰσραήλ. ἵλεως. ζῇ κύριος εἰ πεσεῖται ἀπὸ τῆς κεφαλῆς
αὐτοῦ θρὶξ ἐπὶ τὴν γῆν. ὅτι ἔλεος τοῦ θεοῦ ἐποίησεν ἐν τῇ ἡμέρᾳ ταύ-
τῃ. καὶ προσηύξατο ὁ λαὸς περὶ ἰωνάθαν τῇ ἡμέρᾳ ἐκείνῃ καὶ οὐκ ἀ-
πέθανε. καὶ ἀνέβη σαοὺλ ἀπὸ ὄπισθε τῶν ἀλλοφύλων. καὶ οἱ ἀλλό-
φυλοι ἀπῆλθον εἰς τὸν τόπον αὐτῶν. καὶ σαοὺλ ἔλαχε τοῦ βασιλεύ-
ειν ἐπὶ ἰσραήλ. καὶ ἐπολέμει κυκλόθεν πάντας τοὺς ἐχθροὺς αὐτοῦ
εἰς τὸν μωὰβ καὶ τοὺς υἱοὺς ἀμμών. καὶ εἰς τοὺς υἱοὺς ἐδώμ. καὶ εἰς τὸν
βαιθώρ. καὶ εἰς βασιλέα σουβά. καὶ εἰς τοὺς ἀλλοφύλους. οὗ ἂν ἐστρά-
φη ἐσώζετο. καὶ ἐποίησε δύναμιν καὶ ἐπάταξε τὸν ἀμαλήκ. καὶ ἐξεί-
λετο τὸν ἰσραὴλ ἐκ χειρὸς τῶν καταπατούντων αὐτόν. καὶ ἦσαν οἱ
υἱοὶ σαοὺλ ἰωνάθαν καὶ ἰεσουί. καὶ μελχισουέ. καὶ ὀνόματα τῶν δύο
θυγατέρων αὐτοῦ, ὄνομα τῇ πρωτοτόκῳ αὐτοῦ μερόβ. καὶ ὄνομα τῇ
δευτέρᾳ μελχόλ. καὶ ὄνομα τῇ γυναικὶ αὐτοῦ ἀχινοόμ. θυγάτηρ
ἀχιμαάς. καὶ ὄνομα τῷ ἀρχιστρατήγῳ αὐτοῦ ἀβεννήρ. υἱὸς νήρ. υἱοῦ
οἰκείου σαοὺλ. καὶ κὶς πατὴρ σαοὺλ. καὶ νὴρ πατὴρ ἀβεννὴρ υἱὸς
ἰαμίν. υἱοῦ ἀβιήλ. καὶ ἦν ὁ πόλεμος κραταιὸς ἐπὶ τοὺς ἀλλοφύλους
πάσας τὰς ἡμέρας σαοὺλ. καὶ ἰδὼν σαοὺλ πάντα ἄνδρα δυνατὸν
καὶ πάντα ἄνδρα υἱὸν δυνάμεως, καὶ συνήγαγεν αὐτοὺς πρὸς

αὐτόν.

Κεφάλαιον ιε. 15.

Καὶ εἶπε σαμουὴλ πρὸς σαοὺλ. ἐμὲ ἀπέστειλε κύριος
κ χρῖσαί σε εἰς βασιλέα, ἐπὶ τὸν λαὸν αὐτοῦ ἐπὶ ἰσραήλ. καὶ
νῦν ἄκουσον τῆς φωνῆς τῶν λόγων κυρίου. τάδε εἶπε
κύριος σαβαώθ. νῦν ἐκδικήσω ὃ ἐποίησεν ἀμαλὴκ τῷ ἰσραήλ.
ὡς ἀπήντησεν αὐτῷ ἐν τῇ ὁδῷ ἀναβαίνοντος αὐτοῦ ἐξ αἰγύ-
πτου. καὶ νῦν πορεύου καὶ πατάξεις τὸν ἀμαλὴκ καὶ ἰαρὶμ καὶ
πάντα τὰ αὐτοῦ καὶ οὐ περιποιήσῃ ἐξ αὐτοῦ καὶ ἐξολοθρεύ-
σεις αὐτόν. καὶ ἀναθεματιεῖς αὐτὸν καὶ πάντα τὰ αὐτοῦ. καὶ
οὐ φείσῃ ἀπ' αὐτοῦ. καὶ ἀποκτενεῖς ἀπὸ ἀνδρὸς καὶ ἕως γυναι-
κὸς, καὶ ἀπὸ νηπίου ἕως θηλάζοντος. καὶ ἀπὸ μόσχου, ἕως
προβάτου, καὶ ἀπὸ καμήλου ἕως ὄνου. καὶ παρήγγειλε σα-
οὺλ τῷ λαῷ καὶ ἐπισκέπτεται αὐτοὺς ἐν γαλγάλοις διακο-
σίας χιλιάδας ταγμάτων καὶ τὸν ἰούδαν τριάκοντα χι-
λιάδας ταγμάτων. καὶ ἦλθε σαοὺλ ἕως τῶν πόλεων ἀμα-
λήκ. καὶ ἐνήδρευσεν ἐν τῷ χειμάρρῳ. καὶ εἶπε σαοὺλ πρὸς
τὸν κιναῖον. ἄπελθε καὶ ἔκκλινον ἐκ μέσου τοῦ ἀμαληκίτου μὴ προ-
σθῶ σε μετ' αὐτοῦ. καὶ σὺ ἐποίησας ἔλεος μετὰ πάντων τῶν υἱῶν ἰ-
σραὴλ ἐν τῷ ἀναβαίνειν αὐτοὺς ἐξ αἰγύπτου. καὶ ἐξέκλινεν ὁ κιναῖ-
ος ἐκ μέσου ἀμαλήκ. καὶ ἐπάταξε σαοὺλ τὸν ἀμαλὴκ ἀπὸ εὐιλὰτ
ἕως σοὺρ ἐπὶ προσώπου αἰγύπτου. καὶ συνέλαβε τὸν ἀγὰγ βασιλέα
ἀμαλὴκ ζῶντα καὶ πάντα τὸν λαὸν αὐτοῦ ἐξωλόθρευσε. καὶ ἰερὶμ ἀπέ-
κτεινεν ἐν στόματι ῥομφαίας. καὶ περιεποιήσατο σαοὺλ καὶ πᾶς ὁ λα-
ὸς τὸν ἀγὰγ ζῶντα καὶ τὰ ἀγαθὰ τῶν βουκολίων καὶ τῶν ποιμνίων καὶ
τῶν ἐδεσμάτων καὶ τῶν ἀμπελώνων καὶ πάντων τῶν ἀγαθῶν.
καὶ οὐκ ἐβούλοντο ἐξολοθρεῦσαι αὐτά. καὶ πᾶν ἔργον ἠτιμω-
μένον ἐξωλόθρευσε. καὶ ἐγενήθη ῥῆμα κυρίου, πρὸς σαμουὴλ
λέγων. μεταμέλομαι ὅτι ἔχρισα τὸν σαοὺλ εἰς βασιλέα. ὅτι ἐ-
πέστρεψεν ἀπὸ ὄπισθέν μου καὶ τοὺς λόγους μου οὐκ ἐτήρησε. καὶ
ἠθύμησε σαμουὴλ καὶ ἐβόησε πρὸς κύριον ὅλην τὴν νύκτα.

καὶ ὤρθρισε σαμουὴλ καὶ ἐπορεύθη εἰς ἀπάντησιν ἰσραὴλ τὸ πρωΐ. καὶ ἀπηγγέλη τῷ σαμουὴλ λέγοντες. ἥκει σαοὺλ εἰς κάρμηλον καὶ ἰδοὺ ἀνέστακεν αὐτῷ χεῖρα. καὶ ἐπέστρεψε τὸ ἅρμα. καὶ κατέβη εἰς γάλγαλα. καὶ ἦλθε σαμουὴλ πρὸς σαοὺλ, καὶ ἰδοὺ αὐτὸς ἀνέφερεν ὁλοκαυτώσιν τῷ κυρίῳ, τὰ πρῶτα τῶν σκύλων ὧν ἐξήνεγκεν ἐξ ἀμαλήκ. καὶ παρεγένετο σαμουὴλ πρὸς σαοὺλ. καὶ εἶπεν αὐτῷ σαοὺλ. εὐλογητὸς σὺ τῷ κυρίῳ, ἔστησα πάντα ὅσα ἐλάλησε κύριος. καὶ εἶπε σαμουὴλ. καὶ τίς ἡ φωνὴ τοῦ ποιμνίου τούτου ἐν τοῖς ὠσί μου καὶ ἡ φωνὴ τῶν βοῶν ὧν ἐγὼ ἀκούω. καὶ εἶπε σαοὺλ. ἐξ ἀμαλὴκ ἤνεγκα αὐτὰ ἃ περιεποιήσατο ὁ λαός. τὰ κράτιστα τοῦ ποιμνίου, καὶ τῶν βοῶν ὅπως τυθῇ κυρίῳ τῷ θεῷ σου. καὶ τὰ λοιπὰ ἐξωλόθρευσα. καὶ εἶπε σαμουὴλ πρὸς σαοὺλ. ἄνες καὶ ἀπαγγελῶ σοι ἃ ἐλάλησε κύριος πρός με τὴν νύκτα καὶ εἶπεν αὐτῷ λάλησον. καὶ εἶπε σαμουὴλ πρὸς σαοὺλ. οὐχὶ μικρὸς εἶ σὺ ἐνώπιον αὐτοῦ ἡγούμενος, σκήπτρου φυλῆς ἰσραήλ. καὶ ἔχρισέ σε κύριος εἰς βασιλέα ἐπὶ ἰσραήλ. καὶ ἀπέστειλέ κύριος ἐν ὁδῷ καὶ εἶπε σοι πορεύθητι. καὶ ἐξολόθρευσον τὸν ἀμαλὴκ καὶ ἀνελεῖς τοὺς ἁμαρτάνοντας εἰς ἐμέ. καὶ πολεμήσεις αὐτοὺς ἕως συντελέσῃς αὐτούς. καὶ ἵνα τί οὐκ ἤκουσας φωνῆς κυρίου κατὰ πάντα ὅσα ἐλάλησέ σοι ἀλλ' ὥρμησας τοῦ θέσθαι ἐπὶ τὰ σκῦλα καὶ ἐποίησας τὸ πονηρὸν ἐνώπιον κυρίου. καὶ εἶπε πρὸς σαμουήλ. διὰ τὸ ἀκοῦσαί με τῆς φωνῆς τοῦ λαοῦ. καὶ ἐπορεύθην ἐν τῇ ὁδῷ ἐν ᾗ ἀπέστειλέ με κύριος καὶ ἤγαγον τὸν ἀγὰγ βασιλέα ἀμαλήκ. καὶ τὸν ἀμαλὴκ ἐξωλόθρευσα. καὶ ἔλαβεν ὁ λαὸς τῶν σκύλων ποίμνια καὶ βουκόλια τὰ πρῶτα τοῦ ἐξολοθρεύματος θῦσαι ἐνώπιον κυρίου θεοῦ ἡμῶν ἐν γαλγάλοις.

Κεφάλαιον ιε. ιϛ.

Αἰ εἶπε σαμουήλ. εἰ θελητὸν τῷ κυρίῳ ὁλοκαυτώ
κ ματα καὶ θυσίας. ὡς τὸ ἀκοῦσαι φωνῆς κυρίου. ἰ
δοὺ ἀκοὴ ὑπὲρ θυσίαν ἀγαθήν. καὶ ἡ ἐπακρόασις.

ὑπὲρ στέαρ κριῶν. ὅτι ἁμαρτία οἰώνισμά ἐστιν ὀδύνη καὶ πόνος
θεραφὶν ἐπάγουσιν. ὅτι ἐξουδένωσας τὸ ῥῆμα κυρίου, καὶ ἐ-
ξουδενώσει σε κύριος τοῦ μὴ εἶναι βασιλέα ἐπὶ ἰσραήλ. καὶ εἶ-
πε σαοὺλ πρὸς σαμουήλ. ἡμάρτηκα ὅτι παρέβην τὸν λόγον
κυρίου καὶ τὸ ῥῆμά σου. ὅτι ἐφοβήθην τὸν λαὸν καὶ ἤκουσα τῆς φω-
νῆς αὐτῶν. καὶ νῦν ἆρον δὴ τὸ ἁμάρτημά μου. καὶ ἀνάστρεψον
μετ᾽ ἐμοῦ καὶ προσκυνήσω κυρίῳ τῷ θεῷ σου. καὶ εἶπε σαμου-
ὴλ πρὸς σαοὺλ. οὐκ ἀναστρέψω μετὰ σοῦ. ὅτι ἐξουδένωσας
τὸ ῥῆμα κυρίου. καὶ ἐξουδενώσει σε κύριος τοῦ μὴ εἶναι εἰς
βασιλέα ἐπὶ ἰσραήλ. καὶ ἐπέστρεψε σαμουὴλ τὸ πρόσωπον
αὐτοῦ τοῦ ἀπελθεῖν. καὶ ἐκράτησε σαοὺλ τοῦ πτερυγίου τῆς δι-
πλοΐδος αὐτοῦ. καὶ διέρρηξεν αὐτό. καὶ εἶπε πρὸς αὐτὸν σα-
μουήλ. διέρρηξε κύριος τὴν βασιλείαν σου ἀπὸ ἰσραὴλ ἐκ χει-
ρός σου σήμερον. καὶ δώσει αὐτὴν τῷ πλησίον σου τῷ ἀγα-
θῷ ὑπὲρ σέ. καὶ διαιρεθήσεται ἰσραὴλ εἰς δύο. καὶ οὐκ ἀπο-
στρέψει οὐδὲ μετανοήσει. ὅτι οὐχ ὡς ἄνθρωπός ἐστι τοῦ μετανοῆ-
σαι. αὐτὸς ἀπειλήσει καὶ οὐκ ἐμμενεῖ. καὶ εἶπε σαοὺλ. ἡμάρτηκα
ἀλλὰ δόξασόν με δὴ ἐνώπιον τῶν πρεσβυτέρων ἰσραὴλ καὶ ἐ-
νώπιον λαοῦ μου καὶ ἀνάστρεψον μετ᾽ ἐμοῦ καὶ προσκυνήσω κυ-
ρίῳ τῷ θεῷ σου. καὶ ἀνέστρεψε σαμουὴλ ὀπίσω μετὰ σαοὺλ καὶ
προσεκύνησε τῷ κυρίῳ. καὶ εἶπε σαμουήλ. προσαγάγετέ μοι
τὸν ἀγὰγ βασιλέα ἀμαλήκ. καὶ προσῆλθε πρὸς αὐτὸν ἀγὰγ τρέ-
μων. καὶ εἶπεν ἀγάγ. εἰ οὕτω πικρὸς ὁ θάνατος. καὶ εἶπε σαμουὴλ
πρὸς αὐτόν. ἀγάγ. καθότι ἠτέκνωσε γυναῖκας ἡ ῥομφαία σου
οὕτως ἀτεκνωθήσεται ἐκ γυναικῶν ἡ μήτηρ σου. καὶ ἔσφαξε σα-
μουὴλ τὸν ἀγὰγ ἐνώπιον κυρίου ἐν γαλγάλοις. καὶ ἀπῆλθε σαμου-
ὴλ εἰς ἀρμαθαΐμ. καὶ σαοὺλ ἀνέβη εἰς τὸν οἶκον αὐτοῦ εἰς γαβαάθ.
καὶ οὐ προσέθετο ἔτι σαμουὴλ ἰδεῖν τὸν σαοὺλ ἕως ἡμέρας θανάτου
αὐτοῦ. ὅτι ἐπένθει σαμουὴλ ἐπὶ σαοὺλ. καὶ κύριος μετεμελήθη ὅτι ἐ-
βασίλευσε τὸν σαοὺλ ἐπὶ ἰσραήλ. καὶ εἶπε κύριος πρὸς σαμου

ηλ. ἕως πότε σὺ πενθεῖς ἐπὶ σαοὺλ. καὶ ἐγὼ ἐξουδένωκα αὐτὸν μὴ βασιλεύειν ἐπὶ ἰσραήλ. πλῆσον τὸ κέρας σου ἐλαίου καὶ δεῦρο ἀποστελῶ σε πρὸς ἰεσσαὶ ἕως εἰς βηθλεέμ. ὅτι ἑώρακα ἐν τοῖς υἱοῖς αὐτοῦ ἐμοὶ βασιλέα. καὶ εἶπε σαμουήλ. πῶς πορευθῶ καὶ ἀκούσεται σαοὺλ καὶ ἀποκτενεῖ με. καὶ εἶπε κύριος. λάβε εἰς τὴν χεῖρά σου δάμαλιν βοῶν καὶ ἐρεῖς. θῦσαι τῷ κυρίῳ ἥκω, καὶ καλέσεις τὸν ἰεσσαὶ καὶ τοὺς υἱοὺς αὐτοῦ εἰς τὴν θυσίαν καὶ ἐγὼ γνωριῶ σοι ἃ ποιήσεις καὶ χρίσεις ὃν ἂν εἴπω πρός σε. καὶ ἐποίησε σαμουήλ, πάντα ὅσα ἐλάλησεν αὐτῷ κύριος. καὶ ἦλθεν εἰς βηθλεέμ. καὶ ἐξανέστησαν οἱ πρεσβύτεροι τῆς πόλεως τῇ ἀπαντήσει αὐτοῦ καὶ εἶπαν. εἰρήνη ἡ εἴσοδός σου ὁ βλέπων. καὶ εἶπεν. εἰρήνη. θῦσαι τῷ κυρίῳ ἥκω ἁγιάσθητε καὶ εὐφράνθητε μετ᾽ ἐμοῦ σήμερον. καὶ ἡγίασε τὸν ἰεσσαὶ καὶ τοὺς υἱοὺς αὐτοῦ καὶ ἐκάλεσεν αὐτοὺς, εἰς τὴν θυσίαν, καὶ ἐγενήθη ἐν τῷ εἰσιέναι αὐτοὺς, καὶ εἶδε τὸν ἐλιὰβ καὶ εἶπεν. ἀλλὰ καὶ ἐνώπιον κυρίου ὁ χριστὸς αὐτοῦ. καὶ εἶπε κύριος πρὸς σαμουήλ. μὴ ἐπιστρέψῃς ἐπὶ τὴν ὄψιν αὐτοῦ, μὴ δὲ εἰς τὴν ἕξιν μεγέθους αὐτοῦ, ὅτι ἐξουδένωκα αὐτόν. ὅτι οὐχ ὡς ἐμβλέψεται ἄνθρωπος, ὄψεται ὁ θεός. ὅτι ἄνθρωπος ὄψεται εἰς πρόσωπον. ὁ δὲ θεὸς ὄψεται εἰς καρδίαν. καὶ ἐκάλεσεν ἰεσσαὶ τὸν ἀμιναδὰβ καὶ παρῆλθε κατὰ πρόσωπον σαμουὴλ καὶ εἶπεν. οὐδὲ τοῦτον ἐξελέξατο κύριος. καὶ παρήγαγεν ἰεσσαὶ τὸν σαμμά. καὶ εἶπε καὶ ἐν τούτῳ οὐκ ἐξελέξατο κύριος. καὶ παρήγαγεν ἰεσσαὶ, τοὺς ἑπτὰ υἱοὺς αὐτοῦ, ἐνώπιον σαμουήλ. καὶ εἶπε σαμουὴλ πρὸς ἰεσσαί. οὐκ ἐξελέξατο κύριος ἐν τούτοις. καὶ εἶπε σαμουὴλ πρὸς ἰεσσαί. ἐκλελοίπασι τὰ παιδάρια; καὶ εἶπεν ἰεσσαί. ἔτι ὁ μικρὸς ἰδοὺ ποιμαίνει ἐν τῷ ποιμνίῳ καὶ εἶπε σαμουὴλ πρὸς ἰεσσαί. ἀπόστειλον καὶ λάβε αὐτὸν ὅτι οὐ μὴ κατακλιθῶμεν, ἕως, τοῦ ἐλθεῖν αὐτὸν ἐνταῦθα. καὶ ἀπέστειλε καὶ εἰσήγαγεν αὐτόν. καὶ αὐτὸς πυῤῥάκης μετὰ κάλλους ὀφθαλμῶν, καὶ ἀγαθὸς ὁράσει κυρίῳ. καὶ εἶπε κύριος πρὸς σαμουήλ.

ἀνάστα, καὶ χρῖσον τὸν δαδ. ὅτι οὗτός ἐστιν ἀγαθός. καὶ ἔλαβε σαμουὴλ τὸ κέρας τοῦ ἐλαίου, καὶ ἔχρισεν αὐτὸν ἐν μέσῳ τῶν ἀδελφῶν αὐτοῦ. καὶ ἐφήλατο πνεῦμα κυρίου ἐπὶ δαδ ἀπὸ τῆς ἡμέρας ἐκείνης καὶ ἐπάνω. καὶ ἀνέστη σαμουὴλ καὶ ἀπῆλθεν εἰς ἀρμαθαίμ. καὶ πνεῦμα κυρίου, ἀπέστη ἀπὸ σαοῦλ. καὶ ἔπνιγεν αὐτὸν πνεῦμα πονηρὸν παρὰ κυρίου. καὶ εἶπαν οἱ παῖδες σαοὺλ πρὸς αὐτόν. ἰδοὺ δὴ πνεῦμα πονηρὸν παρὰ κυρίου πνίγει σε. εἰπάτωσαν δὴ οἱ δοῦλοί σου ἐνώπιόν σου καὶ ζητησάτωσαν τῷ κυρίῳ ἡμῶν ἄνδρα εἰδότα ψάλλειν ἐν κινύρᾳ. καὶ ἔσται ἐν τῷ εἶναι τὸ πνεῦμα πονηρὸν ἐπὶ σοί, καὶ ψαλεῖ ἐν τῇ κινύρᾳ αὐτοῦ. καὶ ἀγαθόν σοι ἔσται καὶ ἀναπαύσει σε. καὶ εἶπε σαοὺλ πρὸς τοὺς παῖδας αὐτοῦ. ἴδετε δή μοι ἄνδρα ὀρθῶς ψάλλοντα. καὶ εἰσαγάγετε αὐτὸν πρός με. καὶ ἀπεκρίθη εἷς τῶν παιδαρίων αὐτοῦ καὶ εἶπεν. ἰδοὺ ἑώρακα υἱὸν τοῦ ἰεσσαὶ βηθλεεμίτην καὶ αὐτὸν εἰδότα ψάλλειν. καὶ ὁ ἀνὴρ συνετός. καὶ πολεμιστής. καὶ σοφὸς ἐν λόγῳ. καὶ ὁ ἀνὴρ ἀγαθὸς τῷ εἴδει. καὶ κύριος μετ' αὐτοῦ. καὶ ἀπέστειλε σαοὺλ ἀγγέλους πρὸς ἰεσσαὶ λέγων. ἐξαπόστειλον δαδ τὸν υἱόν σου πρός με τὸν ἐν τῷ ποιμνίῳ σου. καὶ ἔλαβεν ἰεσσαὶ γόμορ ἄρτων. καὶ ἀσκὸν οἴνου. καὶ ἔριφον αἰγῶν ἕνα. καὶ ἐξαπέστειλεν ἐν χειρὶ δαδ τοῦ υἱοῦ αὐτοῦ πρὸς σαούλ. καὶ εἰσῆλθε δαδ πρὸς σαούλ. καὶ παρειστήκει ἐνώπιον αὐτοῦ. καὶ ἠγάπησεν αὐτὸν σφόδρα. καὶ ἐγενήθη αὐτῷ αἴρων σκεύη αὐτοῦ. καὶ ἀπέστειλε σαοὺλ πρὸς ἰεσσαὶ λέγων· παριστάσθω δὴ δαβὶδ ἐνώπιον ἐμοῦ, ὅτι εὗρε χάριν ἐν ὀφθαλμοῖς μου. καὶ ἐγενήθη ἐν τῷ εἶναι πνεῦμα πονηρὸν ἐπὶ σαούλ, καὶ ἐλάμβανε δαβὶδ τὴν κινύραν καὶ ἔψαλλεν ἐν χειρὶ αὐτοῦ, καὶ ἀνέψυχε σαούλ, καὶ ἀγαθὸν ἦν αὐτῷ, καὶ ἀφίστατο ἀπ' αὐτοῦ τὸ πνεῦμα τὸ πονηρόν.

Κεφ. ιζ. 17.

Αἰ συνάγουσιν οἱ ἀλλόφυλοι τὰς παρεμβολὰς αὐτῶν
κ εἰς πόλεμον. καὶ συνάγονται εἰς σοκχὼθ τῆς ἰουδαίας

ας. καὶ παρεμβάλλουσιν ἀνὰ μέσον σοκχὼθ, καὶ ἀνὰ μέσον ἀζηκὰ ἐν ἀφεσδομμίν. καὶ σαοὺλ καὶ οἱ ἄνδρες ἰσραὴλ συνάγονται, καὶ παρεμβάλλουσιν ἐν τῇ κοιλάδι τῆς τερεβίνθου. οὗτοι καὶ οὗτοι. καὶ παρατάσσονται εἰς πόλεμον ἐξεναντίας τῶν ἀλλοφύλων. καὶ οἱ ἀλλόφυλοι ἵστανται ἐπὶ τοῦ ὄρους ἐνταῦθα. καὶ ἰσραὴλ ἵσταται ἐπὶ τοῦ ὄρους ἐνταῦθα. καὶ ὁ αὐλὼν ἀνὰ μέσον αὐτῶν. καὶ ἐξῆλθεν ἀνὴρ δυνατὸς ἐκ τῆς παρατάξεως τῶν ἀλλοφύλων, γολιὰθ ὄνομα αὐτῷ ἐκ γέθ. ὕψος αὐτοῦ, ἓξ πήχεων καὶ σπιθαμῆς. καὶ περικεφαλαία ἐπὶ τῆς κεφαλῆς αὐτοῦ. καὶ θώρακα ἁλυσιδωτὸν αὐτὸς ἐνδεδυκώς. καὶ ὁ σταθμὸς τοῦ θώρακος αὐτοῦ, πέντε χιλιάδων σίκλων χαλκοῦ καὶ σιδήρου. καὶ κνημῖδες χαλκαῖ ἐπὶ τῶν σκελῶν αὐτοῦ. καὶ ἀσπὶς χαλκῆ ἀνὰ μέσον τῶν ὤμων αὐτοῦ. καὶ ὁ κοντὸς τοῦ δόρατος αὐτοῦ ὡσεὶ μεσάντιον ὑφαινόντων. καὶ ἡ λόγχη αὐτοῦ, ἑξακοσίων σίκλων σιδήρου, καὶ ὁ αἴρων τὰ ὅπλα αὐτοῦ, προεπορεύετο αὐτοῦ. καὶ ἔστη καὶ ἀνεβόησε εἰς τὴν παράταξιν ἰσραὴλ καὶ εἶπεν αὐτοῖς. ἵνα τί ἐκπορεύεσθε παρατάξασθαι εἰς πόλεμον ἐξεναντίας ἡμῶν. οὐκ ἐγώ εἰμι ἀλλόφυλος. καὶ ὑμεῖς ἑβραῖοι τοῦ σαούλ; ἐκλέξασθε ἑαυτοῖς ἄνδρα καὶ καταβήτω πρός με. καὶ ἐὰν δυνηθῇ πολεμῆσαι πρός με. καὶ ἐὰν πατάξῃ με καὶ ἐσόμεθα ὑμῖν εἰς δούλους. ἐὰν δὲ ἐγὼ δυνηθῶ καὶ πατάξω αὐτὸν, ἔσεσθε ἡμῖν εἰς δούλους καὶ δουλεύσετε ἡμῖν. καὶ εἶπεν ὁ ἀλλόφυλος. ἰδοὺ ἐγὼ ὠνείδισα τὴν παράταξιν ἰσραὴλ σήμερον. ἐν τῇ ἡμέρᾳ ταύτῃ. δότε μοι ἄνδρα καὶ μονομαχήσωμεν ἀμφότεροι. καὶ ἤκουσε σαοὺλ. καὶ πᾶς ἰσραὴλ τὰ ῥήματα τοῦ ἀλλοφύλου ταῦτα, καὶ ἐξέστησαν καὶ ἐφοβήθησαν σφόδρα. καὶ ἦν δαβὶδ υἱὸς ἀνθρώπου ἐφραθαίου. οὗτος ἐκ βηθλεὲμ ἰούδα. καὶ ὄνομα αὐτῷ ἰεσσαί. καὶ αὐτῷ ὀκτὼ υἱοί. καὶ ὁ ἀνὴρ ἐν ταῖς ἡμέραις σαούλ. πρεσβύτερος ἐληλυθὼς ἐν ἀνδράσι. καὶ ἐπορεύθησαν οἱ τρεῖς υἱοὶ ἰεσσαὶ, οἱ μείζονες, ὀπίσω σαοὺλ εἰς πόλεμον. καὶ ὄνομα

τῶν υἱῶν αὐτοῦ τῶν πορευθέντων εἰς τὸν πόλεμον. ἐλιὰβ ὁ πρωτό-
τοκος αὐτοῦ. καὶ ὁ δεύτερος ἀμιναδάβ. καὶ ὁ τρίτος σαμμά. δα-
βὶδ, δὲ ὁ, μικρότερος. καὶ οἱ τρεῖς οἱ μείζονες ἐπορεύθησαν ὀ-
πίσω σαοὺλ. καὶ δαβὶδ ἀπῆλθε καὶ ἀνέστρεψεν ἀπὸ τοῦ σαοὺλ,
ποιμαίνων τὰ πρόβατα τοῦ πατρὸς αὐτοῦ ἐν βηθλεέμ. καὶ προ-
σῄει ὁ ἀλλόφυλος ὀρθρίζων καὶ ὀψίζων. καὶ ἐστηλώθη ἐνώπιον
ἰσραὴλ τεσσαράκοντα ἡμέρας. καὶ εἶπεν ἰεσσαὶ δαβὶδ τῷ
υἱῷ αὐτοῦ. λάβε δὴ τοῖς ἀδελφοῖς σου οἰφὶ τοῦ ἀλφίτου καὶ
δέκα ἄρτους τούτους, καὶ διάδραμε εἰς τὴν παρεμβολὴν καὶ
δὸς τοῖς ἀδελφοῖς σου. καὶ τὰς δέκα τρυφαλίδας τοῦ γάλακτος
τούτου εἰσοίσεις τῷ χιλιάρχῳ. καὶ τοὺς ἀδελφούς σου ἐπίσκεψαι
εἰς εἰρήνην. καὶ ὅσα ἂν χρήζωσι, γνώσῃ. καὶ τὸ σάββατον ποιήσεις
μετ' ἐμοῦ. Σαοὺλ δὲ αὐτὸς καὶ πᾶς ὁ λαὸς ἐν τῇ κοιλάδι τῆς
δρυὸς, πολεμοῦντες μετὰ τῶν ἀλλοφύλων. Καὶ ὤρθρισε δα-
βὶδ τὸ πρωῒ καὶ ἀφῆκε τὰ πρόβατα φύλακι. καὶ ἔλαβε καὶ ἀπῆλ-
θε καθὰ ἐνετείλατο αὐτῷ ἰεσσαί. καὶ ἦλθεν εἰς τὴν στρογγύλω-
σιν καὶ τὴν δύναμιν τὴν ἐκπορευομένην εἰς τὴν παράταξιν. καὶ
ἠλάλαξαν ἐν τῷ πολέμῳ. καὶ παρετάξαντο ἰσραὴλ καὶ οἱ ἀλ-
λόφυλοι παράταξιν ἐξεναντίας παρατάξεως. ἀποθέμενος δὲ
δαβὶδ τὰ σκεύη αὐτοῦ ἀφ' ἑαυτοῦ ἐπὶ χεῖρα τοῦ φύλακος, ἔδρα-
μεν εἰς τὴν παράταξιν, καὶ ἦλθε καὶ ἠρώτησε τοὺς ἀδελφοὺς αὐ-
τοῦ εἰς εἰρήνην. καὶ αὐτοῦ λαλοῦντος μετ' αὐτῶν, ἰδοὺ ὁ ἀνὴρ
ὁ ἀμεσσαῖος ἀνέβαινε γολιὰθ ὁ φιλισταῖος ὄνομα αὐτῷ ἐκ γὲθ
ἐκ τῶν παρατάξεων τῶν ἀλλοφύλων, καὶ ἐλάλησε κατὰ τὰ ῥή-
ματα ταῦτα. καὶ ἤκουσε δαβὶδ, καὶ πᾶς ἀνὴρ ἰσραὴλ ἐν τῷ
ἰδεῖν αὐτοὺς τὸν ἄνδρα. καὶ ἔφυγεν ἀπὸ προσώπου αὐτοῦ, καὶ ἐ-
φοβήθησαν σφόδρα, καὶ εἶπεν ἀνὴρ ἰσραήλ. εἰ ἑωράκατε τὸν
ἄνδρα τὸν ἀναβαίνοντα τοῦτον. ὅτι ὀνειδίσαι τὸν ἰσραὴλ ἀνέβη.
καὶ ἔσται ὁ ἀνὴρ ὃς ἂν πατάξῃ αὐτὸν. πλουτίσει αὐτὸν ὁ βασι-
λεὺς πλοῦτον μέγαν. καὶ τὴν θυγατέρα αὐτοῦ, δώσει αὐτῷ.

καὶ τὸν οἶκον τοῦ πατρὸς αὐτοῦ ποιήσει ἐλεύθερον ἐν τῷ
ἰσραήλ. καὶ εἶπε δαβὶδ πρὸς τοὺς ἄνδρας τοὺς συνεστη-
κότας μετ' αὐτοῦ λέγων. τί ποιηθήσεται τῷ ἀνδρὶ ὃς
ἂν πατάξῃ τὸν ἀλλόφυλον ἐκεῖνον, καὶ ἀφελεῖ ὀνειδισμὸν
ἀπὸ ἰσραήλ. ὅτι τίς ὁ ἀλλόφυλος ὁ ἀπερίτμητος οὗτος,
ὅτι ὠνείδισε παράταξιν θεοῦ ζῶντος, καὶ εἶπον αὐτῷ ὁ
λαὸς κατὰ τὸ ῥῆμα τοῦτο λέγων οὕτως ποιηθήσεται τῷ
ἀνδρὶ ὃς ἂν πατάξῃ αὐτόν. καὶ ἤκουσεν ἐλιὰβ ὁ ἀδελφὸς
αὐτοῦ ὁ μείζων, ἐν τῷ λαλεῖν αὐτὸν πρὸς τοὺς ἄνδρας.
καὶ ὠργίσθη θυμῷ ἐλιὰβ ἐν τῷ δαβίδ, καὶ εἶπεν. ἱνατί τοῦ-
το κατέβης. καὶ ἐπὶ τίνα ἀφῆκας τὰ μικρὰ πρόβατα ἐκεῖνα
ἐν τῇ ἐρήμῳ. ἐγὼ οἶδα τὴν ὑπερηφανίαν σου καὶ τὴν κακίαν
τῆς καρδίας σου. ὅτι ἕνεκεν τοῦ ἰδεῖν τὸν πόλεμον κατέβης.
καὶ εἶπε δαβίδ. τί ἐποίησα νῦν. οὐχὶ ῥῆμά ἐστι; καὶ ἀπέστρε-
ψε παρ' αὐτοῦ εἰς ἐναντίον ἑτέρου. καὶ εἶπε κατὰ τὸ ῥῆμα
τοῦτο, καὶ ἀπεκρίθη αὐτῷ ὁ λαὸς κατὰ τὸ ῥῆμα τοῦ πρώ-
του, καὶ ἠκούσθησαν οἱ λόγοι οὓς ἐλάλησε δαβίδ, καὶ ἀ-
νηγγέλη ἐνώπιον σαούλ. καὶ παρέλαβον αὐτὸν, καὶ εἰσήγα-
γον αὐτὸν πρὸς σαούλ. εἶπε δαβὶδ πρὸς σαούλ. μὴ δὴ συμ-
πεσέτω ἡ καρδία τοῦ κυρίου μου πρὸς αὐτὸν, ὁ δοῦλός σου
πορεύσεται, καὶ πολεμήσει μετὰ τοῦ ἀλλοφύλου τούτου.
καὶ εἶπε σαοὺλ πρὸς τὸν δαβίδ, οὐ μὴ δυνήσῃ πορευ-
θῆναι πρὸς τὸν ἀλλόφυλον τοῦ πολεμῆσαι μετ' αὐτοῦ. ὅτι
παιδάριον εἶ σύ. καὶ αὐτὸς ἀνὴρ πολεμιστὴς ἐκ νεότητος αὐτοῦ.
καὶ εἶπε δαβὶδ πρὸς σαούλ. ποιμαίνων ἦν ὁ δοῦλός σου τῷ
πατρὶ αὐτοῦ, ἐν τῷ ποιμνίῳ. καὶ ὅταν ἤρχετο ὁ λέων καὶ ἡ ἄρ-
κτος, καὶ ἐλάμβανον πρόβατον ἓν ἐκ τῆς ἀγέλης, καὶ ἐ-
ξεπορευόμην ὀπίσω αὐτοῦ καὶ ἐπάταξα αὐτὸν καὶ ἐξέσπασα
ἐκ τοῦ σόματος αὐτοῦ. καὶ εἰ ἐπανίστατο ἐπ' ἐμὲ, ἐκράτησα
τοῦ φάρυγγος αὐτοῦ, καὶ ἐπάταξα, καὶ ἐθανάτωσα αὐτόν. καὶ

τὸν λέοντα καὶ τὴν ἄρκτον, ἔτυπτεν ὁ δοῦλός σου. καὶ ἔσται ὁ ἀλλόφυλος ὁ ἀπερίτμητος, ὡς ἓν τούτων. οὐχὶ πορεύσομαι καὶ πατάξω αὐτὸν καὶ ἀφελῶ σήμερον ὄνειδος ἐξ ἰσραήλ; διότι τίς ὁ ἀπερίτμητος οὗτος ὃς ὠνείδισε παράταξιν θεοῦ ζῶντος. καὶ εἶπε δαβίδ. κύριος ὃς ἐξείλετό με ἐκ χειρὸς τοῦ λέοντος καὶ ἐκ χειρὸς τῆς ἄρκτου, αὐτὸς ἐξελεῖταί με ἐκ χειρὸς τοῦ ἀλλοφύλου τοῦ ἀπεριτμήτου τούτου. καὶ εἶπε σαοὺλ πρὸς δαβίδ. πορεύου καὶ ἔσται κύριος μετὰ σοῦ. καὶ ἐνέδυσε σαοὺλ τὸν δαβίδ τὸν μανδύαν. καὶ τὴν περικεφαλαίαν χαλκὴν περὶ τὴν κεφαλὴν αὐτοῦ. καὶ ἔζωσε τὸν δαβίδ θώρακα. καὶ περιεζώσατο δαβίδ τὴν ῥομφαίαν αὐτοῦ, ἐπάνω τοῦ μανδύου αὐτοῦ. καὶ ἐκοπίασε περιπατήσας ἅπαξ, καὶ δίς. ὅτι ἄπειρος ἦν. καὶ εἶπε δαβίδ πρὸς σαούλ. οὐ μὴ δύνωμαι πορευθῆναι ἐν τούτοις, ὅτι οὐ πεπείραμαι. καὶ ἀφαιροῦσιν αὐτὰ ἀπ' αὐτοῦ. καὶ ἔλαβε τὴν βακτηρίαν αὐτοῦ ἐν τῇ χειρὶ αὐτοῦ. καὶ ἐξελέξατο ἑαυτῷ πέντε λίθους λείους ἐκ τοῦ χειμάῤῥου, καὶ ἔθετο αὐτοὺς ἐν τῷ καδίῳ τῷ ποιμενικῷ τῷ ὄντι αὐτῷ εἰς συλλογήν. καὶ σφενδόνη αὐτοῦ ἐν τῇ χειρὶ αὐτοῦ, καὶ προσῆλθε πρὸς τὸν ἄνδρα τὸν ἀλλόφυλον. καὶ ἐπορεύθη ὁ ἀλλόφυλος πορευόμενος καὶ ἐγγίζων πρὸς δαβίδ, καὶ ὁ ἀνὴρ ὁ αἴρων τὸν θυρεὸν ἔμπροσθεν αὐτοῦ. καὶ ἐπέβλεψε γολιὰθ ὁ ἀλλόφυλος καὶ εἶδε τὸν δαβίδ καὶ ἐξητίμασεν αὐτόν. ὅτι αὐτὸς ἦν παιδάριον καὶ αὐτὸς πυῤῥάκης μετὰ κάλλους ὀφθαλμῶν, καὶ εἶπεν ὁ ἀλλόφυλος πρὸς δαβίδ. ὡσεὶ κύων ἐγώ εἰμι, ὅτι σὺ ἔρχῃ ἐπ' ἐμὲ ἐν ῥάβδῳ καὶ λίθοις; καὶ εἶπε δαβίδ, οὐχί. ἀλλὰ καὶ χείρων κυνός. καὶ κατηράσατο ὁ ἀλλόφυλος τὸν δαβίδ ἐν τοῖς θεοῖς αὐτοῦ. καὶ εἶπεν ὁ ἀλλόφυλος πρὸς δαβίδ. δεῦρο πρός με καὶ δώσω τὰς σάρκας σου τοῖς πετεινοῖς τοῦ οὐρανοῦ, καὶ τοῖς θηρίοις τῆς γῆς. καὶ εἶπε δαβίδ πρὸς τὸν ἀλλόφυλον. σὺ ἔρχῃ πρός με ἐν ῥομφαίᾳ καὶ ἐν δόρατι καὶ ἐν ἀσπίδι. κἀγὼ πορεύσομαι πρὸς σὲ ἐν ὀνόματι κυρίου θεοῦ σαβ

σαβαώθ. θεοῦ παρατάξεως ἰσραήλ, ἣν ὠνείδισας σήμερον. καὶ ἀπο-
κλείσει σε κύριος σήμερον εἰς τὴν χεῖρά μου, καὶ ἀποκτενῶ σε
καὶ ἀφελῶ τὴν κεφαλήν σου ἀπὸ σοῦ. καὶ δώσω τὰ κῶλά σου καὶ
τὰ κῶλα παρεμβολῆς ἀλλοφύλων ἐν ταύτῃ τῇ ἡμέρᾳ τοῖς πε-
τεινοῖς τοῦ οὐρανοῦ καὶ τοῖς θηρίοις τῆς γῆς. καὶ γνώσεται πᾶσα ἡ
γῆ, ὅτι ἐστι κύριος ὁ θεὸς ἐν ἰσραήλ. καὶ γνώσεται πᾶσα ἡ ἐκκλη-
σία αὕτη, ὅτι οὐκ ἐν ῥομφαίᾳ καὶ δόρατι σώζει κύριος. ὅτι τοῦ κυ-
ρίου ὁ πόλεμος. καὶ παραδώσει κύριος ὑμᾶς εἰς χεῖρας ἡμῶν.
καὶ ἀνέστη ὁ ἀλλόφυλος καὶ ἐπορεύθη καὶ ἤγγισεν εἰς συνάντη-
σιν τοῦ δαβίδ. καὶ ἐτάχυνε δαβίδ, καὶ ἔδραμεν εἰς τὴν παρά-
ταξιν εἰς ἀπάντησιν τοῦ ἀλλοφύλου. καὶ ἐξέτεινε δαβίδ τὴν χεῖ-
ρα αὐτοῦ εἰς τὸ κάδιον, καὶ ἔλαβεν ἐκεῖθεν λίθον ἕνα καὶ ἐσφεν-
δόνησε καὶ ἐπάταξε τὸν ἀλλόφυλον ἐπὶ τὸ μέτωπον αὐτοῦ. καὶ
διέδυ ὁ λίθος διὰ τῆς περικεφαλαίας εἰς τὸ μέτωπον αὐτοῦ. καὶ
ἔπεσεν ἐπὶ πρόσωπον αὐτοῦ ἐπὶ τὴν γῆν. καὶ ἐκραταίωσε δα-
βίδ ἐπὶ τὸν ἀλλόφυλον καὶ ἐθανάτωσεν αὐτὸν ἐν τῇ σφενδό-
νῃ καὶ ἐν τῷ λίθῳ. καὶ ἐπάταξε τὸν ἀλλόφυλον. καὶ ῥομφαία
οὐκ ἦν ἐν χειρὶ δαβίδ, καὶ ἔδραμε δαβίδ, καὶ ἐπέστη ἐπ' αὐ-
τὸν καὶ ἔλαβε τὴν ῥομφαίαν αὐτοῦ καὶ ἐξέσπασεν αὐτὴν ἐκ τοῦ
κολεοῦ αὐτοῦ, καὶ ἐθανάτωσεν αὐτόν. καὶ ἀφεῖλεν ἐν αὐτῇ
τὴν κεφαλὴν αὐτοῦ. καὶ εἶδον οἱ ἀλλόφυλοι, ὅτι τέθνηκεν ὁ δυνα-
τὸς αὐτῶν, καὶ ἔφυγον. καὶ ἀνίστανται ἄνδρες ἰσραήλ, καὶ ἰούδα,
καὶ ἠλάλαξαν καὶ κατεδίωξαν ὀπίσω αὐτῶν ἕως εἰσόδου γὲθ
καὶ ἕως τῆς πύλης ἀσκάλωνος. καὶ ἔπεσον τραυματίαι τῶν ἀλλο-
φύλων ἐν τῇ ὁδῷ τῶν πυλῶν καὶ ἕως γὲθ, καὶ ἕως ἀκκαρῶν. καὶ
ἀνέστρεψαν ἄνδρες ἰσραὴλ ἐκκλίνοντες ὀπίσω τῶν ἀλλοφύ-
λων, καὶ κατεπάτουν τὰς παρεμβολὰς αὐτῶν. καὶ ἔλαβε δαβίδ
τὴν κεφαλὴν τοῦ ἀλλοφύλου, καὶ ἀνήνεγκεν αὐτὴν εἰς ἱερουσα-
λήμ. καὶ τὰ σκεύη αὐτοῦ ἔθηκεν ἐν τῷ σκηνώματι αὐτοῦ. καὶ ὡς
εἶδε σαοὺλ τὸν δαβίδ ἐκπορευόμενον εἰς συνάντησιν τοῦ ἀλλο

φύλου, εἶπε πρὸς ἀβεννὴρ τὸν ἄρχοντα τῆς δυνάμεως. υἱὸς τίνος ὁ νεανίσκος οὗτος ἀβεννήρ. καὶ εἶπεν ἀβεννήρ. ζῇ ἡ ψυχή σου βασιλεῦ εἰ οἶδα. καὶ εἶπεν ὁ βασιλεύς. ἐπερώτησον σὺ υἱὸς τίνος ὁ νεανίσκος οὗτος. καὶ ὡς ἐπέστρεψε δαβὶδ τοῦ πατάξαι τὸν ἀλλόφυλον, καὶ παρέλαβεν αὐτὸν ἀβεννήρ, καὶ εἰσήγαγεν αὐτὸν ἐνώπιον σαοὺλ. καὶ ἡ κεφαλὴ τοῦ ἀλλοφύλου ἐν τῇ χειρὶ αὐτοῦ. καὶ εἶπε πρὸς αὐτὸν σαοὺλ. υἱὸς τίνος εἶ παιδάριον. καὶ εἶπε δαβίδ. υἱὸς τοῦ δούλου σου ἰεσσαὶ τοῦ βηθλεεμίτου.

Κεφάλαιον ιη'. 18.

Καὶ ἐγένετο, ὡς συνετέλεσε λαλῶν πρὸς σαούλ, καὶ ἡ ψυχὴ ἰωνάθαν συνεδέθη τῇ ψυχῇ δαβίδ. καὶ ἠγάπησεν αὐτὸν ἰωνάθαν κατὰ τὴν ψυχὴν αὐτοῦ. καὶ ἔλαβεν αὐτὸν σαοὺλ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ οὐκ ἔδωκεν αὐτὸν ἐπιστρέψαι ἐν τῷ οἴκῳ τοῦ πατρὸς αὐτοῦ. καὶ διέθετο ἰωνάθαν καὶ δαβὶδ διαθήκην ἐν τῷ ἀγαπᾷν αὐτὸν κατὰ τὴν ψυχὴν αὐτοῦ. καὶ ἐξεδύσατο ἰωνάθαν τὸν ἐπενδύτην τὸν ἐπ' αὐτῷ, καὶ ἔδωκεν αὐτὸν τῷ δαβίδ. καὶ τὸν μανδύαν αὐτοῦ. καὶ ἕως τῆς ῥομφαίας αὐτοῦ. καὶ ἕως τοῦ τόξου αὐτοῦ. καὶ ἕως τῆς ζώνης αὐτοῦ. καὶ ἐξεπορεύετο δαβὶδ ἐν πᾶσιν οἷς ἀπέστελλεν αὐτὸν σαοὺλ συνῆκεν. καὶ κατέστησεν αὐτὸν σαοὺλ ἐπὶ τοὺς ἄνδρας τοῦ πολέμου. καὶ ἤρεσεν ἐν ὀφθαλμοῖς παντὸς τοῦ λαοῦ. καί γε ἐν ὀφθαλμοῖς δούλων σαούλ. καὶ ἐγενήθη ἐν τῷ εἰσπορεύεσθαι αὐτοὺς ἐν τῷ ἐπιστρέφειν δαβὶδ ἀπὸ τοῦ πατάξαι τὸν ἀλλόφυλον, καὶ ἐξῆλθον αἱ χορεύουσαι εἰς συνάντησιν δαβὶδ ἐκ πασῶν τῶν πόλεων ἰσραήλ. ᾄδουσαι καὶ χορεύουσαι εἰς συνάντησιν σαοὺλ τοῦ βασιλέως, ἐν τυμπάνοις καὶ ἐν χαρμοσύνῃ, καὶ ἐν κυμβάλοις. καὶ ἐξῆρχον αἱ γυναῖκες αἱ παίζουσαι καὶ ἔλεγον. ἐπάταξε σαοὺλ ἐν χιλιάσιν αὐτοῦ, καὶ δαβὶδ ἐν μυριάσιν αὐτοῦ. καὶ πονηρὸν ἐφάνη τὸ ῥῆμα σφόδρα, ἐν ὀφθαλμοῖς σαοὺλ περὶ τοῦ λόγου τούτου, καὶ εἶπεν. τῷ δαβὶδ ἔδωκαν τὰς μυριάδας, καὶ ἐμοὶ ἔδωκαν τὰς

χιλιάδας; καὶ τί αὐτῷ, πλὴν ἡ βασιλεία. καὶ ἦν σαοὺλ ὑποβλεπόμενος τὸν δαβὶδ ἀπὸ τῆς ἡμέρας ἐκείνης καὶ ἐπέκεινα. καὶ ἐγενήθη ἀπὸ τῆς ἐπαύριον καὶ ἔπεσε πνεῦμα θεοῦ πονηρὸν ἐπὶ σαοὺλ, καὶ προεφήτευσεν ἐν μέσῳ τοῦ οἴκου αὐτοῦ. καὶ δαβὶδ ἔψαλλεν ἐν χειρὶ αὐτοῦ, ὡς καθ' ἑκάστην ἡμέραν. καὶ τὸ δόρυ ἐν τῇ χειρὶ σαοὺλ. καὶ ἦρε σαοὺλ τὸ δόρυ, καὶ εἶπε. παταξῶ ἐν δαβὶδ καὶ ἐν τῷ τοίχῳ, καὶ ἐξέκλινε δαβὶδ ἀπὸ προσώπου αὐτοῦ δίς, καὶ ἐφοβήθη σαοὺλ ἀπὸ προσώπου δαβὶδ, ὅτι ἦν κύριος μετ' αὐτοῦ. καὶ ἀπὸ σαοὺλ ἀπέστη. καὶ ἀπέστησεν αὐτὸν σαοὺλ ἀπ' αὐτοῦ. καὶ κατέστησεν αὐτὸν ἑαυτῷ, χιλίαρχον. καὶ ἐξεπορεύετο καὶ εἰσεπορεύετο ἔμπροσθεν τοῦ λαοῦ. καὶ ἦν δαβὶδ ἐν πάσαις ταῖς ὁδοῖς αὐτοῦ συνιῶν, καὶ κύριος ἦν μετ' αὐτοῦ. καὶ εἶδε σαοὺλ, ὡς αὐτὸς συνιεῖ σφόδρα. καὶ εὐλαβεῖτο ἀπὸ προσώπου αὐτοῦ. καὶ πᾶς ἰσραὴλ. καὶ ἰούδας ἠγάπα τὸν δαβὶδ, ὅτι αὐτὸς ἦν ἐξεπορεύετο καὶ εἰσεπορεύετο πρὸ προσώπου τοῦ λαοῦ. καὶ εἶπε σαοὺλ πρὸς δαβίδ. ἰδοὺ ἡ θυγάτηρ μου ἡ μείζων μερὸβ, αὐτήν σοι δώσω εἰς γυναῖκα. πλὴν γίνου μοι εἰς υἱὸν δυνάμεως, καὶ πολέμει τοὺς πολέμους κυρίου. καὶ σαοὺλ εἶπε. μὴ ἔστω ἡ χείρ μου ἐπ' αὐτῷ. καὶ ἔσται ἐπ' αὐτὸν χεὶρ ἀλλοφύλων. καὶ εἶπε δαβὶδ πρὸς σαοὺλ. τίς ἐγώ εἰμι, καὶ ἡ ζωὴ τῆς συγγενείας τοῦ πατρός μου ἐν ἰσραὴλ. ὅτι ἔσομαι γαμβρὸς τοῦ βασιλέως. καὶ ἐγενήθη ἐν τῷ καιρῷ τοῦ δοθῆναι τὴν μερὸβ θυγατέρα σαοὺλ τῷ δαβὶδ, καὶ αὐτὴ ἐδόθη τῷ ἐσδριὴλ τῷ μολαθίτῃ εἰς γυναῖκα. καὶ ἠγάπησε μελχὸλ ἡ θυγάτηρ σαοὺλ τὸν δαβίδ. καὶ ἀπηγγέλη τῷ σαοὺλ, καὶ ηὐθύνθη τὸ ῥῆμα ἐν ὀφθαλμοῖς αὐτοῦ. καὶ εἶπε σαοὺλ, δώσω αὐτὴν αὐτῷ, καὶ ἔσται αὐτῷ εἰς σκάνδαλον. καὶ ἦν ἐπὶ σαοὺλ χεὶρ ἀλλοφύλων. καὶ εἶπε σαοὺλ πρὸς δαβίδ. ἐν ταῖς δυνάμεσιν ἐπιγαμβρεύσεις μοι σήμερον. καὶ ἐνετείλατο σαοὺλ τοῖς παισὶν αὐτοῦ λέγων. λαλήσατε ὑμεῖς λάθρα τῷ δαβὶδ λέγοντες. ἰδοὺ θέλει ἐν σοὶ ὁ βασιλεὺς, καὶ πάντες

οἱ παῖδές αὐτοῦ ἀγαπῶσί σε. καὶ σὺ ἐπιγάμβρευσον τῷ βασι-
λεῖ. καὶ ἐλάλησαν οἱ παῖδες σαοὺλ εἰς τὰ ὦτα δαβὶδ κατὰ τὰ
ῥήματα ταῦτα. καὶ εἶπε δαβίδ. εἰ κοῦφον ἐν ὀφθαλμοῖς ὑμῶν ἐ-
πιγαμβρεῦσαι βασιλεῖ. κἀγὼ ἀνὴρ ταπεινὸς καὶ οὐχὶ ἔνδοξος.
καὶ ἀπήγγειλαν οἱ παῖδες σαοὺλ αὐτῷ κατὰ τὰ ῥήματα ταῦτα
ἃ ἐλάλησε δαβίδ. καὶ εἶπε σαούλ. τάδε ἐρεῖτε τῷ δαβίδ. οὐ
βούλεται ὁ βασιλεὺς ἐν δόματι. ἀλλ' ἢ ἐν ἑκατὸν ἀκροβυστίαις ἀλλο-
φύλων ἐκδικῆσαι εἰς ἐχθροὺς τοῦ βασιλέως. καὶ σαοὺλ ἐλογίσα-
το ἐμβαλεῖν τὸν δαβίδ. εἰς χεῖρας τῶν ἀλλοφύλων. καὶ ἀπαγγέλ-
λουσιν οἱ παῖδες σαοὺλ τῷ δαβίδ, κατὰ τὰ ῥήματα ταῦτα.
καὶ ηὐθύνθη ὁ λόγος ἐν ὀφθαλμοῖς δαβὶδ ἐπιγαμβρεῦσαι τῷ
βασιλεῖ. καὶ οὐκ ἐπληρώθησαν αἱ ἡμέραι. καὶ ἀνέστη δαβίδ, καὶ
ἐπορεύθη αὐτὸς καὶ οἱ ἄνδρες αὐτοῦ. καὶ ἐπάταξεν ἐν τοῖς ἀλλο-
φύλοις ἑκατὸν ἄνδρας. καὶ ἀνήνεγκε τὰς ἀκροβυστίας αὐτῶν, καὶ
ἐπλήρωσεν αὐτὰς τῷ βασιλεῖ. καὶ ἐπιγαμβρεύεται τῷ βα-
σιλεῖ. καὶ δίδωσιν αὐτῷ σαοὺλ τὴν μελχὸλ θυγατέρα αὐτοῦ
αὐτῷ εἰς γυναῖκα. καὶ εἶδε σαούλ, καὶ ἔγνω, ὅτι κύριος μετὰ δα-
βὶδ καὶ πᾶς ἰσραὴλ ἀγαπᾷ αὐτόν. Καὶ προσέθετο εὐλαβεῖ-
σθαι ἀπὸ δαβὶδ ἔτι. καὶ ἐγένετο δαβὶδ ἐχθραίνων τὸν σαούλ
πάσας τὰς ἡμέρας. καὶ ἐξῆλθον οἱ ἄρχοντες τῶν ἀλλοφύλων.
καὶ ἐγένετο ἐφ' ἱκανοῦ ἐξοδίας αὐτῶν, καὶ συνετὸς ἦν δα-
βὶδ, παρὰ πάντας τοὺς δούλους σαούλ. καὶ ἐτιμήθη τὸ ὄνο-
μα αὐτοῦ σφόδρα.

### Κεφάλαιον ιθ'. 19.

Αἰ ἐλάλησε σαοὺλ πρὸς ἰωνάθαν τὸν υἱὸν αὐτοῦ, καὶ
κ πρὸς πάντας τοὺς παῖδας αὐτοῦ. τοῦ θανατῶσαι τὸν
δαβίδ. καὶ ἰωνάθαν ὁ υἱὸς σαούλ, ᾑρεῖτο τὸν δαβὶδ
σφόδρα. καὶ ἀπήγγειλεν ἰωνάθαν τῷ δαβὶδ λέγων. σαοὺλ ὁ
πατήρ μου ζητεῖ θανατῶσαί σε. φύλαξαι οὖν αὔριον τῷ πρωῒ
καὶ κρύβηθι καὶ κάθισον κρυφῇ. καὶ ἐγὼ ἐξελεύσομαι καὶ στήσο-

μαι ἐυχόμενος τοῦ πατρός μου ἐν ἀγρῷ. οὗ ἐὰν ᾖς ἐκεῖ. καὶ ἐγὼ
λαλήσω περὶ σοῦ πρὸς τὸν πατέρα μου, καὶ ὄψομαι ὅτι ἐὰν ᾖ καὶ
ἀπαγγελῶ σοι. καὶ ἐλάλησεν ἰωνάθαν περὶ δαβὶδ ἀγαθὰ πρὸς
σαοὺλ τὸν πατέρα αὐτοῦ καὶ εἶπε πρὸς αὐτόν. μὴ ἁμαρτησάτω
ὁ βασιλεὺς εἰς τὸν δοῦλον σου δαβίδ. ὅτι οὐχ ἡμάρτηκεν εἰς
σέ. καὶ τὰ ποιήματα αὐτοῦ ἀγαθά σοι σφόδρα. καὶ ἔθετο τὴν
ψυχὴν αὐτοῦ, ἐν τῇ χειρὶ αὐτοῦ. καὶ ἐπάταξε τὸν ἀλλόφυλον. καὶ
ἐποίησε κύριος σωτηρίαν μεγάλην. καὶ πᾶς ἰσραὴλ εἶδον, καὶ
ἐχάρησαν. καὶ ἱνατὶ ἁμαρτάνεις εἰς αἷμα ἀθῷον θανατῶσαι
τὸν δαβὶδ δωρεάν. καὶ ἤκουσε σαοὺλ τῆς φωνῆς ἰωνάθαν. καὶ
ὤμοσε σαοὺλ λέγων. ζῇ κύριος εἰ ἀποθανεῖται. καὶ ἐκάλεσεν
ἰωνάθαν τὸν δαβίδ, καὶ ἀπήγγειλεν αὐτῷ πάντα τὰ ῥήμα-
τα ταῦτα. καὶ εἰσήγαγεν ἰωνάθαν τὸν δαβὶδ πρὸς σαοῦλ. καὶ
ἦν ἐνώπιον αὐτοῦ, ὡς ἐχθὲς καὶ τρίτην ἡμέραν. Καὶ προσέθετο
ὁ πόλεμος γενέσθαι πρὸς σαοῦλ. καὶ κατίσχυσε δαβίδ. καὶ
ἐπολέμησε τοὺς ἀλλοφύλους. Καὶ ἐπάταξεν αὐτοὺς, πληγὴν
μεγάλην σφόδρα. καὶ ἔφυγον ἐκ προσώπου αὐτοῦ. καὶ ἐγένετο
πνεῦμα κυρίου πονηρὸν ἐπὶ σαούλ, καὶ αὐτὸς ἐν οἴκῳ αὐτοῦ κα-
θεύδων. καὶ τὸ δόρυ ἐν τῇ χειρὶ αὐτοῦ. καὶ δαβὶδ ἔψαλλεν ἐν
ταῖς χερσὶν αὐτοῦ. καὶ ἐζήτει σαοὺλ πατάξαι τὸ δόρυ εἰς δα-
βίδ. καὶ ἀπέστη δαβίδ, ἐκ προσώπου σαοῦλ. καὶ ἐπάταξε τὸ δό-
ρυ εἰς τὸν τοῖχον. καὶ δαβὶδ ἀνεχώρησε καὶ διεσώθη. καὶ ἐγενή-
θη ἐν τῇ νυκτὶ ἐκείνῃ, καὶ ἀπέστειλε σαοὺλ ἀγγέλους εἰς οἶκον δα-
βὶδ φυλάξαι αὐτὸν τοῦ θανατῶσαι αὐτὸν πρωΐ. καὶ ἀπήγγειλε
τῷ δαβὶδ μελχὸλ ἡ γυνὴ αὐτοῦ λέγουσα. ἐὰν μὴ σὺ σώσῃς
τὴν ψυχήν σου τὴν νύκτα ταύτην, αὔριον θανατωθήσῃ. καὶ κα-
τάγει ἡ μελχὸλ τὸν δαβὶδ διὰ τῆς θυρίδος, καὶ ἀπῆλθε καὶ ἔ-
φυγε καὶ σώζεται. καὶ ἔλαβε μελχὸλ τὰ κενοτάφια, καὶ ἔθετο ἐπὶ
τὴν κλίνην. καὶ ἧπαρ τῶν αἰγῶν ἔθετο πρὸς κεφαλῆς αὐτοῦ. καὶ
ἐκάλυψεν αὐτὰ ἐν ἱματίῳ. καὶ ἀπέστειλε σαοὺλ ἀγγέλους, λα-

βεῖν τὸν

ἐὰν τὸν δαβὶδ. καὶ λέγουσιν ἐνοχλεῖσθαι αὐτὸν, καὶ ἀποστέλλει ἐπὶ τὸν δαβὶδ λέγων· ἀγάγετε αὐτὸν ἐπὶ τῆς κλίνης πρός με τοῦ θανατῶσαι αὐτόν. καὶ ἔρχονται οἱ ἄγγελοι. καὶ ἰδοὺ τὰ κενοτάφια ἐπὶ τῆς κλίνης. καὶ τὸ ἧπαρ τῶν αἰγῶν. καὶ τὸ στρογγύλωμα τῶν τριχῶν, πρὸς κεφαλῆς αὐτοῦ. καὶ εἶπε σαοὺλ τῇ μελχόλ. ἵνα τί οὕτως παρελογίσω με καὶ ἐξαπέστειλας τὸν ἐχθρόν μου, καὶ διεσώθη. καὶ εἶπε μελχὸλ τῷ σαοὺλ. αὐτὸς εἶπέ μοι ἐξαπόστειλόν με. εἰ δὲ μὴ, θανατώσω σε. καὶ δαβὶδ ἔφυγε καὶ διεσώθη. καὶ παραγίνεται πρὸς σαμουὴλ εἰς ἀρμαθαὶμ, καὶ ἀπαγγέλλει αὐτῷ, πάντα ὅσα ἐποίησεν αὐτῷ σαοὺλ. καὶ ἐπορεύθη σαμουὴλ καὶ δαβὶδ, καὶ ἐκάθισαν ἐν ναυὰθ ἐν ῥαμᾶ. καὶ ἀπηγγέλη τῷ σαοὺλ λέγοντες. ἰδοὺ δαβὶδ ἐν ναυὰθ ἐν ῥαμᾶ. καὶ ἀπέστειλε σαοὺλ ἀγγέλους λαβεῖν τὸν δαβίδ. καὶ ἐλθόντες, εἶδον τὴν ἐκκλησίαν τῶν προφητῶν. καὶ σαμουὴλ εἱστήκει καὶ καθεστηκὼς ἐπ' αὐτῶν. καὶ ἐγενήθη ἐπὶ τοὺς ἀγγέλους τοῦ σαοὺλ πνεῦμα θεοῦ καὶ προφητεύουσι καὶ αὐτοί. καὶ ἀπηγγέλη τῷ σαοὺλ. καὶ ἀπέστειλεν ἀγγέλους ἑτέρους. καὶ προεφήτευσαν καὶ αὐτοί. καὶ προσέθετο σαοὺλ ἀποστεῖλαι ἀγγέλους τρίτους καὶ προεφήτευσαν καὶ αὐτοί. καὶ ἐθυμώθη ὀργῇ σαοὺλ καὶ ἐπορεύθη καὶ αὐτὸς εἰς ἀρμαθαὶμ, καὶ ἔρχεται ἕως τοῦ φρέατος τοῦ ἅλω τοῦ ἐν τῷ σεφί. καὶ ἠρώτησε καὶ εἶπε, ποῦ σαμουὴλ καὶ δαβίδ. καὶ εἶπαν. ἰδοὺ ἐν ναυὰθ ἐν ῥαμᾶ. καὶ ἐπορεύθη ἐκεῖθεν εἰς ναυὰθ ἐν ῥαμᾶ. καὶ ἐγενήθη ἐπ' αὐτῷ πνεῦμα θεοῦ. καὶ ἐπορεύετο πορευόμενος προφητεύων ἕως τοῦ ἐλθεῖν αὐτὸν ἐν ναυὰθ ἐν ῥαμᾶ. καὶ ἐξεδύσατο τὰ ἱμάτια αὐτοῦ. καὶ προεφήτευσεν ἐνώπιον αὐτῶν. καὶ ἔπεσε γυμνὸς ὅλην τὴν ἡμέραν ἐκείνην. καὶ ὅλην τὴν νύκτα. διὰ τοῦτο ἔλεγον εἰ καὶ σαοὺλ ἐν προφήταις.

Κεφάλαιον κ. 20.

κ Καὶ ἀπέδρα δαβὶδ ἐν ναυὰθ ἐν ῥαμᾶ. καὶ ἔρχεται ἐ-
νώπιον ἰωνάθαμ. καὶ εἶπε. τί πεποίηκα. καὶ τί τὸ ἀδι-

κημά μου· καὶ τί ἡμάρτηκα ἐνώπιον τοῦ πατρός σου, ὅτι
ἐπιζητεῖ τὴν ψυχήν μου. καὶ εἶπεν αὐτῷ ἰωνάθαν· μηδαμῶς
σὺ οὐ μὴ ἀποθάνῃς· ἰδοὺ οὐ μὴ ποιήσῃ ὁ πατήρ μου ῥῆ-
μα μέγα, ἢ μικρὸν, καὶ οὐκ ἀποκαλύψει τὸ ὠτίον μου. καὶ τί ὅ-
τι κρύψει ὁ πατήρ μου ἀπ' ἐμοῦ τὸ ῥῆμα τοῦτο. καὶ ἀπεκρίθη δα-
βὶδ τῷ ἰωνάθαν, καὶ εἶπε· γινώσκων οἶδεν ὁ πατήρ σου, ὅτι εὕρη-
κα χάριν ἐν ὀφθαλμοῖς σου καὶ εἶπε· μὴ γνώτω τοῦτο ἰωνάθαν· μὴ οὐ μὴ
βούλεται. ἀλλὰ ζῇ κύριος καὶ ζῇ ἡ ψυχή σου, ὅτι καθὼς εἶπον ἐμ-
πέπλησται ἀνὰ μέσον ἐμοῦ, καὶ ἀνὰ μέσον τοῦ πατρός σου, ἕως θανάτου.
καὶ εἶπεν ἰωνάθαν πρὸς δαβίδ· τί ἐπιθυμεῖ ἡ ψυχή σου καὶ τί
ποιήσω σοι. καὶ εἶπε δαβὶδ πρὸς ἰωνάθαν· ἰδοὺ δὴ νεομηνία
αὔριον. καὶ ἐγὼ καθίσας, οὐ καθίσομαι μετὰ τοῦ βασιλέως φαγεῖν·
καὶ ἐξαποστελεῖς με, καὶ κρυβήσομαι ἐν τῷ πεδίῳ, ἕως δείλης.
καὶ ἐὰν ἐπισκεπτόμενος ἐπισκέψηταί με ὁ πατήρ σου, καὶ ἐρεῖς
παραιτούμενος παρῃτήσατο ἀπ' ἐμοῦ δαβὶδ δραμεῖν ἕως βηθ-
λεὲμ τὴν πόλιν αὐτοῦ. ὅτι θυσία τῶν ἡμερῶν ἐκεῖ ὅλῃ τῇ φυλῇ.
ἐὰν δὲ ἔπῃ ἀγαθῶς, εἰρήνη τῷ δούλῳ σου. καὶ ἐὰν σκληρῶς
ἀποκριθῇ σοι, γνῶθι ὅτι συντετέλεσται ἡ κακία παρ' αὐτοῦ. καὶ
ποιήσεις ἔλεος μετὰ τοῦ δούλου σου. ὅτι εἰσήγαγον τὴν δια-
θήκην κυρίου τὸν δοῦλόν σου μετὰ σεαυτοῦ, καὶ εἰ ἔστιν ἀδικία
ἐν τῷ δούλῳ σου, θανάτωσόν με σύ. καὶ ἕως τοῦ πατρός σου, ἵνα
τί οὕτως ἀπάγεις με. καὶ εἶπεν ἰωνάθαν· μηδαμῶς σύ, ὅτι ἐὰν γινώ-
σκων γνῶ, ὅτι συντετέλεσται ἡ κακία παρὰ τοῦ πατρός μου, τοῦ ἐλ-
θεῖν ἐπὶ σέ. καὶ ἐὰν μή, εἰς τὰς πόλεις σου, ἐγὼ ἀναγγελῶ σοι. καὶ
εἶπε δαβὶδ πρὸς ἰωνάθαν· τίς ἀπαγγελεῖ μοι ἐὰν ἀποκριθῇ
ὁ πατήρ σου σκληρῶς. καὶ εἶπεν ἰωνάθαν πρὸς δαβίδ· πορεύου
καὶ μένε εἰς ἀγρόν. καὶ ἐπορεύοντο ἀμφότεροι εἰς ἀγρόν. καὶ εἶ-
πεν ἰωνάθαν πρὸς δαβίδ· κύριος ὁ θεὸς ἰσραὴλ οἶδεν, ὅτι ἀνα-
κρινῶ τὸν πατέρα μου, ὡς ἂν ὁ καιρὸς τρισσῶς. καὶ ἰδοὺ ἀγαθὸν
ᾖ περὶ δαβίδ. καὶ οὐ μὴ ἀποστείλω πρὸς σὲ εἰς ἀγρόν, τάδε ποιή-

ποιήσαι ὁ θεὸς τῷ ἰωνάθαν, καὶ τάδε προσθείη. ὅτι ἀνοίσω τὰ κακὰ
ἐπὶ σέ. καὶ ἀποκαλύψω τὸ ὠτίον σου. καὶ ἐξαποστελῶ σε καὶ πο-
ρεύσῃ εἰς εἰρήνην. καὶ ἔσται κύριος μετὰ σοῦ, καθὼς ἦν μετὰ πα-
τρός μου. καὶ ἐὰν μὲν ἔτι μου ζῶντος, καὶ ποιήσεις ἔλεος μετ' ἐ-
μοῦ. καὶ ἐὰν θανάτῳ ἀποθάνω, οὐκ ἐξαρεῖς ἔλεός σου ἀπὸ τοῦ οἴκου
μου ἕως τοῦ αἰῶνος. καὶ εἰ μή, ἐν τῷ ἐξαίρειν κύριον τοὺς ἐχθροὺς δα-
βὶδ ἕκαστον ἀπὸ τοῦ προσώπου τῆς γῆς εὑρεθῆναι τὸ ὄνομα τοῦ ἰω-
νάθαν ἀπὸ τοῦ οἴκου δαβίδ. καὶ ἐκζητήσαι κύριος ἐχθροὺς τοῦ δα-
βίδ. καὶ προσέθετο ἔτι ἰωνάθαν ὀμόσαι τῷ δαβίδ, ὅτι ἠγάπη-
σε ψυχὴν ἀγαπῶντος αὐτόν. καὶ εἶπεν αὐτῷ ἰωνάθαν. αὔριον νεο-
μηνία καὶ ἐπισκεπήσῃ, ὅτι ἐπισκεπήσεται ἡ καθέδρα σου.
καὶ τριασεύσεις, καὶ ἐπισκεπήσῃ. καὶ ἥξεις εἰς τὸν τόπον σου οὗ
ἐκρύβης τῇ ἡμέρᾳ τῇ ἐργασίμῃ. καὶ καθίσεις παρὰ τὸ ἐργὰβ ἐ-
κεῖνο. καὶ ἐγὼ τριασεύσω ταῖς σχίζαις ἀκοντίζων ἐκπέμπων εἰς
τὴν ἀματταρί. καὶ ἰδοὺ ἀποστελῶ τὸ παιδάριον λέγων. δεῦρο
εὑρέ μοι τὴν σχίζαν. ἐὰν εἴπω τῷ παιδαρίῳ ὧδε ἡ σχίζα ἀπὸ
σοῦ, καὶ ὧδε λάβε αὐτήν, παραγίνου, ὅτι εἰρήνη σοι, καὶ οὐκ ἔστι
σοι δόλος. ζῇ κύριος. ἐὰν ᾖ οὕτως ἐρῶ τῷ νεανίσκῳ, ἐκεῖ ἡ σχίζα ἀ-
πὸ σοῦ καὶ ἐπέκεινα, πορεύου, ὅτι ἐξαπέσταλκέ σε κύριος. καὶ τὸ ῥῆμα ὃ
ἐλαλήσαμεν ἐγὼ καὶ σύ, ἰδοὺ κύριος μάρτυς ἀνὰ μέσον ἐμοῦ καὶ
ἀνὰ μέσον σοῦ, ἕως τοῦ αἰῶνος. καὶ κρύπτεται δαβὶδ ἐν ἀγρῷ. καὶ πα-
ραγίνεται ὁ μήν. καὶ ἔρχεται ὁ βασιλεὺς ἐπὶ τὴν τράπεζαν τοῦ
φαγεῖν. καὶ ἐκάθισεν ὁ βασιλεὺς ἐπὶ τὴν καθέδραν αὐτοῦ, ὡς
ἅπαξ καὶ ἅπαξ ἐπὶ τῆς καθέδρας παρὰ τὸν τοῖχον. καὶ προέ-
φθασε τὸν ἰωνάθαν. καὶ ἐκάθισεν ἀβεννὴρ ἐκ πλαγίων σαοὺλ.
καὶ ἐπισκέπη ὁ τόπος δαβίδ. καὶ οὐκ ἐλάλησε σαοὺλ οὐδὲν
ἐν τῇ ἡμέρᾳ ἐκείνῃ. ὅτι εἴρηκε σύμπτωμα φαίνεται μὴ κα-
θαρὸς εἶναι, ὅτι οὐ κεκαθάρισται. καὶ ἐγενήθη τῇ ἐπαύριον
τοῦ μηνὸς τῇ ἡμέρᾳ τῇ δευτέρᾳ. καὶ ἐπισκέπη ὁ τόπος τοῦ δα-
βίδ. καὶ εἶπε σαοὺλ πρὸς ἰωνάθαν τὸν υἱὸν αὐτοῦ. τί ὅτι οὐ παρα-

γέγονεν ὁ υἱὸς ἰεσσαὶ ἐχθὲς, καὶ σήμερον ἐπὶ τὴν τράπεζαν. καὶ ἀπεκρίθη ἰωνάθαν τῷ σαοὺλ καὶ εἶπεν αὐτῷ. παρῄτηται παρ' ἐμοῦ δαβὶδ ἕως εἰς βηθλεὲμ τὴν πόλιν αὐτοῦ πορευθῆναι. καὶ εἶπεν ἐξαπόστειλον δή με, ὅτι θυσία τῆς φυλῆς ἡμῶν ἐν τῇ πόλει. καὶ ἐνετείλαντο πρός με οἱ ἀδελφοί μου. καὶ νῦν εἰ εὕρηκα χάριν ἐν ὀφθαλμοῖς σου, διασωθήσομαι δὴ καὶ ὄψομαι τοὺς ἀδελφούς μου. διὰ τοῦτο οὐ παραγέγονεν ἐπὶ τὴν τράπεζαν τοῦ βασιλέως. καὶ ἐθυμώθη ὀργῇ σαοὺλ ἐπὶ ἰωνάθαν σφόδρα καὶ εἶπεν αὐτῷ. υἱὲ κορασίων αὐτομολούντων. οὐ γὰρ οἶδα, ὅτι μέτοχος εἶ σὺ τῷ υἱῷ ἰεσσαὶ εἰς αἰσχύνην σου. καὶ εἰς αἰσχύνην ἀποκαλύψεως μητρός σου; ὅτι πάσας τὰς ἡμέρας ἃς ὁ υἱὸς ἰεσσαὶ ζῇ ἐπὶ τῆς γῆς, οὐχ ἑτοιμασθήσεται ἡ βασιλεία σου. νῦν οὖν ἀποστείλας λαβὲ τὸν νεανίαν, ὅτι υἱὸς θανάτου ἐστὶν οὗτος. καὶ ἀπεκρίθη ἰωνάθαν τῷ σαοὺλ πατρὶ αὐτοῦ, καὶ εἶπεν. ἱνατί ἀποθνήσκει τί πεποίηκεν καὶ ἐπῆρε σαοὺλ τὸ δόρυ ἐπὶ ἰωνάθαν, τοῦ θανατῶσαι αὐτόν. καὶ ἔγνω ἰωνάθαν, ὅτι συντετέλεσται ἡ κακία αὕτη παρὰ τοῦ πατρὸς αὐτοῦ θανατῶσαι τὸν δαβίδ, καὶ ἀνεπήδησεν ἰωνάθαν ἀπὸ τῆς τραπέζης, ἐν ὀργῇ θυμοῦ. καὶ οὐκ ἔφαγεν ἐν τῇ δευτέρᾳ τοῦ μηνὸς ἄρτον, ὅτι ἐθραύσθη ἐπὶ τὸν δαβίδ. ὅτι συνετέλεσεν ἐπ' αὐτὸν ὁ πατὴρ αὐτοῦ. καὶ ἐγενήθη πρωΐ. καὶ ἐξῆλθεν ἰωνάθαν εἰς ἀγρὸν, καθὼς ἐτάξατο εἰς τὸ μαρτύριον τῷ δαβίδ. καὶ παιδάριον μικρὸν μετ' αὐτοῦ. καὶ εἶπε τῷ παιδαρίῳ. δράμε εὑρέ μοι τὰς σχίζας ἐν αἷς ἐγὼ ἀκοντίζω. καὶ τὸ παιδάριον ἔδραμε, καὶ αὐτὸς ἠκόντισε ἐν τῇ σχίζῃ. καὶ παρήγαγεν αὐτήν. καὶ ἦλθε τὸ παιδάριον ἕως τοῦ τόπου τῆς σχίζης, οὗ ἠκόντιζεν ἰωνάθαν. καὶ ἀνεβόησεν ἰωνάθαν ὀπίσω τοῦ νεανίσκου καὶ εἶπεν. ἐκεῖ ἡ σχίζα ἀπὸ σοῦ καὶ ἐπέκεινα. καὶ ἀνεβόησεν ἰωνάθαν ὀπίσω τοῦ παιδαρίου αὐτοῦ λέγων. ταχύνας σπεῦσον καὶ μὴ στῇς. καὶ ἀνέλεξε τὸ παιδάριον ἰωνάθαν τὰς σχίζας. καὶ ἤνεγκεν αὐτὰς πρὸς τὸν κύριον αὐτοῦ. καὶ τὸ παι-

παιδάριον οὐκ ἔγνω οὐδὲν παρὲξ Ἰωνάθαν καὶ Δαβὶδ ἔγνωσαν τὸ ῥῆμα. καὶ Ἰωνάθαν ἔδωκε τὰ σκεύη αὐτοῦ ἐπὶ τὸ παιδάριον αὐτοῦ. καὶ εἶπε τῷ παιδαρίῳ αὐτοῦ. πορεύου εἴσελθε εἰς τὴν πόλιν. καὶ ὡς ἀπῆλθε τὸ παιδάριον, καὶ Δαβὶδ ἀνέστη ἀπὸ τοῦ ἐργάβ. καὶ ἔπεσεν ἐπὶ πρόσωπον αὐτοῦ, καὶ προσεκύνησεν αὐτῷ τρίς, καὶ κατεφίλησεν ἕκαστος τὸν πλησίον αὐτοῦ. καὶ ἔκλαυσεν ἕκαστος ἐν τῷ πλησίον αὐτοῦ, ἕως συντελείας μεγάλης, καὶ εἶπεν Ἰωνάθαν τῷ Δαβὶδ, πορεύου εἰς εἰρήνην. καὶ ὡς ὀμωμόκαμεν ἡμεῖς ἀμφότεροι ἐν ὀνόματι κυρίου λέγοντες. κύριος ἔσται μάρτυς ἀνὰ μέσον ἐμοῦ καὶ σοῦ καὶ ἀνὰ μέσον τοῦ σπέρματός μου, καὶ ἀνὰ μέσον τοῦ σπέρματός σου ἕως αἰῶνος. καὶ ἀνέστη Δαβὶδ καὶ ἀπῆλθε. καὶ Ἰωνάθαν εἰσῆλθεν εἰς τὴν πόλιν.

Κεφάλαιον κά. 21.

Αἰ ἔρχεται Δαβὶδ εἰς νομβὰ πρὸς Ἀβιμέλεχ τὸν ἱ-
α ερέα. καὶ ἐξέστη Ἀβιμέλεχ τῇ ἀπαντήσει αὐτοῦ, καὶ εἶ-
πεν αὐτῷ. τί ὅτι σὺ μόνος, καὶ οὐθεὶς μετὰ σοῦ. καὶ εἶπε Δαβὶδ τῷ ἱερεῖ. ὁ βασιλεὺς ἐντέταλταί μοι ῥῆμα σήμερον καὶ εἶπέ μοι μηδεὶς γνώτω τὸ ῥῆμα περὶ οὗ ἐγὼ ἀποστέλλω σε καὶ ὑπὲρ οὗ ἐγὼ ἐντέταλμαί σοι. καὶ τοῖς παιδαρίοις διαμεμαρτύρημαι ἐν τῷ τόπῳ τῷ λεγομένῳ ἐμμωνεὶμ. καὶ νῦν εἰ εἰσὶν ὑπὸ τὴν χεῖρά σου πέντε ἄρτοι δὸς εἰς χεῖράς μου, τὸ εὑρεθέν. καὶ ἀπεκρίθη ὁ ἱερεὺς τῷ Δαβὶδ, καὶ εἶπεν. οὐκ εἰσὶν ὑπὸ τὴν χεῖρά μου βέβηλοι ἄρτοι, ὅτι ἀλλ᾽ ἢ ἅγιοι ἄρτοι εἰσὶν εἰ πεφυλαγμένα τὰ παιδάρια εἰσὶ πλὴν ἀπὸ γυναικὸς, καὶ φάγονται. καὶ ἀπεκρίθη Δαβὶδ τῷ ἱερεῖ καὶ εἶπεν αὐτῷ, ἀλλὰ καὶ ἀπὸ γυναικὸς ἀπεσχήμεθα ἐχθὲς καὶ τρίτην ἡμέραν, ἐν τῷ ἐξελθεῖν με εἰς ὁδὸν γέγονε πάντα τὰ παιδία ἡγνισμένα, καὶ αὐτὴ ἡ ὁδὸς βέβηλος. διότι ἁγιασθήσεται σήμερον διὰ τὰ σκεύη μου, καὶ ἔδωκεν αὐτῷ Ἀβιμέλεχ ὁ ἱερεὺς τοὺς

ἄρτους τῆς προθέσεως. ὅτι ἐκεῖ οὐκ ἦν ἄρτος. ἀλλ' ἢ ἄρτοι τοῦ προσώπου οἱ ἀφῃρημένοι ἐκ προσώπου κυρίου τοῦ παρατεθῆναι ἄρτον θερμὸν ᾗ ἡμέρᾳ ἔλαβεν αὐτούς. καὶ ἐκεῖ ἦν ἐν τῶν παιδαρίων τοῦ σαοὺλ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ συνεχόμενος νεεσσαρὰν ἐνώπιον κυρίου. καὶ ὄνομα αὐτῷ δωὴκ ὁ σύρος νέμων τὰς ἡμιόνους σαούλ. καὶ εἶπε δαβὶδ πρὸς ἀβιμέλεχ· εἰ ἔστιν ἐνταῦθα ὑπὸ τὴν χεῖρά σου δόρυ, ἢ ῥομφαία. ἰδὲ ὅτι τὴν ῥομφαίαν μου καὶ τὰ σκεύη μου οὐκ εἴληφα ἐν τῇ χειρί μου. ὅτι ἦν τὸ ῥῆμα τοῦ βασιλέως κατὰ σπουδήν. καὶ εἶπεν ὁ ἱερεύς. ἰδοὺ ἡ ῥομφαία γολιὰθ τοῦ ἀλλοφύλου, ὃν ἐπάταξας ἐν τῇ κοιλάδι ἠλᾶ. καὶ αὐτὴ· ἐν εἰλημμένη· ἐν ἱματίῳ. εἰ ταύτην λήψῃ, σεαυτῷ παράλαβε. ὅτι οὐκ ἔστιν ἑτέρα παρεξ αὐτῆς ἐνταῦθα. καὶ εἶπε δαβίδ. ἰδοὺ οὐκ ἔστιν ὥσπερ αὐτή. δός μοι αὐτήν. καὶ ἔδωκεν αὐτὴν αὐτῷ. καὶ ἀνέστη δαβίδ. καὶ ἔφυγεν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἀπὸ προσώπου σαούλ. καὶ ἦλθε δαβὶδ πρὸς ἀγχοῦς βασιλέα γέθ. καὶ εἶπον οἱ παῖδες ἀγχοῦς πρὸς αὐτόν. οὐχὶ οὗτος δαβὶδ ὁ βασιλεὺς τῆς γῆς. οὐχὶ τούτῳ ἐξῆρχον αἱ χορεύουσαι λέγουσαι, ἐπάταξε σαοὺλ ἐν χιλιάσιν αὐτοῦ καὶ δαβὶδ ἐν μυριάσιν αὐτοῦ; καὶ ἔθετο δαβὶδ τὰ ῥήματα ἐν τῇ καρδίᾳ αὐτοῦ. καὶ ἐφοβήθη σφόδρα ἀπὸ προσώπου ἀγχοῦς βασιλέως γέθ. καὶ ἠλλοίωσε τὸ πρόσωπον αὐτοῦ ἐνώπιον αὐτῶν. καὶ προσεποιήσατο ἐν τῇ ἡμέρᾳ ἐκείνῃ. καὶ ἐτυμπάνιζεν ἐπὶ ταῖς θύραις τῆς πόλεως. καὶ παρεφέρετο ἐν ταῖς χερσὶν αὐτοῦ, καὶ ἔπιπτεν ἐπὶ ταῖς θύραις τῆς πόλεως. καὶ τὰ σίελα αὐτοῦ, κατέρρει ἐπὶ τὸν πώγωνα αὐτοῦ. καὶ εἶπεν ἀγχοῦς πρὸς τοὺς παῖδας αὐτοῦ. ἰδοὺ ἴδετε ἄνδρα ἐπίληπτον. ἱνατί εἰσαγάγετε αὐτὸν πρός με. μὴ ἐλαττοῦμαι ἐπιλήπτων ἐγώ. ὅτι εἰσηγάγετε αὐτὸν ἐπιληπτεύεσθαι πρός με; εἰ οὗτος οὐκ εἰσελεύσεται εἰς οἰκίαν.

Κεφάλαιον κβ. 22.

Καὶ ἀπῆλθεν ἐκεῖθεν δαβὶδ, καὶ διεσώθη. καὶ ἔρχεται
κ εἰς τὸ σπήλαιον τὸ ὀδολλάμ. καὶ ἀκούουσιν οἱ ἀδελ-
φοὶ αὐτοῦ. καὶ ὁ οἶκος τοῦ πατρὸς αὐτοῦ, καὶ καταβαί-
νουσι πρὸς αὐτὸν ἐκεῖ. καὶ συνήγοντο πρὸς αὐτὸν πᾶς ἐν ἀνάγκῃ
καὶ πᾶς ὑπόχρεως, καὶ πᾶς κατώδυνος ψυχῇ. καὶ ἦν ἐπ' αὐ-
τὸν ἡγούμενος. καὶ ἦσαν μετ' αὐτοῦ, ὡς τετρακόσιοι ἄνδρες. καὶ
ἀπῆλθεν δαβὶδ ἐκεῖθεν εἰς μασσηφ τῆς μωάβ. καὶ εἶπε πρὸς βα-
σιλέα μωάβ. γινέσθωσαν δὴ ὁ πατήρ μου καὶ ἡ μήτηρ μου πα-
ρὰ σοί, ἕως ὅτου γνῶ τί ποιήσει μοι ὁ θεός. καὶ παρεκάλεσε τὸ πρό-
σωπον τοῦ βασιλέως μωάβ. καὶ κατῴκουν μετ' αὐτοῦ πάσας τὰς ἡ-
μέρας ὄντος τοῦ δαβὶδ ἐν τῇ περιοχῇ. καὶ εἶπε γὰδ ὁ προφήτης
πρὸς δαβίδ. μὴ κάθου ἐν τῇ περιοχῇ. πορεύου καὶ ἥξεις εἰς γῆν ἰού-
δα. καὶ ἐπορεύθη δαβὶδ καὶ ἦλθε καὶ ἐκάθισεν ἐν πόλει σαρίχ.
καὶ ἤκουσε σαούλ. ὅτι ἔγνωσται δαβὶδ καὶ οἱ ἄνδρες οἱ μετ' αὐτοῦ.
καὶ σαοὺλ ἐκάθητο ἐν τῷ βουνῷ ὑπὸ τὴν ἄρουραν τὴν ἐν ῥαμᾷ
καὶ τὸ δόρυ ἐν τῇ χειρὶ αὐτοῦ. καὶ πάντες οἱ παῖδες αὐτοῦ παρει-
στήκεσαν αὐτῷ. καὶ εἶπε σαοὺλ πρὸς τοὺς παῖδας αὐτοῦ τοὺς πα-
ρεστηκότας αὐτῷ. ἀκούσατε δὴ υἱοὶ βενιαμίν. εἰ ἀληθῶς πᾶσιν
ὑμῖν δώσει ὁ υἱὸς ἰεσσαὶ ἀγροὺς καὶ ἀμπελῶνας. καὶ πάντας ὑμᾶς
τάξει ἑκατοντάρχους καὶ χιλιάρχους. ὅτι σύγκεισθε πάντες ὑμεῖς
ἐπ' ἐμὲ καὶ οὐκ ἔστιν ὁ ἀποκαλύπτων τὸ ὠτίον μου ἐν τῷ διαθέσθαι
διαθήκην τὸν υἱόν μου μετὰ τοῦ υἱοῦ ἰεσσαί. καὶ οὐκ ἔστι πονῶν περὶ
ἐμοῦ ἐξ ὑμῶν. καὶ ἀποκαλύπτων τὸ ὠτίον μου, ὅτι ἐπήγειρεν ὁ υἱός
μου τὸν δοῦλόν μου ἐπ' ἐμὲ εἰς ἐχθρὸν, ὡς ἡ ἡμέρα αὕτη. καὶ ἀπο-
κρίνεται δωὴκ ὁ σύρος ὁ καθεστηκὼς ἐπὶ τὰς ἡμιόνους σαοὺλ καὶ
εἶπεν. ἑώρακα τὸν υἱὸν ἰεσσαὶ παραγινόμενον εἰς νομβᾶ πρὸς ἀ-
χιμέλεχ υἱὸν ἀχιτὼβ τὸν ἱερέα, καὶ ἠρώτα αὐτῷ διὰ τοῦ θεοῦ.
καὶ ἐπισιτισμὸν ἔδωκεν αὐτῷ. καὶ τὴν ῥομφαίαν γολιὰθ τοῦ ἀλλο-
φύλου ἔδωκεν αὐτῷ. καὶ ἀπέστειλεν ὁ βασιλεὺς καλέσαι τὸν ἀ-
χιμέλεχ υἱὸν ἀχιτὼβ καὶ πάντας τοὺς υἱοὺς τοῦ πατρὸς αὐτοῦ. τοὺς ἱε-

ρεῖς τοὺς ἐν νομβᾶ. καὶ παρεγένοντο πάντες πρὸς τὸν βασιλέα. καὶ εἶπε σαοὺλ. ἄκουε δὴ υἱὲ ἀχιτὼβ. καὶ εἶπεν ἰδοὺ ἐγώ. λάλει κύριε. καὶ εἶπεν αὐτῷ σαοὺλ. ἵνα τί συνέθου κατ' ἐμοῦ σὺ καὶ ὁ υἱὸς ἰεσσαὶ τοῦ δοῦναι σε αὐτῷ ἄρτον καὶ ῥομφαίαν καὶ ἐρωτᾶν αὐτῷ διὰ τοῦ θεοῦ θέσθαι αὐτὸν ἐπ' ἐμὲ εἰς ἐχθρόν, ὡς ἡ ἡμέρα αὕτη. καὶ ἀπεκρίθη ἀχιμέλεχ τῷ βασιλεῖ καὶ εἶπε. καὶ τίς ἐν πᾶσι τοῖς δούλοις σου, ὡς δαβὶδ πιστός. καὶ γαμβρὸς τοῦ βασιλέως. καὶ ἄρχων παντὸς τοῦ παραγγέλματός σου. καὶ ἔνδοξος ἐν τῷ οἴκῳ σου. ἢ σήμερον ἦργμαι ἐρωτᾶν αὐτῷ διὰ τοῦ θεοῦ. μηδαμῶς μὴ δότω ὁ βασιλεὺς κατὰ τοῦ δούλου αὐτοῦ λόγον. καὶ ἐφ' ὅλον τὸν οἶκον τοῦ πατρός μου. ὅτι οὐκ ᾔδει ὁ δοῦλός σου ἐν πᾶσι τούτοις ῥῆμα μικρὸν, ἢ μέγα. καὶ εἶπεν ὁ βασιλεὺς σαοὺλ. θανάτῳ ἀποθανῇ ἀχιμέλεχ σὺ, καὶ πᾶς ὁ οἶκος τοῦ πατρός σου. καὶ εἶπεν ὁ βασιλεὺς τοῖς παρατρέχουσι τοῖς ἐφεστηκόσιν ἐπ' αὐτόν. προσαγάγετε καὶ θανατοῦτε τοὺς ἱερεῖς τοῦ κυρίου. ὅτι ἡ χεὶρ αὐτῶν μετὰ δαβίδ. καὶ ὅτι ἔγνωσαν, ὅτι φεύγει αὐτὸς καὶ οὐκ ἀπεκάλυψαν τὸ ὠτίον μου. καὶ οὐκ ἐβουλήθησαν οἱ παῖδες τοῦ βασιλέως ἐπενεγκεῖν τὰς χεῖρας αὐτῶν ἀπαντῆσαι εἰς τοὺς ἱερεῖς τοῦ κυρίου. καὶ εἶπεν ὁ βασιλεὺς τῷ δωὴκ ἐπιστρέφου σὺ καὶ ἀπάντα εἰς τοὺς ἱερεῖς. καὶ ἐπεστράφη δωὴκ ὁ σύρος, καὶ ἐθανάτωσε τοὺς ἱερεῖς τοῦ κυρίου ἐν τῇ ἡμέρᾳ ἐκείνῃ τριακοσίους καὶ πέντε ἄνδρας. πάντας αἴροντας ἐφούδ. καὶ τὴν νομβᾶν τὴν πόλιν τῶν ἱερέων ἐπάταξεν ἐν στόματι ῥομφαίας ἀπὸ ἀνδρὸς ἕως γυναικός. ἀπὸ νηπίου ἕως θηλάζοντος. καὶ μόσχου καὶ ὄνου, καὶ προβάτου. καὶ διασώζεται υἱὸς εἷς τῷ ἀχιμέλεχ υἱῷ ἀχιτὼβ. καὶ ὄνομα αὐτῷ ἀβιάθαρ. καὶ ἔφυγεν ὀπίσω δαβίδ. καὶ ἀπήγγειλεν ἀβιάθαρ τῷ δαβίδ, ὅτι ἐθανάτωσε σαοὺλ πάντας τοὺς ἱερεῖς τοῦ κυρίου. καὶ εἶπε δαβίδ τῷ ἀβιάθαρ. ᾔδειν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ὅτι ἐκεῖ ἦν δωὴκ ὁ σύρος. ὅτι ἀπαγγέλλων ἀπαγγελεῖ τῷ σαοὺλ. ἐγώ εἰμι αἴτιος τῶν ψυχῶν οἴκου τοῦ πατρός σου. κάθου μετ' ἐμοῦ μὴ φοβοῦ. ὅτι οὗ ἐὰν ζη

τῷ τῇ ψυχῇ μου τόπον, ζητήσω καὶ τῇ ψυχῇ σου. ὅτι πεφύλαξαι σὺ παρ' ἐμοί.

Κεφάλαιον κγ 23.

Καὶ ἀπηγγέλη τῷ δαβὶδ λέγοντες. ἰδοὺ οἱ ἀλλό-
κ φυλοι πολεμοῦσιν ἐν τῇ κεϊλᾷ· καὶ αὐτοὶ διαρπάζου-
σι· καὶ καταπατοῦσι τοὺς ἅλω. καὶ ἐπηρώτησε δαβὶδ
διὰ τοῦ κυρίου λέγων. εἰ πορευθῶ καὶ πατάξω τοὺς ἀλλοφύλους τούτους; Καὶ εἶπε κύριος· πορεύου· καὶ πατάξεις ἐν τοῖς ἀλλοφύλοις τούτοις. καὶ σώσεις τὴν κεϊλᾶ· καὶ εἶπον οἱ ἄνδρες τοῦ δαβὶδ πρὸς αὐτόν· ἰδοὺ ἡμεῖς ἐνταῦθα ἐν τῇ ἰδουμαίᾳ φοβούμεθα, καὶ πῶς ἔσται ἐὰν πορευθῶμεν εἰς κεϊλᾶ, εἰς τὰς κοιλίας τῶν ἀλλοφύλων εἰσπορευσόμεθα. καὶ προσέθετο δαβὶδ ἔτι ἐπερωτῆσαι διὰ τοῦ κυρίου. καὶ ἀπεκρίθη αὐτῷ κύριος καὶ εἶπεν αὐτῷ· ἀνάστηθι καὶ κατάβηθι εἰς κεϊλᾶ. ὅτι ἐγὼ παραδίδωμι τοὺς ἀλλοφύλους εἰς χεῖράς σου· καὶ ἐπορεύθη δαβὶδ καὶ οἱ ἄνδρες οἱ μετ' αὐτοῦ, εἰς κεϊλᾶ, καὶ ἐπολέμησε τοῖς ἀλλοφύλοις. καὶ ἔφυγον ἀπὸ προσώπου αὐτοῦ. καὶ ἀπήγαγε τὰ κτήνη αὐτῶν καὶ ἐπάταξεν ἐν αὐτοῖς πληγὴν μεγάλην. καὶ ἔσωσε δαβὶδ τοὺς κατοικοῦντας κεϊλᾶ· καὶ ἐγένετο ἐν τῷ φεύγειν ἀβιάθαρ υἱὸν ἀχιμέλεχ πρὸς δαβὶδ καὶ αὐτὸς μετὰ δαβὶδ εἰς κεϊλᾶ κατέβη ἔχων ἐφοὺδ ἐν τῇ χειρὶ αὐτοῦ· καὶ ἀπηγγέλη τῷ σαοὺλ ὅτι ἥκει δαβὶδ εἰς κεϊλᾶ, καὶ εἶπε σαούλ. ὅτι πέπρακεν αὐτὸν ὁ κύριος εἰς τὰς χεῖράς μου· ὅτι ἀποκέκλεισται εἰσελθὼν εἰς πόλιν θυρῶν καὶ μοχλῶν. καὶ παρήγγειλε σαοὺλ παντὶ τῷ λαῷ καταβαίνειν εἰς πόλεμον εἰς κεϊλᾶ, συνέχειν τὸν δαβὶδ καὶ τοὺς ἄνδρας αὐτοῦ. καὶ ἔγνω δαβὶδ, ὅτι οὐ παρασιωπᾷ σαοὺλ περὶ αὐτοῦ τὴν κακίαν. καὶ εἶπε δαβὶδ πρὸς ἀβιάθαρ τὸν ἱερέα προσάγαγε τὸ ἐφοὺδ κυρίου. καὶ εἶπε δαβίδ. κύριε ὁ θεὸς ἰσραήλ. ἀκούων ἀκήκοεν ὁ δοῦλός σου, ὅτι ζητεῖ σαοὺλ ἐλθεῖν εἰς κεϊλᾶ διαφθεῖραι τὴν πόλιν δι' ἐμέ, εἰ ἀποκλεισθήσεται

καὶ νῦν εἰ καταβήσεται σαοὺλ καθὼς ἤκουσεν ὁ δοῦλός σου, κύριε ὁ θεὸς ἰσραήλ. ἀπάγγειλον τῷ δούλῳ σου. καὶ εἶπε κύριος. ἀποκλεισθήσεται. Καὶ ἀνέστη δαβίδ, καὶ οἱ ἄνδρες οἱ μετ᾽ αὐτοῦ. ὡς τετρακόσιοι, καὶ ἐξῆλθον ἐκ κεειλᾶ. καὶ ἐπορεύοντο οὗ ἐὰν ἐπορεύοντο. καὶ τῷ σαοὺλ ἀπηγγέλη ὅτι διασέσωσαι δαβὶδ ἐκ κεειλᾶ. καὶ ἀνῆκεν ἔτι τοῦ ἐξελθεῖν. καὶ ἐκάθισε δαβὶδ ἐν μασερὲμ ἐν τῇ ἐρήμῳ ἐν τοῖς στενοῖς. καὶ ἐκάθητο ἐν τῇ ἐρήμῳ ἐν τῷ ὄρει ζίφ. εἰς τὸ ὄρος τὸ αὐχμῶδες ἐν γῇ αὐχμώδει. καὶ ἐζήτει αὐτὸν σαοὺλ πάσας τὰς ἡμέρας. καὶ οὐ παρέδωκεν αὐτὸν κύριος εἰς τὰς χεῖρας αὐτοῦ. καὶ εἶδε δαβὶδ ὅτι ἐξέρχεται σαοὺλ τοῦ ζητεῖν αὐτόν. καὶ δαβὶδ ἦν ἐν τῷ ὄρει τῷ αὐχμώδει ἐν τῇ καινῇ ζίφ. καὶ ἀνέστη ἰωνάθαν υἱὸς σαοὺλ, καὶ ἐπορεύθη πρὸς δαβὶδ εἰς καινήν. καὶ ἐκραταίωσε τὰς χεῖρας αὐτοῦ ἐν κυρίῳ. καὶ εἶπε πρὸς αὐτόν. μὴ φοβοῦ, ὅτι οὐ μή σε εὕρῃ ἡ χεὶρ σαοὺλ τοῦ πατρός μου. καὶ σὺ βασιλεύσεις ἐπὶ τὸν ἰσραήλ. καὶ ἐγὼ ἔσομαί σοι εἰς δεύτερον. καὶ σαοὺλ ὁ πατήρ μου οἶδεν οὕτως. καὶ διέθεντο ἀμφότεροι διαθήκην ἐνώπιον κυρίου. καὶ ἐκάθητο δαβὶδ ἐν καινῇ. καὶ ἰωνάθαν ἀπῆλθεν εἰς τὸν οἶκον αὐτοῦ. καὶ ἀνέβησαν οἱ ζιφαῖοι ἐκ τῆς αὐχμώδους πρὸς σαοὺλ ἐπὶ τὸν βουνὸν λέγοντες. οὐκ ἰδοὺ δαβὶδ κέκρυπται παρ᾽ ἡμῖν ἐν μεσαρὰ ἐν τοῖς στενοῖς ἐν τῇ καινῇ ἐν τῷ βουνῷ τοῦ ἐχελὰτ ἐκ δεξιῶν τοῦ ἰεσαί μου; καὶ νῦν πάντα πρὸς ψυχὴν τοῦ βασιλέως εἰς κατάβασιν καταβαινέτω πρὸς ἡμᾶς. ἀποκεκλεισμένοι εἰσὶν εἰς τὰς χεῖρας τοῦ βασιλέως. καὶ εἶπεν αὐτοῖς σαούλ. εὐλογημένοι ὑμεῖς τῷ κυρίῳ, ὅτι ἐπονέσατε περὶ ἐμοῦ. πορεύθητε δὴ καὶ ἑτοιμάσατε ἔτι καὶ γνῶτε τὸν τόπον αὐτοῦ οὗ ἔσται ὁ πούς αὐτοῦ ἐν τάχει ἐκεῖ οὗ εἴπατε μή ποτε πανουργευσάμενος πανουργεύσηται. καὶ ἴδετε καὶ γνῶτε καὶ πορεύσομαι μεθ᾽ ὑμῶν. καὶ ἔσται εἰ ἔστιν ἐπὶ τῆς γῆς, καὶ ἐξερευνήσω αὐτὸν ἐν πάσαις χιλιάσιν ἰούδα. καὶ ἀνέστησαν οἱ ζιφαῖοι ἐκ τῆς αὐχμώδους καὶ ἐν

πορεύθησαν ἔμπροσθεν σαούλ. καὶ δαβὶδ καὶ οἱ ἄνδρες αὐτοῦ
ἐν τῇ ἐρήμῳ τῇ μαὼν καθ᾽ ἑσπέραν ἐκ δεξιῶν τοῦ ἰεσαί. καὶ ἐπο-
ρεύθη σαοὺλ καὶ οἱ ἄνδρες αὐτοῦ ζητεῖν τὸν δαβίδ. καὶ ἀπήγ-
γειλαν τῷ δαβίδ, καὶ κατέβη εἰς τὴν πέτραν τὴν ἐν τῇ ἐρήμῳ
μαάν. καὶ ἤκουσε σαούλ, καὶ κατεδίωξεν ὀπίσω δαβὶδ εἰς τὴν
ἔρημον μαών. καὶ πορεύονται σαοὺλ καὶ οἱ ἄνδρες αὐτοῦ ἐκ
μέρους τοῦ ὄρους ἐκ τούτου. καὶ ἦν δαβὶδ καὶ οἱ ἄνδρες αὐτοῦ
ἐκ μέρους τοῦ ὄρους ἐκ τούτου. καὶ ἦν δαβὶδ σκεπαζόμενος πο-
ρεύεσθαι ἀπὸ προσώπου σαούλ. καὶ σαοὺλ καὶ οἱ ἄνδρες αὐτοῦ
παρενέβαλον ἐπὶ δαβίδ. καὶ ἐπὶ τοὺς ἄνδρας αὐτοῦ συλλαβεῖν
αὐτούς. καὶ πρὸς σαοὺλ ἦλθεν ἄγγελος λέγων. σπεῦδε καὶ δεῦ-
ρο, ὅτι ἀλλόφυλοι ἐπέθεντο ἐπὶ τὴν γῆν. καὶ ἀνέστρεψε σαοὺλ μὴ
καταδιώκειν ὀπίσω δαβίδ. καὶ ἐπορεύθη εἰς συνάντησιν τῶν
ἀλλοφύλων. διὰ τοῦτο ἐπεκλήθη ὁ τόπος ἐκεῖνος, πέτρα ἡ μερισθεῖ-
σα. καὶ ἀνέστη δαβὶδ ἐκεῖθεν, καὶ ἐκάθισεν ἐν τοῖς στενοῖς γαδδί.
καὶ ἐγενήθη, ὡς ἀνέστρεψε σαοὺλ ἀπὸ ὄπισθεν τῶν ἀλλοφύλων,
καὶ ἀπηγγέλη αὐτῷ λεγόντων. ὅτι ἰδοὺ δαβὶδ ἐν τῇ ἐρήμῳ
ἐν γαδδί.

Κεφ. κδ΄. 24.

Αὶ ἔλαβε μεθ᾽ ἑαυτοῦ τρεῖς χιλιάδας ἀνδρῶν ἐκλε-
κ κτοὺς ἐκ παντὸς ἰσραήλ. καὶ ἐπορεύθη ζητεῖν τὸν δαβίδ,
καὶ τοὺς ἄνδρας αὐτοῦ ἐπὶ πρόσωπον σαδδαιέμ. καὶ
ἦλθεν ἐπὶ τὰς ἀγέλας τῶν ποιμνίων τὰς ἐπὶ τῆς ὁδοῦ, καὶ ἦν
ἐκεῖ σπήλαιον. καὶ σαοὺλ εἰσῆλθε παρασκευάσασθαι. καὶ δα-
βίδ, καὶ οἱ ἄνδρες αὐτοῦ, ἐσώτερον τοῦ σπηλαίου ἐκάθηντο.
καὶ εἶπον οἱ ἄνδρες δαβὶδ πρὸς αὐτόν. ἰδοὺ ἡ ἡμέρα αὕτη
ἣν εἶπε κύριος πρὸς σὲ παραδοῦναι τὸν ἐχθρόν σου εἰς τὰς χεῖ-
ράς σου. καὶ ποιήσεις αὐτῷ, ὡς ἀγαθὸν ἐν ὀφθαλμοῖς σου. καὶ
ἀνέστη δαβὶδ καὶ ἀφεῖλε τὸ πτερύγιον τῆς διπλοΐδος τοῦ σαοὺλ
λαθραίως. καὶ ἐγενήθη μετὰ ταῦτα καὶ ἐπάταξε καρδία
δαβὶδ αὐτόν, ὅτι ἀφεῖλε τὸ πτερύγιον τῆς διπλοΐδος αὐτοῦ. καὶ

εἶπε δὲ δαβὶδ πρὸς τοὺς ἄνδρας αὐτοῦ. μηδαμῶς μοι παρὰ κυρίου εἰ ποιήσω τὸ ῥῆμα τοῦτο τῷ κυρίῳ μου τῷ χριστῷ κυρίου ἐπενεγκεῖν χεῖρα μου ἐπ' αὐτὸν, ὅτι χριστὸς κυρίου ἐστὶν οὗτος. καὶ ἔπεισε δαβὶδ τοὺς ἄνδρας αὐτοῦ ἐν λόγοις. καὶ οὐκ ἔδωκεν αὐτοῖς ἀναστάντας θανατῶσαι τὸν σαοὺλ. καὶ ἀνέστη σαοὺλ καὶ κατέβη εἰς τὴν ὁδὸν αὐτοῦ. καὶ ἀνέστη δαβὶδ ὀπίσω αὐτοῦ ἐκ τοῦ σπηλαίου. καὶ ἐβόησεν δαβὶδ ὀπίσω σαοὺλ λέγων. κύριε βασιλεῦ. καὶ ἐπέβλεψε σαοὺλ εἰς τὰ ὀπίσω αὐτοῦ καὶ ἔκυψε δαβὶδ ἐπὶ πρόσωπον αὐτοῦ ἐπὶ τὴν γῆν, καὶ προσεκύνησεν αὐτῷ. καὶ εἶπε δαβὶδ πρὸς σαοὺλ. ἵνα τί ἀκούεις τῶν λόγων τοῦ λαοῦ λεγόντων. ἰδοὺ δὲ δαβὶδ ζητεῖ τὴν ψυχήν σου. ἰδοὺ ἐν τῇ ἡμέρᾳ ταύτῃ ἑωράκασιν οἱ ὀφθαλμοί σου, ὡς παρέδωκέ σε κύριος σήμερον εἰς τὰς χεῖράς μου ἐν τῷ σπηλαίῳ, καὶ οὐκ ἐβουλήθην ἀποκτεῖναί σε. καὶ ἐφεισάμην σου καὶ εἶπα, οὐκ ἐποίσω χεῖρα μου ἐπὶ κύριόν μου. ὅτι χριστὸς κυρίου οὗτός ἐστι. καὶ ἴδετε τὸ πτερύγιον τῆς διπλοΐδος σου ἐν τῇ χειρί μου. ἐγὼ ἀφήρηκα τὸ πτερύγιον τῆς διπλοΐδος σου, καὶ οὐκ ἀπέκτεινά σε. καὶ γνῶθι καὶ ἴδε σήμερον, ὅτι οὐκ ἔστι κακία ἐν τῇ χειρί μου. οὐδὲ ἀσέβεια, καὶ ἀθέτησις. καὶ οὐχ ἡμάρτηκα εἰς σὲ, καὶ σὺ δεσμεύεις τὴν ψυχήν μου λαβεῖν αὐτήν. δικάσαι κύριος ἀνὰ μέσον ἐμοῦ καὶ σοῦ καὶ ἐκδικήσαι με κύριος ἐκ σοῦ. ἡ δὲ χείρ μου οὐκ ἔσται ἐπὶ σὲ, καθὼς λέγεται ἡ παραβολὴ ἡ ἀρχαῖα. ἐξ ἀνόμων ἐξελεύσεται πλημμέλεια. καὶ ἡ χείρ μου οὐκ ἔσται ἐπὶ σέ. καὶ νῦν ὀπίσω τίνος σὺ ἐκπορεύῃ βασιλεῦ ἰσραήλ. ὀπίσω τίνος καταδιώκεις σύ. ὀπίσω κυνὸς τεθνηκότος. ἢ ὀπίσω ψύλλου ἑνός. γένοιτο κύριος εἰς κριτὴν καὶ δικαστὴν ἀνὰ μέσον ἐμοῦ καὶ ἀνὰ μέσον σοῦ. ἴδοι κύριος καὶ κρίναι τὴν κρίσιν μου καὶ δικάσαι με ἐκ χειρός σου. καὶ ἐγένετο, ὡς συνετέλεσε δαβὶδ τὰ ῥήματα ταῦτα λαλῶν πρὸς σαοὺλ. καὶ εἶπε σαοὺλ. ἡ φωνή σου αὕτη, τέκνον δαβὶδ, καὶ ἦρε σαοὺλ τὴν φωνὴν αὐτοῦ καὶ ἔκλαυσε. καὶ εἶπε σαοὺλ πρὸς δαβὶδ. δί-

καιος εἶ ὑπὲρ ἐμὲ, ὅτι σὺ ἀνταπέδωκάς μοι ἀγαθά. ἐγὼ δὲ ἀν-
ταπέδωκά σοι κακά. καὶ σὺ ἀπήγγειλάς μοι σήμερον ἃ ἐποίη-
σάς μοι ἀγαθά. ὡς ἀπέκλεισέ με κύριος εἰς χεῖράς σου σήμε-
ρον καὶ οὐκ ἀπέκτεινάς με. καὶ ὅτι εἰ εὕροιτις τὸν ἐχθρὸν αὐτοῦ ἐν
θλίψει, καὶ ἐκπέμψει αὐτὸν ἐν ὁδῷ ἀγαθῇ, καὶ κύριος ἀνταποτί-
σει αὐτῷ ἀγαθὰ καθὼς σὺ πεποίηκας σήμερον. καὶ νῦν ἰδοὺ ἐ-
γὼ γινώσκω, ὅτι βασιλεύων βασιλεύσεις, καὶ στήσεται ἐν χειρί σου
ἡ βασιλεία ἰσραήλ. καὶ νῦν ὄμοσόν μοι ἐν κυρίῳ ὅτι οὐκ ἐξολο-
θρεύσεις τὸ σπέρμα μου ὀπίσω μου. οὐκ ἀφανιεῖς τὸ ὄνομά μου
ἐκ τοῦ οἴκου τοῦ πατρός μου. καὶ ὤμοσε δαβὶδ τῷ σαοὺλ, καὶ
ἀπῆλθε σαοὺλ εἰς τὸν τόπον αὐτοῦ. καὶ δαβὶδ καὶ οἱ ἄνδρες αὐ-
τοῦ, ἀνέβησαν εἰς τὴν μεσσαρὰν στενήν.

Κεφάλαιον κε. 25.

κ Καὶ ἀπέθανε σαμουὴλ, καὶ συναθροίζονται πᾶς ἰσραὴλ
καὶ κόπτονται αὐτόν. καὶ θάπτουσιν αὐτὸν ἐν οἴκῳ αὐ-
τοῦ ἐν ἀρμαθαίμ. καὶ ἀνέστη δαβὶδ καὶ κατέβη εἰς τὴν ἔρημον μα-
άν. καὶ ἦν ἄνθρωπος ἐν τῇ μαάν. καὶ τὰ ποίμνια αὐτοῦ ἐν τῷ καρ-
μήλῳ. καὶ ὁ ἄνθρωπος μέγας σφόδρα. καὶ τούτῳ πρόβατα τρι-
σχίλια. καὶ αἶγες χίλιαι. καὶ ἐγενήθη ἐν τῷ κείρειν τὸ ποίμνιον
αὐτοῦ ἐν τῷ καρμήλῳ. καὶ ὄνομα τῷ ἀνθρώπῳ νάβαλ. καὶ ὄνο-
μα τῇ γυναικὶ αὐτοῦ ἀβιγαία. καὶ ἡ γυνὴ ἀγαθὴ συνέσει καὶ κα-
λὴ τῷ εἴδει σφόδρα. καὶ ὁ ἄνθρωπος σκληρὸς καὶ πονηρὸς ἐν
ἐπιτηδεύμασι. καὶ ὁ ἄνθρωπος κυνηγός. καὶ ἤκουσε δαβὶδ ἐν
τῇ ἐρήμῳ, ὅτι κείρει νάβαλ ὁ καρμήλιος τὸ ποίμνιον αὐτοῦ. καὶ
ἀπέστειλε δαβὶδ δέκα παιδάρια καὶ εἶπε τοῖς παιδαρίοις. ἀνά-
βητε εἰς κάρμηλον καὶ ἀπέλθετε πρὸς νάβαλ καὶ ἐρωτήσατε αὐ-
τὸν ἐπὶ τῷ ὀνόματί μου τὰ εἰς εἰρήνην, καὶ ἐρεῖτε τάδε. εἰς ὥρας
καὶ σὺ ὑγιαίνων καὶ ὁ οἶκός σου, καὶ πάντα τὰ σὰ ὑγιαίνοντα. καὶ
νῦν ἰδοὺ ἀκήκοα, ὅτι κείρουσί σοι οἱ ποιμένες σου οἳ ἦσαν μεθ'
ἡμῶν ἐν τῇ ἐρήμῳ. καὶ οὐκ ἀπεκωλύσαμεν αὐτοὺς. καὶ οὐκ ἐνε-

τεξλάμεθα αὐτοῖς οὐθὲν πάσας τὰς ἡμέρας ὄντων αὐτῶν ἐν τῷ καρμήλῳ. ἐρώτησον τὰ παιδάριά σου καὶ ἀπαγγελοῦσί σοι. καὶ εὑρέτωσαν τὰ παιδάριά σου χάριν ἐν ὀφθαλμοῖς σου. ὅτι ἐφ' ἡμέραν ἀγαθὴν ἥκομεν. δὸς δὴ ὃ ἐὰν εὕρῃ ἡ χείρ σου τῷ υἱῷ σου τῷ δαβίδ. καὶ ἔρχονται τὰ παιδάρια δαβὶδ καὶ λαλοῦσι τοὺς λόγους τούτους πρὸς νάβαλ κατὰ πάντα τὰ ῥήματα ταῦτα ἐν τῷ ὀνόματι δαβίδ. καὶ ἀνεπήδησε καὶ ἀπεκρίθη νάβαλ τοῖς παισὶ δαβὶδ καὶ εἶπε. τίς ὁ δαβίδ. καὶ τίς ὁ υἱὸς ἰεσσαί. σήμερον πεπληθυμμένοι εἰσὶν οἱ δοῦλοι ἀναχωροῦντες ἕκαστος ἐκ προσώπου τοῦ κυρίου αὐτοῦ. καὶ λήψομαι τοὺς ἄρτους μου καὶ τὸν οἶνόν μου καὶ τὰ θύματά μου ἃ τέθυκα τοῖς κείρουσί μου τὰ πρόβατα. καὶ δώσω αὐτὰ ἀνδράσιν οἷς οὐκ οἶδα πόθεν εἰσί; καὶ ἀπεστράφησαν τὰ παιδάρια δαβὶδ εἰς ὁδὸν αὐτῶν, καὶ ἀνέστρεψαν καὶ ἦλθον καὶ ἀπήγγειλαν τῷ δαβὶδ κατὰ τὰ ῥήματα ταῦτα. καὶ εἶπε δαβὶδ τοῖς ἀνδράσιν αὐτοῦ. ζώσασθε ἕκαστος τὴν ῥομφαίαν αὐτοῦ. καὶ ἀνέβησαν ὀπίσω δαβίδ, ὡς τετρακόσιοι ἄνδρες. καὶ οἱ διακόσιοι, ἐκάθισαν μετὰ τῶν σκευῶν. καὶ τῇ ἀβιγαίᾳ γυναικὶ νάβαλ ἀπήγγειλεν ἓν τῶν παιδαρίων λόγον. ἰδοὺ δαβὶδ ἀπέστειλεν ἀγγέλους ἐκ τῆς ἐρήμου εὐλογῆσαι τὸν κύριον ἡμῶν, καὶ ἐξέκλινεν ἀπ' αὐτῶν. καὶ οἱ ἄνδρες ἀγαθοὶ ἡμῖν σφόδρα οὐκ ἀπεκώλυσαν ἡμᾶς. οὐδὲ ἐνετείλαντο ἡμῖν οὐδὲν πάσας τὰς ἡμέρας ἃς ἦμεν παρ' αὐτοῖς. καὶ ἐν τῷ εἶναι ἡμᾶς ἐν ἀγρῷ, ὡς τεῖχος ἦσαν περὶ ἡμᾶς. καὶ τὴν νύκτα καὶ τὴν ἡμέραν πάσας τὰς ἡμέρας ἃς ἦμεν παρ' αὐτοῖς ποιμαίνοντες τὸ ποίμνιον. καὶ νῦν γνῶθι καὶ ἴδε σὺ τί ποιήσεις. ὅτι συντετέλεσται ἡ κακία εἰς τὸν κύριον ἡμῶν, καὶ εἰς τὸν οἶκον αὐτοῦ. καὶ οὗτος υἱὸς λοιμός. καὶ οὐκ ἔστι λαλῆσαι πρὸς αὐτόν. καὶ ἔσπευσεν ἀβιγαία καὶ ἔλαβε διακοσίους ἄρτους καὶ δύο ἀγγεῖα οἴνου. καὶ πέντε πρόβατα πεποιημένα. καὶ πέντε οἰφὶ ἀλφίτου. καὶ γόμορ ἓν σαφίδος. καὶ διακοσίας παλάθας. καὶ ἔθετο ἐπὶ τοὺς ὄνους. καὶ

εἶπε τοῖς παιδαρίοις αὐτῆς· προπορεύεσθε ἔμπροσθέν μου· καὶ
ἰδοὺ ἐγὼ ὀπίσω ὑμῶν παραγίνομαι. καὶ τῷ ἀνδρὶ αὐτῆς οὐκ
ἀπήγγειλε, καὶ ἐγενήθη αὐτῆς ἐπιβεβηκυίας ἐπὶ τὴν ὄνον καὶ κα-
ταβαινούσης ἐν σκέπῃ τοῦ ὄρους, καὶ ἰδοὺ δαβὶδ καὶ οἱ ἄν-
δρες αὐτοῦ κατέβαινον εἰς συνάντησιν αὐτῆς. καὶ ἀπήντησεν
αὐτοῖς. καὶ δαβὶδ εἶπε· ἴσως εἰς ἄδικον ἐφύλαξα πάντα τὰ τοῦ
νάβαλ ἐν τῇ ἐρήμῳ, καὶ οὐκ ἐνετειλάμην λαβεῖν ἐκ πάντων
τῶν αὐτοῦ οὐθέν. καὶ ἀνταπέδωκέ μοι πονηρὰ ἀντὶ ἀγαθῶν. τά-
δε ποιήσαι μοι ὁ θεὸς τῷ δαβὶδ καὶ τάδε προσθείη. εἰ ὑπο-
λείψομαι ἐκ πάντων τῶν τοῦ νάβαλ ἕως πρωῒ οὐροῦντα πρὸς
τοῖχον. καὶ εἶδεν ἀβιγαία τὸν δαβὶδ καὶ ἔσπευσε καὶ κατεπή-
δησεν ἀπὸ τῆς ὄνου, καὶ ἔπεσεν ἐνώπιον δαβὶδ ἐπὶ πρόσω-
πον αὐτῆς, καὶ προσεκύνησεν αὐτῷ ἐπὶ τὴν γῆν ἐπὶ τοὺς πό-
δας αὐτοῦ καὶ εἶπεν. ἐν ἐμοὶ κύριέ μου ἡ ἀδικία λαλησάτω ἡ
δούλη σου εἰς τὰ ὦτά σου. καὶ ἄκουσον λόγων τῆς δούλης σου.
μὴ δὴ θέσθω ὁ κύριός μου καρδίαν αὐτοῦ ἐπὶ τὸν ἄνθρωπον
τὸν λοιμὸν τοῦτον. ὅτι κατὰ τὸ ὄνομα αὐτοῦ, οὕτως ἐστὶ να-
βὰλ ὄνομα αὐτῷ, καὶ ἀφροσύνη μετ᾽ αὐτοῦ. καὶ ἐγὼ ἡ δού-
λη σου, οὐκ εἶδον τὰ παιδάρια τοῦ κυρίου μου ἃ ἀπέστειλας. καὶ
νῦν κύριέ μου ζῆ κύριος καὶ ζῆ ἡ ψυχή σου καθὼς ἐκώλυσέ
σε κύριος τοῦ μὴ ἐλθεῖν εἰς αἷμα ἀθῷον ἀλλὰ σώζειν τὴν χεῖρά
σου σοί. καὶ νῦν γένοιντο, ὡς νάβαλ οἱ ἐχθροί σου καὶ οἱ ζητοῦν-
τες τῷ κυρίῳ μου κακά. καὶ νῦν λάβε τὴν εὐλογίαν ταύτην ἣν
ἐνήνοχεν ἡ δούλη σου τῷ κυρίῳ μου. καὶ δώσεις τοῖς παιδα-
ρίοις τοῖς παρεστηκόσι τῷ κυρίῳ μου. ἆρον δὴ τὸ ἀνόμημα τῆς
δούλης σου. ὅτι ποιῶν ποιήσει κύριος τῷ κυρίῳ μου οἶκον πι-
στόν. ὅτι πόλεμον τοῦ κυρίου μου ὁ κύριος πολεμήσει. καὶ κακία
οὐχ εὑρεθήσεται ἐν σοὶ πώποτε. καὶ ἀναστήσεται ἄνθρωπος κα-
ταδιώκων σε καὶ ζητῶν τὴν ψυχήν σου, καὶ ἔσται ἡ ψυχὴ τοῦ κυρίου
μου ἐνδεδεμένη δεσμῷ τῆς ζωῆς παρὰ κυρίῳ τῷ θεῷ καὶ τὴν

ψυχὴν τῶν ἐχθρῶν σου σφενδονήσεις ἐν μέσῳ τῆς σφενδόνης. καὶ ἔσται ὅτι ποιήσῃ κύριος τῷ κυρίῳ μου πάντα ὅσα ἐλάλησεν ἀγαθὰ ἐπὶ σὲ, καὶ ἐντελεῖταί σοι κύριος εἰς ἡγούμενον ἐπὶ ἰσραήλ. καὶ οὐκ ἔσται σοι τοῦτο βδελυγμὸς καὶ σκάνδαλον καρδίας τῷ κυρίῳ μου ἐκχέαι αἷμα ἀθῷον δωρεὰν. καὶ σῶσαι χεῖρα κυρίῳ μου αὐτῷ. καὶ ἀγαθῶσαι κύριος τῷ κυρίῳ μου. καὶ μνησθήσῃ τῆς δούλης σου ἀγαθῶσαι αὐτῇ. Καὶ εἶπε δαβὶδ τῇ ἀβιγαίᾳ. εὐλογητὸς κύριος ὁ θεὸς ἰσραὴλ ὃς ἀπέστειλέ σε σήμερον ἐν ταύτῃ εἰς ἀπάντησίν μοι. καὶ εὐλογητὸς ὁ τρόπος σου. καὶ εὐλογημένη σὺ ἡ ἀποκωλύσασά με σήμερον ἐν ταύτῃ μὴ ἐλθεῖν εἰς αἵματα, καὶ σῶσαι χεῖρά μου ἐμοί. πλὴν ὅτι ζῇ κύριος ὁ θεὸς ἰσραὴλ ὃς ἀπεκώλυσέ με σήμερον τοῦ κακοποιῆσαι. ὅτι εἰ μὴ ἔσπευσας καὶ παρεγένου εἰς ἀπάντησίν μου, τότε εἶπα. εἰ ὑπολειφθήσεται τῷ νάβαλ ἕως φωτὸς τοῦ πρωῒ οὐρῶν πρὸς τοῖχον. καὶ ἔλαβε δαβὶδ ἐκ χειρὸς αὐτῆς πάντα ἃ ἔφερεν αὐτῷ. καὶ εἶπεν αὐτῇ. ἀνάβηθι εἰς εἰρήνην εἰς οἶκόν σου. καὶ βλέπε, ἤκουσα τῆς φωνῆς σου, καὶ ᾑρέτισα τὸ πρόσωπόν σου. καὶ παρεγενήθη ἀβιγαία πρὸς νάβαλ. καὶ ἰδοὺ αὐτῷ πότος ἐν οἴκῳ αὐτοῦ, ὡς πότος βασιλέως. καὶ ἡ καρδία νάβαλ ἀγαθὴ ἐπ' αὐτόν. καὶ αὐτὸς μεθύων ἕως σφόδρα. καὶ οὐκ ἀπήγγειλεν ἀβιγαία τῷ νάβαλ ῥῆμα. ἢ μέγα, ἢ μικρὸν, ἕως φωτὸς τοῦ πρωΐ. καὶ ἐγένετο πρωῒ, ὡς ἐξένηψεν ἀπὸ τοῦ οἴνου νάβαλ, ἀπήγγειλεν αὐτῷ ἡ γυνὴ αὐτοῦ πάντα τὰ ῥήματα ταῦτα. καὶ ἐναπέθανεν ἡ καρδία αὐτοῦ ἐν αὐτῷ. καὶ αὐτὸς ἐγένετο, ὡς λίθος. καὶ ἐγένοντο ὡσεὶ δέκα ἡμέραι, καὶ ἐπάταξε κύριος τὸν νάβαλ καὶ ἀπέθανε. καὶ ἤκουσε δαβὶδ καὶ εἶπεν. Εὐλογητὸς κύριος, ὃς ἔκρινε τὴν κρίσιν τοῦ ὀνειδισμοῦ μου ἐκ χειρὸς νάβαλ. καὶ τὸν δοῦλον αὐτοῦ περιεποιήσατο ἐκ χειρὸς κακῶν. καὶ τὴν κακίαν νάβαλ ἐπέστρεψε κύριος εἰς κεφαλὴν αὐτοῦ. καὶ ἀπέστειλε δαβὶδ καὶ ἐλάλησε περὶ ἀβιγαίας λαβεῖν αὐτὴν ἑαυτῷ εἰς γυναῖκα. καὶ ἦλθον οἱ παῖ-

δες δαβὶδ

δες δαβὶδ πρὸς ἀβιγαίαν εἰς κάρμηλον. καὶ ἐλάλησαν αὐτῇ λέγοντες. δαβὶδ ἀπέσταλκεν ἡμᾶς πρὸς σὲ λαβεῖν σεαυτῷ εἰς γυναῖκα. καὶ ἀνέστη καὶ προσεκύνησεν ἐπὶ τὴν γῆν ἐπὶ πρόσωπον καὶ εἶπεν. ἰδοὺ ἡ δούλη σου εἰς παιδίσκην τοῦ νίψαι πόδας παίδων σου. καὶ ἀνέστη ἀβιγαία καὶ ἐπέβη ἐπὶ τὸν ὄνον. καὶ πέντε κοράσια ἠκολούθουν αὐτῇ, καὶ ἐπορεύθη ὀπίσω τῶν παίδων δαβὶδ, καὶ γίνεται αὐτῷ εἰς γυναῖκα. καὶ τὴν ἀχιναὰμ ἔλαβε δαβὶδ ἐξ ἰσραὴλ. καὶ ἀμφότεραι ἦσαν αὐτῷ γυναῖκες. καὶ σαοὺλ ἔδωκε τὴν μελχὸλ τὴν θυγατέρα αὐτοῦ τὴν γυναῖκα δαβὶδ, τῷ φαλτὶλ υἱῷ ἀμὶς τῷ ἐκ ῥομμά.

Κεφ. κϛ. 26.

Καὶ ἔρχονται οἱ ζιφαῖοι ἐκ τῆς αὐχμώδους πρὸς τὸν σα-
κ οὺλ εἰς τὸν βουνὸν λέγοντες. ἰδοὺ δαβὶδ σκεπάζεται
μεθ' ἡμῶν ἐν τῷ βουνῷ τῷ ἐχελὰθ, τοῦ κατὰ πρόσ-
ωπον τοῦ ἰεσσαιμοῦν. καὶ ἀνέστη σαοὺλ καὶ κατέβη εἰς τὴν ἔρημον ζίφ. καὶ μετ' αὐτοῦ τρεῖς χιλιάδες ἀνδρῶν ἐκλεκτῶν ἐξ ἰσραὴλ, ζητεῖν τὸν δαβὶδ ἐν τῇ ἐρήμῳ ζίφ. καὶ παρενέβαλε σαοὺλ ἐν τῷ βουνῷ τῷ ἐχελὰθ τῷ ἐπὶ προσώπου τοῦ ἰεσσαιμοῦν ἐπὶ τῆς ὁδοῦ. καὶ δαβὶδ ἐκάθισεν ἐν τῇ ἐρήμῳ. καὶ εἶπε δαβὶδ, ὅτι ἥκει σαοὺλ ὀπίσω αὐτοῦ εἰς τὴν ἔρημον, καὶ ἀπέστειλε δαβὶδ κατασκόπους καὶ ἔγνω, ὅτι ἥκει σαοὺλ ἑτοίμως ἐκεῖ. καὶ ἀνέστη δαβὶδ λάθρα, καὶ εἰσπορεύεται εἰς τὸν τόπον. οὗ ἐκάθευδεν ἐκεῖ σαοὺλ. καὶ ἐκεῖ ἀβεννὴρ υἱὸς νὴρ ἀρχιστράτηγος αὐτοῦ. καὶ σαοὺλ ἐκάθευδεν ἐν λαμπήνῃ. καὶ ὁ λαὸς παρεμβεβληκὼς κύκλῳ αὐτοῦ. καὶ ἀπεκρίθη δαβὶδ καὶ εἶπε πρὸς ἀχιμέλεχ τὸν χετταῖον καὶ πρὸς ἀβεσσὰ υἱὸν σαρουίας ἀδελφὸν ἰωὰβ λέγων. τίς εἰσελεύσεται μετ' ἐμοῦ πρὸς σαοὺλ εἰς τὴν παρεμβολήν. καὶ εἶπεν ἀβεσσά. ἐγὼ εἰσελεύσομαι μετὰ σοῦ. καὶ εἰσπορεύεται δαβὶδ, καὶ ἀβεσσὰ εἰς τὸν λαὸν τὴν νύκτα. καὶ ἰδοὺ σαοὺλ καθεύδων ἐν λαμπήνῃ, καὶ τὸ δόρυ ἐμπεπηγὸς εἰς τὴν γῆν πρὸς κε-

φαλῆς αὐτοῦ· καὶ ἀβεννὴρ καὶ ὁ λαὸς αὐτοῦ, ἐκάθευδε κύκλῳ αὐτοῦ· καὶ εἶπεν ἀβεσσὰ πρὸς δαβίδ· ἀπέκλεισε κύριος σήμερον τὸν ἐχθρόν σου εἰς χεῖρά σου· καὶ νῦν πατάξω αὐτὸν τῷ δόρατι εἰς τὴν γῆν ἅπαξ καὶ οὐ δευτερώσω αὐτῷ. καὶ εἶπε δαβὶδ πρὸς ἀβεσσά, μὴ διαφθείρῃς αὐτόν· ὅτι τίς ἐποίσει χεῖρα αὐτοῦ ἐπὶ χριστὸν κυρίου καὶ ἀθωωθήσεται· καὶ εἶπε δαβίδ· ζῇ κύριος ὅτι ἐὰν μὴ κύριος παίσῃ αὐτόν· ἢ ἡμέρα αὐτοῦ ἔλθῃ καὶ ἀποθάνῃ,, ἢ εἰς πόλεμον καταβῇ καὶ προστεθῇ, μηδαμῶς μοι παρὰ κυρίου ἐπενεγκεῖν χεῖρά μου ἐπὶ χριστὸν κυρίου· καὶ νῦν λάβε τὸ δόρυ ἀπὸ προσκεφαλῆς αὐτοῦ καὶ τὸν φακὸν τοῦ ὕδατος, καὶ ἀπέλθωμεν ἡμεῖς καθ᾽ ἑαυτούς· καὶ ἔλαβε δαβὶδ τὸ δόρυ καὶ τὸν φακὸν τοῦ ὕδατος ἀπὸ προσκεφαλῆς αὐτοῦ, καὶ ἀπῆλθον καθ᾽ ἑαυτούς· καὶ οὐκ ἦν ὁ βλέπων καὶ οὐκ ἦν ὁ γινώσκων, καὶ οὐκ ἦν ὁ ἐξαρούμενος πάντες ὑπνοῦντες· ὅτι θάμβος κυρίου ἐπέπεσεν ἐπ᾽ αὐτούς· καὶ διέβη δαβὶδ εἰς τὸ πέραν, καὶ ἔστη ἐπὶ τὴν κορυφὴν τοῦ ὄρους μακρόθεν· καὶ πολλὴ ἡ ὁδὸς ἀνὰ μέσον αὐτῶν. καὶ προσεκαλέσατο δαβὶδ τὸν λαόν· καὶ τῷ ἀβεννὴρ ἐλάλησε λέγων· οὐκ ἀποκριθήσῃ ἀβεννήρ, καὶ ἀπεκρίθη ἀβεννὴρ καὶ εἶπε· τίς εἶ σὺ ὁ καλῶν με καὶ εἶπε δαβὶδ πρὸς ἀβεννήρ· οὐκ ἀνὴρ σύ; καὶ τίς, ὡς σὺ ἐν ἰσραήλ· καὶ διατί οὐ φυλάσσεις τὸν κύριόν σου τὸν βασιλέα, ὅτι εἰσῆλθεν εἷς τοῦ λαοῦ διαφθεῖραι τὸν κύριόν σου τὸν βασιλέα· καὶ οὐκ ἀγαθὸν τὸ ῥῆμα τοῦτο ὃ πεποίηκας. ζῇ κύριος, ὅτι υἱοὶ θανατώσεως ὑμεῖς· οἱ φυλάσσοντες τὸν βασιλέα τὸν κύριον ὑμῶν τὸν χριστὸν κυρίου· καὶ νῦν ἴδε δὴ τὸ δόρυ τοῦ βασιλέως, καὶ ὁ φακὸς τοῦ ὕδατος ποῦ ἐστι, τὰ πρὸς κεφαλῆς αὐτοῦ καὶ ἐπέγνω σαοὺλ τὴν φωνὴν δαβὶδ καὶ εἶπε· ἡ φωνή σου αὕτη τέκνον δαβίδ· καὶ εἶπε δαβίδ· δοῦλός σου κύριε βασιλεῦ. καὶ εἶπεν· ἵνα τί τοῦτο καταδιώκει ὁ κύριός μου ὀπίσω τοῦ δούλου αὐτοῦ· ὅτι τί ἡμάρτηκα· καὶ τί εὑρέθη ἐν ἐμοὶ ἀδίκημα· καὶ νῦν ἀκουσάτω δὴ ὁ κύριός μου ὁ βασιλεὺς τὰ ῥήματα τοῦ δούλου αὐτοῦ.

ὁ θεὸς ἐπισείει σε ἐπ' ἐμὲ, ὀσφρανθείη ἡ θυσία. εἰ δὲ υἱοὶ ἀν-
θρώπων. ἐπικατάρατοι οὗτοι ἐνώπιον κυρίου. ὅτι ἐξέβαλόν με σή-
μερον μὴ ἐστηρίχθαι ἐν κληρονομίᾳ κυρίου. λέγοντες, πορεύου
δούλευε θεοῖς ἑτέροις. καὶ νῦν. μὴ πέσοι τὸ αἷμά μου ἐπὶ τὴν γῆν
ἐξεναντίας προσώπου κυρίου. ὅτι ἐξελήλυθεν ὁ βασιλεὺς ἰσρα-
ὴλ ζητεῖν τὴν ψυχήν μου καθὼς καταδιώκει ὁ νυκτικόραξ ἐν
τοῖς ὄρεσι. καὶ εἶπε σαοὺλ. ἡμάρτηκα. ἐπίστρεφε τέκνον δαβίδ.
ὅτι οὐ κακοποιήσω σε ἀνθ' ὧν ἔντιμος ἡ ψυχή μου ἐν ὀφθαλ-
μοῖς σου. καὶ ἐν τῇ σήμερον ἡμέρᾳ μεματαίωμαι καὶ ἠγνόηκα
πολλὰ σφόδρα. καὶ ἀπεκρίθη δαβὶδ καὶ εἶπεν. ἰδοὺ τὸ δόρυ τοῦ
βασιλέως. διελθέτω ἓν τῶν παιδαρίων, καὶ λαβέτω αὐτό, καὶ κύ-
ριος ἐπιστρέψει ἑκάστῳ κατὰ τὰς δικαιοσύνας αὐτοῦ, καὶ τὴν
πίστιν αὐτοῦ. ὡς παρέδωκέ σε κύριος σήμερον εἰς χεῖράς μου
καὶ οὐκ ἠθέλησα ἐπενεγκεῖν χεῖρά μου ἐπὶ χριστὸν κυρίου. καὶ ἰ-
δοὺ καθὼς ἐμεγαλύνθη ἡ ψυχή σου σήμερον ἐν ταύτῃ ἐν ὀφ-
θαλμοῖς μου, οὕτως μεγαλωθείη ἡ ψυχή μου ἐνώπιον κυρίου.
καὶ σκεπάσαι με καὶ ἐξέλοιτό με ἐκ πάσης θλίψεως. καὶ εἶπε
σαοὺλ πρὸς δαβίδ. εὐλογημένος εἶ τέκνον, καὶ ποιῶν ποιή-
σεις. καὶ δυνάμενος δυνήσῃ. καὶ ἀπῆλθε δαβὶδ εἰς τὴν ὁδὸν
αὐτοῦ, καὶ σαοὺλ ἀπέστρεψεν εἰς τὸν τόπον αὐτοῦ.

Κεφ. κζ. 27.

Αἰ εἶπε δαβὶδ ἐν τῇ καρδίᾳ αὐτοῦ λέγων. Νῦν προστε-
κ θήσομαι ἐν ἡμέρᾳ μιᾷ εἰς χεῖρας σαούλ. καὶ οὐκ ἔστι μοι
ἀγαθὸν, ἐὰν μὴ διασωθῶ εἰς γῆν ἀλλοφύλων καὶ ἀ-
νῇ ἀπ' ἐμοῦ σαοὺλ τοῦ ζητεῖν με εἰς πᾶν ὅριον ἰσραὴλ, καὶ σωθήσο-
μαι ἐκ χειρὸς αὐτοῦ. καὶ ἀνέστη δαβὶδ καὶ οἱ ἑξακόσιοι ἄνδρες
οἱ μετ' αὐτοῦ. καὶ ἐπορεύθη πρὸς ἀγχοῦς υἱὸν ἀμμαὰχ βασιλέα
γέθ. καὶ ἐκάθισε δαβὶδ μετὰ ἀγχοῦς εἰς γέθ. αὐτὸς καὶ οἱ ἄν-
δρες αὐτοῦ ἕκαστος καὶ ὁ οἶκος αὐτοῦ καὶ δαβὶδ καὶ ἀμφότεραι
αἱ γυναῖκες αὐτοῦ ἀχινάαμ ἡ ἰσραηλῖτις, καὶ ἀβιγαία ἡ γυνὴ

νάβαλ τοῦ καρμηλίου. καὶ ἀπηγγέλη τῷ σαοὺλ, ὅτι πέφευγε δα-
βὶδ εἰς γέθ. καὶ οὐ προσέθετο ἔτι ζητεῖν αὐτόν. καὶ εἶπε δαβὶδ
πρὸς ἀγχοῦς. εἰ δὴ εὕρηκεν ὁ δοῦλός σου χάριν ἐν ὀφθαλμοῖς
σου, δότωσαν δή μοι τόπον ἐν μιᾷ τῶν πόλεων τῶν κατ' ἀγρὸν,
καὶ καθήσομαι ἐκεῖ. καὶ ἵνα τί κάθηται ὁ δοῦλός σου ἐν πόλει βα-
σιλευομένῃ μετὰ σοῦ. καὶ ἔδωκεν αὐτῷ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ τὴν
σικελάγ. διὰ τοῦτο ἐγενήθη σικελὰγ τῷ βασιλεῖ τῆς ἰουδαίας
ἕως τῆς σήμερον ἡμέρας. καὶ ἐγενήθη ὁ ἀριθμὸς τῶν ἡμερῶν
ὧν ἐκάθισε δαβὶδ ἐν ἀγρῷ τῶν ἀλλοφύλων, τέσσαρας μῆνας.
καὶ ἀνέβαινε δαβὶδ καὶ οἱ ἄνδρες αὐτοῦ, καὶ ἐπετίθεντο ἐπὶ πάν-
τα τὸν γεσσὲρ καὶ ἐπὶ τὸν ἀμαληκίτην. καὶ ἰδοὺ ἡ γῆ κατῴκητο ἀ-
πό τε λαμψοὺρ, καὶ ἕως γῆς αἰγύπτου. καὶ ἔτυπτε τὴν γῆν
καὶ οὐκ ἐζωογόνει ἄνδρα ἢ γυναῖκα καὶ ἐλάμβανον ποίμνια καὶ
βουκόλια καὶ ὄνους καὶ καμήλους καὶ ἱματισμόν. καὶ ἀνέστρεφον καὶ ἤρ-
χοντο πρὸς ἀγχοῦς. καὶ εἶπεν ἀγχοῦς πρὸς δαβίδ. ἐπὶ τίνα ἐπέθεσθε
σήμερον. καὶ εἶπε δαβὶδ πρὸς ἀγχοῦς. κατὰ νότον τῆς ἰουδαίας καὶ κα-
τὰ νότον ἰεσμεγά. καὶ κατὰ νότον τοῦ κενεζί. καὶ ἄνδρα καὶ γυναῖκα
οὐκ ἐζωογόνησα τοῦ εἰσαγαγεῖν εἰς γέθ. λέγων. μὴ ἀναγγείλω-
σιν εἰς γὲθ καθ' ἡμῶν λέγοντες τάδε δαβὶδ ποιεῖ. καὶ τόδε τὸ δι-
καίωμα αὐτοῦ πάσας τὰς ἡμέρας ἃς ἐκάθητο δαβὶδ ἐν ἀγρῷ τῶν
ἀλλοφύλων. καὶ ἐπιστεύθη δαβὶδ ἐν τῷ ἀγχοῦς σφόδρα λέγων.
ἤσχυνται αἰσχυνόμενος ἐν τῷ λαῷ αὐτοῦ ἐν ἰσραήλ. καὶ ἔσται μοι
δοῦλος εἰς τὸν αἰῶνα. καὶ ἐγενήθη ἐν ταῖς ἡμέραις ἐκείναις, καὶ συνα-
θροίζονται ἀλλόφυλοι ἐν ταῖς παρεμβολαῖς αὐτῶν ἐξελθεῖν πο-
λεμεῖν μετὰ ἰσραήλ. καὶ εἶπεν ἀγχοῦς πρὸς δαβὶδ γινώσκων γνώ-
σῃ, ὅτι μετ' ἐμοῦ ἐξελεύσῃ εἰς πόλεμον, σὺ, καὶ οἱ ἄνδρες σου. καὶ
εἶπε δαβὶδ πρὸς ἀγχοῦς. οὕτω νῦν γνώσῃ. ἃ ποιήσει ὁ δοῦλός σου
καὶ εἶπεν ἀγχοῦς πρὸς δαβίδ. οὕτως ἀρχισωματοφύλακα θήσο-
μαί σε πάσας τὰς ἡμέρας. καὶ σαμουὴλ ἀπέθανε καὶ ἐκόψαν-
το αὐτὸν πᾶς ἰσραήλ. καὶ θάπτουσιν αὐτὸν ἐν ἀρμαθαὶμ, ἐν πό-

τῇ αὐτοῦ. καὶ σαοὺλ περιεῖλε τοὺς ἐγγαστριμύθους καὶ τοὺς γνώστας ἀπὸ
τῆς γῆς. καὶ συναθροίζονται οἱ ἀλλόφυλοι καὶ ἔρχονται καὶ παρεμβάλλου-
σιν εἰς σωνάμ. καὶ συναθροίζει σαοὺλ πάντα ἄνδρα ἰσραὴλ, καὶ
παρεμβάλλουσιν εἰς γελβουέ. καὶ εἶδε σαοὺλ τὴν παρεμβολὴν τῶν
ἀλλοφύλων καὶ ἐφοβήθη καὶ ἐξέστη ἡ καρδία αὐτοῦ σφόδρα. καὶ ἐπη-
ρώτησε σαοὺλ διὰ κυρίου, καὶ οὐκ ἀπεκρίθη αὐτῷ κύριος ἐν τοῖς ἐνυπνί-
οις καὶ ἐν τοῖς δήλοις καὶ ἐν τοῖς προφήταις. καὶ εἶπε σαοὺλ τοῖς παι-
σὶν αὐτοῦ ζητήσατέ μοι γυναῖκα ἐγγαστρίμυθον καὶ πορεύσομαι
πρὸς αὐτὴν καὶ ζητήσω ἐν αὐτῇ καὶ εἶπαν οἱ παῖδες αὐτοῦ πρὸς
αὐτόν. ἰδοὺ γυνὴ ἐγγαστρίμυθος ἐν ἀενδώρ. καὶ συνεκαλύψατο
σαοὺλ, καὶ περιεβάλετο ἱμάτια ἕτερα. καὶ πορεύεται αὐτὸς καὶ δύο
ἄνδρες μετ᾽ αὐτοῦ. καὶ ἔρχονται πρὸς τὴν γυναῖκα νυκτὸς, καὶ εἶπεν
αὐτῇ μάντευσαι δή μοι ἐν τῷ ἐγγαστριμύθῳ καὶ ἀνάγαγε ὃν ἐὰν
εἴπω. καὶ εἶπεν αὐτῷ ἡ γυνή. ἰδοὺ δὴ σὺ οἶδας ὅσα ἐποίη-
σε σαοὺλ. ὡς ἐξωλόθρευσε σαοὺλ τοὺς ἐγγαστριμύθους, καὶ τοὺς γνώ-
στας ἀπὸ τῆς γῆς. καὶ ἵνα τί σὺ παγιδεύεις τὴν ψυχήν μου θανατῶ-
σαι αὐτήν, καὶ ὤμοσεν αὐτῇ σαοὺλ λέγων. ζῇ κύριος εἰ ἀπαν-
τήσεταί σοι ἀδικία ἐν τῷ λόγῳ τούτῳ. καὶ εἶπεν ἡ γυνὴ τῷ σα-
οὺλ. τίνα ἀναγάγω σοι. καὶ εἶπε τὸν σαμουὴλ ἀνάγαγέ μοι. καὶ εἶ-
δεν ἡ γυνὴ τὸν σαμουὴλ, καὶ ἀνεβόησε φωνῇ μεγάλῃ. καὶ εἶπεν ἡ
γυνὴ πρὸς σαοὺλ. ἵνα τί παρελογίσω με καὶ σὺ εἶ σαούλ. καὶ εἶ-
πεν αὐτῇ ὁ βασιλεύς. μὴ φοβοῦ, εἰπὸν τίνα ἑώρακας. καὶ εἶπεν
αὐτῷ ἡ γυνὴ θεοὺς ἑώρακα ἀναβαίνοντας ἐκ τῆς γῆς. καὶ εἶπεν
αὐτῇ, τί ἔγνως καὶ εἶπεν αὐτῷ ἄνδρα ὄρθιον ἀναβαίνοντα ἐκ τῆς
γῆς καὶ οὗτος διπλοΐδα ἀναβεβλημένος. καὶ ἔγνω σαοὺλ, ὅτι οὗ-
τος σαμουὴλ, καὶ ἔκυψεν ἐπὶ πρόσωπον αὐτοῦ ἐπὶ τὴν γῆν καὶ προ-
σεκύνησεν αὐτῷ καὶ εἶπε σαμουήλ. ἵνα τί παρηνώχλησάς με ἀ-
ναβῆναί με. καὶ εἶπε σαοὺλ. θλίβομαι σφόδρα. καὶ οἱ ἀλλόφυ-
λοι πολεμοῦσιν ἐν ἐμοὶ καὶ ὁ θεὸς ἀφέστηκεν ἀπ᾽ ἐμοῦ, καὶ οὐκ ἐπα-
κήκοέ μου ἔτι. καὶ ἐν χειρὶ τῶν προφητῶν καὶ ἐν ταῖς ἐνυπνίοις. καὶ

ἐν τοῖς δήλοις καὶ νῦν κέκληκά σε γνωρίσαι μοι τί ποιήσω.
καὶ εἶπε σαμουήλ. ἵνα τί ἐπερωτᾷς με; καὶ κύριος ἀφέστηκεν ἀπὸ
σοῦ, καὶ γέγονε μετὰ τοῦ πλησίον σου. καὶ πεποίηκε κύριός σοι
καθὼς ἐλάλησεν ἐν χειρί μου καὶ διαῤῥήξει κύριος τὴν βασιλείαν
σου ἐκ χειρός σου, καὶ δώσει αὐτὴν τῷ πλησίον σου τῷ δαβίδ,
διότι οὐκ ἤκουσας τῆς φωνῆς κυρίου, καὶ οὐκ ἔπλησας θυμὸν ὀργῆς αὐ-
τοῦ ἐν ἀμαλήκ. διὰ τὸ ῥῆμα τοῦτο ἐποίησε κύριός σοι ἐν τῇ ἡ-
μέρᾳ ταύτῃ. καὶ παραδώσει κύριος τὸν ἰσραὴλ μετὰ σοῦ, εἰς
χεῖρας ἀλλοφύλων. καὶ αὔριον σὺ καὶ οἱ υἱοί σου μετὰ σοῦ πεσοῦν-
ται. καὶ τὴν παρεμβολὴν ἰσραὴλ δώσει κύριος εἰς χεῖρας ἀλλο-
φύλων. καὶ ἔσπευσε σαοὺλ καὶ ἔπεσεν ἑστηκὼς ἐπὶ τὴν γῆν καὶ
ἐφοβήθη σφόδρα ἀπὸ τῶν λόγων σαμουήλ. καὶ ἐν αὐτῷ οὐκ ἦν ἰ-
σχὺς ἔτι. ὅτι οὐκ ἔφαγεν ἄρτον ὅλην τὴν ἡμέραν καὶ ὅλην τὴν νύ-
κτα ἐκείνην καὶ εἰσῆλθεν ἡ γυνὴ πρὸς σαοὺλ, καὶ εἶδεν, ὅτι ἔσπευ-
σε σφόδρα, καὶ εἶπε πρὸς αὐτόν. ἰδοὺ δὴ ἤκουσεν ἡ δούλη σου
τῆς φωνῆς σου, καὶ ἐθέμην τὴν ψυχήν μου ἐν τῇ χειρί σου καὶ ἤκουσα
τοὺς λόγους σου οὓς ἐλάλησάς μοι. καὶ νῦν ἄκουσον δὴ φωνῆς τῆς
δούλης σου καὶ παραθήσομαι ἐνώπιόν σου ψωμὸν ἄρτου καὶ φάγε.
καὶ ἔσαι ἐν σοὶ ἰσχὺς, ὅτι πορεύῃ ἐν ὁδῷ. καὶ οὐκ ἐβούλετο φαγεῖν
καὶ παρεβιάζοντο αὐτὸν οἱ παῖδες αὐτοῦ καὶ ἡ γυνή. καὶ ἤκουσε τῆς φω-
νῆς αὐτῶν, καὶ ἀνέστη ἀπὸ τῆς γῆς καὶ ἐκάθισεν ἐπὶ τὸν δίφρον. καὶ τῇ
γυναικὶ ἦν δάμαλις νομὰς ἐν τῇ οἰκίᾳ καὶ ἔσπευσε καὶ ἔθυσεν
αὐτήν. καὶ ἔλαβεν ἄλευρα καὶ ἐφύρασε. καὶ ἔπεψεν ἄζυμα καὶ
προσήνεγκεν ἐνώπιον σαοὺλ, καὶ ἐνώπιον τῶν παίδων αὐτοῦ. καὶ
ἔφαγον καὶ ἀνέστησαν καὶ ἀπῆλθον τὴν νύκτα ἐκείνην.

## Κεφάλαιον. κθ. 29.

ΚΑὶ συναθροίζουσιν ἀλλόφυλοι πάσας τὰς παρεμ-
βολὰς αὐτῶν εἰς ἀφεκκά. καὶ ἰσραὴλ παρενέβαλεν
ἐν ἀενδὼρ τὴν ἐν ἰεζραβέλ. καὶ οἱ σατράπαι τῶν ἀλλοφύλων πα-
ρεπορεύοντο εἰς ἑκατοντάδας καὶ εἰς χιλιάδας. καὶ δαβὶδ καὶ

οἱ ἄνδρες αὐτοῦ, παρεπορεύοντο ἐπ' ἐσχάτων μετὰ ἀγχοῦς. καὶ εἶπον οἱ σατράπαι τῶν ἀλλοφύλων τίνες οἱ διαπορευόμενοι οὗτοι. καὶ εἶπεν ἀγχοῦς πρὸς τοὺς στρατηγοὺς τῶν ἀλλοφύλων. οὐχ οὗτος δαβίδ, ὁ δοῦλος σαοὺλ βασιλέως ἰσραὴλ γέγονε μεθ' ἡμῶν ἡμέρας τοῦτο δεύτερον ἔτος. καὶ οὐχ εὕρηκα ἐν τούτῳ οὐθὲν ἀφ' ἧς ἡμέρας ἔπεσε πρός με, καὶ ἕως τῆς ἡμέρας ταύτης. καὶ ἐλυπήθησαν ἐπ' αὐτῷ οἱ σατράπαι τῶν ἀλλοφύλων καὶ λέγουσιν αὐτῷ. ἀπόστρεψον τὸν ἄνδρα καὶ ἀποστραφήτω εἰς τὸν τόπον αὐτοῦ, οὗ κατέστησας αὐτὸν ἐκεῖ, καὶ μὴ ἐρχέτω μεθ' ἡμῶν εἰς τὸν πόλεμον. καὶ μὴ γινέσθω ἐπίβουλος τῆς παρεμβολῆς. καὶ ἐν τίνι διαλλαγήσεται οὗτος τῷ κυρίῳ αὐτοῦ. οὐχὶ ἐν ταῖς κεφαλαῖς τῶν ἀνδρῶν ἐκείνων; οὐχ οὗτός ἐστι δαβίδ, ᾧ ἐξῆρχον ἐν χοροῖς λέγοντες, ἐπάταξε σαοὺλ ἐν χιλιάσιν αὐτοῦ καὶ δαβὶδ ἐν μυριάσιν αὐτοῦ; καὶ ἐκάλεσεν ἀγχοῦς τὸν δαβὶδ καὶ εἶπεν αὐτῷ. ζῇ κύριος ὅτι σὺ καὶ ἀγαθὸς, ὅτι εὐθὺς ἐν ὀφθαλμοῖς μου. καὶ ἡ ἔξοδός σου καὶ ἡ εἴσοδός σου μετ' ἐμοῦ ἐν τῇ παρεμβολῇ. καὶ ὅτι οὐχ εὕρηκα κατὰ σοῦ κακίαν ἀφ' ἧς ἡμέρας ἥκεις πρός με ἕως τῆς σήμερον ἡμέρας καὶ ἐν ὀφθαλμοῖς τῶν σατραπῶν οὐκ ἀγαθὸς σύ. καὶ νῦν ἀνάστρεφε καὶ πορεύου εἰς εἰρήνην. καὶ οὐ μὴ ποιήσῃς κακίαν ἐν ὀφθαλμοῖς τῶν σατραπῶν τῶν ἀλλοφύλων. καὶ εἶπε δαβὶδ πρὸς ἀγχοῦς τί πεποίηκά σοι καὶ τί εὗρες ἐν τῷ δούλῳ σου ἀφ' ἧς ἡμέρας ἤμην ἐνώπιόν σου καὶ ἕως τῆς ἡμέρας ταύτης. ὅτι οὐ μὴ ἔλθω πολεμῆσαι τοὺς ἐχθροὺς τοῦ κυρίου μου τοῦ βασιλέως; καὶ ἀπεκρίθη ἀγχοῦς πρὸς δαβίδ. οἶδα, ὅτι ἀγαθὸς σὺ ἐν ὀφθαλμοῖς μου. ἀλλ' οἱ σατράπαι τῶν ἀλλοφύλων λέγουσιν. οὐχ ἥξει μεθ' ἡμῶν εἰς πόλεμον. καὶ νῦν ὄρθρισον τοπρωῒ σὺ καὶ οἱ παῖδες τοῦ κυρίου σου οἱ ἥκοντες μετὰ σοῦ, καὶ πορεύεσθε εἰς τὸν τόπον οὗ κατέστησα ὑμᾶς ἐκεῖ. καὶ λόγον λοιμὸν μὴ θῇς ἐν τῇ καρδίᾳ σου ὅτι ἀγαθὸς σὺ ἐνώπιόν μου. καὶ ὀρθρίσατε ἐν τῇ ὁδῷ, καὶ φωτισάτω ὑμῖν καὶ πορεύθητε.

Κεφάλαιον λ. 30.

Αἰ ὤρθρισε δαβὶδ αὐτὸς καὶ οἱ ἄνδρες αὐτοῦ τοῦ ἀπελθεῖν καὶ φυλάσσειν τὴν γῆν τῶν ἀλλοφύλων, καὶ οἱ ἀλλόφυλοι ἀνέβησαν πολεμεῖν πρὸς ἰσλ. καὶ ἐγενήθη ἐξελθόντος δαβὶδ καὶ τῶν ἀνδρῶν αὐτοῦ τὴν σεκελὰγ τῇ ἡμέρᾳ τῇ τρίτῃ. καὶ ἀμαλὴκ ἐπέθετο ἐπὶ τὸν νότον καὶ ἐπὶ τὴν σικελάγ. καὶ ἐπάταξε τὴν σικελὰγ καὶ ἐνεπύρισαν αὐτὴν ἐν πυρί. καὶ τὰς γυναῖκας καὶ πάντας τοὺς ἐν αὐτῇ ἀπὸ μικροῦ ἕως μεγάλου οὐκ ἐθανάτωσαν ἄνδρα οὐδὲ γυναῖκα. ἀλλ' ᾐχμαλώτευσαν καὶ ἀπῆλθον εἰς τὴν ὁδὸν αὐτῶν. καὶ ἦλθε δαβὶδ καὶ οἱ ἄνδρες αὐτοῦ εἰς τὴν πόλιν. καὶ ἰδοὺ ἐμπεπύρισται ἐν πυρί. αἱ δὲ γυναῖκες αὐτῶν καὶ οἱ υἱοὶ αὐτῶν καὶ αἱ θυγατέρες αὐτῶν, ᾐχμαλωτευμένοι. καὶ ἦρε δαβὶδ καὶ οἱ ἄνδρες αὐτοῦ τὴν φωνὴν αὐτῶν καὶ ἔκλαυσαν, ἕως ὅτου οὐκ ἦν ἐν αὐτοῖς ἰσχὺς ἔτι τοῦ κλαίειν. καὶ ἀμφότεραι αἱ γυναῖκες δαβὶδ ᾐχμαλωτεύθησαν. ἀχινάαμ ἡ ἰσραηλῖτις. καὶ ἀβιγαία ἡ γυνὴ νάβαλ τοῦ καρμηλίου. καὶ ἐθλίβη δαβὶδ σφόδρα. ὅτι εἶπεν ὁ λαὸς λιθοβολῆσαι αὐτόν. ὅτι κατώδυνος ψυχὴ παντὸς τοῦ λαοῦ ἑκάστου ἐπὶ τοὺς υἱοὺς αὐτοῦ, καὶ ἐπὶ τὰς θυγατέρας αὐτοῦ. καὶ ἐκραταιώθη δαβὶδ ἐν κυρίῳ θεῷ αὐτοῦ. καὶ εἶπε δαβὶδ πρὸς ἀβιάθαρ τὸν ἱερέα υἱὸν ἀχιμέλεχ, προσάγαγε τὸ ἐφοὺδ καὶ ἐπηρώτησε δαβὶδ διὰ τοῦ κυρίου λέγων. εἰ καταδιώξω ὀπίσω τοῦ γεδδοὺρ τούτου. εἰ καταλήψομαι αὐτούς. καὶ εἶπεν αὐτῷ κύριος. καταδίωκε, ὅτι καταλαμβάνων καταλήψῃ αὐτούς. καὶ ἐξαιρούμενος ἐξελῇ. καὶ ἐπορεύθη δαβὶδ αὐτὸς καὶ οἱ ἑξακόσιοι ἄνδρες μετ' αὐτοῦ. καὶ ἔρχονται ἕως τοῦ χειμάρρου τοῦ βοσώρ. καὶ οἱ περισσοὶ ἔστησαν. καὶ κατεδίωξεν ἐν τετρακοσίοις ἀνδράσιν. ὑπέστησαν δὲ διακόσιοι ἄνδρες οἵτινες ἐκάθισαν πέραν τοῦ χειμάρρου τοῦ βοσώρ. καὶ εὑρίσκουσιν ἄνδρα αἰγύπτιον ἐν ἀγρῷ καὶ λαμβάνουσιν αὐτὸν καὶ ἄγουσιν αὐτὸν πρὸς δαβὶδ καὶ διδόασιν αὐτῷ ἄρτον καὶ ἔφαγε. καὶ ἐπότισαν αὐτὸν ὕδωρ. καὶ διδόασιν

αὐτῷ κλάσμα παλάθης, καὶ ἔφαγε καὶ κατέστη τὸ πνεῦμα αὐτοῦ ἐν αὐτῷ, ὅτι οὐ βεβρώκει ἄρτον καὶ οὐ πεπώκει ὕδωρ τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας. καὶ εἶπεν αὐτῷ δαβὶδ πόθεν εἶ; καὶ τίνος εἶ σύ. καὶ εἶπε τὸ παιδάριον τὸ αἰγύπτιον. ἐγώ εἰμι δοῦλος ἀνδρὸς ἀμαληκίτου. καὶ κατέλιπέ με ὁ κύριός μου, ὅτι ἠνωχλήθην ἐγὼ σήμερον τριταῖος. καὶ ἡμεῖς ἐπεθέμεθα ἐπὶ τὸν νότον τοῦ χελεθὶ, καὶ ἐπὶ τὰ τῆς ἰουδαίας μέρη. καὶ ἐπὶ τὸν γελβουέ. καὶ τὴν σίκελαγ ἐνεπυρίσαμεν ἐν πυρί. καὶ εἶπεν αὐτῷ δαβίδ. εἰ κατάξεις με ἐπὶ τὸ γεδδοὺρ τοῦτο; καὶ εἶπεν. ὤμοσόν δή μοι κατὰ τοῦ θεοῦ μὴ θανατῶσαί με. καὶ μὴ παραδοῦναι με εἰς χεῖρας τοῦ κυρίου μου, καὶ κατάξω σε ἐπὶ τὸ γεδδοὺρ τοῦτο. καὶ κατήγαγεν αὐτὸν ἐκεῖ. καὶ ἰδοὺ οὗτοι διακεχυμένοι ἐπὶ πρόσωπον πάσης τῆς γῆς, ἐσθίοντες καὶ πίνοντες καὶ ἑορτάζοντες ἐν πᾶσι τοῖς σκύλοις τοῖς μεγάλοις οἷς ἔλαβον ἐκ γῆς ἀλλοφύλων. καὶ ἐκ γῆς ἰούδα. καὶ ἦλθεν ἐπ' αὐτοὺς δαβὶδ καὶ ἐπάταξεν αὐτοὺς ἀπὸ ἑωσφόρου ἕως δείλης καὶ τῇ ἐπαύριον. καὶ οὐ διεσώθη ἐξ αὐτῶν ἀνήρ. ὅτι ἀλλ' ἢ τετρακόσια παιδάρια ἃ ἦν ἐπιβεβηκότα ἐπὶ τὰς καμήλους καὶ ἔφυγον. καὶ ἀφείλατο δαβὶδ πάντα ἃ ἔλαβον οἱ ἀμαληκῖται. καὶ ἀμφοτέρας τὰς γυναῖκας αὐτοῦ. καὶ οὐ διεφώνησεν αὐτοῖς ἀπὸ μικροῦ ἕως μεγάλου. καὶ ἀπὸ τῶν σκύλων καὶ ἕως υἱῶν καὶ θυγατέρων. καὶ ἕως πάντων ὧν ἔλαβον αὐτῶν. τὰ πάντα ἐπέστρεψε δαβίδ. καὶ ἔλαβε πάντα τὰ ποίμνια καὶ τὰ βουκόλια καὶ ἀπήγαγεν ἔμπροσθεν τῶν σκύλων. καὶ τοῖς σκύλοις ἐκείνοις ἐλέγετο. ταῦτα τὰ σκῦλα δαβίδ. καὶ παραγίνεται δαβὶδ πρὸς τοὺς διακοσίους ἄνδρας τοὺς ὑπολειφθέντας τοῦ πορεύεσθαι ὀπίσω δαβίδ. καὶ ἐκάθισεν αὐτοὺς ἐν τῷ χειμάρρῳ τοῦ βόσωρ καὶ ἐξῆλθον εἰς ἀπάντησιν δαβὶδ καὶ εἰς ἀπάντησιν τοῦ λαοῦ τοῦ μετ' αὐτοῦ. καὶ προσήγαγε δαβὶδ ἕως τοῦ λαοῦ. καὶ ἠρώτησαν αὐτὸν τὰ εἰς εἰρήνην. καὶ ἀπεκρίθη πᾶς ἀνὴρ λοιμὸς καὶ πονηρὸς τῶν ἀνδρῶν τῶν πολεμιστῶν τῶν πορευθέντων μετὰ δαβὶδ καὶ εἶπον ὅτι οὐ κατε-

δίωξαν μεθ' ἡμῶν, οὐ δώσομεν αὐτοῖς ἐκ τῶν σκύλων ὧν ἐξειλό-
μεθα. ὅτι ἀλλ' ἢ ἕκαστος τὴν γυναῖκα αὐτοῦ καὶ τὰ τέκνα αὐτοῦ
ἀπαγέσθωσαν καὶ ἀποστρεφέτωσαν. καὶ εἶπε δαβίδ. οὐ ποιήσε-
τε οὕτως μετὰ τὸ παραδοῦναι κύριον ἡμῖν καὶ φυλάξαι ἡμᾶς. καὶ
παρέδωκε κύριος τὸν γεδδοὺρ τὸν ἐπερχόμενον ἐφ' ἡμᾶς εἰς χεῖρας
ἡμῶν καὶ τίς ἐπακούσεται ὑμῶν τῶν λόγων τούτων, ὅτι οὐχ
ἥττον ἡμῶν εἰσί. διότι κατὰ τὴν μερίδα τοῦ καταβαίνοντος εἰς
τὸν πόλεμον, οὕτως ἔσται ἡ μερὶς τοῦ καθημένου ἐπὶ τὰ σκεύη κα-
τὰ τὸ αὐτὸ μεριοῦνται. καὶ ἐγενήθη ἀπὸ τῆς ἡμέρας ἐκείνης καὶ
ἐπάνω, καὶ ἐγένετο εἰς πρόσταγμα καὶ εἰς δικαίωμα τῷ ἰσρα-
ὴλ ἕως τῆς σήμερον καὶ ἦλθε δαβὶδ εἰς σικελὰκ, καὶ ἀπέστειλε
τοῖς πρεσβυτέροις σκύλων τῶν ἰούδα. καὶ τοῖς πλησίον αὐτοῦ λέ-
γων. ἰδοὺ εὐλογία ὑμῖν ἀπὸ τῶν σκύλων τῶν ἐχθρῶν κυρίου τοῖς ἐν
βεθσοὺρ καὶ τοῖς ἐν ῥαμᾶ νότου. καὶ τοῖς ἐν γεθθὲρ. καὶ τοῖς ἐν ἀροὴρ
καὶ τοῖς ἐν ἀμμαδί. καὶ τοῖς ἐν σαφᾶ. καὶ τοῖς ἐν ἐσθιέ. καὶ τοῖς ἐν
γεθ. καὶ τοῖς ἐν κινὰν. καὶ τοῖς ἐν σαφέχ. καὶ τοῖς ἐν θημάθ. καὶ
τοῖς ἐν καρμήλῳ καὶ τοῖς ἐν ταῖς πόλεσι τοῦ ἱερεμεήλ. καὶ τοῖς ἐν
ταῖς πόλεσι τοῦ κενεζί. καὶ τοῖς ἐν ἱεριμούθ. καὶ τοῖς ἐν βηρσαβεέ.
καὶ τοῖς ἐν νομβέ. καὶ τοῖς ἐν χεβρῶν. καὶ εἰς πάντας τοὺς τόπους
οὓς διῆλθε δαβὶδ ἐκεῖ, αὐτὸς καὶ οἱ ἄνδρες αὐτοῦ.

## Κεφάλαιον λά. 31.

κ αὶ οἱ ἀλλόφυλοι ἐπολέμουν ἐπὶ ἰσραήλ. καὶ ἔφυγον οἱ ἄν-
δρες ἰσραὴλ ἐκ προσώπου τῶν ἀλλοφύλων. καὶ πίπτου-
σι τραυματίαι ἐν τῷ ὄρει τῷ γελβουέ. καὶ συνάπτουσιν οἱ ἀλλόφυ-
λοι τῷ σαοὺλ καὶ τοῖς υἱοῖς αὐτοῦ. καὶ τύπτουσιν ἀλλόφυλοι τὸν ἰωνά-
θαν καὶ τὸν ἀμιναδὰμ καὶ τὸν μελχισοῦ, υἱοὺς σαοὺλ. καὶ βαρύνεται
ὁ πόλεμος ἐπὶ σαοὺλ. καὶ εὑρίσκουσιν αὐτὸν οἱ ἀκοντισταὶ ἄνδρες
τοξόται. καὶ ἐτραυματίσθη εἰς τὰ ὑποχόνδρια. καὶ εἶπε σαοὺλ πρὸς
τὸν αἴροντα τὰ σκεύη αὐτοῦ. σπάσαι τὴν ῥομφαίαν σου, καὶ ἀπο-
κέντησόν με ἐν αὐτῇ. μὴ ἔλθωσιν οἱ ἀπερίτμητοι οὗτοι καὶ ἀπο-

κεντήσωσί με καὶ ἐμπαίξωσιν ἐν ἐμοί. καὶ οὐκ ἐβουλήθη ὁ αἴ-
ρων τὰ σκεύη αὐτοῦ, ὅτι ἐφοβήθη σφόδρα. καὶ ἔλαβε σαοὺλ τὴν
ῥομφαίαν αὐτοῦ καὶ ἐπέπεσεν ἐπ᾽ αὐτήν. καὶ εἶδεν ὁ αἴρων τὰ
σκεύη αὐτοῦ, ὅτι τέθνηκε σαοὺλ, καὶ ἔπεσε καὶ αὐτὸς ἐπὶ τὴν ῥομ-
φαίαν αὐτοῦ, καὶ ἀπέθανε μετ᾽ αὐτοῦ. καὶ ἀπέθανε σαοὺλ καὶ οἱ
τρεῖς υἱοὶ αὐτοῦ. καὶ ὁ αἴρων τὰ σκεύη αὐτοῦ, ἐν τῇ ἡμέρᾳ ἐκείνῃ
κατὰ τὸ αὐτό. καὶ εἶδον οἱ ἄνδρες ἰσραὴλ οἱ ἐν τῷ πέραν τῆς
κοιλάδος καὶ οἱ ἐν τῷ πέραν τοῦ ἰορδάνου, ὅτι ἔφυγον ἄνδρες
ἰσραὴλ καὶ ὅτι τέθνηκε σαοὺλ καὶ οἱ υἱοὶ αὐτοῦ, καὶ καταλείπου-
σι τὰς πόλεις αὐτῶν καὶ φεύγουσι. καὶ ἔρχονται οἱ ἀλλόφυλοι καὶ
κατοικοῦσιν ἐν αὐταῖς. καὶ ἐγενήθη τῇ ἐπαύριον καὶ ἔρχονται οἱ
ἀλλόφυλοι ἐκδιδύσκειν τοὺς νεκρούς, καὶ εὑρίσκουσι τὸν σαοὺλ
καὶ τοὺς τρεῖς υἱοὺς αὐτοῦ πεπτωκότας ἐπὶ τὰ ὄρη γελβουέ, καὶ ἀ-
ποστρέφουσιν αὐτόν. καὶ ἐξέδυσαν τὰ σκεύη αὐτοῦ καὶ ἀποκό-
πτουσι τὴν κεφαλὴν αὐτοῦ καὶ ἐξαποστέλλουσιν εἰς γῆν ἀλλοφύ-
λων κύκλῳ εὐαγγελίζοντες τοῖς εἰδώλοις αὐτῶν καὶ τῷ λαῷ αὐ-
τῶν καὶ ἀνέθηκαν τὰ σκεύη αὐτοῦ εἰς τὸ ἀσταρτεῖον. καὶ τὸ σῶμα αὐ-
τοῦ κατέπηξαν ἐν τῷ τείχει βεθσάμ. καὶ ἀκούουσιν οἱ κατοι-
κοῦντες ἰαβεὶς τῆς γαλααδίτιδος ἃ ἐποίησαν οἱ ἀλλόφυλοι
τῷ σαοὺλ, καὶ ἀνέστησαν πᾶς ἀνὴρ δυνάμεως. καὶ ἐπορεύθησαν
ὅλην τὴν νύκτα, καὶ ἔλαβον τὸ σῶμα σαοὺλ. καὶ τὸ σῶμα ἰωνά-
θαν τοῦ υἱοῦ αὐτοῦ ἀπὸ τοῦ τείχους βεθσάμ. καὶ φέρουσιν αὐτοὺς
εἰς ἰαβεὶς καὶ κατακαίουσιν αὐτοὺς ἐκεῖ. καὶ λαμβάνουσι τὰ ὀ-
στᾶ αὐτῶν. καὶ θάπτουσιν ὑπὸ τὴν ἄρουραν τὴν
ἐν ἰαβεὶς καὶ νηστεύουσιν ἑ-
πτὰ ἡμέρας.

Τέλος τῶν βασιλειῶν. α.

# ΒΑΣΙΛΕΙΩΝ ΔΕΥΤΕΡΑΣ.

## Κεφάλαιον ά. 1.

ΚΑὶ ἐγένετο μετὰ τὸ ἀποθανεῖν σαοὺλ,
καὶ δαβὶδ ἀνέστρεψε τύπτων τὸν ἀμα-
λήκ. καὶ ἐκάθισε δαβὶδ ἐν σικελὰγ
ἡμέρας δύο. καὶ ἐγενήθη τῇ ἡμέρᾳ τῇ
τρίτῃ καὶ ἰδοὺ ἀνὴρ ἦλθεν ἐκ τῆς παρεμ-
βολῆς τοῦ λαοῦ σαοὺλ. καὶ τὰ ἱμάτια αὐτοῦ
διερρωγότα. καὶ γῆ ἐπὶ τῆς κεφαλῆς αὐ-
τοῦ. καὶ ἐγένετο ἐν τῷ ἐλθεῖν αὐτὸν πρὸς δαβίδ, καὶ ἔπεσεν ἐπὶ
τὴν γῆν, καὶ προσεκύνησεν αὐτῷ. καὶ εἶπεν αὐτῷ δαβίδ. πό-
θεν σὺ παραγίνῃ. καὶ εἶπε πρὸς αὐτόν. ἐκ τῆς παρεμβολῆς ἰσραὴλ
ἐγὼ διασέσωσμαι. καὶ εἶπεν αὐτῷ δαβίδ. τίς ὁ λόγος οὗτος
ἀπάγγειλόν μοι. καὶ εἶπεν ὅτι πέφευγεν ὁ λαὸς ἐκ τοῦ πολέμου
καὶ πεπτώκασιν πολλοὶ ἐκ τοῦ λαοῦ, καὶ ἀπέθανον. καὶ σαοὺλ καὶ
ἰωνάθαν, ὁ υἱὸς αὐτοῦ ἀπέθανε. καὶ εἶπε δαβίδ τῷ παιδαρίῳ
τῷ ἀπαγγέλλοντι αὐτῷ. πῶς οἶδας, ὅτι τέθνηκε σαοὺλ, καὶ ἰω-
νάθαν, ὁ υἱὸς αὐτοῦ. καὶ εἶπε τὸ παιδάριον τὸ ἀπαγγέλλον αὐτῷ.
περιπτώματι περιέπεσον ἐν τῷ ὄρει τῷ γελβουέ. καὶ ἰδοὺ σα-
οὺλ ἐπεστήρικτο ἐπὶ τὸ δόρυ αὐτοῦ. καὶ ἰδοὺ τὰ ἅρματα καὶ οἱ ἱπ-
πάρχαι συνῆψαν αὐτῷ. καὶ ἐπέβλεψεν ἐπὶ τὰ ὀπίσω αὐτοῦ καὶ
εἶδέ με. καὶ ἐκάλεσέ με. καὶ εἶπα ἰδοὺ ἐγώ. καὶ εἶπέ μοι τίς εἶ
σύ. καὶ εἶπα. ἀμαληκίτης ἐγώ εἰμι. καὶ εἶπε πρός με. ἐπίστηθι δὴ
ἐπάνω μου καὶ θανάτωσόν με ὅτι κατέσχε με σκότος δεινὸν καὶ
ὅτι ἡ ψυχή μου ἐν ἐμοί. καὶ ἐπέστην ἐπ᾽ αὐτὸν καὶ ἐθανάτωσα αὐ-
τὸν, ὅτι ᾔδειν ὅτι οὐ ζήσεται μετὰ τὸ πεσεῖν αὐτόν. καὶ ἔλαβον τὸ βα-
σίλειον τὸ ἐπὶ τῆς κεφαλῆς αὐτοῦ, καὶ τὸν κλιδόνα τὸν ἐπὶ τοῦ βρα-

βραχίονος αὐτοῦ. καὶ ἐνήνοχα αὐτὰ τῷ κυρίῳ μου ὧδε. καὶ ἐκράτη-
σε δαβὶδ τῶν ἱματίων αὐτοῦ καὶ διέῤῥηξεν αὐτά. καὶ πάντες οἱ
ἄνδρες οἱ μετ' αὐτοῦ, διέῤῥηξαν τὰ ἱμάτια αὐτῶν καὶ ἐκόψαν-
το καὶ ἔκλαυσαν καὶ ἐνήστευσαν ἕως δείλης ἐπὶ σαοὺλ καὶ ἐπὶ ἰω-
νάθαν τὸν υἱὸν αὐτοῦ. καὶ ἐπὶ τὸν λαὸν ἰούδα, καὶ ἐπὶ τὸν οἶκον ἰσρα-
ὴλ, ὅτι ἐπλήγησαν ἐν ῥομφαίᾳ. καὶ εἶπε δαβὶδ τῷ παιδαρίῳ
τῷ ἀπαγγέλλοντι αὐτῷ. πόθεν εἶ σύ. καὶ εἶπεν. υἱὸς ἀνδρὸς
παροίκου ἀμαληκίτου ἐγώ εἰμι. καὶ εἶπεν αὐτῷ δαβίδ. πῶς
οὐκ ἐφοβήθης ἐπενεγκεῖν χεῖρά σου διαφθεῖραι τὸν χριστὸν κυρί-
ου. καὶ ἐκάλεσε δαβὶδ ἓν τῶν παιδαρίων αὐτοῦ καὶ εἶπε. προσελ-
θὼν ἀπάντησον αὐτῷ. καὶ ἐπάταξεν αὐτὸν καὶ ἀπέθανε. καὶ εἶ-
πεν πρὸς αὐτὸν δαβίδ. τὸ αἷμά σου ἐπὶ τὴν κεφαλήν σου. ὅτι τὸ
στόμα σου ἀπεκρίθη κατὰ σοῦ λέγον, ὅτι ἐγὼ ἐθανάτωσα τὸν χρι-
στὸν κυρίου. καὶ ἐθρήνησε δαβὶδ τὸν θρῆνον τοῦτον ἐπὶ σαούλ, καὶ
ἐπὶ ἰωνάθαν τὸν υἱὸν αὐτοῦ καὶ εἶπε τοῦ διδάξαι τοὺς υἱοὺς ἰούδα.
ἰδοὺ γέγραπται ἐπὶ βιβλίου τοῦ εὐθοῦς καὶ εἶπε. στήλωσον ἰσραὴλ
ὑπὲρ τῶν τεθνηκότων ἐπὶ τὰ ὕψη σου τραυματιῶν πῶς ἔπεσαν
δυνατοί. μὴ ἀπαγγείλητε ἐν γέθ. καὶ μὴ εὐαγγελίσησθε ἐν ταῖς
ἐξόδοις ἀσκάλωνος. μή ποτε εὐφρανθῶσι θυγατέρες ἀλλο-
φύλων. μή ποτε ἀγαλλιάσωνται θυγατέρες τῶν ἀπεριτμήτων.
ὄρη τὰ ἐν γελβουὲ μὴ καταβάτω δρόσος. καὶ μὴ ὑετὸς ἐφ' ὑ-
μᾶς. καὶ ἀγροὶ ἀπαρχῶν. ὅτι ἐκεῖ προσωχθίσθη θυρεὸς δυνατῶν.
θυρεὸς σαούλ. οὐκ ἐχρίσθη ἐν ἐλαίῳ ἀφ' αἵματος τραυματιῶν
καὶ ἀπὸ στέατος δυνατῶν. τόξον ἰωνάθαν οὐκ ἀπεστράφη κενὸν
εἰς τὰ ὀπίσω. καὶ ῥομφαία σαοὺλ οὐκ ἀνέκαμψε κενή. σαοὺλ
καὶ ἰωνάθαν οἱ ἠγαπημένοι καὶ ὡραῖοι. οὐ διακεχωρισμένοι εὐ-
πρεπεῖς ἐν τῇ ζωῇ αὐτῶν. καὶ ἐν τῷ θανάτῳ αὐτῶν οὐ διεχωρί-
σθησαν, ὑπὲρ ἀετοὺς κοῦφοι. καὶ ὑπὲρ λέοντας ἐκραταιώθησαν.
θυγατέρες ἰσραήλ, ἐπὶ σαοὺλ κλαύσατε τὸν ἐνδιδύσκοντα
ὑμᾶς κόκκινα μετὰ κόσμου ὑμῶν. τὸν ἀναφέροντα κόσμον χρυ-

σοῦν ἐπὶ τὰ ἐνδύματα ὑμῶν. πῶς ἔπεσαν δυνατοὶ ἐν μέσῳ τοῦ
πολέμου. ἰωνάθαν εἰς θάνατον ἐτραυματίσθης. ἐπὶ τὰ ὕψη σου
τραυματία. ἀλγῶ ἐπὶ σὲ ἀδελφέ μου. ἰωνάθαν ὡραιώθης μοι
σφόδρα. ἐθαυμαστώθη ἡ ἀγάπησίς σου ἐμοὶ, ὑπὲρ ἀγάπησιν
γυναικῶν. πῶς ἔπεσαν δυνατοὶ, καὶ ἀπώλοντο σκεύη πολεμι-
κά.

Κεφάλαιον. β'. 2.

Καὶ ἐγένετο μετὰ ταῦτα, καὶ ἐπηρώτησε δαβὶδ ἐν κυ-
κ ρίῳ λέγων. εἰ ἀναβῶ εἰς μίαν τῶν πόλεων ἰούδα; καὶ
εἶπε κύριος πρὸς αὐτὸν, ἀνάβηθι. καὶ εἶπε δαβὶδ,
ποῦ ἀναβῶ, καὶ εἶπεν. εἰς χεβρών. καὶ ἀνέβη ἐκεῖ δαβὶδ, εἰς χε-
βρών. καὶ ἀμφότεραι αἱ γυναῖκες αὐτοῦ. ἀχινοὸν ἡ ἰσραηλῖτις
καὶ ἀβιγαία ἡ γυνὴ νάβαλ τοῦ καρμηλίου. καὶ οἱ ἄνδρες οἱ μετ'
αὐτοῦ ἕκαστος καὶ ὁ οἶκος αὐτοῦ, καὶ κατῴκουν ἐν ταῖς πόλεσι
χεβρών. καὶ ἔρχονται οἱ ἄνδρες τῆς ἰουδαίας καὶ χρίουσι τὸν
δαβὶδ ἐκεῖ τοῦ βασιλεῦσαι ἐπὶ τὸν οἶκον ἰούδα. καὶ ἀπήγγειλαν
τῷ δαβὶδ λέγοντες. ὅτι οἱ ἄνδρες ἰαβεὶς τῆς γαλααδίτιδος,
ἔθαψαν τὸν σαοὺλ, καὶ ἀπέστειλε δαβὶδ ἀγγέλους πρὸς τοὺς ἡ-
γουμένους ἰαβεὶς τῆς γαλααδίτιδος, καὶ εἶπε πρὸς αὐτοὺς δαβίδ.
εὐλογημένοι ὑμεῖς τῷ κυρίῳ. ὅτι ἐποιήκατε τὸ ἔλεος τοῦτο ἐπὶ
τὸν κύριον ὑμῶν ἐπὶ σαοὺλ τὸν χριστὸν κυρίου, καὶ ἐθάψατε αὐτὸν
καὶ ἰωνάθαν τὸν υἱὸν αὐτοῦ. καὶ νῦν ποιήσαι κύριος μεθ' ὑμῶν
ἔλεος καὶ ἀλήθειαν. καί γε ἐγὼ ποιήσω μεθ' ὑμῶν τὸ ἀγαθὸν
τοῦτο ὅτι ἐποιήσατε τὸ ῥῆμα τοῦτο. καὶ νῦν κραταιούσθωσαν αἱ χεῖ-
ρες ὑμῶν, καὶ γίνεσθε εἰς υἱοὺς δυνατοὺς, ὅτι τέθνηκεν ὁ κύριος
ὑμῶν σαούλ. καί γε ἐμὲ κέχρικεν ὁ οἶκος ἰούδα ἐφ' ἑαυτοὺς εἰς
βασιλέα. καὶ ἀβεννὴρ υἱὸς νὴρ ἀρχιστράτηγος σαοὺλ, ἔλαβε τὸν
ἰεβοσθὲ υἱὸν σαοὺλ, καὶ ἀνεβίβασεν αὐτὸν ἐκ τῆς παρεμβολῆς εἰς
μαναὲμ, καὶ ἐβασίλευσεν αὐτὸν ἐπὶ τὴν γαλααδίτιν καὶ ἐπὶ τὸν
θασιρὶ καὶ ἐπὶ τὸν ἰσραήλ. καὶ ἐπὶ τὸν ἐφραὶμ καὶ ἐπὶ τὸν βενιαμὶν
καὶ ἐπὶ πάντα ἰσραήλ. τεσσαράκοντα ἐτῶν ἰεβοσθὲ υἱὸς σαοὺλ, ὅτε

ἐβασίλευσεν ἐπὶ τὸν ἰσραήλ. καὶ δύο ἔτη ἐβασίλευσε. πλὴν τοῦ
οἴκου ἰούδα οἳ ἦσαν ὀπίσω δαβίδ. καὶ ἐγένοντο αἱ ἡμέραι ἃς
δαβὶδ ἐβασίλευσεν ἐν χεβρὼν ἐπὶ τὸν οἶκον ἰούδα, ἑπτὰ ἔτη
καὶ μῆνας ἕξ. καὶ ἐξῆλθεν ἀβεννὴρ υἱὸς νὴρ καὶ οἱ παῖδες ἰεβοσθὲ
υἱοῦ σαοὺλ ὅτε ἐβασίλευσεν μαναεὶμ εἰς γαβαών. καὶ ἰωὰβ υἱὸς
σαρουΐα, καὶ οἱ παῖδες δαβὶδ ἐξῆλθον ἐκ χεβρῶν, καὶ συναντῶ
σιν αὐτοῖς ἐπὶ τὴν κρήνην τὴν γαβλὼν ἐπὶ τὸ αὐτό. καὶ ἐκάθισαν
οὗτοι ἐπὶ τὴν κρήνην ἐντεῦθεν καὶ οὗτοι ἐντεῦθεν, καὶ εἶπεν ἀβεν-
νὴρ πρὸς ἰωάβ. ἀναστήτωσαν δὴ τὰ παιδάρια καὶ παιξάτωσαν
ἐνώπιον ἡμῶν. καὶ εἶπεν ἰωάβ, ἀναστήτωσαν. καὶ ἀνέστησαν καὶ πα
ρῆλθον ἐν ἀριθμῷ τῶν βενιαμὶν παίδων δώδεκα. τῶν ἰεβοσ
θὲ υἱοῦ σαοὺλ δώδεκα, καὶ δώδεκα ἐκ τῶν παίδων δαβίδ. καὶ
ἐκράτησεν ἕκαστος τῇ χειρὶ τὴν κεφαλὴν τοῦ πλησίον αὐτοῦ. καὶ
μάχαιρα αὐτοῦ, εἰς πλευρὰν τοῦ πλησίον αὐτοῦ. καὶ πίπτουσι κα-
τὰ τὸ αὐτό. καὶ ἐκλήθη τὸ ὄνομα τοῦ τόπου ἐκείνου, μερὶς τῶν ἐπι
βούλων. ἥ ἐστιν ἐν γαβαών. καὶ ἐγένετο ὁ πόλεμος σκληρὸς ὥς
τε λίαν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ ἔπταισεν ἀβεννὴρ καὶ οἱ ἄνδρες
ἰσραὴλ ἐνώπιον παίδων δαβίδ. καὶ ἐγένοντο ἐκεῖ τρεῖς υἱοὶ σαρο
υΐα. ἰωὰβ καὶ ἀβεσσά. καὶ ἀσαήλ. καὶ ἀσαὴλ κοῦφος τοῖς ποσὶν
αὐτοῦ, ὡσεὶ μία δορκὰς ἐν ἀγρῷ. καὶ κατεδίωξεν ἀσαὴλ ὀπίσω
ἀβεννὴρ, καὶ οὐκ ἐξέκλινε τοῦ πορευθῆναι εἰς δεξιὰ ἢ εἰς ἀριστερὰ κα
τόπισθεν ἀβεννήρ. καὶ ἐπέβλεψεν ἀβεννὴρ εἰς τὰ ὀπίσω αὐτοῦ,
καὶ εἶπεν εἰ σὺ εἶ αὐτὸς ἀσαήλ; καὶ εἶπεν. ἐγώ εἰμι. καὶ εἶπεν αὐ-
τῷ ἀβεννήρ. ἔκκλινον σὺ εἰς τὰ δεξιά, ἢ εἰς τὰ ἀριστερά. καὶ κά
τασχε σεαυτῷ ἓν τῶν παιδαρίων. καὶ λάβε σεαυτῷ τὴν πανο-
πλίαν αὐτοῦ. καὶ οὐκ ἠθέλησεν ἀσαὴλ ἐκκλῖναι ἐκ τῶν ὄπισθεν αὐτοῦ.
Καὶ προσέθετο ἔτι ἀβεννὴρ λέγων τῷ ἀσαήλ. ἀπόστηθι ἀπ' ἐ-
μοῦ, ἵνα μὴ πατάξω σε εἰς τὴν γῆν. καὶ πῶς ἀρῶ τὸ πρόσωπόν
μου πρὸς ἰωάβ. καὶ ποῦ ἐστι ταῦτα. ἐπίστρεφε πρὸς ἰωὰβ τὸν
ἀδελφόν σου. καὶ οὐκ ἐβούλετο τοῦ ἀποστῆναι. καὶ τύπτει αὐτὸν ἀ-

βεννήρ, ἐν τῷ ὀπίσω τοῦ δόρατος αὐτοῦ ἐπὶ τὴν ψόαν. καὶ διεξῆλθε τὸ δόρυ ἐκ τῶν ὀπίσω αὐτοῦ. καὶ πίπτει ἐκεῖ καὶ ἀποθνήσκει ὑποκάτω αὐτοῦ. καὶ ἐγένετο πᾶς ὁ ἐρχόμενος ἕως τοῦ τόπου οὗ ἔπεσεν ἐκεῖ ἀσαὴλ, καὶ ἀπέθανε ἀφίσατο. καὶ κατεδίωξεν ἰωὰβ καὶ ἀβεσσὰ ὀπίσω ἀβεννήρ. καὶ ὁ ἥλιος ἔδυνε. καὶ αὐτοὶ ἦλθον ἕως τοῦ βουνοῦ ἀμμάτ ὅ ἐστιν ἐπὶ προσώπου γαί. ὁδὸν ἔρημον γαβαών. καὶ συναθροίζονται οἱ υἱοὶ βενιαμὶν οἱ ὀπίσω ἀβεννήρ. καὶ ἐγενήθησαν εἰς συνάντησιν μίαν, καὶ ἔστησαν ἐπὶ κεφαλὴν βουνοῦ ἑνός. καὶ ἐκάλεσεν ἀβεννὴρ ἰωὰβ, καὶ εἶπε μὴ εἰς νῖκος καταφάγεται ἡ ῥομφαία; ἢ οὐκ οἶδας, ὅτι πικρὰ ἔσται εἰς τὰ ἔσχατα. καὶ ἕως πότε οὐ μὴ εἴπῃς τῷ λαῷ ἀποστραφῆναι ἀπὸ ὄπισθεν τῶν ἀδελφῶν ἡμῶν. καὶ εἶπεν ἰωάβ. ζῇ κύριος, ὅτι εἰ μὴ ἐλάλησας διότι τότε ἐκ πρωΐθεν ἀνέβη ἂν ὁ λαὸς ἕκαστος κατόπισθεν τοῦ ἀδελφοῦ αὐτοῦ καὶ ἐσάλπισεν ἰωὰβ τῇ σάλπιγγι, καὶ ἔστη πᾶς ὁ λαὸς καὶ οὐ κατεδίωξαν ὀπίσω τοῦ ἰσραὴλ καὶ οὐ προσέθεντο ἔτι τοῦ πολεμεῖν. καὶ ἀβεννὴρ καὶ οἱ ἄνδρες αὐτοῦ, καὶ ἀπῆλθον εἰς δυσμὰς ὅλην τὴν νύκτα ἐκείνην, καὶ διέβαινον τὸν ἰορδάνην καὶ ἐπορεύθησαν ὅλην τὴν παρατείνουσαν καὶ ἔρχονται εἰς τὴν παρεμβολήν. καὶ ἰωὰβ ἀνέστρεψεν ὄπισθεν τοῦ ἀβεννήρ. καὶ συνήθροισε πάντα τὸν λαόν. καὶ ἐπεσκέπησαν τῶν υἱῶν δαβὶδ ἐννεακαίδεκα ἄνδρες. καὶ ἀσαὴλ καὶ οἱ παῖδες δαβὶδ ἐπάταξαν τῶν υἱῶν βενιαμὶν τῶν ἀνδρῶν ἀβεννήρ, τριακοσίους καὶ ἑξήκοντα ἄνδρας παρ' αὐτοῦ. καὶ αἴρουσι τὸν ἀσαὴλ καὶ θάπτουσιν αὐτὸν, ἐν τῷ τάφῳ τοῦ πατρὸς αὐτοῦ ἐν βηθλεέμ. καὶ ἐπορεύθη ἰωὰβ καὶ οἱ ἄνδρες οἱ μετ' αὐτοῦ, ὅλην τὴν νύκτα. καὶ διέφαυσεν αὐτοῖς ἐν χεβρών.

Κεφ. γ'. 3.

Αἰ ἐγένετο ὁ πόλεμος ἐπὶ πολὺ ἀνὰ μέσον τοῦ οἴκου
κ σαοὺλ, καὶ ἀνὰ μέσον τοῦ οἴκου δαβίδ. καὶ ὁ οἶκος δαβὶδ, ἐπορεύετο καὶ ἐκραταιοῦτο. καὶ ὁ οἶκος σαοὺλ, ἐπορεύετο καὶ ἠσθένει. καὶ ἐτέχθησαν τῷ δαβὶδ, υἱοὶ ἐν χεβρών. καὶ

βρών, καὶ ἦν ὁ πρωτότοκος αὐτῶν ἀμνών, τῆς ἀχιναὰμ τῆς ἰσραη-
λίτιδος. καὶ ὁ δεύτερος αὐτοῦ δαλουΐα τῆς ἀβιγαίας τῆς καρμηλίας.
καὶ ὁ τρίτος ἀβεσσαλὼμ υἱὸς μααχὰ θυγατρὸς θολμὶ βασιλέ-
ως γεσσείρ. καὶ ὁ τέταρτος ὀρνίας υἱὸς ἀγγίθ. καὶ ὁ πέμπτος σαφα-
τία τῆς ἀβιτάαλ. καὶ ὁ ἕκτος ἰεθραὰμ τῆς αἰγλὰχ γυναικὸς δα-
βίδ. οὗτοι ἐτέχθησαν τῷ δαβὶδ ἐν χεβρών. Καὶ ἐγένετο ἐν τῷ
εἶναι τὸν πόλεμον ἀνὰ μέσον τοῦ οἴκου σαοὺλ καὶ ἀνὰ μέσον τοῦ οἴ-
κου δαβίδ. καὶ ἀβεννὴρ ἦν κρατῶν τοῦ οἴκου σαούλ. καὶ τῷ σαοὺλ
παλλακὴ ῥεσφὰ θυγάτηρ ἰώλ. καὶ εἰσῆλθε πρὸς αὐτὴν ἀβεννήρ.
καὶ εἶπεν ἰεβοσθὲ υἱὸς σαοὺλ πρὸς ἀβεννήρ, τί ὅτι εἰσῆλθες
πρὸς τὴν παλλακὴν τοῦ πατρός μου. καὶ ἐθυμώθη σφόδρα ἀ-
βεννὴρ περὶ τοῦ λόγου τούτου τῷ ἰεβοσθέ. καὶ εἶπεν ἀβεννὴρ
πρὸς αὐτόν. μὴ κεφαλὴ κυνὸς ἐγώ εἰμι; ἐποίησα σήμερον ἔλε-
ος μετὰ τοῦ οἴκου σαοὺλ τοῦ πατρός σου. καὶ περὶ ἀδελφῶν
καὶ περὶ γνωρίμων, καὶ οὐκ ηὐτομόλησα εἰς τὸν οἶκον δαβίδ. καὶ
ἐπιζητεῖς ἐπ᾽ ἐμὲ, σὺ ὑπὲρ ἀδικίας γυναικὸς σήμερον; τάδε
ποιήσαι ὁ θεὸς τῷ ἀβεννήρ. καὶ τάδε προσθείη αὐτῷ ὅτι κα-
θὼς ὤμοσε κύριος τῷ δαβίδ, οὕτως ποιήσω αὐτῷ ἐν τῇ ἡμέ-
ρᾳ ταύτῃ. περιελεῖν τὴν βασιλείαν ἀπὸ τοῦ οἴκου σαούλ. καὶ τοῦ ἀνα-
στῆσαι τὸν θρόνον δαβὶδ ἐπὶ τὸν ἰσραὴλ καὶ ἐπὶ τὸν ἰούδαν ἀπὸ δὰν καὶ
ἕως βηρσαβεέ. καὶ οὐκ ἐδυνάσθη ἔτι ἰεβοσθὲ ἀποκριθῆναι τῷ ἀ-
βεννὴρ ῥῆμα, ἀπὸ τοῦ φοβηθῆναι αὐτόν. καὶ ἀπέστειλεν ἀβεννὴρ ἀγ-
γέλους πρὸς δαβὶδ εἰς θαιλὰμ, οὗ ἦν παραχρῆμα λέγων. διά-
θου διαθήκην σου μετ᾽ ἐμοῦ καὶ ἰδοὺ ἡ χείρ μου μετὰ σοῦ τοῦ ἐπι-
στρέψαι πρὸς σὲ πάντα τὸν οἶκον ἰσραήλ. καὶ εἶπε δαβίδ. καλῶς
ἐγὼ διαθήσομαι πρὸς σὲ διαθήκην. πλὴν λόγον ἕνα ἐγὼ αἰτοῦ-
μαι παρὰ σοῦ λέγων. οὐκ ὄψει τὸ πρόσωπόν μου, ἐὰν μὴ ἀγά-
γῃς τὴν μελχὸλ θυγατέρα σαούλ, παραγινομένου σου ἰδεῖν
τὸ πρόσωπόν μου. καὶ ἐξαπέστειλε δαβὶδ πρὸς ἰεβοσθὲ υἱὸν σα-
οὺλ ἀγγέλους λέγων. ἀπόδος μοι τὴν γυναῖκά μου τὴν μελχὸλ

ἣν ἔλαβον ἐν ἑκατὸν ἀκροβυστίαις ἀλλοφύλων, καὶ ἀπέστειλεν ἰεβοσθὲ καὶ ἔλαβεν αὐτὴν παρὰ τοῦ ἀνδρὸς αὐτῆς παρὰ φαλτιὴλ υἱοῦ σελλήμ. καὶ ἐπορεύετο ὁ ἀνὴρ αὐτῆς μετ' αὐτῆς κλαίων ὀπίσω αὐτῆς ἕως βαουρὶμ, καὶ εἶπε πρὸς αὐτὸν ἀβεννήρ. πορεύου ἀνάστρεφε καὶ ἀνέστρεψε. καὶ εἶπεν ἀβεννὴρ πρὸς τοὺς πρεσβυτέρους ἰσραὴλ λέγων. χθὲς καὶ τρίτην ἐζητεῖτε τὸν δαβὶδ βασιλεύειν ἐφ' ὑμᾶς. καὶ νῦν ποιήσατε, ὅτι κύριος ἐλάλησε περὶ δαβὶδ λέγων. ἐν χειρὶ τοῦ δούλου μου δαβὶδ, σώσω τὸν ἰσραὴλ, ἐκ χειρὸς τῶν ἀλλοφύλων. καὶ ἐκ χειρὸς πάντων τῶν ἐχθρῶν αὐτοῦ. καὶ ἐλάλησεν ἀβεννὴρ καί γε ἐν τοῖς ὠσὶ βενιαμίν. καὶ ἐπορεύθη ἀβεννὴρ τοῦ λαλῆσαι εἰς τὰ ὦτα δαβὶδ εἰς χεβρὼν, πάντα ὅσα ἤρεσεν ἐν ὀφθαλμοῖς ἰσραὴλ καὶ ἐν ὀφθαλμοῖς παντὸς οἴκου βενιαμίν. καὶ ἦλθεν ἀβεννὴρ πρὸς δαβὶδ εἰς χεβρὼν καὶ μετ' αὐτοῦ εἴκοσι ἄνδρες, καὶ ἐποίησε δαβὶδ τῷ ἀβεννὴρ καὶ τοῖς ἀνδράσι τοῖς μετ' αὐτοῦ πότον. καὶ εἶπεν ἀβεννὴρ πρὸς δαβὶδ ἀναστήσομαι δὴ καὶ πορεύσομαι. καὶ συναθροίσω πρὸς τὸν κύριόν μου τὸν βασιλέα πάντα ἰσραήλ. καὶ διαθήσομαι μετ' αὐτοῦ διαθήκην. καὶ βασιλεύσεις ἐπὶ πᾶσιν οἷς ἐπιθυμεῖ ἡ ψυχή σου. καὶ ἀπέστειλε δαβὶδ τὸν ἀβεννήρ, καὶ ἐπορεύθη ἐν εἰρήνῃ. καὶ ἰδοὺ οἱ παῖδες δαβὶδ καὶ ἰωὰβ παραγίνονται ἐκ τῆς ἐξοδίας. καὶ σκῦλα πολλὰ ἔφερον μεθ' ἑαυτῶν. καὶ ἀβεννὴρ οὐκ ἦν μετὰ δαβὶδ εἰς χεβρών. ὅτι ἀπεστάλκει αὐτόν. καὶ ἀπεληλύθει ἐν εἰρήνῃ. καὶ ἰωὰβ καὶ πᾶσα ἡ στρατιὰ αὐτοῦ ἤλθοσαν καὶ ἀπηγγέλη τῷ ἰωὰβ λέγοντες. ἥκει ἀβεννὴρ υἱὸς νὴρ πρὸς δαβὶδ καὶ ἀπέσταλκεν αὐτὸν, καὶ ἀπῆλθεν ἐν εἰρήνῃ. καὶ εἰσῆλθεν ἰωὰβ πρὸς τὸν βασιλέα καὶ εἶπε. τί τοῦτο ἐποίησας. ἰδοὺ ἦλθεν ἀβεννὴρ πρὸς σέ, καὶ ἵνα τί ἐξαπέσταλκας αὐτὸν καὶ ἀπελήλυθεν ἐν εἰρήνῃ. ἢ οὐκ οἶδας τὴν κακίαν ἀβεννὴρ υἱοῦ νήρ, ὅτι ἀπατῆσαί σε παρεγένετο, καὶ γνῶναι τὴν εἴσοδόν σου καὶ τὴν ἔξοδόν σου. καὶ γνῶναι ἅπαντα ὅσα σὺ ποιεῖς. καὶ ἀνέστρεψεν ἰωὰβ ἀπὸ

τοῦ δαβίδ. καὶ ἀπέστειλεν ἀγγέλους πρὸς ἀβεννὴρ ὀπίσω αὐτοῦ, καὶ ἀ-
ποστρέφουσιν αὐτὸν ἀπὸ τοῦ φρέατος τοῦ σεειράμ. καὶ δαβίδ οὐκ
ᾔδει. καὶ ἀπέστρεψε τὸν ἀβεννὴρ εἰς χεβρών. καὶ ἐξέκλινεν αὐ-
τὸν ἰωὰβ ἐκ πλαγίων τῆς πύλης λαλῆσαι πρὸς αὐτὸν ἐνεδρεύων.
καὶ ἐπάταξεν αὐτὸν ἐπὶ τὴν ψόαν ἐκεῖ. καὶ ἀπέθανεν ἐν τῷ αἵ-
ματι ἀσαὴλ τοῦ ἀδελφοῦ ἰωάβ. καὶ ἤκουσε δαβὶδ μετὰ ταῦτα
καὶ εἶπεν, ἀθῶός εἰμι ἐγὼ καὶ ἡ βασιλεία μου ἀπὸ κυρίου. ἀπὸ τοῦ
νῦν καὶ ἕως τοῦ αἰῶνος ἀπὸ τῶν αἱμάτων ἀβεννὴρ υἱοῦ νήρ. καταν-
τησάτωσαν ἐπὶ κεφαλὴν ἰωάβ. καὶ ἐπὶ πάντα τὸν οἶκον τοῦ
πατρὸς αὐτοῦ. καὶ μὴ ἐκλείποι ἐκ τοῦ οἴκου ἰωὰβ γονοῤῥυής, καὶ
λεπρὸς καὶ κρατῶν σκυτάλην. καὶ πίπτων ἐν ῥομφαίᾳ καὶ ἐλασ-
σούμενος ἄρτους. ἰωὰβ δὲ καὶ ἀβεσσὰ ὁ ἀδελφὸς αὐτοῦ διαπαρετη-
ροῦν τὸν ἀβεννὴρ ἀνθ' ὧν ἐθανάτωσε ἀσαὴλ τὸν ἀδελφὸν αὐτοῦ ἐν
γαβαὼν ἐν τῷ πολέμῳ. καὶ εἶπε δαβὶδ πρὸς ἰωὰβ καὶ πρὸς
πάντα τὸν λαὸν τὸν μετ' αὐτοῦ. διαῤῥήξατε τὰ ἱμάτια ὑμῶν. καὶ
περιζώσασθε σάκκους. καὶ κόπτεσθε ἔμπροσθεν ἀβεννήρ. καὶ ὁ
βασιλεὺς δαβὶδ, ἐπορεύετο ὀπίσω τῆς κλίνης. καὶ θάπτουσι
τὸν ἀβεννὴρ ἐν χεβρών. καὶ ἦρεν ὁ βασιλεὺς τὴν φωνὴν αὐτοῦ καὶ
ἔκλαυσεν ἐπὶ τοῦ τάφου αὐτοῦ. καὶ ἔκλαυσε πᾶς ὁ λαὸς ἐπὶ ἀ-
βεννήρ, καὶ ἐθρήνησεν ὁ βασιλεὺς ἐπὶ ἀβεννήρ, καὶ εἶπεν. εἰ κα-
τὰ τὸν θάνατον νάβαλ ἀποθανεῖται ἀβεννήρ. αἱ χεῖρές σου οὐκ
ἐδέθησαν. οἱ πόδες σου οὐκ ἐν πέδαις. οὐ προσήγαγες ὡς νάβαλ
ἐνώπιον υἱοῦ ἀδικίας ἔπεσας. καὶ συνήχθησαν πᾶς ὁ λαὸς τοῦ κλαῦ-
σαι αὐτόν. καὶ ἦλθε πᾶς ὁ λαὸς τοῦ περιδειπνῆσαι τὸν δαβὶδ ἄρ-
τοις ἔτι οὔσης ἡμέρας, καὶ ὤμοσε δαβὶδ λέγων τάδε ποιήσαι
μοι ὁ θεὸς καὶ τάδε προσθείη, ὅτι ἐὰν μὴ δύνη ὁ ἥλιος οὐ μὴ γεύ-
σομαι ἄρτου, ἢ ἀπὸ παντός τινος. καὶ ἔγνω πᾶς ὁ λαὸς καὶ ἤ-
ρεσεν ἐνώπιον αὐτῶν, πάντα ὅσα ἐποίησεν ὁ βασιλεὺς ἐνώπι-
ον τοῦ λαοῦ. καὶ ἔγνω πᾶς ὁ λαὸς καὶ πᾶς ἰσραὴλ ἐν τῇ ἡμέρᾳ ἐ-
κείνῃ, ὅτι οὐκ ἐγένετο παρὰ τοῦ βασιλέως τοῦ θανατῶσαι τὸν ἀβεννήρ

υἱὸν νὴρ. καὶ εἶπεν ὁ βασιλεὺς πρὸς τοὺς παῖδας αὐτοῦ. οὐκ οἴδατε
ὅτι ὁ ἡγούμενος πέπτωκεν μέγας ἐν τῇ ἡμέρᾳ ταύτῃ ἐν τῷ
ἰσραήλ; καὶ ὅτι ἐγώ εἰμι συγγενὴς σήμερον καὶ κατεσταμένος
ὑπὸ τοῦ βασιλέως, οἱ δὲ ἄνδρες οὗτοι υἱοὶ σαρουΐα σκληροί μοι
εἰσίν. ἀνταποδῷ κύριος τῷ ποιοῦντι τὰ πονηρὰ κατὰ τὴν
κακίαν αὐτοῦ. Κεφ. δ'. 4.

Δὶ ἤκουσεν ἰεβοσθὲ υἱὸς σαοὺλ, ὅτι τέθνηκεν ἀβεννὴρ
κ υἱὸς νὴρ ἐν χεβρὼν, καὶ ἐξελύθησαν αἱ χεῖρες αὐτοῦ. καὶ
πάντες οἱ ἄνδρες ἰσραὴλ παρείθησαν. καὶ δύο ἄν-
δρες ἡγούμενοι συστρεμμάτων τῷ ἰεβοσθὲ υἱῷ σαοὺλ. ὄνομα τῷ
ἑνὶ, βαανά. καὶ ὄνομα τῷ δευτέρῳ ῥηχάβ. υἱοὶ ῥεμμὼθ τοῦ βηρω-
θαίου ἐκ τῶν υἱῶν βενιαμὶν ὅτι καὶ βηρὼθ ἐλογίζετο τοῖς υἱοῖς βενια-
μίν. καὶ ἀπέδρασαν οἱ βηρωθαῖοι εἰς γεθαί. καὶ ἦσαν ἐκεῖ παροι-
κοῦντες ἕως τῆς ἡμέρας ταύτης. καὶ τῷ ἰωνάθαν υἱῷ σαοὺλ
υἱὸς πεπληγὼς τοὺς πόδας υἱὸς ἐτῶν πέντε. καὶ οὗτος ἐν τῷ
ἐλθεῖν τὴν ἀγγελίαν σαοὺλ, καὶ ἰωνάθαν τοῦ υἱοῦ αὐτοῦ ἐξ ἰεζραε-
ὲλ. καὶ ἦρεν αὐτὸν ἡ τιθηνὸς αὐτοῦ. καὶ ἔφυγε. καὶ ἐγένετο ἐν τῷ
σπεύδειν αὐτὴν, ἀναχωρεῖν, καὶ ἔπεσε, καὶ ἐχωλάνθη. καὶ ὄνο-
μα αὐτῷ μεμφιβοσθέ. καὶ ἐπορεύθησαν οἱ υἱοὶ ῥεμμὼν τοῦ
βηρωθαίου ῥηχὰβ, καὶ βαανὰ, καὶ εἰσῆλθον ἐν τῷ καύματι
τῆς ἡμέρας εἰς οἶκον ἰεβοσθέ. καὶ αὐτὸς ἐκάθευδεν ἐν τῇ κοί-
τῃ τῆς μεσημβρίας. καὶ ἰδοὺ ἡ θυρωρὸς τοῦ οἴκου ἐκά-
θαιρε πυρούς. καὶ ἐνύσταξε. καὶ ἐκάθευδε. καὶ ῥηχὰβ καὶ βα-
ὰμ οἱ ἀδελφοὶ, διῆλθον καὶ εἰσήλθοσαν εἰς τὸν οἶκον. καὶ ἰεβο-
σθὲ ἐκάθευδεν ἐπὶ τῆς κλίνης αὐτοῦ, ἐν τῷ κοιτῶνι αὐτοῦ, καὶ τύ-
πτουσιν αὐτόν. καὶ θανατοῦσιν αὐτόν. καὶ ἀφαιροῦσι τὴν κεφαλὴν
αὐτοῦ. καὶ λαβόντες τὴν κεφαλὴν αὐτοῦ ἀπῆλθον ὁδὸν τὴν κα-
τὰ δυσμὰς ὅλην τὴν νύκτα. καὶ ἤνεγκαν τὴν κεφαλὴν ἰεβοσθὲ
τῷ δαβὶδ εἰς χεβρὼν, καὶ εἶπον πρὸς τὸν βασιλέα. ἰδοὺ ἡ κε-
φαλὴ ἰεβοσθὲ υἱοῦ σαοὺλ τοῦ ἐχθροῦ σου, ὃς ἐζήτει τὴν ψυ-

χήν σου. καὶ ἔδωκε κύριος τῷ κυρίῳ ἡμῶν τῷ βασιλεῖ ἐκδί-
κησιν τῶν ἐχθρῶν αὐτοῦ ὡς ἡ ἡμέρα αὕτη ἐκ σαοὺλ τοῦ ἐχθροῦ σου
καὶ ἐκ τοῦ σπέρματος αὐτοῦ. καὶ ἀπεκρίθη δαβὶδ τῷ ῥηχὰβ, καὶ
τῷ βαανὰ ἀδελφῷ αὐτοῦ υἱοῖς ῥεμμὼν τοῦ βηρωθαίου, καὶ εἶπεν
αὐτοῖς. ζῇ κύριος ὃς ἐλυτρώσατο τὴν ψυχήν μου ἐκ πάσης θλί-
ψεως. ὅτι ὁ ἀπαγγείλας μοι ὅτι τέθνηκε σαοὺλ, καὶ ἰωνάθαν, καὶ αὐ-
τὸς ἦν ὡς εὐαγγελιζόμενος ἐνώπιόν μου. καὶ κατέσχον αὐτὸν, καὶ
ἀπέκτεινα αὐτὸν ἐν σικελάκ. ᾧ ἔδει με δοῦναι εὐαγγέλια. καὶ
νῦν ἄνδρες πονηροὶ ἀπεκτάγκασιν ἄνδρα δίκαιον ἐν τῷ οἴ-
κῳ αὐτοῦ ἐπὶ τῆς κλίνης αὐτοῦ, καὶ νῦν ἐκζητήσω τὸ αἷμα αὐτοῦ
ἐκ τῶν χειρῶν ὑμῶν, καὶ ἐξολοθρεύσω ὑμᾶς ἐκ τῆς γῆς. καὶ ἐνετεί-
λατο δαβὶδ τοῖς παιδαρίοις αὐτοῦ, καὶ ἀποκτείνουσιν αὐτοὺς, καὶ κο-
λοβοῦσι τὰς χεῖρας αὐτῶν καὶ τοὺς πόδας αὐτῶν. καὶ ἐκρέμασαν
αὐτοὺς ἐπὶ τῆς κρήνης ἐν χεβρών. καὶ κεφαλὴν ἰεβοσθὲ, καὶ ἔθαψαν
ἐν τῷ τάφῳ ἀβεννὴρ υἱοῦ νὴρ. ἐν χεβρών.

Κεφάλαιον ε. 5.

κ Αἰ παραγίνονται πᾶσαι αἱ φυλαὶ ἰσραὴλ πρὸς δα-
βὶδ εἰς χεβρὼν καὶ εἶπον αὐτῷ, ἰδοὺ ὀστᾶ σου, καὶ
σάρκες σου ἡμεῖς. καὶ ἐχθὲς, καὶ τρίτην ὄντος σαοὺλ βασιλέως ἐφ'
ἡμᾶς, σὺ ἦσθα ὁ ἐξάγων, καὶ εἰσάγων τὸν ἰσραήλ. καὶ εἶπε κύριος πρὸς
σέ. σὺ ποιμανεῖς τὸν λαόν μου τὸν ἰσραὴλ, καὶ σὺ ἔσῃ εἰς ἡγούμε-
νον ἐπὶ τὸν λαόν μου ἰσραήλ. Καὶ ἔρχονται πάντες οἱ πρεσβύ-
τεροι ἰσραὴλ πρὸς τὸν βασιλέα εἰς χεβρών. καὶ διέθετο αὐτοῖς ὁ
βασιλεὺς δαβὶδ διαθήκην ἐν χεβρὼν ἐνώπιον κυρίου. καὶ χρίου-
σι τὸν βασιλέα δαβὶδ ἐπὶ πάντα ἰσραήλ. υἱὸς τριάκοντα ἐτῶν
δαβὶδ, ἐν τῷ βασιλεύειν αὐτὸν, καὶ τεσσαράκοντα ἔτη ἐβα-
σίλευσεν. ἑπτὰ ἔτη, καὶ μῆνας ἓξ ἐβασίλευσεν ἐν χεβρὼν ἐπὶ
τὸν ἰούδαν. καὶ τριάκοντα, καὶ τρία ἔτη ἐβασίλευσεν ἐπὶ τὸν
ἰσραὴλ καὶ ἰούδαν ἐν ἱερουσαλήμ. καὶ ἀπῆλθε δαβὶδ, καὶ
πάντες οἱ ἄνδρες αὐτοῦ εἰς ἱερουσαλὴμ πρὸς τὸν ἰεβουσαῖον

τὸν κατοικοῦντα τὴν γῆν, καὶ ἐῤῥέθη τῷ δαβίδ. οὐκ εἰσελεύ-
σῃ ὧδε ὅτι ἀντέστησαν οἱ τυφλοὶ, καὶ οἱ χωλοὶ λέγοντες. ὅτι
οὐκ εἰσελεύσεται δαβὶδ ὧδε. καὶ προκατελάβετο δαβὶδ τὴν
περιοχὴν σιών. αὕτη ἡ πόλις τοῦ δαβὶδ, καὶ εἶπε δαβὶδ ἐν
τῇ ἡμέρᾳ ἐκείνῃ. πᾶς τύπτων ἰεβουσαῖον, ἁπτέσθω ἐν παρα-
ξιφίδι, καὶ τοὺς χωλοὺς, καὶ τοὺς τυφλοὺς, καὶ τοὺς μισοῦν-
τας τὴν ψυχὴν δαβίδ. διατοῦτο ἐροῦσι χωλοὶ, καὶ τυφλοὶ
οὐκ εἰσελεύσονται εἰς οἶκον κυρίου, καὶ ἐκάθισε δαβὶδ ἐν τῇ
περιοχῇ, καὶ ἐκλήθη αὕτη ἡ πόλις δαβίδ. καὶ ᾠκοδόμησαν
αὐτὴν πόλιν κύκλῳ ἀπὸ τῆς ἄκρας καὶ τὸν οἶκον αὐτοῦ. καὶ ἐπο-
ρεύετο δαβὶδ πορευόμενος. καὶ μεγαλυνόμενος καὶ κύριος παντο-
κράτωρ μετ᾽ αὐτοῦ, καὶ ἀπέστειλε χειρὰμ βασιλεὺς τύρου ἀγγέλους
πρὸς δαβὶδ, καὶ ξύλα κέδρινα. καὶ τέκτονας ξύλων καὶ τέκτονας λί-
θων, καὶ ᾠκοδόμησαν οἶκον τῷ δαβίδ. καὶ ἔγνω δαβὶδ, ὅτι ἡτοίμα-
σεν αὐτὸν κύριος εἰς βασιλέα ἐπὶ ἰσραὴλ, καὶ ὅτι ἐπήρθη ἡ βασιλεία
αὐτοῦ, διὰ τὸν λαὸν αὐτοῦ ἰσραὴλ, καὶ ἔλαβε δαβὶδ ἔτι γυναῖκας, καὶ
παλλακὰς ἐξ ἱερουσαλήμ. μετὰ τὸ ἐλθεῖν αὐτὸν ἐκ χεβρὼν, καὶ ἐ-
γένοντο τῷ δαβὶδ ἔτι υἱοὶ, καὶ θυγατέρες, καὶ ταῦτα τὰ ὀνόμα-
τα τῶν γεννηθέντων αὐτῶν ἐν ἱερουσαλήμ. σαμμοὺς, καὶ σω-
βάβ. καὶ ναθὰν, καὶ σαλομὼν, καὶ ἐβεάρ. καὶ ἐλισουέ.
καὶ ναφίκ. καὶ ἰεφιέ. καὶ ἐλισαμαὶ. καὶ ἐλιδαέ. καὶ ἐλφαλὰθ
σαμαέ. ἰεσιβάθ. νάθαν. γαλαμαάν. ἰεβαάρ. θεηθουσελφαλάθ
ναγέθ. ναφέκ. ἰωνάθαν, καὶ ἀσεμίς. βααλιμαάθ. ἐλιφαάθ καὶ ἤ-
κουσαν οἱ ἀλλόφυλοι ὅτι ἔχρισαν δαβὶδ βασιλεὺς ἐπὶ ἰσραὴλ, καὶ
ἀνέβησαν πάντες οἱ ἀλλόφυλοι ζητεῖν τὸν δαβίδ. καὶ ἤκουσε δαβὶδ
καὶ κατέβη εἰς τὴν περιοχήν. καὶ οἱ ἀλλόφυλοι παραγίνονται. καὶ
συνέπεσαν εἰς τὴν κοιλάδα τῶν τιτάνων. καὶ ἠρώτησε δαβὶδ
διὰ τοῦ κυρίου λέγων. εἰ ἀναβῶ πρὸς τοὺς ἀλλοφύλους, καὶ παρα-
δώσεις αὐτοὺς εἰς τὰς χεῖράς μου. καὶ εἶπε κύριος πρὸς δαβὶδ ἀ-
νάβαινε ὅτι παραδιδοὺς παραδώσω τοὺς ἀλλοφύλους εἰς τὰς

χεῖράς σου. καὶ ἦλθε δαβὶδ ἐκ τῶν ἐπάνω διακοπῶν καὶ ἔκοψε
τοὺς ἀλλοφύλους ἐκεῖ. καὶ εἶπε δαβίδ. διέκοψε κύριος τοὺς ἐ-
χθρούς μου τοὺς ἀλλοφύλους ἐνώπιον ἐμοῦ. ὡς διακόπτεται ὕδα-
τα. διὰ τοῦτο ἐκλήθη τὸ ὄνομα τοῦ τόπου ἐκείνου, ἐπάνω διακο-
πῶν. καὶ καταλιμπάνουσιν ἐκεῖ τοὺς θεοὺς αὐτῶν. καὶ ἔλαβεν αὐτοὺς
δαβίδ, καὶ οἱ ἄνδρες οἱ μετ᾽ αὐτοῦ. καὶ εἶπε δαβίδ. κατακαῦσαι
αὐτοὺς ἐν πυρί. καὶ προσέθεντο ἔτι οἱ ἀλλόφυλοι τοῦ ἀναβῆναι
καὶ συνέπεσαν ἐν τῇ κοιλάδι τῶν τιτάνων. καὶ ἐπηρώτησε δα-
βὶδ διὰ κυρίου λέγων εἰ ἀναβῶ πρὸς τοὺς ἀλλοφύλους, καὶ παρα-
δώσεις αὐτοὺς εἰς τὰς χεῖράς μου. καὶ εἶπε κύριος οὐκ ἀναβήσῃ
εἰς συνάντησιν αὐτῶν. ἀποστρέφου ἀπ᾽ αὐτῶν. καὶ παρέσῃ αὐ-
τοῖς πλησίον τοῦ κλαυθμῶνος, καὶ ἔσται ἐν τῷ ἀκοῦσαί σε τὴν
φωνὴν τοῦ συσσεισμοῦ τοῦ ἄλσους τοῦ κλαυθμῶνος τότε κα-
ταβήσῃ πρὸς αὐτούς, ὅτι τότε ἐξελεύσεται κύριος ἔμπροσθέν
σου κόπτειν ἐν τῷ πολέμῳ τῶν ἀλλοφύλων. καὶ ἐποίησε δαβὶδ
καθὼς ἐνετείλατο αὐτῷ κύριος. καὶ ἐπάταξε τοὺς ἀλλοφύλους
ἀπὸ γαβαὼν ἕως τῆς γαζηρά.

Κεφάλαιον ς. 6.

Αἰ συνήγαγεν ἔτι δαβὶδ πάντα νεανίαν ἐξ ἰσρα-
κ ἠλ, ὡς ἑβδομήκοντα χιλιάδας, καὶ ἀνέστη. καὶ ἐ-
πορεύθη δαβίδ, καὶ πᾶς ὁ λαὸς ὁ μετ᾽ αὐτοῦ καὶ
ἀπὸ τῶν ἀρχόντων ἰούδα ἐν ἀναβάσει τοῦ ἀναγαγεῖν ἐκεῖθεν τὴν
κιβωτὸν τοῦ θεοῦ. ἐφ᾽ ἣν ἐπεκλήθη τὸ ὄνομα τοῦ κυρίου τῶν δυνά-
μεων καθημένου ἐπὶ τῶν χερουβεὶν ἐπ᾽ αὐτῆς, καὶ ἐπεβίβασαν
τὴν κιβωτὸν τοῦ κυρίου ἐφ᾽ ἅμαξαν καινήν. καὶ ἦραν αὐτὴν ἐξ
οἴκου ἀμιναδὰβ τοῦ ἐν τῷ βουνῷ. καὶ ὀζὰ. καὶ οἱ ἀδελφοὶ
αὐτοῦ υἱοὶ ἀμιναδὰβ, ἦγον τὴν ἅμαξαν σὺν τῇ κιβωτῷ. καὶ οἱ
ἀδελφοὶ αὐτοῦ ἐπορεύοντο ἔμπροσθεν τῆς κιβωτοῦ. καὶ δαβὶδ
καὶ υἱοὶ ἰσραὴλ παίζοντες ἐνώπιον κυρίου ἐν ὀργάνοις ἡρμο-
σμένοις ἐν ἰσχύϊ. καὶ ἐν ᾠδαῖς καὶ ἐν κινύραις καὶ ἐν ναύλαις

καὶ ἐν τυμπάνοις καὶ ἐν κυμβάλοις καὶ ἐν αὐλοῖς. καὶ παραγίνονται ἕως ἀλώνων ναχώρ. καὶ ἐξέτεινεν ὀζᾶ τὴν χεῖρα αὐτοῦ ἐπὶ τὴν κιβωτὸν τοῦ θεοῦ κατασχεῖν αὐτήν. καὶ ἐκράτησεν αὐτὴν ὅτι περιέσπασεν αὐτὴν ὁ μόσχος. καὶ ἐθυμώθη ὀργῇ κύριος τῷ ὀζᾷ. καὶ ἔπαισεν αὐτὸν ἐκεῖ ὁ θεὸς καὶ ἀπέθανεν ἐκεῖ παρὰ τὴν κιβωτὸν κυρίου ἐνώπιον τοῦ θεοῦ. καὶ ἠθύμησε δαβὶδ ὑπὲρ οὗ διέκοψε κύριος διακοπὴν ἐν τῷ ὀζᾷ. καὶ ἐκλήθη ὁ τόπος ἐκεῖνος διακοπὴ ὀζᾶ ἕως τῆς ἡμέρας ταύτης, καὶ ἐφοβήθη δαβὶδ τὸν κύριον ἐν τῇ ἡμέρᾳ ἐκείνῃ λέγων. πῶς εἰσελεύσεται πρός με ἡ κιβωτὸς τοῦ θεοῦ. καὶ οὐκ ἐβούλετο δαβὶδ τοῦ ἐκκλῖναι πρὸς αὐτὸν τὴν κιβωτὸν διαθήκης κυρίου εἰς τὴν πόλιν δαβίδ. καὶ ἀπέκλινεν αὐτὴν δαβὶδ εἰς οἶκον ἀβεδδαρὰ τοῦ γεθαίου καὶ ἐκάθισεν ἡ κιβωτὸς τοῦ κυρίου ἐν οἴκῳ ἀβεδδαρὰ τοῦ γεθαίου μῆνας τρεῖς καὶ εὐλόγησε κύριος ὅλον τὸν οἶκον ἀβεδδαρὰ καὶ πάντα τὰ αὐτοῦ. καὶ ἀνηγγέλη τῷ βασιλεῖ δαβὶδ λέγοντες. εὐλόγησε κύριος τὸν οἶκον ἀβεδδαρὰ καὶ πάντα τὰ αὐτοῦ ἕνεκα τῆς κιβωτοῦ τοῦ θεοῦ. καὶ ἐπορεύθη δαβὶδ καὶ ἀνήγαγε τὴν κιβωτὸν κυρίου ἐκ τοῦ οἴκου ἀβεδδαρὰ εἰς τὴν πόλιν δαβὶδ ἐν εὐφροσύνῃ. καὶ ἦσαν μετ' αὐτοῦ αἴροντες τὴν κιβωτὸν κυρίου ἑπτὰ χοροί. καὶ θῦμα μόσχου. καὶ ἄρνες, καὶ δαβὶδ ἀνεκρούετο λέγων ἐν ὀργάνοις ἡρμοσμένοις ἐνώπιον κυρίου. καὶ ὁ δαβὶδ ἐνδεδυκὼς στολὴν ἔξαλλον. καὶ δαβίδ, καὶ πᾶς ὁ οἶκος ἰσραὴλ ἀνήγαγον τὴν κιβωτὸν τοῦ κυρίου μετὰ κραυγῆς, καὶ μετὰ φωνῆς σάλπιγγος. καὶ ἐγένετο τῆς κιβωτοῦ παραγινομένης ἕως πόλεως δαβίδ, καὶ μελχὸλ ἡ θυγάτηρ σαοὺλ διέκυπτε διὰ τῆς θυρίδος, καὶ εἶδε τὸν βασιλέα δαβὶδ ὀρχούμενον, καὶ ἀνακρουόμενον ἐνώπιον κυρίου καὶ ἐξουδένωσεν αὐτὸν ἐν τῇ καρδίᾳ αὐτῆς, καὶ εἰσήνεγκαν τὴν κιβωτὸν τοῦ κυρίου, καὶ ἀπέθηκαν αὐτὴν εἰς τὸν τόπον αὐτῆς εἰς μέσον τῆς σκηνῆς, ἧς ἔπηξεν αὐτῇ δαβίδ, καὶ ἀνήνεγκε δαβὶδ ὁλοκαυτώματα

ἐνώπιον κυρίου εἰς εἰρηνικὰς, καὶ συνετέλεσε δαβὶδ ἀναφέρων
τὰς ὁλοκαυτώσεις, καὶ τὰς εἰρηνικάς. καὶ εὐλόγησε τὸν λαὸν ἐν
ὀνόματι κυρίου τῶν δυνάμεων. καὶ διεμέρισε παντὶ τῷ λαῷ
εἰς πᾶσαν τὴν δύναμιν τοῦ ἰσραὴλ ἀπὸ δὰν, ἕως βηρσαβεὲ.
καὶ ἀπὸ ἀνδρὸς ἕως γυναικὸς ἑκάστῳ κολλυρίδα ἄρτου καὶ ἐσχα
ρίτην, καὶ λάγανον ἀπὸ τηγάνου, καὶ ἀπῆλθε πᾶς ὁ λαὸς ἕκαστος
εἰς τὸν οἶκον αὐτοῦ, καὶ ἐπέστρεψε δαβὶδ εὐλογῆσαι τὸν οἶκον
αὐτοῦ, καὶ ἐξῆλθε μελχὸλ ἡ θυγάτηρ σαοὺλ εἰς ἀπάντησιν δα
βὶδ, καὶ εὐλόγησεν αὐτὸν, καὶ εἶπε. τί δεδόξασαι σήμερον ὁ
βασιλεὺς ἰσραὴλ ὃς ἀπεκαλύφθη σήμερον ἐν ὀφθαλμοῖς παι
δισκῶν τῶν δούλων ἑαυτοῦ. καθὼς ἀποκαλύπτεται ἀποκαλυ
φθεὶς εἷς τῶν ὀρχουμένων. καὶ εἶπε δαβὶδ πρὸς μελχὸλ ἐνώπι
ον κυρίου ὀρχήσομαι. καὶ εὐλογητὸς κύριος ὃς ἐξελέξατό με
ὑπὲρ τὸν πατέρα σου καὶ ὑπὲρ πάντα τὸν οἶκον αὐτοῦ. τοῦ κα
ταστῆσαί με εἰς ἡγούμενον ἐπὶ τὸν λαὸν αὐτοῦ ἐπὶ τὸν ἰσραήλ.
καὶ παίξομαι, καὶ ὀρχήσομαι ἐνώπιον κυρίου. καὶ ἀποκαλυ
φθήσομαι ἔτι οὕτως. καὶ ἔσομαι ἀχρεῖος ἐν ὀφθαλμοῖς σου,
καὶ μετὰ παιδισκῶν ὧν εἶπάς με μὴ δοξασθῆναι. καὶ τῇ μελ
χὸλ θυγατρὶ σαοὺλ, οὐκ ἐγένετο παιδίον ἕως τῆς ἡμέρας τοῦ
ἀποθανεῖν αὐτήν.

Κεφάλαιον ζ. 7.

Αἰ ἐγένετο ὅτε ἐκάθισεν ὁ βασιλεὺς ἐν τῷ οἴκῳ
κ αὐτοῦ, καὶ κύριος κατεκληρονόμησεν αὐτὸν κυ
κλόθεν ἀπὸ πάντων τῶν ἐχθρῶν αὐτοῦ κύκλῳ. καὶ
εἶπεν ὁ βασιλεὺς πρὸς νάθαν τὸν προφήτην. ἰδοὺ δὴ ἐγὼ κα
τοικῶ ἐν οἴκῳ κεδρίνῳ, καὶ ἡ κιβωτὸς τοῦ θεοῦ κάθηται
ἐν μέσῳ τῆς σκηνῆς. καὶ εἶπεν νάθαν πρὸς τὸν βασιλέα.
πάντα ὅσα ἂν ᾖ ἐν τῇ καρδίᾳ σου βάδιζε καὶ ποίει. ὅτι κύ
ριος μετὰ σοῦ. καὶ ἐγένετο ἐν τῇ νυκτὶ ἐκείνῃ, καὶ ἐγένετο ῥῆ
μα κυρίου πρὸς νάθαν λέγων. πορεύου, καὶ εἰπὸν πρὸς τὸν δοῦλόν μου

δαβὶδ· τάδε λέγει κύριος· οὐ σὺ οἰκοδομήσεις μοι οἶκον τοῦ κατοικῆσαί με. ὅτι οὐ κατῴκηκα ἐν οἴκῳ ἀφ' ἧς ἡμέρας ἐξήγαγον τοὺς υἱοὺς ἰσραὴλ ἐξ αἰγύπτου, ἕως τῆς ἡμέρας ταύτης. καὶ ἤμην ἐμπεριπατῶν ἐν καταλύματι καὶ ἐν σκηνῇ ἐν πᾶσιν οἷς διῆλθον ἐν παντὶ ἰσραήλ. εἰ λαλῶν ἐλάλησα πρὸς μίαν φυλὴν ἰσραὴλ ᾧ ἐνετειλάμην ποιμαίνειν τὸν λαόν μου ἰσραήλ. λέγων ἵνατί οὐκ ᾠκοδομήκατέ μοι οἶκον κέδρινον. καὶ νῦν τάδε ἐρεῖς τῷ δούλῳ μου τῷ δαβίδ. τάδε λέγει κύριος παντοκράτωρ. ἔλαβόν σε ἐκ τῆς μάνδρας τῶν προβάτων τοῦ εἶναί σε εἰς ἡγούμενον ἐπὶ τὸν λαόν μου τὸν ἰσραήλ. καὶ ἤμην μετὰ σοῦ ἐν πᾶσιν οἷς ἐπορεύου, καὶ ἐξωλόθρευσα πάντας τοὺς ἐχθρούς σου ἀπὸ προσώπου σου. καὶ ἐποίησά σε ὀνομαστὸν κατὰ τὸ ὄνομα τῶν μεγάλων τῶν ἐπὶ τῆς γῆς. καὶ θήσομαι τόπον τῷ λαῷ μου τῷ ἰσραήλ. καὶ καταφυτεύσω αὐτὸν, καὶ κατασκηνώσει καθ' ἑαυτόν. καὶ οὐ μεριμνήσει οὐκέτι. καὶ οὐ προσθήσῃ υἱὸς ἀδικίας τοῦ ταπεινῶσαι αὐτὸν καθὼς ἀπ' ἀρχῆς καὶ ἀπὸ τῶν ἡμερῶν ὧν ἔταξα κριτὰς ἐπὶ τὸν λαόν μου ἰσραήλ. καὶ ἀναπαύσω σε ἀπὸ πάντων τῶν ἐχθρῶν σου. καὶ ἀπαγγελεῖ σοι κύριος. ὅτι οἶκον οἰκοδομήσεις αὐτῷ, καὶ ἔσται ἐὰν πληρωθῶσιν αἱ ἡμέραι σου καὶ κοιμηθήσῃ μετὰ τῶν πατέρων σου. καὶ ἀναστήσω τὸ σπέρμα σου μετὰ σὲ ὃς ἔσται ἐκ τῆς κοιλίας σου. καὶ ἑτοιμάσω τὴν βασιλείαν αὐτοῦ. αὐτὸς οἰκοδομήσει οἶκον τῷ ὀνόματί μου, καὶ ἀνορθώσω τὸν θρόνον αὐτοῦ. ἕως εἰς τὸν αἰῶνα. ἐγὼ ἔσομαι αὐτῷ εἰς πατέρα. καὶ αὐτὸς ἔσται μοι εἰς υἱόν. καὶ ἐὰν ἔλθῃ ἡ ἀδικία αὐτοῦ καὶ ἐλέγξω αὐτὸν ἐν ῥάβδῳ ἀνδρῶν, καὶ ἐν ἁφαῖς υἱῶν ἀνθρώπων τὸ δὲ ἔλεός μου οὐκ ἀποστήσω ἀπ' αὐτοῦ καθὼς ἀπέστησα ἀφ' ὧν ἀπέστησα ἐκ προσώπου μου. καὶ πιστωθήσεται ὁ οἶκος αὐτοῦ καὶ ἡ βασιλεία αὐτοῦ ἕως αἰῶνος ἐνώπιόν μου. καὶ ὁ θρόνος αὐτοῦ ἔσται ἀνωρθωμένος εἰς τὸν αἰῶνα. κατὰ πάντας τοὺς λόγους τούτους καὶ κατὰ πᾶσαν τὴν ὅρασιν ταύτην, οὕτως ἐλ

λάλησε νάθαν πρὸς δαδ. Καὶ εἰσῆλθεν ὁ βασιλεὺς δαβὶδ
καὶ ἐκάθισεν ἐνώπιον κυρίου καὶ εἶπε. τίς εἰμι ἐγὼ κύριέ μου
κύριε, καὶ τίς ὁ οἶκός μου, ὅτι ἠγάπησάς με ἕως τούτων. καὶ κατε
σμικρύνθη μικρὸν ἐνώπιόν σου κύριέ μου κύριε. καὶ ἐλάλησας
ὑπὲρ τοῦ οἴκου τοῦ δούλου σου εἰς μακράν. οὗτος δὲ ὁ νόμος τοῦ
ἀνθρώπου κύριέ μου κύριε. καὶ τί προσθήσει δαβὶδ ἔτι τοῦ λα-
λῆσαι πρὸς σέ. καὶ νῦν σὺ οἶδας τὸν δοῦλόν σου κύριέ μου κύ-
ριε. καὶ διὰ τὸν δοῦλόν σου πεποίηκας καὶ κατὰ τὴν καρδίαν σου
ἐποίησας, πᾶσαν τὴν ἀγαθωσύνην ταύτην γνωρίσαι τῷ δού-
λῳ σου ἕνεκεν τοῦ μεγαλῦναι σε κύριέ μου κύριε. ὅτι οὐκ ἔστιν
ὡς σὺ, καὶ οὐκ ἔστι θεὸς πλὴν σοῦ ἐν πᾶσιν οἷς ἠκούσαμεν ἐν
τοῖς ὠσὶν ἡμῶν. καὶ τίς ὡς ὁ λαός σου ἰσραὴλ ἔθνος ἄλλο ἐν
τῇ γῇ. ὡς ὡδήγησεν αὐτὸν ὁ θεὸς τοῦ λυτρώσασθαι αὐτῷ λα-
όν. τοῦ θέσθαι σε ὄνομα. τοῦ ποιῆσαι μεγαλωσύνην καὶ ἐπιφά-
νειαν. τοῦ ἐκβαλεῖν σε ἐκ προσώπου τοῦ λαοῦ σου οὓς ἐλυτρώσω
σεαυτῷ ἐξ αἰγύπτου ἔθνη καὶ σκηνώματα. καὶ ἡτοίμασας σε-
αυτῷ τὸν λαόν σου ἰσραὴλ εἰς λαὸν ἕως αἰῶνος. καὶ σὺ κύριε
ἐγένου αὐτοῖς εἰς θεόν. καὶ νῦν κύριέ μου κύριε. τὸ ῥῆμα ὃ ἐλά-
λησας περὶ τοῦ δούλου σου καὶ τοῦ οἴκου αὐτοῦ, πίστωσον ἕως τοῦ
αἰῶνος καθὼς ἐλάλησας. καὶ νῦν μεγαλωθείη τὸ ὄνομά σου
ἕως αἰῶνος λέγων. κύριος παντοκράτωρ θεὸς ἐπὶ τὸν ἰσραήλ.
καὶ ὁ οἶκος τοῦ δούλου σου δαβὶδ ἔσται ἀνορθωμένος ἐνώπιόν
σου. ὅτι σὺ κύριε παντοκράτωρ ὁ θεὸς τοῦ ἰσραήλ. ἀπεκάλυ-
ψας τὸ ὠτίον τοῦ δούλου σου λέγων, οἶκον οἰκοδομήσω σοι. διὰ
τοῦτο εὗρεν ὁ δοῦλός σου τὴν καρδίαν ἑαυτοῦ τοῦ προσεύξασθαί
σε πρὸς σὲ τὴν προσευχὴν ταύτην. καὶ νῦν κύριέ μου κύριε σὺ
εἶ ὁ θεὸς, καὶ οἱ λόγοι σου ἔσονται ἀληθινοί. καὶ ἐλάλησας ὑπὲρ
τοῦ δούλου σου τὰ ἀγαθὰ ταῦτα. καὶ νῦν ἄρξαι καὶ εὐλόγησον
τὸν οἶκον τοῦ δούλου σου τοῦ εἶναι εἰς τὸν αἰῶνα ἐνώπιόν σου.
ὅτι σὺ κύριέ μου κύριε ἐλάλησας. καὶ ἀπὸ τῆς εὐλογίας σου

εὐλογηθήσεται ὁ οἶκος τοῦ δούλου σου τοῦ εἶναι εἰς τὸν αἰῶνα ἐνώπιόν σου.

Κεφάλαιον. η. ϛ.

Καὶ ἐγένετο μετὰ ταῦτα, καὶ ἐπάταξε Δαβὶδ τοὺς ἀλ-
κ λοφύλους, καὶ ἐτροπώσατο αὐτούς. καὶ ἔλαβε Δαβὶδ τὴν ἀφωρισμένην ἐκ χειρὸς τῶν ἀλλοφύλων. καὶ ἐπάταξε Δαβὶδ τὴν Μωὰβ, καὶ διεμέτρησεν αὐτοὺς ἐν σχοινίοις κοιμίσας αὐτοὺς ἐπὶ τὴν γῆν. καὶ ἐγένετο τὰ δύο σχοινίσματα τοῦ θανατῶσαι, καὶ τὰ δύο σχοινίσματα ἐζώγρησαν. καὶ ἐγένετο Μωὰβ τῷ Δαβὶδ εἰς δούλους φέροντας ξένια. καὶ ἐπάταξε Δαβὶδ τὸν Ἀδραζὰρ υἱὸν Ῥαὰβ βασιλέα Σουβὰ πορευομένου αὐτοῦ ἐπιστῆσαι τὴν χεῖρα αὐτοῦ ἐπὶ τὸν ποταμὸν Εὐφράτην. καὶ προκατελάβετο Δαβὶδ τῶν αὐτοῦ χίλια ἅρματα, καὶ ἑπτὰ χιλιάδας ἱππέων. καὶ εἴκοσι χιλιάδας ἀνδρῶν πεζῶν. καὶ παρέλυσε Δαβὶδ πάντα τὰ ἅρματα καὶ ὑπελείπετο ἐξ αὐτῶν, ἑκατὸν ἅρματα. καὶ παραγίνεται Συρία Δαμασκοῦ βοηθῆσαι τῷ Ἀδραζὰρ βασιλεῖ Σουβᾶ. καὶ ἐπάταξε Δαβὶδ ἐν τῷ Σύρῳ, εἴκοσι καὶ δύο χιλιάδας ἀνδρῶν. καὶ ἔθετο Δαβὶδ φρουρὰν ἐν Συρίᾳ τῇ κατὰ Δαμασκόν. καὶ ἐγένετο ὁ Σύρος τῷ Δαβὶδ εἰς δούλους φέροντας ξένια. καὶ ἔσωσε κύριος τὸν Δαβὶδ, ἐν πᾶσιν οἷς ἐπορεύετο. καὶ ἔλαβε Δαβὶδ τοὺς χλιδῶνας τοὺς χρυσοῦς οἳ ἦσαν ἐπὶ τῶν παίδων τῶν Ἀδραζὰρ βασιλέως Σουβᾶ, καὶ ἤνεγκεν αὐτὰ εἰς Ἱερουσαλήμ. καὶ ἔλαβεν αὐτὰ Σουσακὶμ βασιλεὺς Αἰγύπτου ἐν τῷ ἀναβῆναι αὐτὸν εἰς Ἱερουσαλὴμ ἐν ἡμέραις Ῥοβοὰμ, υἱοῦ Σολομῶντος. καὶ ἐκ τῆς Μετεβὰκ καὶ ἐκ τῶν ἐκλεκτῶν πόλεων τοῦ Ἀδραζὰρ, ἔλαβεν ὁ βασιλεὺς Δαβὶδ χαλκὸν πολὺν σφόδρα. ἐν αὐτῷ ἐποίησε Σαλομὼν τὴν θάλασσαν τὴν χαλκῆν. καὶ τοὺς στύλους καὶ τοὺς λουτῆρας. καὶ πάντα τὰ σκεύη. καὶ ἤκουσε Θοοὺ ὁ βασιλεὺς Ἡμάθ. ὅτι ἐπάταξε Δαβὶδ πᾶσαν τὴν δύναμιν Ἀδραζὰρ, καὶ ἀπέστειλε Θοοὺ Ἰεδδουρὰμ τὸν υἱὸν αὐτοῦ πρὸς τὸν βασιλέα Δαβὶδ ἐρωτῆσαι αὐτὸν τὰ εἰς εἰρήνην. καὶ εὐ-

λογῆσαι αὐτὸν ὑπὲρ οὗ ἐπολέμησε τὸν ἀδραάζαρ. καὶ ἐπάταξεν αὐτὸν, ὅτι ἀντικείμενος ἦν τῷ ἀδραάζαρ. καὶ ἐν ταῖς χερσὶν αὐτοῦ, ἦσαν σκεύη ἀργυρᾶ καὶ σκεύη χρυσᾶ. καὶ σκεύη χαλκᾶ. καὶ ταῦτα ἡγίασεν ὁ βασιλεὺς δαβὶδ τῷ κυρίῳ μετὰ τοῦ ἀργυρίου. καὶ μετὰ τοῦ χρυσίου οὗ ἡγίασεν ἐκ πασῶν τῶν πόλεων ὧν κατεδυνάστευσεν ἐκ τῆς ἰδουμαίας καὶ ἐκ τῆς μωάβ. καὶ ἐκ τῶν υἱῶν ἀμμῶν. καὶ ἐκ τῶν ἀλλοφύλων καὶ ἐξ ἀμαλήκ. καὶ ἐκ τῶν σκύλων ἀδραάζαρ υἱοῦ ῥαὰβ βασιλέως σουβᾶ. καὶ ἐποίησε δαβὶδ ὄνομα. καὶ ἐν τῷ ἀνακάμπτειν αὐτὸν ἐπάταξεν τὴν ἰδουμαίαν ἐν γεβελὲμ εἰς ὀκτωκαίδεκα χιλιάδας ἀνδρῶν. καὶ ἔθετο ἐν τῇ ἰδουμαίᾳ φρουρὰς ἐν πάσῃ τῇ ἰδουμαίᾳ. καὶ ἐγένοντο πάντες οἱ ἰδουμαῖοι, δοῦλοι τῷ βασιλεῖ. καὶ ἔσωσε κύριος τὸν δαβὶδ ἐν πᾶσιν οἷς ἐπορεύθη. καὶ ἐβασίλευσε δαβὶδ ἐπὶ πάντα ἰσραήλ. καὶ ἦν δαβὶδ ποιῶν κρίμα καὶ δικαιοσύνην ἐπὶ πάντα τὸν λαὸν αὐτοῦ. καὶ ἰωὰβ υἱὸς σαρουίας ἐπὶ τῆς στρατιᾶς καὶ ἰωσαφὰτ υἱὸς ἀχιλοὺδ ἐπὶ τῶν ὑπομνημάτων. καὶ σαδὼκ υἱὸς ἀχιτώβ, καὶ ἀχιμέλεχ υἱὸς ἀβιάθαρ. ἱερεῖς. καὶ σασὰ ὁ γραμματεύς. καὶ βαναίας υἱὸς ἰωδαὲ σύμβουλος. καὶ ὁ χελεθὶ, καὶ ὁ φελετί. καὶ οἱ υἱοὶ δαβὶδ αὐλάρχαι ἦσαν.

Κεφάλαιον θ'. 9.

ΚΑΙ εἶπε δαβίδ. εἰ ἔστιν ἔτι ὑπολελειμμένος ἐν τῷ οἴκῳ σαοὺλ. καὶ ποιήσω μετ' αὐτοῦ ἔλεος ἕνεκεν ἰωνάθαν. καὶ ἐκ τοῦ οἴκου σαοὺλ ἦν παῖς. καὶ ὄνομα αὐτῷ σιβά. καὶ καλοῦσιν αὐτὸν πρὸς δαβίδ. καὶ εἶπε πρὸς αὐτὸν ὁ βασιλεύς. σὺ εἶ σιβά; καὶ εἶπεν ἐγὼ δοῦλος σός. καὶ εἶπεν ὁ βασιλεύς. εἰ ὑπολέλειπται ἐκ τοῦ οἴκου σαοὺλ ἔτι ἀνὴρ, καὶ ποιήσω μετ' αὐτοῦ ἔλεος θεοῦ. καὶ εἶπε σιβὰ πρὸς τὸν βασιλέα. ἔτι ἔστιν υἱὸς τῷ ἰωνάθαν πεπληγὼς τοὺς πόδας. καὶ εἶπεν ὁ βασιλεύς. ποῦ οὗτος καὶ εἶπεν σιβὰ πρὸς τὸν βασιλέα. ἰδοὺ ἐν οἴκῳ μαχὶρ υἱοῦ ἀμμιὴλ ἐκ τῆς λοδάβαρ. καὶ ἀπέστειλεν ὁ βασιλεὺς δαβίδ, καὶ

ἔλαβεν αὐτὸν ἐκ τοῦ οἴκου μαχὶρ υἱοῦ ἀμμιὴλ ἐκ τῆς λωδαβάρ. καὶ παραγίνεται μεμφιβοσθὲ υἱὸς ἰωνάθαν υἱοῦ σαοὺλ πρὸς τὸν βασιλέα δαβίδ. καὶ ἔπεσεν ἐπὶ πρόσωπον αὐτοῦ, καὶ προσεκύνησεν αὐτῷ. καὶ εἶπεν αὐτῷ δαβίδ. μεμφιβοσθέ. καὶ εἶπεν ἰδοὺ ὁ δοῦλός σου. καὶ εἶπεν αὐτῷ δαβίδ. μὴ φοβοῦ, ὅτι ποιῶν ποιήσω μετὰ σοῦ ἔλεος, διὰ ἰωνάθαν τὸν πατέρα σου. καὶ ἀποκαταστήσω σοι πάντα ἀγρὸν σαοὺλ πατρὸς τοῦ πατρός σου. καὶ σὺ φαγῆ ἄρτον ἐπὶ τῆς τραπέζης μου διαπαντός. καὶ προσεκύνησεν αὐτῷ μεμφιβοσθὲ καὶ εἶπε. τίς εἰμι ὁ δοῦλός σου, ὅτι ἐπέβλεψας ἐπὶ τὸν κύνα τὸν τεθνηκότα τὸν ὅμοιον ἐμοί, καὶ ἐκάλεσεν ὁ βασιλεὺς τὸν σιβὰ τὸ παιδάριον σαοὺλ, καὶ εἶπε πρὸς αὐτὸν, πάντα ὅσα ἐστὶ τῷ σαοὺλ καὶ ὅλον τὸν οἶκον αὐτοῦ, δέδωκα τῷ υἱῷ τοῦ κυρίου σου. καὶ ἐργᾶ αὐτῷ τὴν γῆν σὺ καὶ οἱ υἱοί σου, καὶ οἱ δοῦλοί σου. καὶ εἰσοίσεις τῷ υἱῷ τοῦ κυρίου σου ἄρτους, καὶ φάγονται. καὶ μεμφιβοσθὲ υἱὸς τοῦ κυρίου σου, φάγεται ἄρτον διαπαντὸς ἐπὶ τῆς τραπέζης μου. καὶ τῷ σιβᾶ ἦσαν πεντεκαίδεκα υἱοί, καὶ εἴκοσι δοῦλοι. καὶ εἶπε σιβὰ πρὸς τὸν βασιλέα. κατὰ πάντα ὅσα ἐντέταλται ὁ κύριός μου ὁ βασιλεὺς τῷ δούλῳ αὐτοῦ, οὕτως ποιήσω ὁ δοῦλός σου. καὶ μεμφιβοσθὲ ἤσθιεν ἐπὶ τῆς τραπέζης δαβίδ, καθὼς εἷς τῶν υἱῶν τοῦ βασιλέως. καὶ τῷ μεμφιβοσθὲ υἱὸς μικρὸς ἦν. καὶ ὄνομα αὐτῷ μιχᾶ. καὶ πᾶσα ἡ κατοίκησις τοῦ οἴκου σιβὰ, δοῦλοι τοῦ μεμφιβοσθὲ, καὶ μεμφιβοσθὲ κατῴκει ἐν ἱερουσαλὴμ, ὅτι ἐπὶ τῆς τραπέζης τοῦ βασιλέως αὐτὸς διαπαντὸς ἤσθιε. καὶ αὐτὸς ἦν χωλὸς, ἀμφοτέροις τοῖς ποσὶν αὐτοῦ.

Κεφάλαιον ι. 10.

κ Αἰ ἐγένετο μετὰ ταῦτα, καὶ ἀπέθανε βασιλεὺς υἱῶν ἀμμὼν, καὶ ἐβασίλευσεν ἀννὼν υἱὸς αὐτοῦ ἀντ' αὐτοῦ. καὶ εἶπε δαβίδ, ποιήσω ἔλεος μετὰ ἀννὼν υἱοῦ ναὰς, ὃν τρόπον ἐποίησεν ὁ πατὴρ αὐτοῦ μετ' ἐμοῦ ἔλεος. καὶ ἀπέστειλε

δαβὶδ παρακαλέσαι αὐτὸν ἐν χειρὶ τῶν δούλων αὐτοῦ, περὶ τοῦ πατρὸς αὐτοῦ, καὶ παρεγένοντο οἱ παῖδες δαβὶδ, εἰς τὴν γῆν υἱῶν ἀμμών. καὶ εἶπον οἱ ἄρχοντες υἱῶν ἀμμὼν, πρὸς ἀννὼν τὸν κύριον αὐτῶν. μὴ παρὰ τὸ δοξάζειν δαβὶδ τὸν πατέρα σου ἐνώπιόν σου. ὅτι ἀπέστειλέ σοι παρακαλοῦντας; οὐχὶ ἀλλ' ὅπως ἐρευνήσωσι τὴν πόλιν καὶ κατασκοπήσωσιν αὐτὴν τοῦ καταστρέψαι αὐτήν. ἀπέστειλε δαβὶδ τοὺς παῖδας αὐτοῦ πρὸς σέ. καὶ ἔλαβεν ἀννὼν τοὺς παῖδας δαβίδ. καὶ ἐξύρισε τοὺς πώγωνας αὐτῶν. καὶ ἀπέκοψε τοὺς μανδύας αὐτῶν ἐν τῷ ἡμίσει ἕως τῶν ἰσχίων αὐτῶν, καὶ ἐξαπέστειλεν αὐτούς, καὶ ἀνήγγειλαν τῷ δαβὶδ ὑπὲρ τῶν ἀνδρῶν. καὶ ἀπέστειλεν εἰς ἀπάντησιν αὐτῶν. ὅτι ἦσαν οἱ ἄνδρες ἠτιμωμένοι σφόδρα, καὶ εἶπεν ὁ βασιλεύς. καθίσατε ἐν ἱεριχῶ, ἕως τοῦ ἀνατεῖλαι τοὺς πώγωνας ὑμῶν, καὶ ἐπιστραφήσεσθε. καὶ εἶδον οἱ υἱοὶ ἀμμὼν, ὅτι κατησχύνθησαν ὁ λαὸς δαβίδ, καὶ ἀπέστειλαν οἱ υἱοὶ ἀμμὼν, καὶ ἐμισθώσαντο τὴν συρίαν βαιθραὰμ, καὶ τὴν συρίαν σουβά. καὶ ῥοὼβ, εἴκοσι χιλιάδας πεζῶν. καὶ τὸν βασιλέα ἀμαλὴκ μαάχα χιλίους ἄνδρας. καὶ ἰστὼβ, δώδεκα χιλιάδας ἀνδρῶν. καὶ ἤκουσε δαβίδ. καὶ ἀπέστειλε τὸν ἰωὰβ, καὶ πᾶσαν τὴν δύναμιν τοὺς δυνατούς. καὶ ἐξῆλθον οἱ υἱοὶ ἀμμὼν, καὶ παρετάξαντο πόλεμον πρὸς τὴν θύραν τῆς πύλης, καὶ συρία σουβὰ, καὶ ῥοὼβ καὶ ἰωὰβ, καὶ ἀμαλὴκ μόνοι ἐν ἀγρῷ. καὶ εἶδεν ἰωὰβ, ὅτι ἐγενήθη πρὸς αὐτὸν ἀντὶ πρόσωπον τοῦ πολέμου ἐκ τοῦ κατὰ πρόσωπον ἐξεναντίας, καὶ ἐκ τοῦ ὄπισθεν. καὶ ἐπελέξατο ἐκ πάντων τῶν νεανιῶν ἰσραήλ. καὶ παρετάξαντο ἐξεναντίας συρίας. καὶ τὸ κατάλοιπον τοῦ λαοῦ, ἔδωκεν ἐν χειρὶ ἀβεσσὰ τοῦ ἀδελφοῦ αὐτοῦ καὶ παρετάξαντο ἐξεναντίας υἱῶν ἀμμὼν, καὶ εἶπεν. ἐὰν κραταιωθῇ συρία ὑπὲρ ἐμὲ, καὶ ἔσεσθέ μοι εἰς σωτηρίαν. καὶ ἐὰν κραταιωθῶσιν οἱ υἱοὶ ἀμμὼν ὑπὲρ σὲ, καὶ ἐσόμεθα τοῦ σῶσαί σε. ἀνδρίζου καὶ κραταιωθῶμεν ὑπὲρ τοῦ λαοῦ ἡμῶν, καὶ περὶ

τῶν πόλεων τοῦ θεοῦ ἡμῶν· καὶ κύριος ποιήσει τὸ ἀγαθὸν ἐν ὀφθαλμοῖς αὐτοῦ. καὶ προσῆλθεν ἰωὰβ, καὶ ὁ λαὸς αὐτοῦ μετ' αὐτοῦ εἰς πόλεμον πρὸς συρίαν, καὶ ἔφυγον ἀπὸ προσώπου αὐτοῦ, καὶ υἱοὶ ἀμμὼν εἶδον, ὅτι ἔφυγε συρία, καὶ ἔφυγον ἀπὸ προσώπου ἀβισσὰ, καὶ εἰσῆλθον εἰς τὴν πόλιν. καὶ ἀνέστρεψεν ἰωὰβ ἀπὸ προσώπου τῶν υἱῶν ἀμμὼν, καὶ παρεγένετο ἐν ἱερουσαλήμ. καὶ εἶδε συρία, ὅτι ἔπταισεν ἔμπροσθεν ἰσραὴλ, καὶ συνήχθησαν ἐπὶ τὸ αὐτό. καὶ ἀπέστειλεν ἀδραζὰρ, καὶ συνήγαγε τὴν συρίαν τὴν ἐκ τοῦ πέραν τοῦ ποταμοῦ, χαλαμὰκ, καὶ παρεγένοντο εἰς αἰλάμ. καὶ σωβὰκ ἄρχων τῆς δυνάμεως ἀδραζὰρ ἔμπροσθεν αὐτῶν. καὶ ἀπηγγέλη τῷ δαβίδ. καὶ συνήγαγε τὸν πάντα ἰσραήλ. καὶ διέβη τὸν ἰορδάνην καὶ παρεγένετο εἰς αἰλάμ. καὶ παρετάξατο συρία ἀπέναντι δαβίδ. καὶ ἐπολέμησε μετ' αὐτοῦ. καὶ ἔφυγε συρία ἀπὸ προσώπου υἱῶν ἰσραήλ. καὶ ἀνεῖλε δαβὶδ ἐκ τῆς συρίας ἑπτακόσια ἅρματα καὶ τεσσαράκοντα χιλιάδας ἱππέων. καὶ τὸν σωβὰκ τὸν ἄρχοντα τῆς δυνάμεως αὐτοῦ, ἐπάταξε καὶ ἀπέθανεν ἐκεῖ. καὶ εἶδον πάντες οἱ βασιλεῖς οἱ δοῦλοι ἀδραζὰρ, ὅτι ἔπταισαν ἐνώπιον ἰσραὴλ, καὶ ηὐτομόλησαν μετὰ ἰσραὴλ, καὶ ἐδούλευσαν αὐτοῖς. καὶ ἐφοβήθη συρία τοῦ σῶσαι ἔτι τοὺς υἱοὺς ἀμμών.

Κεφ. ια. 11.

Αὶ ἐγένετο ἐπιστρέψαντος τοῦ ἐνιαυτοῦ εἰς τὸν καιρὸν
κ τῆς ἐξοδίας τῶν βασιλέων, καὶ ἀπέστειλε δαβὶδ τὸν ἰωὰβ, καὶ τοὺς παῖδας αὐτοῦ μετ' αὐτοῦ καὶ τὸν πάντα ἰσραὴλ, καὶ διέφθειραν τοὺς υἱοὺς ἀμμών. καὶ περιεκάθισαν ἐπὶ ῥαββάθ. καὶ δαβὶδ ἐκάθισεν ἐν ἱερουσαλήμ, καὶ ἐγένετο πρὸς ἑσπέραν. καὶ ἀνέστη δαβὶδ ἀπὸ τῆς κοίτης αὐτοῦ, καὶ περιεπάτει ἐπὶ τοῦ δώματος τοῦ οἴκου τοῦ βασιλέως. καὶ εἶδε γυναῖκα λουομένην ἀπὸ τοῦ δώματος. καὶ ἡ γυνὴ καλὴ τῷ εἴδει σφόδρα. καὶ ἀπέστειλε δαβὶδ, καὶ ἐζήτησε τὴν γυναῖκα, καὶ εἶπεν. οὐχὶ αὕτη βηρσαβεὲ θυγάτηρ ἐλιὰβ γυνὴ οὐρίου τοῦ χετταίου; καὶ ἀπέ-

στειλε δαβὶδ ἀγγέλους, καὶ ἔλαβον αὐτήν· καὶ εἰσῆλθε πρὸς αὐ-
τὴν καὶ ἐκοιμήθη μετ' αὐτῆς· καὶ αὕτη ἁγιαζομένη ἀπὸ ἀκα-
θαρσίας αὐτῆς· καὶ ἀπέστρεψεν εἰς τὸν οἶκον αὐτῆς. καὶ ἐν γα-
στρὶ ἔλαβεν ἡ γυνή. καὶ ἀποστείλασα ἀπήγγειλε τῷ δαβίδ, καὶ
εἶπεν ἰδοὺ ἐγώ εἰμι ἐν γαστρὶ ἔχων. καὶ ἀπέστειλε δαβὶδ πρὸς ἰ-
ωὰβ λέγων· ἀπόστειλον πρός με τὸν οὐρίαν τὸν χετταῖον. καὶ ἀ-
πέστειλεν ἰωὰβ τὸν οὐρίαν πρὸς δαβίδ. καὶ παραγίνεται οὐρίας
καὶ εἰσῆλθε πρὸς αὐτόν. καὶ ἐπηρώτησεν δαβὶδ εἰς εἰρήνην
ἰωάβ, καὶ εἰς εἰρήνην τοῦ λαοῦ, καὶ εἰς εἰρήνην τοῦ πολέμου. καὶ
εἶπε δαβὶδ τῷ οὐρίᾳ, κατάβηθι εἰς τὸν οἶκόν σου καὶ νίψαι τοὺς
πόδας σου. καὶ ἐξῆλθεν οὐρίας ἐξ οἴκου τοῦ βασιλέως. καὶ ἐ-
ξῆλθεν ὀπίσω αὐτοῦ ἄρσις τοῦ βασιλέως. καὶ ἐκοιμήθη οὐρί-
ας παρὰ τῇ θύρᾳ τοῦ οἴκου τοῦ βασιλέως, μετὰ τῶν δούλων
τοῦ κυρίου αὐτοῦ. καὶ οὐ κατέβη εἰς τὸν οἶκον αὐτοῦ. καὶ ἀπήγγει-
λαν τῷ δαβὶδ λέγοντες ὅτι οὐ κατέβη οὐρίας εἰς τὸν οἶκον αὐ-
τοῦ. καὶ εἶπε δαβὶδ πρὸς οὐρίαν. οὐχὶ ἐξ ὁδοῦ σὺ ἔρχῃ; τί ὅτι
οὐ κατέβης εἰς τὸν οἶκόν σου. καὶ εἶπεν οὐρίας πρὸς δαβίδ. ἡ κι-
βωτὸς, καὶ ἰσραὴλ καὶ ἰούδας, κατοικοῦσιν ἐν σκηναῖς, καὶ
ὁ κύριός μου ἰωὰβ, καὶ οἱ δοῦλοι τοῦ κυρίου μου ἐπὶ πρόσωπον
τοῦ ἀγροῦ παρεμβάλλουσι. καὶ ἐγὼ εἰσελεύσομαι εἰς τὸν οἶ-
κόν μου τοῦ φαγεῖν, καὶ πιεῖν καὶ κοιμηθῆναι μετὰ τῆς γυναι-
κός μου; ζῇ ἡ ψυχή σου εἰ ποιήσω τὸ ῥῆμα τοῦτο. καὶ εἶπε δα-
βὶδ πρὸς οὐρίαν. κάθισον ἐνταῦθα καί γε σήμερον καὶ αὔριον
ἐξαποστελῶ σε. καὶ ἐκάθισεν οὐρίας ἐν ἱερουσαλὴμ ἐν τῇ ἡμέ-
ρᾳ ἐκείνῃ καὶ τῇ ἐπαύριον. καὶ ἐκάλεσεν αὐτὸν δαβὶδ καὶ ἔ-
φαγεν ἐνώπιον αὐτοῦ. καὶ ἔπιε, καὶ ἐμέθυσεν αὐτόν, καὶ ἐξῆλθεν
ἑσπέρας τοῦ κοιμηθῆναι ἐπὶ τῆς κοίτης αὐτοῦ μετὰ τῶν δούλων
τοῦ κυρίου αὐτοῦ, καὶ εἰς τὸν οἶκον αὐτοῦ οὐ κατέβη. καὶ ἐγέ-
νετο πρωΐ. καὶ ἔγραψε δαβὶδ βιβλίον πρὸς ἰωάβ, καὶ ἀπέστει-
λεν ἐν χειρὶ οὐρίου. καὶ ἔγραψεν ἐν τῷ βιβλίῳ λέγων εἰσά-

γάγετε τὸν οὐρίαν ἐξεναντίας τοῦ πολέμου τοῦ κραταιοῦ· καὶ ἀποστραφήσεσθε ἀπὸ ὄπισθεν αὐτοῦ, καὶ πληγήσεται καὶ ἀποθανεῖται. καὶ ἐγενήθη ἐν τῷ φυλάσσειν ἰωὰβ ἐπὶ τὴν πόλιν καὶ ἔθηκεν τὸν οὐρίαν εἰς τὸν τόπον οὗ ᾔδει, ὅτι ἄνδρες δυνάμεως ἐκεῖ. καὶ ἐξῆλθον οἱ ἄνδρες τῆς πόλεως καὶ ἐπολέμουν μετὰ ἰωάβ. καὶ ἔπεσαν ἀπὸ τοῦ λαοῦ ἐκ τῶν δούλων δαβίδ, καὶ ἀπέθανε καί γε οὐρίας ὁ χετταῖος. καὶ ἀπέστειλεν ἰωάβ, καὶ ἀπήγγειλε τῷ δαβὶδ πάντας τοὺς λόγους τοῦ πολέμου λαλῆσαι πρὸς τὸν βασιλέα. καὶ ἐνετείλατο τῷ ἀγγέλῳ λέγων. ἐν τῷ συντελέσαι πάντας τοὺς λόγους τοῦ πολέμου λαλῆσαι πρὸς τὸν βασιλέα. καὶ ἔσται ἐὰν ἀναβῇ ὁ θυμὸς τοῦ βασιλέως, καὶ εἴπῃ σοι τί ὅτι ἠγγίκατε πρὸς τὴν πόλιν πολεμῆσαι. οὐκ ᾔδειτε, ὅτι τοξεύσουσιν ἐπάνωθεν τοῦ τείχους; τίς ἐπάταξε τὸν ἀβιμελὲχ υἱὸν ἱεροβοὰλ υἱοῦ νήρ. οὐχὶ γυνὴ ἔρριψε κλάσμα μύλου ἐπ' αὐτὸν ἀπὸ ἄνωθεν τοῦ τείχους, καὶ ἀπέθανεν ἐν θαμασθί; ἵνατὶ προσηγάγετε πρὸς τὸ τεῖχος. καὶ ἐρεῖς. καί γε ὁ δοῦλός σου οὐρίας ὁ χετταῖος ἀπέθανε. καὶ ἐπορεύθη ὁ ἄγγελος ἰωὰβ πρὸς τὸν βασιλέα εἰς ἱερουσαλήμ. καὶ παρεγένετο καὶ ἀπήγγειλε τῷ δαβίδ, πάντα ὅσα ἀπήγγειλεν αὐτῷ ἰωὰβ πάντα τὰ ῥήματα τοῦ πολέμου. καὶ ἐθυμώθη δαβὶδ πρὸς ἰωάβ, καὶ εἶπε δαβὶδ πρὸς τὸν ἄγγελον. ἵνατὶ προσηγάγετε πρὸς τὴν πόλιν τοῦ πολεμῆσαι. οὐκ ᾔδειτε ὅτι πληγήσεσθε ἀπὸ τοῦ τείχους; τίς ἐπάταξε τὸν ἀβιμελὲχ υἱὸν ἱεροβοάλ. οὐχὶ γυνὴ ἔρριψεν ἐπ' αὐτὸν κλάσμα μύλου ἀπὸ τοῦ τείχους καὶ ἀπέθανεν ἐν θαμασθί; ἵνατὶ προσηγάγετε πρὸς τὸ τεῖχος. καὶ εἶπεν ὁ ἄγγελος πρὸς δαβίδ. ὅτι ἐκραταίωσαν ἐφ' ἡμᾶς οἱ ἄνδρες, καὶ ἐξῆλθον ἐφ' ἡμᾶς εἰς τὸν ἀγρόν. καὶ ἐγενήθημεν ἐπ' αὐτούς, ἕως τῆς θύρας τῆς πύλης. καὶ ἐτόξευσαν οἱ τοξεύοντες πρὸς τοὺς παῖδάς σου ἐπάνωθεν τοῦ τείχους καὶ ἀπέθανον ἀπὸ τῶν παίδων τοῦ βασιλέως. καί γε οὐρίας ὁ δοῦλός σου ὁ χετταῖος ἀπέθανε.

καὶ εἶπε δαβὶδ πρὸς τὸν ἄγγελον. τάδε ἐρεῖς τῷ ἰωάβ. μὴ πονη-
ρὸν ἔστω ἐν ὀφθαλμοῖς σου τὸ ῥῆμα τοῦτο. ὅτι ποτὲ μὲν οὕτως
καὶ ποτὲ οὕτως φάγεται ἡ μάχαιρα. κραταίωσον τὸν πόλεμόν
σου, εἰς τὴν πόλιν. καὶ κατάσπασον αὐτήν. καὶ ἤκουσεν ἡ γυ-
νὴ οὐρίου, ὅτι ἀπέθανεν οὐρίας ὁ ἀνὴρ αὐτῆς, καὶ ἐκόψατο τὸν
τὸν ἄνδρα αὐτῆς. καὶ διῆλθε τὸ πένθος. καὶ ἀπέστειλε δαβὶδ. καὶ
συνήγαγεν αὐτὴν εἰς τὸν οἶκον αὐτοῦ, καὶ ἐγενήθη αὐτῷ
εἰς γυναῖκα. καὶ ἔτεκεν αὐτῷ υἱόν. καὶ πονηρὸν ἐφάνη τὸ ῥῆ-
μα ὃ ἐποίησε δαβὶδ ἐν ὀφθαλμοῖς κυρίου.

Κεφ. ιβ'. 12

ΚΑὶ ἀπέστειλε κύριος τὸν νάθαν τὸν προφήτην πρὸς δα-
κ βίδ. καὶ εἰσῆλθε πρὸς αὐτόν. καὶ εἶπεν αὐτῷ. ἀνάγγει-
λον δή μοι κρίσιν. καὶ εἶπεν αὐτῷ. δύο ἦσαν ἄνδρες
ἐν πόλει μιᾷ εἷς πλούσιος καὶ εἷς πένης, καὶ τῷ πλουσίῳ ἦν ποί-
μνια καὶ βουκόλια πολλὰ σφόδρα. καὶ τῷ πένητι οὐκ ἦν, οὐ-
δὲν ἀλλ' ἢ ἀμνὰς μία μικρὰ. ἣν ἐκτήσατο καὶ περιεποιήσατο.
καὶ ἐξέθρεψεν αὐτήν. καὶ ἡδρύνθη μετ' αὐτοῦ καὶ μετὰ τῶν υἱῶν αὐ-
τοῦ ἐπὶ τὸ αὐτὸ, ἐκ τοῦ ἄρτου αὐτοῦ ἤσθιε, καὶ ἐκ τοῦ ποτηρίου αὐ-
τοῦ ἔπινε. καὶ ἐν τῷ κόλπῳ αὐτοῦ ἐκάθευδε. καὶ ἦν αὐτῷ θυγά-
τηρ. καὶ ἦλθε πάροδος τῷ ἀνδρὶ τῷ πλουσίῳ, καὶ ἐφείσατο
λαβεῖν ἐκ τῶν ποιμνίων αὐτοῦ, καὶ ἐκ τῶν βουκολίων αὐτοῦ
τοῦ ποιῆσαι τῷ ξένῳ ἐλθόντι πρὸς αὐτόν. καὶ ἔλαβε τὴν ἀμνά-
δα τοῦ πένητος, καὶ ἐποίησεν αὐτὴν τῷ ἀνδρὶ τῷ ἐλθόντι
πρὸς αὐτόν. καὶ ἐθυμώθη ὀργῇ δαβὶδ σφόδρα τῷ ἀνδρί. καὶ εἶ-
πε δαβὶδ πρὸς νάθαν. ζῇ κύριος, ὅτι υἱὸς θανάτου ἐστὶν ὁ ἀνὴρ ὁ
ποιήσας τοῦτο. καὶ τὴν ἀμνάδα ἀποτίσει ἑπταπλασίονα ἀνθ' ὧν
ὅτι ἐποίησε τὸ ῥῆμα τοῦτο. καὶ περὶ οὗ οὐκ ἐφείσατο. καὶ εἶ-
πε νάθαν πρὸς δαβίδ. σὺ εἶ ὁ ἀνὴρ ὁ ποιήσας τοῦτο. τάδε λέγει
κύριος ὁ θεὸς ἰσραήλ. ἐγώ εἰμι ὃς ἔχρισά σε εἰς βασιλέα ἐπὶ ἰσραὴλ
καὶ ἐγώ εἰμι ὁ ῥυσάμενός σε ἐκ χειρὸς σαοὺλ, καὶ ἔδωκά σοι τὸν οἶ-

κον τοῦ κυρίου σου. καὶ τὰς γυναῖκας τοῦ κυρίου σου ἐν τῷ κόλ-
πῳ σου. καὶ ἔδωκά σοι τὸν οἶκον ἰσραὴλ καὶ ἰούδα. καὶ εἰ μικρόν
σοι ἐστί. προσθήσω σοι κατὰ ταῦτα. καὶ τί ὅτι ἐφαύλισας τὸν λόγον
κυρίου, τοῦ ποιῆσαι τὸ πονηρὸν ἐν ὀφθαλμοῖς κυρίου. τὸν οὐρί-
αν τὸν χετταῖον ἐπάταξας ἐν ῥομφαίᾳ. καὶ τὴν γυναῖκα αὐ-
τοῦ ἔλαβες εἰς γυναῖκα σεαυτῷ. καὶ αὐτὸν ἀπέκτεινας ἐν ῥομ-
φαίᾳ υἱῶν ἀμμών, καὶ νῦν οὐκ ἀποστήσεται ῥομφαία ἐκ τοῦ οἴ-
κου σου ἕως αἰῶνος. ἀνθ᾽ ὧν ὅτι ἐξουδένωσάς με καὶ ἔλαβες
τὴν γυναῖκα τοῦ οὐρίου τοῦ χετταίου τοῦ εἶναί σοι εἰς γυναῖκα.
τάδε λέγει κύριος. ἰδοὺ ἐγὼ ἐξεγείρω ἐπὶ σὲ κακὰ ἐκ τοῦ οἴ-
κου σου. καὶ λήψομαι τὰς γυναῖκας σου κατ᾽ ὀφθαλμούς σου.
καὶ δώσω τῷ πλησίον σου καὶ κοιμηθήσεται μετὰ τῶν γυναι-
κῶν σου ἐναντίον τοῦ ἡλίου τούτου. ὅτι ἐποίησας κρυβῆ. κἀγὼ ποι-
ήσω τὸ ῥῆμα τοῦτο ἐναντίον παντὸς ἰσραήλ, καὶ ἐναντίον τοῦ ἡ-
λίου τούτου. καὶ εἶπε δαβὶδ τῷ νάθαν· ἡμάρτηκα τῷ κυρί-
ῳ, καὶ εἶπε νάθαν πρὸς δαβίδ. καὶ κύριος παρεβίβασε τὸ ἁ-
μάρτημά σου. οὐ μὴ ἀποθάνῃς. πλὴν ὅτι παροξύνων παρώξυ-
νας τοὺς ἐχθρούς σου ἐν τῷ ῥήματι τούτῳ· καί γε ὁ υἱός σου
ὁ τεχθείς σοι, θανάτῳ ἀποθανεῖται. καὶ ἀπῆλθε νάθαν εἰς τὸν οἶ-
κον αὐτοῦ. καὶ ἔθραυσε κύριος τὸ παιδάριον ὃ ἔτεκεν ἡ γυνὴ οὐρίου
τῷ δαβὶδ καὶ ἠῤῥώστησε. καὶ ἐζήτησε δαβὶδ τὸν θεὸν περὶ
τοῦ παιδαρίου. καὶ ἐνήστευσε δαβὶδ νηστείαν. καὶ εἰσῆλθε, καὶ
ηὐλίσθη ἐπὶ τῆς γῆς. καὶ ἀνέστησαν ἐπ᾽ αὐτὸν οἱ πρεσβύτεροι τοῦ
οἴκου αὐτοῦ ἐγεῖραι αὐτὸν ἀπὸ τῆς γῆς. καὶ οὐκ ἠθέλησε.
καὶ οὐ συνέφαγεν αὐτοῖς ἄρτον. καὶ ἐγένετο ἐν τῇ ἡμέρᾳ
τῇ ἑβδόμῃ, καὶ ἀπέθανε τὸ παιδάριον. καὶ ἐφοβήθησαν οἱ
δοῦλοι δαβὶδ ἀναγγεῖλαι αὐτῷ, ὅτι τέθνηκε τὸ παιδάριον, ὅτι
εἶπον. ἰδοὺ ἐν τῷ τὸ παιδάριον ἔτι ζῆν ἐλαλήσαμεν πρὸς αὐ-
τόν, καὶ οὐκ εἰσήκουσε τῆς φωνῆς ἡμῶν. καὶ πῶς εἴπωμεν πρὸς
αὐτόν, ὅτι τέθνηκε τὸ παιδάριον. καὶ ποιήσει κακά. καὶ συνῆ-

κε δαβίδ, ὅτι οἱ παῖδες αὐτοῦ ψιθυρίζουσι. καὶ ἐνόησε δα-
βὶδ, ὅτι τέθνηκε τὸ παιδάριον. καὶ εἶπε δαβὶδ πρὸς τοὺς παῖ-
δας αὐτοῦ. εἰ τέθνηκε τὸ παιδάριον; καὶ εἶπον τέθνηκε. καὶ
ἀνέστη δαβὶδ ἐκ τῆς γῆς καὶ ἐλούσατο. καὶ ἠλείψατο. καὶ ἤλ-
λαξε τὰ ἱμάτια αὐτοῦ. καὶ εἰσῆλθεν εἰς τὸν οἶκον τοῦ θεοῦ. καὶ
προσεκύνησεν αὐτῷ. καὶ εἰσῆλθεν εἰς τὸν οἶκον αὐτοῦ. καὶ ᾔ-
τησεν ἄρτον φαγεῖν, καὶ παρέθηκαν αὐτῷ ἄρτον καὶ ἔφαγε. καὶ
εἶπον οἱ παῖδες αὐτοῦ πρὸς αὐτόν· τί τὸ ῥῆμα τοῦτο ὃ ἐποίησας
ἕνεκα τοῦ παιδαρίου. ὅτι ἔτι ζῶντος ἔκλαιες, καὶ ἐνήστευες, καὶ
ἠγρύπνεις. καὶ ἡνίκα ἀπέθανε τὸ παιδάριον, ἀνέστης καὶ ἔφα-
γες ἄρτον καὶ πέπωκας. καὶ εἶπε δαβίδ. ἐν τῷ τὸ παιδάρι-
ον ἔτι ζῆν, ἐνήστευσα καὶ ἔκλαυσα, ὅτι εἶπα. τίς οἶδεν εἰ ἐλεή-
σει με κύριος, καὶ ζήσεται τὸ παιδάριον, καὶ νῦν τέθνηκεν. ἵνα τί
τοῦτο ἐγὼ νηστεύω. μὴ δυνήσομαι ἐπιστρέψαι αὐτὸ ἔτι; ὅτι ἐγὼ
πορεύσομαι πρὸς αὐτόν. καὶ αὐτὸς οὐκ ἀναστρέψει πρός με. καὶ
παρεκάλεσε δαβὶδ τὴν βηρσαβεὲ γυναῖκα αὐτοῦ, καὶ εἰσῆλθε
πρὸς αὐτὴν καὶ ἐκοιμήθη μετ' αὐτῆς. καὶ συνέλαβε, καὶ ἔτεκεν
υἱόν. καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ σαλωμών. καὶ κύριος ἠγά-
πησεν αὐτόν. καὶ ἀπέστειλεν ἐν χειρὶ νάθαν τοῦ προφήτου, καὶ ἐ-
κάλεσε τὸ ὄνομα αὐτοῦ ἰεδδεδὶ ἐν λόγῳ κυρίου. καὶ ἐπολέμη-
σεν ἰωὰβ ἐν ῥαββάθ. υἱῶν ἀμμὼν, καὶ κατελάβετο τὴν πόλιν τῆς
βασιλείας. καὶ ἀπέστειλεν ἰωὰβ ἀγγέλους πρὸς δαβὶδ καὶ εἶπεν.
ἐπολέμησα ἐν ῥαββάθ. καὶ κατελαβόμην τὴν πόλιν τῶν ὑδά-
των. καὶ νῦν συνάγαγε τὸ κατάλοιπον τοῦ λαοῦ, καὶ παρέμ-
βαλε ἐπὶ τὴν πόλιν, καὶ προκαταλαβοῦ αὐτήν. ἵνα μὴ προκα-
ταλάβωμαι ἐγὼ τὴν πόλιν, καὶ κληθῇ τὸ ὄνομά μου ἐπ' αὐτήν.
καὶ συνήγαγε δαβὶδ πάντα τὸν λαόν. καὶ ἐπορεύθη εἰς ῥαβ-
βάθ, καὶ ἐπολέμησεν ἐν αὐτῇ, καὶ κατελάβετο αὐτήν. καὶ ἔλα-
βε τὸν στέφανον μόλχομ τοῦ βασιλέως αὐτῶν ἀπὸ τῆς κεφα-
λῆς αὐτοῦ. καὶ ὁ σταθμὸς αὐτοῦ, τάλαντον χρυσίου, καὶ λίθου

τιμίου. καὶ ἦν ἐπὶ τῆς κεφαλῆς δαβίδ, καὶ σκῦλα τῆς πόλεως
ἐξήνεγκε πολλὰ σφόδρα. καὶ τὸν λαὸν τὸν ὄντα ἐν αὐτῇ ἐξήγα-
γε. καὶ ἔθηκεν ἐν τῷ πρίονι, καὶ ἐν τοῖς τριβόλοις τοῖς σιδηροῖς
καὶ ὑποτομεῦσι σιδηροῖς. καὶ διήγαγεν αὐτοὺς διὰ τοῦ πλινθίου.
καὶ οὕτως ἐποίησε πάσαις ταῖς πόλεσιν υἱῶν ἀμμών. καὶ ἀνέ-
στρεψε δαβίδ καὶ πᾶς ἰσραὴλ εἰς ἱερουσαλήμ.

Κεφάλαιον. ιγʹ 13.

ΚΑὶ ἐγενήθη μετὰ ταῦτα. καὶ τῷ ἀβεσαλὼμ υἱῷ
δαβὶδ ἦν ἀδελφὴ καλὴ τῷ εἴδει σφόδρα. καὶ ὄνο-
μα αὐτῇ θημὰρ καὶ ἠγάπησεν αὐτὴν ἀμνὼν, υἱὸς
δαβίδ. καὶ ἐθλίβετο ἀμνὼν ὥστε ἀρρωστεῖν σφόδρα διὰ θημὰρ
τὴν ἀδελφὴν αὐτοῦ, ὅτι παρθένος ἦν αὕτη. καὶ ὑπέρογκον ἐν ὀφθαλ-
μοῖς ἀμνὼν τοῦ ποιῆσαί τι αὐτῇ. καὶ ἦν τῷ ἀμνὼν ἑταῖρος.
καὶ ὄνομα αὐτῷ ἰωναδάβ. υἱὸς σαμαὰ τοῦ ἀδελφοῦ δαβίδ. καὶ
ἰωναδὰβ, ἀνὴρ σοφὸς σφόδρα, καὶ εἶπεν αὐτῷ. τί σοι ὅτι οὕ-
τως ἀσθενὴς υἱὲ τοῦ βασιλέως. τὸ πρωῒ πρωῒ οὐκ ἀπαγγέλλεις μοι
καὶ εἶπεν αὐτῷ ἀμνών. θημὰρ τὴν ἀδελφὴν ἀβεσαλὼμ τοῦ
ἀδελφοῦ μου ἐγὼ ἀγαπῶ. καὶ εἶπεν αὐτῷ ἰωναδάβ. κοιμήθη-
τι ἐπὶ τῆς κοίτης σου, καὶ μαλακίσθητι καὶ εἰσελεύσεται ὁ πα-
τήρ σου ἰδεῖν σε. καὶ ἐρεῖς πρὸς αὐτόν. ἐλθέτω δὴ θημὰρ ἡ ἀ-
δελφή μου, καὶ ψωμισάτω με. καὶ ποιησάτω κατ' ὀφθαλμούς
μου δύο κολλυρίδας ὅπως ἴδω, καὶ φάγω ἐκ τῶν χειρῶν αὐ-
τῆς. καὶ ἐκοιμήθη ἀμνὼν, καὶ ἠρρώστησε. καὶ εἰσῆλθεν ὁ βασι-
λεὺς ἰδεῖν αὐτόν. καὶ εἶπεν ἀμνὼν πρὸς τὸν βασιλέα. ἐλθέτω
δὴ θημὰρ ἡ ἀδελφή μου πρός με. καὶ κολλυρισάτω ἐν ὀφθαλ-
μοῖς μου, δύο κολλυρίδας. καὶ φάγομαι ἐκ τῆς χειρὸς αὐ-
τῆς. καὶ ἀπέστειλε δαβὶδ πρὸς θημὰρ εἰς τὸν οἶκον λέγων. πο-
ρεύθητι εἰς τὸν οἶκον ἀμνὼν τοῦ ἀδελφοῦ σου, καὶ ποίησον αὐ-
τῷ βρῶμα. καὶ ἐπορεύθη θημὰρ εἰς τὸν οἶκον ἀμνὼν τοῦ ἀδελ-
φοῦ αὐτῆς. καὶ αὐτὸς κοιμώμενος. καὶ ἔλαβε τὸ σταῖς καὶ ἔφυρασε.

καὶ ἐκολλύρισε κατ' ὀφθαλμοὺς αὐτοῦ. καὶ ἥψησε τὰς κολλυ-
ρίδας. καὶ ἔλαβε τὸ τήγανον. εἰς ὃ ἀποχέουσι, καὶ κατεκένω-
σεν ἐνώπιον αὐτοῦ, καὶ οὐκ ἠθέλησε φαγεῖν. καὶ εἶπεν ἀμνών.
ἐξαγάγετε πάντα ἄνδρα ἀπὸ ἐπάνωθέν μου. καὶ ἐξήγαγον
πάντα ἄνδρα ἀπὸ ἐπάνωθεν αὐτοῦ. καὶ εἶπεν ἀμνὼν πρὸς θή-
μαρ. εἰσένεγκέ μοι τὸ βρῶμα εἰς τὸ ταμιεῖον, καὶ φάγομαι ἐκ τῆς
χειρός σου. καὶ ἔλαβε θήμαρ τὰς κολλυρίδας ἃς ἐποίησε καὶ εἰσή-
νεγκε τῷ ἀμνὼν ἀδελφῷ αὐτῆς εἰς τὸν κοιτῶνα καὶ προσήγαγεν
αὐτῷ τοῦ φαγεῖν. καὶ ἐπελάβετο αὐτῆς καὶ εἶπεν αὐτῇ. δεῦρο κοι-
μήθητι μετ' ἐμοῦ ἀδελφή μου. καὶ εἶπεν αὐτῷ. μὴ ἀδελφέ
μου. μὴ ταπεινώσῃς με. διότι οὐ ποιηθήσεται οὕτως ἐν ἰσρα-
ήλ. μὴ ποιήσῃς τὴν ἀφροσύνην ταύτην. καὶ ἐγὼ ποῦ ἀποίσω
τὸ ὄνειδός μου, καὶ σὺ ἔσῃ ὡς εἷς τῶν ἀφρόνων ἐν ἰσραήλ. καὶ
νῦν λάλησον δὴ πρὸς τὸν βασιλέα, ὅτι οὐ μὴ κωλύσῃ με ἀπὸ σοῦ.
καὶ οὐκ ἠθέλησεν ἀμνὼν ὑπακοῦσαι τῆς φωνῆς αὐτῆς. καὶ ἐ-
κράτησεν ὑπὲρ αὐτήν, καὶ ἐταπείνωσεν αὐτήν, καὶ ἐκοιμήθη
μετ' αὐτῆς. καὶ ἐμίσησεν αὐτὴν ἀμνὼν μῖσος μέγα σφόδρα
ὅτι μέγα τὸ μῖσος ὃ ἐμίσησεν αὐτὴν ὑπὲρ τὴν ἀγάπην ἣν ἠγά-
πησεν αὐτήν. καὶ εἶπεν αὐτῇ ἀμνών. ἀνάστηθι πορεύου. καὶ εἶ-
πεν αὐτῷ θημάρ. μὴ ἀδελφέ. ὅτι μεγάλη ἡ κακία ἡ ἐσχάτη
ὑπὲρ τὴν πρώτην ἣν πεποίηκας μετ' ἐμοῦ τοῦ ἐξαποστεῖλαί με.
καὶ οὐκ ἠθέλησεν ἀμνὼν ἀκοῦσαι τῆς φωνῆς αὐτῆς. καὶ ἐκάλε-
σε τὸ παιδάριον αὐτοῦ τὸν προεστηκότα τοῦ οἴκου αὐτοῦ, καὶ εἶ-
πεν αὐτῷ. ἐξαπόστειλον δὴ ταύτην ἀπ' ἐμοῦ ἔξω. καὶ ἀπόκλει-
σον τὴν θύραν ὀπίσω αὐτῆς. καὶ ἐπ' αὐτῆς ἦν χιτὼν καρπωτός.
ὅτι οὕτως ἐνεδιδύσκοντο αἱ θυγατέρες τοῦ βασιλέως αἱ παρ-
θένοι τοὺς ἐπενδύτας αὐτῶν. καὶ ἐξήγαγεν αὐτὴν ὁ λειτουρ-
γὸς αὐτοῦ ἔξω, καὶ ἀπέκλεισε τὴν θύραν ὀπίσω αὐτῆς. καὶ
ἔλαβε θημὰρ σποδὸν, καὶ ἐπέθηκεν ἐπὶ τὴν κεφαλὴν αὐ-
τῆς. καὶ τὸν χιτῶνα τὸν ἐπ' αὐτῆς τὸν καρπωτὸν διέῤῥηξε.

καὶ ἐπέθηκε τὰς χεῖρας αὐτῆς ἐπὶ τὴν κεφαλὴν αὐτῆς. καὶ ἐπορεύθη πορευομένη καὶ κράζουσα. καὶ εἶπε πρὸς αὐτὴν ἀβεσσαλὼμ ὁ ἀδελφὸς αὐτῆς. μὴ ἀμνὼν ὁ ἀδελφός σου ἐγένετο μετὰ σοῦ; καὶ νῦν ἀδελφή μου κώφευσον, ὅτι ἀδελφός σου ἐστί. μὴ θῇς εἰς τὴν καρδίαν σου τοῦ λαλῆσαι τὸ ῥῆμα τοῦτο. καὶ ἐκάθισε θημὰρ χηρεύουσα ἐν τῷ οἴκῳ ἀβεσσαλὼμ τοῦ ἀδελφοῦ αὐτῆς. καὶ ἤκουσεν ὁ βασιλεὺς δαβὶδ πάντας τοὺς λόγους τούτους, καὶ ἐθυμώθη σφόδρα. καὶ οὐκ ἐλύπησε τὸ πνεῦμα ἀμνὼν τοῦ υἱοῦ αὐτοῦ, ὅτι ἠγάπα αὐτόν, ὅτι πρωτότοκος αὐτοῦ ἦν. καὶ οὐκ ἐλάλησεν ἀβεσσαλὼμ μετὰ ἀμνὼν ἀπὸ πονηροῦ ἕως ἀγαθοῦ. ὅτι ἐμίσει ἀβεσσαλὼμ τὸν ἀμνὼν ἐπὶ λόγου οὗ ἐταπείνωσε θημὰρ τὴν ἀδελφὴν αὐτοῦ. καὶ ἐγένετο εἰς διετηρίδα ἡμερῶν. καὶ ἦσαν κείροντες τῷ ἀβεσσαλὼμ ἐν βελασὼρ τῇ ἐχόμενα ἐφραίμ. καὶ ἐκάλεσεν ἀβεσσαλὼμ πάντας τοὺς υἱοὺς τοῦ βασιλέως. καὶ ἦλθεν ἀβεσσαλὼμ πρὸς τὸν βασιλέα καὶ εἶπεν. ἰδοὺ δὴ κείρουσι τῷ δούλῳ σου. πορευθήτω δὴ ὁ βασιλεύς, καὶ οἱ παῖδες αὐτοῦ μετὰ τοῦ δούλου σου. καὶ εἶπεν ὁ βασιλεὺς πρὸς ἀβεσσαλὼμ μὴ δὴ υἱέ μου. οὐ μὴ πορευθῶμεν πάντες ἡμεῖς καὶ οὐ μὴ καταβαρυνθῶμεν ἐπὶ σέ. καὶ κατεβιάσατο αὐτόν, καὶ οὐκ ἠθέλησε πορευθῆναι. καὶ εὐλόγησεν αὐτόν. καὶ εἶπεν ἀβεσσαλὼμ πρὸς αὐτόν. καὶ εἰ μή, πορευθήτω δὴ μεθ' ἡμῶν ἀμνὼν ὁ ἀδελφός μου. καὶ εἶπεν αὐτῷ ὁ βασιλεύς. ἵνα τί πορευθῇ ἀμνὼν μετὰ σοῦ. καὶ κατεβιάσατο αὐτὸν ἀβεσσαλὼμ, καὶ ἀπέστειλε μετ' αὐτοῦ τὸν ἀμνών, καὶ πάντας τοὺς υἱοὺς τοῦ βασιλέως, καὶ ἐποίησεν ἀβεσσαλὼμ πότον κατὰ τὸν πότον τοῦ βασιλέως. καὶ ἐνετείλατο ἀβεσσαλὼμ τοῖς παιδαρίοις αὐτοῦ λέγων. ἴδετε ὡς ἂν ἀγαθυνθῇ ἡ καρδία ἀμνὼν ἐν τῷ οἴνῳ, καὶ εἴπω πρὸς ὑμᾶς πατάξατε τὸν ἀμνών, καὶ θανατώσατε αὐτόν, μὴ φοβηθῆτε. οὐχὶ ἐγὼ ὁ ἐντελλόμενος ὑμῖν; ἀνδρίζεσθε καὶ γίνεσθε εἰς υἱοὺς δυνάμεως. καὶ ἐποίησαν τὰ παι

δάρια ἀβεσαλὼμ τῷ ἀμνὼν, καθὰ ἐνετείλατο αὐτοῖς. καὶ ἀνέστησαν πάντες οἱ υἱοὶ τοῦ βασιλέως. καὶ ἐπεκάθισαν ἀνὴρ ἐπὶ τὴν ἡμίονον αὐτοῦ, καὶ ἔφυγον. καὶ ἐγένετο αὐτῶν ὄντων ἐν τῇ ὁδῷ, καὶ ἡ ἀκοὴ ἦλθε πρὸς δαβὶδ λεγόντων. ἐπάταξεν ἀβεσαλὼμ πάντας τοὺς υἱοὺς τοῦ βασιλέως, καὶ οὐ κατελείφθη ἐξ αὐτῶν οὐδὲ εἷς. καὶ ἀνέστη ὁ βασιλεὺς, καὶ διέρρηξε τὰ ἱμάτια αὐτοῦ καὶ ἐκοιμήθη ἐπὶ τῆς γῆς, καὶ πάντες οἱ παῖδες αὐτοῦ οἱ περιεστῶτες αὐτῷ, διέρρηξαν τὰ ἱμάτια αὐτῶν. καὶ ἀπεκρίθη ἰωναδὰβ υἱὸς σαμὰ ἀδελφοῦ δαβὶδ, καὶ εἶπε. μὴ εἰπάτω ὁ κύριός μου ὁ βασιλεὺς, ὅτι πάντα τὰ παιδάρια τοὺς υἱοὺς τοῦ βασιλέως ἐθανάτωσεν. ὅτι ἀλλ' ἢ ἀμνὼν μονώτατος ἀπέθανεν. ὅτι ἐπὶ στόματος ἀβεσαλὼμ ἦν κείμενος ἀπὸ τῆς ἡμέρας ἧς ἐταπείνωσε θημὰρ τὴν ἀδελφὴν αὐτοῦ, καὶ νῦν μὴ θέσθω ὁ κύριός μου ὁ βασιλεὺς ἐπὶ τὴν καρδίαν αὐτοῦ ῥῆμα λέγων. ὅτι πάντες οἱ υἱοὶ τοῦ βασιλέως ἀπέθανον. ὅτι ἀλλ' ἢ ἀμνὼν μονώτατος ἀπέθανε. καὶ ἀπέδρα ἀβεσαλὼμ, καὶ ἦρε τὸ παιδάριον ὁ σκοπὸς τοὺς ὀφθαλμοὺς αὐτοῦ καὶ εἶδε. καὶ ἰδοὺ λαὸς πολὺς ἐρχόμενος ἐν τῇ ὁδῷ τῇ ὡρὰν ὄπισθεν αὐτοῦ ἐκ πλευρᾶς τοῦ ὄρους ἐν τῇ καταβάσει. καὶ παρεγένετο ὁ σκοπὸς, καὶ ἀπήγγειλε τῷ βασιλεῖ καὶ εἶπον. ἄνδρας ἑώρακα ἐκ τῆς ὁδοῦ τῆς ὡρὰν ἐκ μέρους τοῦ ὄρους, καὶ εἶπεν ἰωναδὰβ πρὸς τὸν βασιλέα. ἰδοὺ οἱ υἱοὶ τοῦ βασιλέως πάρεισι κατὰ τὸν λόγον τοῦ δούλου σου οὕτως ἐγένετο. καὶ ἐγένετο ἡνίκα συνετέλεσε λαλῶν, καὶ ἰδοὺ οἱ υἱοὶ τοῦ βασιλέως ἦλθον. καὶ ἐπῆραν τὴν φωνὴν αὐτῶν, καὶ ἔκλαυσαν. καί γε ὁ βασιλεὺς καὶ πάντες οἱ παῖδες αὐτοῦ ἔκλαυσαν, κλαυθμὸν μέγαν σφόδρα. καὶ ἀβεσαλὼμ ἀπέδρα καὶ ἀπῆλθε πρὸς θολμὶ υἱὸν ἐμιοὺδ βασιλέα γεδσοὺρ εἰς γῆν χαμααχάδ. καὶ ἐπένθησεν ὁ βασιλεὺς δαβὶδ ἐπὶ τὸν υἱὸν αὐτοῦ, πάσας τὰς ἡμέρας. καὶ ἀβεσαλὼμ ἀπέδρα. καὶ ἐπορεύθη εἰς γεσσοὺρ καὶ ἦν ἐκεῖ ἔτη τρία. καὶ ἐκόπασε τὸ πνεῦμα

τοῦ βασιλέως τοῦ ἐξελθεῖν ὀπίσω ἀβεσσαλώμ. ὅτι παρεκλή-
θη ἐπὶ ἀμνὼν, ὅτι ἀπέθανε.

Κεφάλαιον ιδ. 14.

Καὶ ἔγνω ἰωὰβ υἱὸς σαρουΐα, ὅτι ἡ καρδία τοῦ βα-
κ σιλέως. ἐπὶ ἀβεσσαλώμ, καὶ ἀπέστειλεν εἰς θεκωὲ
καὶ ἔλαβεν ἐκεῖθεν γυναῖκα σοφὴν καὶ εἶπε πρὸς αὐ-
τήν. πένθησον δὴ καὶ ἔνδυσαι ἱμάτια πενθικὰ καὶ μὴ ἀλείψῃ
ἔλαιον. καὶ ἔσῃ ὡς γυνὴ πενθοῦσα ἐπὶ τεθνηκότι τοῦτο ἡμέρας
πολλάς. καὶ ἐλεύσῃ πρὸς τὸν βασιλέα καὶ λαλήσεις πρὸς αὐτὸν
κατὰ τὸ ῥῆμα τοῦτο. καὶ ἔθηκεν ἰωὰβ τοὺς λόγους αὐτῷ στόματι
αὐτῆς. καὶ ἦλθεν ἡ γυνὴ ἡ θεκωῖτις πρὸς τὸν βασιλέα, καὶ ἔπε-
σεν ἐπὶ πρόσωπον αὐτῆς εἰς τὴν γῆν, καὶ προσεκύνησεν αὐτῷ
καὶ εἶπε. σῶσον βασιλεῦ σῶσον. καὶ εἶπε πρὸς αὐτὴν ὁ βασι-
λεύς. τί ἐστί σοι; ἡ δὲ εἶπε, καὶ μάλα γυνὴ χήρα ἐγώ εἰμι. καὶ
ἀπέθανεν ὁ ἀνήρ μου. καί γε τῇ δούλῃ σου δύο υἱοί. καὶ ἐμα-
χέσαντο ἀμφότεροι ἐν τῷ ἀγρῷ. καὶ οὐκ ἦν ὁ ἐξαιρούμενος
ἀνὰ μέσον αὐτῶν. καὶ ἔπαισεν ὁ εἷς τὸν ἀδελφὸν αὐτοῦ, καὶ
ἐθανάτωσεν αὐτόν. καὶ ἰδοὺ ἐπανέστη ὅλη ἡ πατριὰ πρὸς τὴν
δούλην σου, καὶ εἶπον. δὸς τὸν παίσαντα τὸν ἀδελφὸν αὐτοῦ.
καὶ θανατώσομεν αὐτὸν ἀντὶ τῆς ψυχῆς τοῦ ἀδελφοῦ αὐτοῦ οὗ
ἀπέκτεινε. καὶ ἐξαροῦμεν. καί γε τὸν κληρονόμον ὑμῶν, καὶ σβέ-
σουσι τὸν ἄνθρακά μου τὸν καταλειφθέντα ὥστε μὴ θέσθαι τῷ
ἀνδρί μου κατάλειμμα καὶ ὄνομα ἐπὶ προσώπου τῆς γῆς. καὶ εἶ-
πεν ὁ βασιλεὺς πρὸς τὴν γυναῖκα, ὑγιαίνουσα βάδιζε εἰς τὸν
οἶκόν σου, καὶ ἐγὼ ἐντελοῦμαι περὶ σοῦ. καὶ εἶπεν ἡ γυνὴ ἡ
θεκωῖτις πρὸς τὸν βασιλέα. ἐπ᾽ ἐμὲ ἡ ἀνομία κύριέ μου βασι-
λεῦ, καὶ ἐπὶ τὸν οἶκον τοῦ πατρός μου. καὶ ὁ βασιλεὺς, καὶ ὁ
θρόνος αὐτοῦ ἀθῷος. καὶ εἶπεν ὁ βασιλεύς. τίς ὁ λαλῶν πρὸς
σὲ καὶ ἄξεις αὐτὸν πρὸς μὲ καὶ οὐ προσθήσει ἔτι ἅψασθαι αὐ-
τοῦ. καὶ εἶπεν ἡ γυνή. μνημονευσάτω δὴ ὁ βασιλεὺς τοῦ

κυρίου θεοῦ αὐτοῦ ἐν τῷ πληθυνθῆναι ἀγχιστέα τοῦ αἵματος τοῦ διαφθεῖραι. καὶ οὐ μὴ ἐξάρωσι τὸν υἱόν μου. καὶ εἶπε ζῇ κύριος εἰ πεσεῖται ἀπὸ τῆς τριχὸς τοῦ υἱοῦ σου ἐπὶ τὴν γῆν. καὶ εἶπεν ἡ γυνή. λαλησάτω δὴ ἡ δούλη σου πρὸς τὸν κύριόν μου τὸν βασιλέα ῥῆμα. καὶ εἶπε λάλησον. καὶ εἶπεν ἡ γυνή. ἵνατί ἐλογίσω τοῦτο οὕτως ἐπὶ λαοῦ θεοῦ, ἢ ἐκ στόματος τοῦ βασιλέως ὁ λόγος οὗτος ὡς πλημμέλεια τοῦ ἐπιστρέψαι τὸν βασιλέα τὸν ἐξωσμένον αὐτοῦ. ὅτι θανάτῳ ἀποθανούμεθα καὶ ὥσπερ τὸ ὕδωρ τὸ καταφερόμενον ἐπὶ τῆς γῆς ὃ οὐ συναχθήσεται, καὶ λήψεται ὁ θεὸς ψυχήν. καὶ λογιζόμενος τοῦ ἐξῶσαι ἀπ' αὐτοῦ ἐξωσμένον. καὶ νῦν ὃ ἦλθον λαλῆσαι πρὸς τὸν βασιλέα τὸν κύριόν μου τὸ ῥῆμα τοῦτο ὅτι ὄψεταί με, ὁ λαὸς, καὶ ἐρεῖ ἡ δούλη σου λαλησάτω δὴ πρὸς τὸν κύριόν μου τὸν βασιλέα. εἴπως ποιήσει ὁ βασιλεὺς, τὸ ῥῆμα τῆς δούλης αὐτοῦ. ὅτι ἀκούσει ὁ βασιλεὺς ῥύσασθαι δὴ τὴν δούλην αὐτοῦ ἐκ χειρὸς τοῦ ἀνδρὸς τοῦ ζητοῦντος ἐξᾶραί με, καὶ τὸν υἱόν μου ἀπὸ κληρονομίας θεοῦ. καὶ ἐρεῖ ἡ δούλη σου γενηθήτω δὴ ὁ λόγος τοῦ κυρίου μου τοῦ βασιλέως εἰς θυσίαν. ὅτι καθὼς ἄγγελος τοῦ θεοῦ, οὕτως ὁ κύριός μου ὁ βασιλεὺς τοῦ ἀκούειν τὸ ἀγαθὸν καὶ τὸ πονηρὸν, καὶ ἔσται μετὰ σοῦ, κύριός σου ὁ θεός σου. καὶ ἀπεκρίθη ὁ βασιλεὺς, καὶ εἶπε πρὸς τὴν γυναῖκα. μὴ δὴ κρύψῃς ἀπ' ἐμοῦ ῥῆμα ὃ ἐγὼ ἐπερωτῶ σε, καὶ εἶπεν ἡ γυνή. λαλησάτω δὴ ὁ κύριός μου ὁ βασιλεύς. καὶ εἶπεν ὁ βασιλεὺς, μὴ ἡ χεὶρ ἰωὰβ ἐν παντὶ τούτῳ μετὰ σοῦ. καὶ εἶπεν ἡ γυνὴ τῷ βασιλεῖ. ζῇ ἡ ψυχή σου κύριέ μου βασιλεῦ εἰ ἔστιν εἰς τὰ δεξιὰ ἢ εἰς τὰ ἀριστερὰ ἀπὸ πάντων ὧν ἐλάλησεν ὁ κύριός μου ὁ βασιλεύς. ὅτι ὁ δοῦλός σου ἰωὰβ, αὐτὸς ἐνετείλατό μοι, καὶ αὐτὸς ἔθετο ἐν τῷ στόματι τῆς δούλης σου πάντας τοὺς λόγους τούτους. ἕνεκεν τοῦ περιελθεῖν τὸ πρόσωπον τοῦ ῥήματος τούτου ἐλάλησεν ὁ δοῦλός σου ἰωὰβ τὸν λόγον τοῦτον. καὶ ὁ κύριός μου ὁ βασιλεὺς σοφὸς καθὼς σοφία ἀγγέλου τοῦ θεοῦ τοῦ γνῶναι πάντα τὰ ἐν τῇ

καρδία σου. καὶ εἶπεν ὁ βασιλεὺς πρὸς ἰωάβ. ἰδοὺ δὴ ἐποίησά
σοι κατὰ τὸν λόγον σου τοῦτον, πορεύου ἐπίστρεψον τὸ παιδάριον
τὸν ἀβεσαλώμ. καὶ ἔπεσεν ἰωὰβ ἐπὶ πρόσωπον αὐτοῦ ἐπὶ τὴν γῆν,
καὶ προσεκύνησε, καὶ εὐλόγησε τὸν βασιλέα. καὶ εἶπεν ἰωάβ. σήμε
ρον ἔγνω ὁ δοῦλός σου ὅτι χάριν ἐν ὀφθαλμοῖς σου κύριέ μου
βασιλεῦ ὅτι ἐποίησεν ὁ κύριός μου ὁ βασιλεὺς τὸν λόγον τοῦ
δούλου σου. καὶ ἀνέστη ἰωάβ, καὶ ἐπορεύθη εἰς γεθσούρ, καὶ ἤγαγε
τὸν ἀβεσαλὼμ, εἰς ἱερουσαλήμ. καὶ εἶπεν ὁ βασιλεύς. ἀποστρα
φήτω εἰς τὸν οἶκον αὐτοῦ, καὶ τὸ πρόσωπόν μου μὴ βλεπέτω. καὶ
ἀπέστρεψεν ἀβεσαλὼμ εἰς τὸν οἶκον αὐτοῦ, καὶ τὸ πρόσωπον τοῦ
βασιλέως οὐκ εἶδε. καὶ ὡς ἀβεσαλὼμ οὐκ ἦν ἀνὴρ ἐν παντὶ ἰσρα
ὴλ αἰνετὸς σφόδρα. ἀπὸ ἴχνους ποδὸς αὐτοῦ, καὶ ἕως κορυφῆς αὐ
τοῦ. οὐκ ἦν ἐν αὐτῷ μῶμος. καὶ ἐν τῷ κείρεσθαι αὐτὸν τὴν κεφα
λὴν αὐτοῦ καὶ ἐγένετο ἀπ' ἀρχῆς ἡμερῶν εἰς ἡμέρας ὡς ἂν, ἐκείρε
το, ὅτι κατεβάρυνεν ἐπ' αὐτόν. καὶ κειράμενος αὐτὴν ἔστησε τὴν
τρίχα τῆς κεφαλῆς αὐτοῦ διακοσίους σίκλους, ἐν τῷ σίκλῳ τῷ
βασιλικῷ, καὶ ἐτέχθησαν τῷ ἀβεσαλὼμ τρεῖς υἱοὶ καὶ θυγάτηρ
μία. καὶ τὸ ὄνομα αὐτῆς μααχᾶ. αὕτη ἦν γυνὴ, καλὴ τῷ εἴδει
σφόδρα καὶ γίνεται γυνὴ ῥοβοὰμ υἱῷ σαλωμὼν, καὶ τίκτει αὐτῷ
τὸν ἀβιά. καὶ ἐκάθισεν ἀβεσαλὼμ ἐν ἱερουσαλὴμ δύο ἔτη ἡ
μερῶν, καὶ τὸ πρόσωπον τοῦ βασιλέως οὐκ εἶδε. καὶ ἀπέστειλεν ἀ
βεσαλὼμ πρὸς ἰωὰβ τοῦ ἀποστεῖλαι αὐτὸν πρὸς τὸν βασιλέα, καὶ
οὐκ ἠθέλησεν ἐλθεῖν πρὸς αὐτόν, καὶ ἀπέστειλεν ἐκ δευτέρου
πρὸς αὐτὸν, καὶ οὐκ ἠθέλησε παραγενέσθαι, καὶ εἶπεν ἀβεσαλὼμ
πρὸς τοὺς παῖδας αὐτοῦ. ἴδετε δὴ ἡ μερὶς ἐν ἀγρῷ τοῦ ἰωὰβ ἐχο
μένη μου, καὶ αὐτῷ ἐκεῖ κριθαὶ, πορεύεσθε, καὶ ἐμπρήσατε αὐ
τὴν ἐν πυρί. καὶ ἐνέπρησαν οἱ παῖδες ἀβεσαλὼμ τὴν μερίδα
ἰωὰβ ἐν πυρί. καὶ παραγίνονται οἱ δοῦλοι ἰωὰβ πρὸς αὐτὸν διερ
ρηχότες τὰ ἱμάτια αὐτῶν, καὶ εἶπον, ἐνέπρησαν οἱ δοῦλοι ἀβεσ
σαλὼμ τὴν μερίδα ἐν πυρί. καὶ ἀνέστη ἰωάβ, καὶ ἦλθε πρὸς ἀβεσ

σαλὼμ εἰς τὸν οἶκον, καὶ εἶπεν πρὸς αὐτόν· ἵνα τί ἐνεπύρησαν οἱ
παῖδές σου τὴν μερίδα τὴν ἐμὴν ἐν πυρί· καὶ εἶπεν ἀβεσσαλὼμ
πρὸς ἰωάβ· ἰδοὺ ἀπέστειλα πρὸς σὲ λέγων· ἧκε ὧδε, καὶ ἀποστε-
λῶ σε πρὸς τὸν βασιλέα λέγων· ἵνα τί ἦλθον ἐκ γεθσούρ· ἀγα-
θόν μοι ἦν τοῦ ἔτι εἶναί με ἐκεῖ· καὶ νῦν ἰδοὺ τὸ πρόσωπον τοῦ
βασιλέως οὐκ εἶδον· εἰ δέ ἐστιν ἐν ἐμοὶ ἀδικία, καὶ θανάτωσόν
με· καὶ εἰσῆλθεν ἰωὰβ πρὸς τὸν βασιλέα, καὶ ἀπήγγειλεν αὐτῷ·
καὶ ἐκάλεσε τὸν ἀβεσσαλὼμ, καὶ εἰσῆλθε πρὸς τὸν βασιλέα, καὶ
προσεκύνησεν αὐτῷ καὶ ἔπεσεν ἐπὶ πρόσωπον αὐτοῦ ἐπὶ τὴν
γῆν κατὰ πρόσωπον τοῦ βασιλέως, καὶ κατεφίλησεν ὁ βασιλεὺς
τὸν ἀβεσσαλώμ. Κεφάλαι. ιε. ιϛ.

Αἰ ἐγένετο μετὰ ταῦτα, καὶ ἐποίησεν ἑαυτῷ ἀβεσ-
κ σαλὼμ ἅρματα, καὶ ἵππεις· καὶ πεντήκοντα ἄνδρας
παρατρέχειν ἔμπροσθεν αὐτοῦ· καὶ ὤρθρισεν ἀβεσσα-
λὼμ, καὶ ἔστη ἀνὰ χεῖρα τῆς ὁδοῦ τῆς πύλης· καὶ ἐγένετο πᾶς ἀνὴρ
ᾧ ἐγένετο κρίσις, ἦλθε πρὸς τὸν βασιλέα εἰς κρίσιν· καὶ ἐβόησε
πρὸς αὐτὸν ἀβεσσαλὼμ, καὶ εἶπεν αὐτῷ· ἐκ ποίας πόλεως σὺ
εἶ· καὶ εἶπεν ὁ ἀνήρ· ἐκ μιᾶς φυλῆς ἰσραὴλ ὁ δοῦλός σου· καὶ εἶ-
πε πρὸς αὐτὸν ἀβεσσαλώμ· ἰδοὺ οἱ λόγοι σου ἀγαθοὶ, καὶ εὔκο-
λοι· καὶ ὁ ἀκούων οὐκ ἔστι σοι παρὰ τοῦ βασιλέως· καὶ εἶπεν ἀβεσ-
σαλώμ· τίς με καταστήσει κριτὴν ἐν τῇ γῇ· καὶ ἐπ' ἐμὲ ἐλεύσε-
ται πᾶς ἀνὴρ ᾧ ἐὰν ᾖ ἀντιλογία, καὶ κρίσις· καὶ δικαιώσω αὐ-
τόν· καὶ ἐγένετο, ἐν τῷ ἐγγίζειν ἄνδρα τοῦ προσκυνῆσαι αὐ-
τὸν, καὶ ἐξέτεινε τὴν χεῖρα αὐτοῦ καὶ κατ' ἐπελαμβάνετο αὐτοῦ,
καὶ κατεφίλησεν αὐτόν· καὶ ἐποίησεν ἀβεσσαλὼμ κατὰ τὸ ῥῆ-
μα τοῦτο παντὶ ἰσραὴλ, τοῖς παραγινομένοις εἰς κρίσιν πρὸς τὸν
βασιλέα· καὶ ἰδιοποιεῖτο ἀβεσσαλὼμ τὰς καρδίας ἀνδρῶν ἰσρα-
ήλ· καὶ ἐγένετο ἀπὸ τέλους τεσσαράκοντα ἐτῶν, καὶ εἶπεν ἀβεσ-
σαλὼμ πρὸς τὸν πατέρα αὐτοῦ· πορεύσομαι δὴ καὶ ἀποτίσω
τὰς εὐχάς μου ἃς ηὐξάμην τῷ κυρίῳ ἐν χεβρών· ὅτι εὐχὴν ηὔ-

ξατο ὁ δοῦλός σου ἐν τῷ οἰκεῖν με ἐν γεδσοὺρ ἐν συρίᾳ λέγων
ἐὰν ἐπιστρέφων ἐπιστρέψῃ με ὁ κύριος εἰς ἱερουσαλὴμ, καὶ λα-
τρεύσω τῷ κυρίῳ. καὶ εἶπεν αὐτῷ ὁ βασιλεύς. βάδιζε εἰς εἰ-
ρήνην. καὶ ἀναστὰς ἐπορεύθη εἰς χεβρών. καὶ ἀπέστειλεν ἀβεσσα-
λὼμ κατασκόπους ἐν πάσαις φυλαῖς ἰσραὴλ λέγων. ἐν τῷ ἀ-
κοῦσαι ὑμᾶς τὴν φωνὴν τῆς κερατίνης καὶ ἐρεῖτε, βεβασίλευκεν
ἀβεσσαλὼμ ἐν χεβρών. καὶ ἐπορεύθησαν μετὰ ἀβεσσαλὼμ, δια-
κόσιοι ἄνδρες ἐξ ἱερουσαλὴμ κλητοί. καὶ πορευόμενοι τῇ ἀ-
πλότητι αὐτῶν. καὶ οὐκ ἔγνωσαν πᾶν ῥῆμα. καὶ ἀπέστειλεν ἀβεσ-
σαλὼμ, καὶ ἐκάλεσε τὸν ἀχιτόφελ τὸν γελαμωναῖον τὸν σύμ-
βουλον τοῦ δαβὶδ, ἐκ τῆς πόλεως αὐτοῦ τῆς γωλᾶ. ἐν τῷ θυσιά-
ζειν αὐτὸν τὰς θυσίας. καὶ ἐγένετο σύστρεμμα ἰσχυρόν. καὶ ὁ λαὸς
ὁ πορευόμενος, καὶ πολὺς μετὰ ἀβεσσαλώμ. καὶ παρεγένετο ὁ
ἄγγελος πρὸς δαβὶδ λέγων. ἐγενήθη ἡ καρδία ἀνδρῶν ἰσρα-
ὴλ ὀπίσω ἀβεσσαλώμ. καὶ εἶπε δαβὶδ πᾶσι τοῖς παισὶν αὐτοῦ
τοῖς μετ' αὐτοῦ ἐν ἱερουσαλήμ. ἀνάστητε, καὶ φύγωμεν ὅτι
οὐκ ἔστιν ἡμῖν σωτηρία ἀπὸ προσώπου ἀβεσσαλώμ. ταχύνα-
τε τοῦ πορευθῆναι ἵνα μὴ ταχύνῃ, καὶ καταλάβῃ ἡμᾶς, καὶ ἐξ-
ώσῃ ἐφ' ἡμᾶς τὴν κακίαν. καὶ πατάξῃ τὴν πόλιν ἐν στόματι
ῥομφαίας. καὶ εἶπον οἱ παῖδες τοῦ βασιλέως πρὸς τὸν βασι-
λέα κατὰ πάντα ὅσα ἂν αἱρεῖται ὁ κύριος ἡμῶν ὁ βασιλεύς,
ἰδοὺ οἱ παῖδές σου. καὶ ἐξῆλθεν ὁ βασιλεὺς καὶ πᾶς ὁ οἶκος
αὐτοῦ τοῖς ποσὶν αὐτῶν, καὶ ἀφῆκεν ὁ βασιλεὺς τὰς δέκα γυ-
ναῖκας τὰς παλλακὰς αὐτοῦ φυλάσσειν τὸν οἶκον, καὶ ἐξῆλθεν,
ὁ βασιλεὺς, καὶ πάντες οἱ παῖδες αὐτοῦ πεζοί, καὶ ἔστησαν ἐν
οἴκῳ τῷ μακράν. καὶ πάντες οἱ παῖδες αὐτοῦ ἀνὰ χεῖρα αὐτοῦ
παρῆγον. καὶ πᾶς χερεθθὶ καὶ πᾶς ὀφελεθθὶ οἱ πάντες καὶ γεθ-
θαῖοι ἑξακόσιοι ἄνδρες οἱ ἥκοντες πεζοὶ ἐκ γέθ, παρεπο-
ρεύοντο κατὰ πρόσωπον τοῦ βασιλέως. καὶ εἶπεν ὁ βασιλεὺς
πρὸς ἐθθὶ τὸν γεθθαῖον, ἵνα τί πορεύῃ καὶ σὺ μεθ' ἡμῶν. ἐπιστρέ-

σου, καὶ οἴκει μετὰ τοῦ βασιλέως. ὅτι ξένος εἶ σὺ, καὶ ὅτι μετῴκισας σὺ ἐκ τοῦ τόπου σου, εἰ ἐχθὲς παραγέγονας. καὶ σήμερον κινήσω σε μεθ' ἡμῶν τοῦ πορευθῆναι καὶ ἐγὼ πορεύομαι οὗ ἐὰν πορευθῶ. πορεύου καὶ ἐπίστρεφε. καὶ ἀπόστρεψον τοὺς ἀδελφούς σου μετὰ σοῦ. καὶ κύριος ποιήσει μετὰ σοῦ ἔλεος, καὶ ἀλήθειαν. καὶ ἀπεκρίθη ἐθθὶ, τῷ βασιλεῖ. καὶ εἶπε. ζῇ κύριος καὶ ζῇ ὁ κύριός μου ὁ βασιλεύς. ὅτι εἰς τὸν τόπον οὗ ἐὰν ᾖ ὁ κύριός μου ὁ βασιλεὺς, καὶ ἐὰν εἰς θάνατον καὶ ἐὰν εἰς ζωὴν, ὅτι ἐκεῖ ἔσται ὁ δοῦλός σου, καὶ εἶπεν ὁ βασιλεὺς πρὸς ἐθθί. δεῦρο, καὶ διάβαινε μετ' ἐμοῦ. καὶ παρῆλθεν ὁ ἐθθὶ ὁ γεθθαῖος καὶ ὁ βασιλεὺς, καὶ πάντες οἱ παῖδες αὐτοῦ, καὶ πᾶς ὁ ὄχλος ὁ μετ' αὐτοῦ καὶ πᾶσα ἡ γῆ. ἔκλαιε φωνῇ μεγάλῃ. καὶ ὁ βασιλεὺς διέβη τὸν χειμάῤῥουν κέδρων καὶ πᾶς ὁ λαὸς καὶ ὁ βασιλεὺς, παρεπορεύοντο ἐπὶ πρόσωπον ὁδοῦ τὴν ἔρημον. καὶ ἰδοὺ, καί γε σαδδὼκ ὁ ἱερεὺς, καὶ πάντες οἱ λευῖται μετ' αὐτοῦ αἴροντες τὴν κιβωτὸν διαθήκης κυρίου ἀπὸ βαιθάρ. καὶ ἔστησαν τὴν κιβωτὸν διαθήκης κυρίου τοῦ θεοῦ. ἕως ἐπαύσατο πᾶς ὁ λαὸς παρελθεῖν ἐκ τῆς πόλεως. καὶ εἶπεν ὁ βασιλεὺς πρὸς τὸν σαδδὼκ ἀπόστρεψον τὴν κιβωτὸν τοῦ θεοῦ εἰς τὴν πόλιν. ἐὰν εὕρω χάριν ἐν ὀφθαλμοῖς κυρίου. καὶ ἐπιστρέψει με, καὶ δείξει μοι αὐτὴν, καὶ τὴν εὐπρέπειαν αὐτῆς, ἐὰν οὕτως εἴπῃ οὐκ ἠθέλησα ἐν σοί, ἰδοὺ ἐγώ εἰμι. ποιείτω τὸ ἀγαθὸν ἐν ὀφθαλμοῖς αὐτοῦ. καὶ εἶπεν ὁ βασιλεὺς τῷ σαδδὼκ τῷ ἱερεῖ. ἴδετε σὺ ἐπιστρέφεις εἰς τὴν πόλιν ἐν εἰρήνῃ. καὶ ἀχιμαὰς ὁ υἱός σου, καὶ ἰωνάθαν ὁ υἱὸς ἀβιάθαρ, οἱ δύο υἱοὶ ὑμῶν μεθ' ὑμῶν. ἴδετε ἐγώ εἰμι αὐλίζομαι ἐν ῥαβαὼθ τῆς ἐρήμου, ἕως τοῦ ἐλθεῖν ῥῆμα παρ' ὑμῶν τοῦ ἀπαγγεῖλαί μοι. καὶ ἀπέστρεψε σαδδὼκ, καὶ ἀβιάθαρ τὴν κιβωτὸν τοῦ θεοῦ εἰς ἱερουσαλὴμ, καὶ ἐκάθισεν ἐκεῖ καὶ δαβὶδ ἀνέβαινε τὴν ἀνάβασιν τοῦ ὄρους τῶν ἐλαιῶν ἀναβαίνων. καὶ κλαίων, καὶ τὴν κεφαλὴν ἐπικεκαλυμμένος, καὶ αὐτὸς ἐπορεύετο ἀνυπόδετος, καὶ πᾶς

ὁ λαὸς ὁ μετ' αὐτοῦ ἐπεκάλυψεν ἀνὴρ τὴν κεφαλὴν αὐτοῦ, καὶ
ἀνέβαινον, ἀναβαίνοντες, καὶ κλαίοντες, καὶ ἀνηγγέλη τῷ δα-
βὶδ λέγοντες· καὶ ἀχιτόφελ, ἐν τοῖς συστρεφομένοις μετὰ ἀβεσ-
σαλώμ· καὶ εἶπε δαβίδ· διασκέδασον τὴν βουλὴν ἀχιτόφελ·
κύριε ὁ θεός μου, καὶ ἦν δαβὶδ ἐρχόμενος ἕως τοῦ ῥῶς οὗ προ-
σεκύνησεν ἐκεῖ τῷ κυρίῳ· καὶ ἰδοὺ εἰς ἀπάντησιν αὐτῷ χου-
σὶ ὁ ἀρχιεταῖρος δαβὶδ διεῤῥηχὼς τὸν χιτῶνα αὐτοῦ· καὶ γῆ
ἐπὶ τῆς κεφαλῆς αὐτοῦ, καὶ εἶπεν αὐτῷ δαβίδ· ἐὰν διαβῇς μετ'
ἐμοῦ, καὶ ἔσῃ ἐπ' ἐμὲ εἰς βάσταγμα· καὶ ἐὰν ἐπιστρέψῃς εἰς τὴν
πόλιν καὶ ἐρεῖς τῷ ἀβεσσαλὼμ, καὶ διεληλύθασιν οἱ ἀδελφοί
σου· καὶ ὁ βασιλεὺς κατόπισθέ μου διελήλυθεν ὁ πατήρ σου,
καὶ νῦν παῖς σου εἰμὶ βασιλεῦ· ἔασόν με ζῆσαι· παῖς τοῦ πατρός
σου ἤμην τότε, καὶ νῦν ἐγὼ δοῦλος σός· καὶ διασκεδάσεις
μοι τὴν βουλὴν ἀχιτόφελ· καὶ ἰδοὺ ἐκεῖ μετὰ σοῦ σαδὼκ καὶ
ἀβιάθαρ οἱ ἱερεῖς· καὶ ἔσται πᾶν ῥῆμα ὃ ἐὰν ἀκούσῃς ἐκ τοῦ στό-
ματος τοῦ βασιλέως, καὶ ἀπαγγελεῖς τῷ σαδὼκ καὶ ἀβιάθαρ
τοῖς ἱερεῦσιν· ἰδοὺ ἐκεῖ μετ' αὐτῶν δύο υἱοὶ αὐτῶν· ἀχιμάας υἱ-
ὸς τοῦ σαδὼκ, καὶ ἰωνάθαν υἱὸς τῷ ἀβιάθαρ· καὶ ἀποστελεῖτε ἐν
χειρὶ αὐτῶν πρός με πᾶν ῥῆμα ὃ ἐὰν ἀκούσητε· καὶ εἰσῆλθεν ὁ
ἀρχιεταῖρος χουσὶ δαβὶδ εἰς τὴν πόλιν· καὶ ἀβεσσαλὼμ, ἄρτι
εἰσεπορεύετο εἰς ἱερουσαλήμ. Κεφ. ιϛ΄. 16.

Αὶ δαβὶδ παρῆλθε βραχύ τι ἀπὸ τῆς ῥώς· καὶ ἰδοὺ
κ σιβὰ τὸ παιδάριον μεμφιβοσθὲ εἰς ἀπάντησιν αὐτοῦ,
καὶ ζεῦγος ὄνων ἐπισεσαγμένων· καὶ ἐπ' αὐτοῖς δια-
κόσιοι ἄρτοι, καὶ οἰφὶ σταφίδος· καὶ οἰφὶ παλάθων, καὶ νέβελ οἴ-
νου, καὶ ἑκατὸν φοινίκων· καὶ εἶπεν ὁ βασιλεὺς πρὸς σιβά· τί ταῦ-
τά σοι· καὶ εἶπε σιβά· τὰ ὑποζύγια τῇ οἰκίᾳ, τοῦ βασιλέως τοῦ
ἐπικαθῆσθαι· καὶ οἱ ἄρτοι· καὶ αἱ παλάθαι· εἰς βρῶσιν τοῖς παι-
δαρίοις, καὶ ὁ οἶνος· πιεῖν τοῖς ἐκλελυμένοις ἐν τῇ ἐρήμῳ· καὶ
εἶπεν ὁ βασιλεὺς, καὶ ποῦ ὁ υἱὸς τοῦ κυρίου σου· καὶ εἶπε σιβὰ

πρὸς τὸν βασιλέα. ἰδοὺ κάθηται ἐν ἱερουσαλήμ. ὅτι εἶπε σήμε-
ρον ἐπιστρέψουσίν μοι πᾶς οἶκος ἰσραὴλ τὴν βασιλείαν τοῦ πα-
τρός μου. καὶ εἶπεν ὁ βασιλεὺς τῷ σιβᾷ. ἰδού σοι πάντα ὅσα
ἐστὶ τῷ μεμφιβοσθέ. καὶ εἶπε σιβὰ προσκυνήσας. εὕροιμι χά-
ριν ἐν ὀφθαλμοῖς σου κύριέ μου βασιλεῦ, καὶ ἦλθεν ὁ βασιλεὺς
δαβίδ, ἕως βαθουρείμ. καὶ ἰδοὺ ἐκεῖθεν ἀνὴρ ἐξεπορεύετο ἐκ συγ-
γενείας οἴκου σαοὺλ. καὶ ὄνομα αὐτῷ σεμεῒ υἱὸς γηρᾶ. ἐξῆλθε
δὲ ἐκπορευόμενος, καὶ καταρώμενος, καὶ λιθάζων ἐν λίθοις
τὸν δαβίδ, καὶ πάντας τοὺς παῖδας τοῦ βασιλέως δαβίδ.
καὶ πᾶς ὁ λαὸς ἦν, καὶ πάντες οἱ δυνατοὶ ἐκ δεξιῶν, καὶ ἐξ εὐω-
νύμων τοῦ βασιλέως. καὶ οὕτως εἶπε σεμεῒ ἐν τῷ καταρᾶσθαι αὐ-
τόν. ἔξελθε ἔξελθε ἀνὴρ αἱμάτων, καὶ ἀνὴρ ὁ παράνομος. ἐ-
πέστρεψεν ἐπὶ σὲ κύριος πάντα τὰ αἵματα τοῦ οἴκου σαοὺλ.
ἀνθ' ὧν ἐβασίλευσας ἀντ' αὐτοῦ. καὶ ἔδωκε κύριος τὴν βα-
σιλείαν ἐν χειρὶ ἀβεσσαλὼμ τοῦ υἱοῦ σου. καὶ ἰδοὺ σὺ ἐν τῇ οἰ-
κίᾳ σου, ὅτι ἀνὴρ αἱμάτων σύ. καὶ εἶπεν ἀβεσσὰ ὁ τοῦ σαρουΐα
πρὸς τὸν βασιλέα. ἵνα τί καταρᾶται ὁ κύων ὁ τεθνηκὼς οὗτος
τὸν κύριόν μου τὸν βασιλέα. διαβήσομαι δὴ καὶ ἀφελῶ τὴν κε-
φαλὴν αὐτοῦ. καὶ εἶπεν ὁ βασιλεὺς πρὸς ἀβεσσά. τί ἐμοὶ καὶ ὑ-
μῖν υἱοὶ σαρουΐα, καὶ ἄφετε αὐτὸν καὶ οὕτως καταράσθω ὅτι
κύριος εἶπεν αὐτῷ καταρᾶσθαι τὸν δαβίδ. καὶ τίς ἐρεῖ, τί ἐ-
ποίησας οὕτως. καὶ εἶπε δαβὶδ πρὸς ἀβεσσὰ, καὶ πρὸς πάντας
τοὺς παῖδας αὐτοῦ. ἰδοὺ ὁ υἱός μου ὁ ἐξελθὼν ἐκ τῆς κοιλίας
μου ζητεῖ τὴν ψυχήν μου, καὶ προσέτι νῦν ὁ υἱὸς τοῦ ἰεμιναίου.
ἄφετε αὐτὸν καταρᾶσθαι ὅτι εἶπεν αὐτῷ κύριος. ὅπως ἴδοι
κύριος ἐν τῇ ταπεινώσεί μου, καὶ ἐπιστρέψει μοι ἀγαθὰ ἀντὶ
τῆς κατάρας αὐτοῦ τῇ ἡμέρᾳ ταύτῃ, καὶ ἐπορεύθη δαβίδ. καὶ
πάντες οἱ ἄνδρες αὐτοῦ ἐν τῇ ὁδῷ. καὶ σεμεῒ ἐπορεύετο ἐκ
πλευρᾶς τοῦ ὄρους ἐχόμενα αὐτοῦ πορευόμενος καὶ καταρώ-
μενος, καὶ λιθάζων ἐν λίθοις ἐκ πλαγίων αὐτοῦ καὶ τῷ χοῒ

πάσαν· καὶ ἦλθεν ὁ βασιλεύς, καὶ πᾶς ὁ λαὸς μετ' αὐτοῦ ἐκ-
λελυμμένοι, καὶ ἀνέψυξαν ἐκεῖ· καὶ ἀβεσσαλὼμ, καὶ πᾶς ἀνὴρ ἰσ-
ραὴλ, εἰσῆλθον εἰς ἱερουσαλὴμ, καὶ ἀχιτόφελ μετ' αὐτοῦ· καὶ ἐ-
γενήθη ἡνίκα ἦλθε χουσὶ ὁ ἀρχιέταιρος δαβὶδ πρὸς ἀβεσσα-
λὼμ, καὶ εἶπε χουσὶ πρὸς ἀβεσσαλώμ· ζήτω ὁ βασιλεύς. καὶ εἶ-
πεν ἀβεσσαλὼμ πρὸς χουσί· τοῦτο τὸ ἔλεός σου μετὰ τοῦ ἑταίρου
σου· ἱνατί οὐκ ἀπῆλθες μετὰ τοῦ ἑταίρου σου. καὶ εἶπε χουσὶ
πρὸς ἀβεσσαλώμ· οὐχί· ἀλλὰ κατόπισθεν οὗ ἐξελέξατο κύρι-
ος, καὶ ὁ λαὸς οὗτος καὶ πᾶς ἀνὴρ ἰσραὴλ, αὐτῷ ἔσομαι, καὶ με-
τὰ αὐτοῦ καθήσομαι, καὶ τὸ δεύτερον τίνι ἐγὼ δουλεύσω· οὐ-
χὶ ἐνώπιον τοῦ υἱοῦ αὐτοῦ; καθάπερ ἐδούλευσα ἐνώπιον τοῦ πα-
τρός σου, οὕτως ἔσομαι ἐνώπιόν σου. καὶ εἶπεν ἀβεσσαλὼμ πρὸς
ἀχιτόφελ· φέρετε ἑαυτοῖς βουλὴν τί ποιήσωμεν. καὶ εἶπεν ἀ-
χιτόφελ πρὸς ἀβεσσαλώμ· εἴσελθε πρὸς τὰς παλλακὰς τοῦ πα-
τρός σου ἃς κατέλιπε φυλάσσειν τὸν οἶκον αὐτοῦ· καὶ ἀκούσεται
πᾶς ἰσραήλ· ὅτι κατῄσχυνας τὸν πατέρα σου· καὶ ἐνισχύσουσιν
πάντων αἱ χεῖρες τῶν μετὰ σοῦ· καὶ ἔπηξαν τὴν σκηνὴν τῷ ἀ-
βεσσαλὼμ ἐπὶ τὸ δῶμα, καὶ εἰσῆλθεν ἀβεσσαλὼμ πρὸς τὰς
παλλακὰς τοῦ πατρὸς αὐτοῦ κατ' ὀφθαλμοὺς παντὸς ἰσραήλ. καὶ
ἡ βουλὴ ἀχιτόφελ ἣν ἐβουλεύσατο ἐν ταῖς ἡμέραις ταῖς πρώ-
ταις, ὃν τρόπον ἐπερωτήσει τὶς ἐν λόγῳ τοῦ θεοῦ, οὕτως πᾶσα
ἡ βουλὴ τοῦ ἀχιτόφελ καί γε τῷ δαβὶδ καί γε τῷ ἀβεσσα-
λώμ.

## Κεφ. ιζ΄. 17.

Αἰ εἶπεν ἀχιτόφελ πρὸς ἀβεσσαλώμ· ἐπιλέξω δὴ ἐ-
κ μαυτῷ δώδεκα χιλιάδας ἀνδρῶν, καὶ ἀναστήσομαι,
καὶ καταδιώξω ὀπίσω δαβὶδ τὴν νύκτα, καὶ ἐπελεύ-
σομαι ἐπ' αὐτόν· καὶ αὐτὸς κοπιῶν, καὶ ἐκλυόμενος χερ-
σί· καὶ ἐκστήσω αὐτόν· καὶ φεύξεται πᾶς ὁ λαὸς ὁ μετ' αὐτοῦ,
καὶ πατάξω τὸν βασιλέα μονώτατον. καὶ ἐπιστρέψω πάντα

τὸν λαὸν πρὸς σέ, ὃν τρόπον ἐπιστρέφει ἡ νύμφη πρὸς τὸν
ἄνδρα αὐτῆς· πλὴν τὴν ψυχὴν ἀνδρὸς ἑνὸς σὺ ζητεῖς, καὶ παν
τὶ τῷ λαῷ ἔσται εἰρήνη. καὶ εὐθὴς ὁ λόγος ἐν ὀφθαλμοῖς ἀβεσ
σαλὼμ, καὶ ἐν ὀφθαλμοῖς πάντων τῶν πρεσβυτέρων ἰσραήλ.
καὶ εἶπεν ἀβεσσαλὼμ καλέσατε δὴ καί γε τὸν χουσὶ τὸν ἀραχὶ
καὶ ἀκουσώμεθα τί ἐν τῷ στόματι αὐτοῦ καί γε αὐτοῦ. καὶ εἰ
σῆλθε χουσὶ πρὸς ἀβεσσαλώμ. καὶ εἶπεν ἀβεσσαλὼμ πρὸς αὐ
τὸν λέγων, κατὰ τὸ ῥῆμα τοῦτο, ἐλάλησεν ἀχιτόφελ. εἰ ποιή
σωμεν κατὰ τὸν λόγον αὐτοῦ. εἰ δὲ μή, σὺ λάλησον. καὶ εἶπε
χουσὶ πρὸς ἀβεσσαλώμ. οὐκ ἀγαθὴ αὕτη ἡ βουλὴ ἣν ἐβουλεύ
σατο ἀχιτόφελ τὸ ἅπαξ τοῦτο. καὶ εἶπε χουσί. σὺ οἶδας τὸν πα
τέρα σου, καὶ τοὺς ἄνδρας αὐτοῦ. ὅτι δυνατοί εἰσι σφόδρα, καὶ
κατάπικροι τῇ ψυχῇ αὐτῶν. ὡς ἄρκτος ἡ τεκνωμένη ἐν ἀ
γρῷ. καὶ ὡς ὗς τραχεῖα, ἐν τῷ πεδίῳ. καὶ ὁ πατήρ σου, ἀνὴρ
πολεμιστής, καὶ οὐ μὴ καταλύσῃ τὸν λαόν. ἰδοὺ γὰρ αὐτὸς νῦν κέ
κρυπται ἐν ἑνὶ τῶν βουνῶν ἢ ἐν ἑνὶ τῶν τόπων καὶ ἔσται ἐν τῷ ἐ
πιπεσεῖν ἐν αὐτοῖς ἐν ἀρχῇ καὶ ἀκούσῃ ὁ ἀκούων, καὶ εἴπῃ. ἐγε
νήθη ἡ θραῦσις ἐν τῷ λαῷ τῷ ὀπίσω ἀβεσσαλώμ· καί γε αὐτὸς
υἱὸς δυνάμεως οὗ ἡ καρδία καθὼς ἡ καρδία τοῦ λέοντος τηκομέ
νη τακήσεται. ὅτι οἶδεν πᾶς ἰσραήλ, ὅτι δυνατὸς ὁ πατήρ σου
καὶ οἱ υἱοὶ δυνάμεως πάντες οἱ μετ' αὐτοῦ. οὕτως συμβουλεύ
ων ἐγώ, συνεβούλευσα καὶ συναγόμενος συναχθήσεται ἐπὶ σὲ
πᾶς ἰσραὴλ ἀπὸ δὰν, καὶ ἕως βηρσαβεέ, ὡς ἡ ἄμμος ἡ ἐπὶ τῆς
θαλάσσης εἰς πλῆθος. καὶ τὸ πρόσωπόν σου πορευόμενον ἐν μέ
σῳ αὐτῶν. καὶ ἥξομεν ἐπ' αὐτὸν εἰς ἕνα τῶν τόπων οὗ ἐὰν εὕ
ρωμεν αὐτὸν ἐκεῖ καὶ παρεμβαλοῦμεν ἐπ' αὐτόν, ὡς πίπτει
δρόσος ἐπὶ τὴν γῆν καὶ οὐχ ὑπολειψόμεθα ἐν αὐτῷ, καὶ τοῖς
ἀνδράσιν αὐτοῦ τοῖς μετ' αὐτοῦ καί γε ἕνα. καὶ ἐὰν εἰς τὴν πόλιν
συναχθῇ. καὶ λήψονται πᾶς ἰσραὴλ πρὸς τὴν πόλιν ἐκείνην
σχοινία, καὶ σύρουμεν αὐτὴν ἕως εἰς τὸν χειμάρρουν ἵνα μὴ καταλειφθῇ

ἐκεῖ μηδὲ λίθος. καὶ εἶπεν ἀβεσσαλώμ, καὶ πᾶς ἀνὴρ ἰσραήλ, ἀγαθὴ ἡ βουλὴ χουσὶ τοῦ ἀραχὶ, ὑπὲρ τὴν βουλὴν ἀχιτόφελ. καὶ κύριος ἐνετείλατο διασκεδάσαι τὴν βουλὴν τοῦ ἀχιτόφελ τὴν ἀγαθὴν ὅπως ἂν ἐπαγάγῃ κύριος ἐπὶ ἀβεσσαλὼμ τὰ κακὰ πάντα. καὶ εἶπε χουσὶ ὁ τοῦ ἀραχὶ πρὸς σαδὼκ, καὶ ἀβιάθαρ τοὺς ἱερέας· οὕτως καὶ οὕτως συνεβούλευσεν ἀχιτόφελ τῷ ἀβεσσαλὼμ, καὶ τοῖς πρεσβυτέροις ἰσραήλ· καὶ οὕτω καὶ οὕτω συνεβούλευσα ἐγώ. καὶ νῦν ἀποστείλατε ταχὺ, καὶ ἀπαγγείλατε τῷ δαβὶδ λέγοντες. μὴ αὐλισθῇς τὴν νύκτα ἐν ἀραβὼθ τῆς ἐρήμου. καί γε διαβαίνων σπεῦσον μή ποτε καταπείσῃ τὸν βασιλέα. καὶ πάντα τὸν λαὸν τὸν μετ' αὐτοῦ. καὶ ἰωνάθαν, καὶ ἀχιμαὰς. εἱστήκεισαν ἐπὶ τῇ πηγῇ ῥωγήλ, καὶ ἐπορεύθη ἡ παιδίσκη, καὶ ἀνήγγειλεν αὐτοῖς, καὶ αὐτοὶ πορεύονται, καὶ ἀπαγγέλλουσι τῷ βασιλεῖ δαβὶδ ὅτι οὐκ ἠδύναντο ὀφθῆναι τοῦ εἰσελθεῖν εἰς τὴν πόλιν. καὶ εἶδεν αὐτοὺς παιδάριον, καὶ ἀνήγγειλε τῷ ἀβεσσαλώμ. καὶ ἐπορεύθησαν οἱ δύο ταχέως καὶ εἰσῆλθον εἰς οἶκον ἀνδρὸς ἐν βαιθουρίμ. καὶ αὐτῷ λάκκος ἐν τῇ αὐλῇ. καὶ κατέβησαν ἐκεῖ, καὶ ἔλαβεν ἡ γυνὴ, καὶ διεπέτασε τὸ ἐπικάλυμμα ἐπὶ τὸ πρόσωπον τοῦ λάκκου, καὶ ἔψυξεν ἐπ' αὐτῷ ἀραβὼθ, καὶ οὐκ ἐγνώσθη ῥῆμα. καὶ ἦλθον οἱ παῖδες ἀβεσσαλὼμ πρὸς τὴν γυναῖκα εἰς τὴν οἰκίαν, καὶ εἶπον ποῦ ἀχιμαὰς, καὶ ἰωνάθαν. καὶ εἶπεν αὐτοῖς ἡ γυνή. παρῆλθον μικρὸν τοῦ ὕδατος, καὶ ἐζήτησαν, καὶ οὐχ εὗρον, καὶ ἀνέστρεψαν εἰς ἱερουσαλήμ. ἐγένετο δὲ μετὰ τὸ ἀπελθεῖν αὐτοὺς, ἀνέβησαν ἐκ τοῦ λάκκου, καὶ ἐπορεύθησαν, καὶ ἀπήγγειλαν τῷ βασιλεῖ δαβὶδ, καὶ λέγουσιν αὐτῷ ἀνάστητε, καὶ διάβητε ταχέως τὸ ὕδωρ ὅτι τάδε βεβούλευται καθ' ὑμῶν ἀχιτόφελ. καὶ ἀνέστη δαβὶδ, καὶ πᾶς ὁ λαὸς ὁ μετ' αὐτοῦ, καὶ διέβησαν τὸν ἰορδάνην, ἕως τοῦ φωτὸς τοῦ πρωΐ. ἕως ἑνὸς οὐκ ἔλαθεν, ὃς οὐ διέβη τὸν ἰορδάνην, καὶ ἀχιτόφελ εἶδεν ὅτι οὐκ ἐγενήθη ἡ βουλὴ αὐτοῦ, καὶ ἐπέσαξε τὴν ὄνον αὐτοῦ, καὶ

ἀνέστη, καὶ ἀπῆλθεν εἰς τὸν οἶκον αὐτοῦ καὶ εἰς τὴν πόλιν αὐ-
τοῦ. καὶ ἐνετείλατο τῷ οἴκῳ αὐτοῦ καὶ ἀπήγξατο, καὶ ἀπέθανε, καὶ
ἐτάφη ἐν τῷ τάφῳ τοῦ πατρὸς αὐτοῦ. καὶ δαβὶδ διῆλθεν εἰς μα-
ναὶμ, καὶ ἀβεσαλὼμ διέβη τὸν ἰορδάνην. αὐτὸς καὶ πᾶς ἀνὴρ ἰ-
σραὴλ μετ' αὐτοῦ, καὶ τὸν ἀμεσαὶ κατέστησεν ἀβεσαλὼμ ἀντὶ
ἰωὰβ ἐπὶ τῆς δυνάμεως. καὶ ἀμεσαὶ υἱὸς ἀνδρὸς, καὶ ὄνομα
αὐτῷ ἰεθὲρ ὁ ἰσραηλίτης. οὗτος εἰσῆλθε πρὸς ἀβιγαίαν θυγά-
τερα ἰεσαὶ ἀδελφὴν σαρουίας μητρὸς ἰωὰβ, καὶ παρενέβαλεν
ἀβεσαλὼμ, καὶ πᾶς ἰσραὴλ εἰς τὴν γῆν γαλαάδ. καὶ ἐγένετο
ὅτε εἰσῆλθε δαβὶδ εἰς μαναὶμ, καὶ οὐεσβὶ υἱὸς νάας ἐκ ῥαβ-
βὰθ υἱῶν ἀμμὼν, καὶ μαχεὶρ υἱὸς ἀμιὴλ ὁ ἐκ λαδαβάρ. καὶ βερ-
ζελλὶ ὁ γαλααδίτης ὁ ἐκ ῥωγελλὶμ, ἤνεγκαν δέκα κοίτας ἀμ-
φιτάπους, καὶ λέβητας δέκα, καὶ σκεύη κεράμου καὶ πυροὺς καὶ
κριθὰς, καὶ ἄλευρον. καὶ ἄλφιτον, καὶ κύαμον, καὶ φακὸν, καὶ μέ-
λι, καὶ βούτυρον, καὶ πρόβατα. καὶ σαφφὼθ βοῶν. καὶ προσή-
νεγκαν τῷ δαβὶδ, καὶ τῷ λαῷ μετ' αὐτοῦ φαγεῖν. ὅτι ἦν ὁ λαὸς
πεινῶν, καὶ ἐκλυόμενος, καὶ διψῶν ἐν τῇ ἐρήμῳ.

Κεφάλαιον ιη'. 18.

Αἰ ἐπεσκέψατο δαβὶδ πάντα τὸν λαὸν τὸν μετ' αὐ-
κ τοῦ. καὶ κατέστησεν ἐπ' αὐτῶν χιλιάρχους καὶ ἑκατόν-
τάρχους καὶ ἀπέστειλε δαβὶδ τὸν λαὸν τὸ τρίτον ἐν
χειρὶ ἰωάβ. καὶ τὸ τρίτον ἐν χειρὶ ἀβεσσὰ υἱοῦ σαρουίας ἀδελφοῦ
ἰωὰβ, καὶ τὸ τρίτον ἐν χειρὶ ἐθθὶ τοῦ γεθθαίου, καὶ εἶπε δα-
βὶδ πρὸς τὸν λαὸν, ἐξελθὼν ἐξελεύσομαι καί γε ἐγὼ μεθ' ὑμῶν
καὶ εἶπον οὐκ ἐξελεύσῃ. ὅτι ἐὰν φυγῇ φύγωμεν, οὐ θήσου-
σιν ἐφ' ἡμᾶς καρδίαν. καὶ ἐὰν ἀποθάνωμεν τὸ ἥμισυ ἡμῶν
οὐ θήσουσιν ἐφ' ἡμᾶς καρδίαν. ὅτι σὺ ὡς ἡμεῖς δέκα χιλιά-
δες. καὶ νῦν ἀγαθὸν, ὅτι σὺ ἔσῃ ἡμῖν ἐν τῇ πόλει εἰς βοηθὸν
τοῦ βοηθεῖν. καὶ εἶπεν αὐτοῖς ὁ βασιλεύς. ὃ ἐὰν ἀρέσῃ ἐν ὀ-
φθαλμοῖς ὑμῶν ποιήσω. καὶ ἔστη ὁ βασιλεὺς ἀνὰ χεῖρα τῆς πύλης.

πᾶς ὁ λαὸς ἐξεπορεύετο εἰς ἑκατοντάδας καὶ εἰς χιλιάδας. καὶ ἐνετείλατο ὁ βασιλεὺς τῷ ἰωὰβ καὶ τῷ ἀβεσσὰ καὶ τῷ ἐθθὶ λέγων. φείσασθέ μοι τοῦ παιδαρίου τοῦ ἀβεσσαλώμ. καὶ πᾶς ὁ λαὸς ἤκουσεν ἐντελλομένου τοῦ βασιλέως πᾶσι τοῖς ἄρχουσιν ὑπὲρ ἀβεσσαλώμ. καὶ ἐξῆλθε πᾶς ὁ λαὸς εἰς τὸν δρυμὸν ἐξεναντίας ἰσραήλ. καὶ ἐγένετο ὁ πόλεμος ἐν τῷ δρυμῷ ἐφραίμ καὶ ἔπταισεν ἐκεῖ ὁ λαὸς ἰσραὴλ ἐνώπιον τῶν παίδων δαβίδ. καὶ ἐγένετο ἡ θραῦσις μεγάλη ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ὡς εἴκοσι χιλιάδες ἀνδρῶν. καὶ ἐγένετο ἐκεῖ ὁ πόλεμος διεσπαρμένος ἐπὶ πρόσωπον πάσης τῆς γῆς καὶ ἐπλεόνασεν ὁ δρυμὸς τοῦ καταφαγεῖν ἐκ τοῦ λαοῦ, ὑπὲρ οὓς κατέφαγεν ἡ μάχαιρα ἐν τῷ λαῷ τῇ ἡμέρᾳ ἐκείνῃ. καὶ συνήντησεν ἀβεσσαλὼμ ἐνώπιον τῶν παίδων δαβίδ. καὶ ἀβεσσαλὼμ ἦν ἐπιβεβηκὼς ἐπὶ τοῦ ἡμιόνου αὐτοῦ. καὶ εἰσῆλθεν ἡ ἡμίονος ὑπὸ τὸ δάσος τῆς δρυὸς τῆς μεγάλης. καὶ περιεπλάκη ἡ κεφαλὴ αὐτοῦ ἐν τῇ δρυΐ. καὶ ἐκρεμάσθη ἀνὰ μέσον τοῦ οὐρανοῦ, καὶ ἀνὰ μέσον τῆς γῆς. καὶ ἡ ἡμίονος ὑποκάτω αὐτοῦ παρῆλθε. καὶ εἶδεν ἀνὴρ εἷς, καὶ ἀπήγγειλε τῷ ἰωὰβ καὶ εἶπεν, ἰδοὺ ἑώρακα τὸν ἀβεσσαλὼμ κρεμάμενον ἐν τῇ δρυΐ. καὶ εἶπεν ἰωὰβ τῷ ἀνδρὶ τῷ ἀπαγγέλλοντι αὐτῷ. καὶ ἰδοὺ ἑώρακας, καὶ τί ὅτι οὐκ ἐπάταξας αὐτὸν ἐκεῖ εἰς τὴν γῆν. καὶ ἐγὼ ἔδωκα ἄν σοι πεντήκοντα σίκλους ἀργυρίου, καὶ παραζώνην μίαν. εἶπε δὲ ὁ ἀνὴρ πρὸς ἰωάβ. καὶ ἐὰν σὺ παρισᾷς ἐπὶ τὰς χεῖράς μου, χιλίους σίκλους ἀργυρίου, οὐ μὴ ἐπιβάλω τὴν χεῖρά μου ἐπὶ τὸν υἱὸν τοῦ βασιλέως. ὅτι ἐν τοῖς ὠσὶν ἡμῶν ἐνετείλατο ὁ βασιλεὺς σοὶ καὶ τῷ ἀβεσσᾷ, καὶ τῷ ἐθθὶ λέγων. φυλάξατέ μοι τὸ παιδάριον τὸν ἀβεσσαλώμ. μὴ ποιῆσαι ἐν τῇ ψυχῇ αὐτοῦ ἄδικον. καὶ πᾶς ὁ λόγος οὐ λήσεται ἀπὸ τοῦ βασιλέως. καὶ σὺ στήσῃ ἐξεναντίας, καὶ εἶπεν ἰωάβ. τοῦτο ἐγὼ ἄρξομαι. οὐχ οὕτως μενῶ ἐνώπιόν σου. καὶ ἔλαβεν ἰωὰβ τρία βέλη ἐν τῇ χειρὶ αὐτοῦ, καὶ ἐνέπηξεν αὐτὰ ἐν τῇ καρδίᾳ ἀβεσσαλὼμ ἔτι αὐτοῦ

ζῶντος ἐν τῇ καρδίᾳ τῆς δρυός. καὶ ἐκύκλωσαν δέκα παιδά-
ρια αἴροντα σκεύη ἰωὰβ καὶ ἐπάταξαν τὸν ἀβεσσαλὼμ καὶ ἐθα-
νάτωσαν αὐτόν. καὶ ἐσάλπισεν ἰωὰβ ἐν τῇ κερατίνῃ, καὶ ἀπέ-
στρεψεν ὁ λαὸς τοῦ μὴ διώκειν ὀπίσω ἰσραήλ. ὅτι ἐφείδετο ἰω-
ὰβ τοῦ λαοῦ. καὶ ἔλαβεν ἰωὰβ τὸν ἀβεσσαλὼμ, καὶ ἔρριψεν αὐτὸν
εἰς χάσμα μέγα ἐν τῷ δρυμῷ εἰς τὸν βάθυνον τὸν μέγαν. καὶ ἐ-
στήλωσεν ἐπ' αὐτὸν σωρὸν λίθων μέγαν σφόδρα. καὶ πᾶς ἰσρα-
ὴλ ἔφυγεν ἀνὴρ εἰς τὸ σκήνωμα αὐτοῦ. ἀβεσσαλὼμ δὲ ἔτι ζῶν, ἔ-
λαβε. καὶ ἔστησεν ἑαυτῷ στήλην ἐν ᾗ ἐλήφθη ἐν τῇ κοιλάδι τοῦ
βασιλέως. ὅτι εἶπεν ὅτι οὐκ ἔστιν αὐτῷ υἱὸς ἕνεκα τοῦ ἀναμνῆσαι
τὸ ὄνομα αὐτοῦ. καὶ ἐκάλεσε τῇ στήλῃ ἐπὶ τῷ ὀνόματι αὐτοῦ. καὶ ἐκά-
λεσεν αὐτὴν χεὶρ ἀβεσσαλὼμ, ἕως τῆς ἡμέρας ταύτης. καὶ ἀχιμά-
ας υἱὸς σαδὼκ εἶπε. δράμω δὴ καὶ εὐαγγελιῶ τῷ βασιλεῖ, ὅ-
τι ἔκρινεν αὐτῷ κύριος ἐκ χειρὸς τῶν ἐχθρῶν αὐτοῦ. καὶ εἶπεν
αὐτῷ ἰωάβ. οὐκ ἀνὴρ εὐαγγελίων σὺ ἐν τῇ ἡμέρᾳ ταύτῃ. καὶ εὐ-
αγγελιῇ ἐν ἡμέρᾳ ἄλλῃ. ἐν δὲ τῇ ἡμέρᾳ ταύτῃ, οὐκ εὐαγγελιῇ οὗ εἵ-
νεκεν ὁ υἱὸς τοῦ βασιλέως τέθνηκε. καὶ εἶπεν ἰωὰβ τῷ χουσί.
βαδίσας ἀπάγγειλον τῷ βασιλεῖ ὅσα εἶδες. καὶ προσεκύνησε χου-
σὶ τῷ ἰωάβ, καὶ ἐξῆλθε. καὶ προσέθετο ἔτι ἀχιμάας υἱὸς σαδὼκ
καὶ εἶπε πρὸς ἰωάβ. καὶ ἔστω, ὅτι δράμω δή γε ἐγὼ ὀπίσω τοῦ χου-
σί. καὶ εἶπεν ἰωάβ. ἵνα τί σὺ τοῦτο τρέχεις υἱέ μου. δεῦρο οὐκ ἔστι σοι
εὐαγγέλια εἰς ὠφέλειαν πορευομένῳ. καὶ εἶπεν ἀχιμάας. τί γὰρ
ἐὰν δράμω. καὶ εἶπεν αὐτῷ ἰωάβ. δράμε, καὶ ἔδραμεν ἀχιμά-
ας τὴν ὁδὸν τοῦ κεχάρ, καὶ ὑπερέβη τὸν χουσί. καὶ δαβὶδ ἐκά-
θητο ἀνὰ μέσον τῶν δύο πυλῶν. καὶ ἐπορεύθη ὁ σκοπὸς, εἰς τὸ δῶ-
μα τῆς πύλης πρὸς τὸ τεῖχος. καὶ ἦρε τοὺς ὀφθαλμοὺς αὐτοῦ καὶ
εἶδε. καὶ ἰδοὺ ἀνὴρ τρέχων μόνος ἐνώπιον αὐτοῦ. καὶ ἀνεβόη-
σεν ὁ σκοπὸς καὶ ἀπήγγειλε τῷ βασιλεῖ. καὶ εἶπεν ὁ βασιλεύς,
εἰ μόνος ἐστὶν, εὐαγγελία ἐν τῷ στόματι αὐτοῦ. καὶ ἐπορεύετο
πορευόμενος καὶ ἐγγίζων. καὶ εἶδεν ὁ σκοπὸς ἄνδρα ἕτερον τρέχοντα

καὶ ἀνεβόησε πρὸς τῇ πύλῃ καὶ εἶπεν. καὶ ἰδοὺ ἀνὴρ ἕτερος τρέχων μόνος. καὶ εἶπεν ὁ βασιλεύς· καί γε οὗτος εὐαγγελιζόμενος. καὶ εἶπεν ὁ σκοπός· ἐγὼ ὁρῶ τὸν δρόμον τοῦ πρώτου ὡς δρόμον ἀχιμάας υἱοῦ σαδώκ. καὶ εἶπεν ὁ βασιλεύς· ἀνὴρ ἀγαθὸς οὗτος. καί γε εἰς εὐαγγελίαν ἀγαθὴν ἐλεύσεται καὶ ἐβόησεν ἀχιμάας καὶ εἶπε πρὸς τὸν βασιλέα. εἰρήνη. καὶ προσεκύνησε τῷ βασιλεῖ ἐπὶ πρόσωπον αὐτοῦ ἐπὶ τὴν γῆν καὶ εἶπεν. εὐλογητὸς κύριος ὁ θεός σου ὃς ἀπέκλεισε τοὺς ἄνδρας τοὺς ἐπαραμένους τὴν χεῖρα αὐτῶν ἐπὶ τῷ κυρίῳ μου τῷ βασιλεῖ. καὶ εἶπεν ὁ βασιλεύς. εἰρήνη τῷ παιδαρίῳ τῷ ἀβεσσαλώμ. καὶ εἶπεν ἀχιμάας. εἶδον τὸ πλῆθος τὸ μέγα εὐφραινόμενον ἐν τῷ ἀποστεῖλαι ἰωὰβ τὸν δοῦλον τοῦ βασιλέως καὶ τὸν δοῦλόν σου, καὶ οὐκ ἔγνων τί ἐκεῖ. καὶ εἶπεν ὁ βασιλεύς. ἐπίστρεψον καὶ παράστηθι ὧδε. καὶ ἐπεστράφη καὶ ἐστάθη. καὶ ἰδοὺ χουσὶ ὀπίσω αὐτοῦ παρεγένετο. καὶ εἶπε τῷ βασιλεῖ. εὐαγγελισθήτω ὁ κύριός μου ὁ βασιλεύς, ὅτι ἔκρινέ σοι κύριος σήμερον ἐκ χειρὸς πάντων τῶν ἐπεγειρομένων ἐπὶ σέ. καὶ εἶπεν ὁ βασιλεὺς πρὸς τὸν χουσί. εἰρήνη τῷ παιδαρίῳ τῷ ἀβεσσαλώμ. καὶ εἶπεν ὁ χουσί. γένοιτο ὡς τὸ παιδάριον οἱ ἐχθροὶ τοῦ κυρίου μου τοῦ βασιλέως. καὶ πάντες ὅσοι ἐπανέστησαν ἐπ' αὐτὸν εἰς κακά. καὶ ἐταράχθη ὁ βασιλεὺς καὶ ἀνέβη εἰς τὸ ὑπερῷον τῆς πύλης καὶ ἔκλαυσε. καὶ οὕτως εἶπεν ἐν τῷ κλαίειν αὐτόν. υἱέ μου ἀβεσσαλώμ υἱέ μου υἱέ μου ἀβισσαλώμ. τίς δῴη τὸν θάνατόν μου ἀντὶ σοῦ. ἐγὼ ἀντὶ σοῦ ἀβεσσαλώμ. υἱέ μου υἱέ μου ἀβεσσαλὼμ υἱέ μου.

Κεφάλαιον ιθ. 19.

Καὶ ἀνηγγέλη τῷ ἰωὰβ λέγοντες, ἰδοὺ ὁ βασιλεὺς
* κλαίει καὶ πενθεῖ ἐπὶ ἀβεσσαλώμ. καὶ ἐγένετο ἡ σωτηρία ἐν τῇ ἡμέρᾳ ἐκείνῃ εἰς πένθος παντὶ τῷ λαῷ ὅτι ἤκουσεν ὁ λαὸς ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, λεγόντων, ὅτι λυπεῖται ὁ βασιλεὺς ἐπὶ τῷ υἱῷ αὐτοῦ. καὶ διεκλέπτετο ὁ λαὸς ἐν τῇ ἡμέρᾳ ἐκ

κείνῃ τοῦ εἰσελθεῖν εἰς τὴν πόλιν καθὼς διακλέπτεται ὁ λαὸς οἱ
αἰσχυνόμενοι ἐν τῷ αὐτοὺς φεύγειν ἐκ τοῦ πολέμου καὶ ὁ βασι-
λεὺς ἔκρυψε τὸ πρόσωπον αὐτοῦ, καὶ ἔκραξεν ὁ βασιλεὺς ἐν φω-
νῇ μεγάλῃ, λέγων· υἱέ μου ἀβεσσαλώμ· ἀβεσσαλὼμ υἱέ μου. καὶ
εἰσῆλθεν ἰωὰβ πρὸς τὸν βασιλέα εἰς τὸν οἶκον καὶ εἶπε· κατῄσχυ-
νας σήμερον τὰ πρόσωπα πάντων τῶν δούλων σου τῶν ἐξαι-
ρουμένων σε καὶ σήμερον καὶ τὴν ψυχὴν τῶν υἱῶν σου καὶ τῶν
θυγατέρων σου καὶ τὴν ψυχὴν τῶν γυναικῶν σου καὶ τῶν παλ-
λακῶν σου τοῦ ἀγαπᾶν τοὺς μισοῦντάς σε καὶ μισεῖν τοὺς ἀγαπῶν-
τάς σε. καὶ ἀνήγγειλας σήμερον· ὅτι οὐκ εἰσὶν οἱ ἄρχοντές σου οὐδὲ
οἱ παῖδες. ὅτι ἔγνωκας σήμερον. ὅτι εἰ ἀβεσσαλὼμ ἔζη, καὶ πάν-
τες ἡμεῖς σήμερον νεκροί, ὅτι τοῦτο εὐθὲς ἦν ἐν ὀφθαλμοῖς σου.
καὶ νῦν ἀναστὰς ἔξελθε καὶ λάλησον εἰς τὰς καρδίας τῶν δού-
λων σου, ὅτι ἐν κυρίῳ ὤμοσα, ὅτι εἰ μὴ ἐκπορεύσῃ σήμερον
εἰ αὐλισθήσεται ἀνὴρ μετὰ σοῦ τὴν νύκτα ταύτην. καὶ ἐπίγνω-
θι σεαυτῷ, ὅτι κακόν σοι τοῦτο, ὑπὲρ πᾶν τὸ κακὸν τὸ ἐπελθόν
σοι ἐκ νεότητός σου ἕως τοῦ νῦν. καὶ ἀνέστη ὁ βασιλεὺς καὶ ἐκάθι-
σεν ἐν τῇ πύλῃ, καὶ πᾶς ὁ λαὸς ἀνήγγειλαν λέγοντες. ἰδοὺ ὁ
βασιλεὺς κάθηται ἐν τῇ πύλῃ. καὶ εἰσῆλθε πᾶς ὁ λαὸς κατὰ πρό-
σωπον τοῦ βασιλέως. εἰς τὴν πύλην καὶ ἰσραὴλ ἔφυγεν ἀνὴρ
εἰς τὸ σκήνωμα αὐτοῦ. καὶ ἦν πᾶς ὁ λαὸς διακεινόμενος ἐν πά-
σαις φυλαῖς ἰσραὴλ λέγοντες. ὁ βασιλεὺς δαβὶδ ἐρρύσατο ἡ-
μᾶς ἀπὸ πάντων τῶν ἐχθρῶν ἡμῶν. καὶ αὐτὸς ἐξείλετο ἡμᾶς ἐκ
χειρὸς ἀλλοφύλων. καὶ νῦν πέφευγεν, ἀπὸ τῆς γῆς καὶ ἀπὸ τῆς βα-
σιλείας αὐτοῦ ὑπὸ ἀβεσσαλώμ. καὶ ἀβεσσαλὼμ ὃν ἐχρίσαμεν
ἐφ᾽ ἡμῶν, ἀπέθανεν ἐν τῷ πολέμῳ. καὶ νῦν, ἵνα τί ὑμεῖς κωφεύε-
τε τοῦ ἐπιστρέψαι τὸν βασιλέα. καὶ τὸ ῥῆμα παντὸς ἰσραὴλ ἦλθε
πρὸς τὸν βασιλέα. καὶ ὁ βασιλεὺς δαβὶδ ἀπέστειλε πρὸς σαδὼκ
καὶ πρὸς ἀβιάθαρ τοὺς ἱερεῖς λέγων. λαλήσατε πρὸς τοὺς πρεσβυ-
τέρους ἰούδα λέγοντες. ἵνα τί γίνεσθε ἔσχατοι τοῦ ἐπιστρέψαι τὸν

βασιλέα εἰς τὸν οἶκον αὐτοῦ. καὶ ὁ λόγος παντὸς ἰσραὴλ ἦλθε
πρὸς τὸν βασιλέα εἰς τὸν οἶκον αὐτοῦ. ἀδελφοί μου ὑμεῖς. ὀστᾶ μου
καὶ σάρκες μου ὑμεῖς. καὶ ἵνα τί γίνεσθε ἔσχατοι τοῦ ἐπιστρέψαι
τὸν βασιλέα εἰς τὸν οἶκον αὐτοῦ. καὶ τῷ ἀμεσαῒ ἐρεῖτε. οὐχὶ ὀ-
στοῦν μου καὶ σάρξ μου σύ; καὶ νῦν τάδε ποιήσαι μοι ὁ θεὸς, καὶ
τάδε προσθείη, εἰ μὴ ἄρχων δυνάμεως ἔσῃ ἐνώπιον ἐμοῦ. πά-
σας τὰς ἡμέρας ἀντὶ ἰωὰβ. καὶ ἔκλινε τὴν καρδίαν παντὸς ἀν-
δρὸς ἰούδα, ὡς ἀνδρὸς ἑνός. καὶ ἀπέστειλαν πρὸς τὸν βασιλέα λέ-
γοντες. ἐπιστράφηθι σὺ καὶ πάντες οἱ δοῦλοί σου. καὶ ἐπέστρε-
ψεν ὁ βασιλεὺς καὶ ἦλθεν ἕως τοῦ ἰορδάνου. καὶ ἄνδρες ἰούδα ἦλθον
εἰς γάλγαλα. τοῦ πορεύεσθαι εἰς ἀπάντησιν τοῦ βασιλέως δια-
περάσαι τὸν ἰορδάνην τὸν βασιλέα. καὶ ἐτάχυνε σεμεῒ υἱὸς γη-
ρά. υἱὸς τοῦ ἰεμινεῒ ἐκ βαθουρείμ. καὶ κατέβη μετὰ ἀνδρὸς ἰούδα,
εἰς ἀπάντησιν τοῦ βασιλέως δαβίδ. καὶ χίλιοι ἄνδρες μετ᾽ αὐτοῦ
ἐκ τοῦ βενιαμίν. καὶ σιβὰ τὸ παιδάριον τοῦ οἴκου σαοὺλ, καὶ πεν-
τεκαίδεκα υἱοὶ αὐτοῦ μετ᾽ αὐτοῦ καὶ εἴκοσι δοῦλοι αὐτοῦ, μετ᾽
αὐτοῦ. καὶ κατηύθυναν τὸν ἰορδάνην ἔμπροσθεν τοῦ βασιλέως.
καὶ ἐλειτούργησαν τὴν λειτουργίαν τοῦ διαβιβάσαι τὸν βασιλέα
καὶ διέβη ἡ διάβασις τοῦ ἐξεγεῖραι τὸν οἶκον τοῦ βασιλέως. καὶ
τοῦ ποιῆσαι τὸ εὐθὲς ἐν ὀφθαλμοῖς αὐτοῦ. καὶ σεμεῒ υἱὸς γηρά.
ἔπεσεν ἐπὶ πρόσωπον αὐτοῦ ἐνώπιον τοῦ βασιλέως διαβαίνον-
τος αὐτοῦ τὸν ἰορδάνην. καὶ εἶπε πρὸς τὸν βασιλέα. μὴ δὴ λογισέ-
σθω ὁ κύριός μου ὁ βασιλεὺς ἀνομίαν. καὶ μὴ μνησθῇς ὅσα ἠδί-
κησεν ὁ παῖς σου ἐν τῇ ἡμέρᾳ ᾗ ἐξεπορεύετο ὁ κύριός μου ὁ βα-
σιλεὺς ἐξ ἱερουσαλὴμ τοῦ θέσθαι τὸν βασιλέα εἰς τὴν καρδίαν αὐ-
τοῦ, ὅτι ἔγνω ὁ δοῦλός σου, ὅτι ἐγὼ ἥμαρτον. καὶ ἰδοὺ ἐγὼ
ἦλθον σήμερον πρότερος παντὸς ἰσραὴλ καὶ οἴκου ἰωσὴφ, τοῦ κα-
ταβῆναί με εἰς ἀπάντησιν τοῦ κυρίου μου τοῦ βασιλέως. καὶ ἀπεκρίθη
ἀβεσσαὲ υἱὸς σαρουίας, καὶ εἶπε. μὴ ἀντὶ τούτου οὐ θανατωθήσεται
σεμεῒ, ὅτι κατηράσατο τὸν χριστὸν τοῦ κυρίου. καὶ εἶπε δαβίδ. τί ἐμοὶ καὶ

ὑμῖν υἱοὶ σαρουΐας, ὅτι γίνεσθέ μοι σήμερον εἰς ἐπίβουλον· σήμερον οὐ θανατωθήσεταί τις ἀνὴρ ἐξ ἰσραήλ, ὅτι οὐκ οἶδα εἰ σήμερον βασιλεύσω ἐγὼ ἐπὶ τὸν ἰσραήλ. καὶ εἶπεν ὁ βασιλεὺς πρὸς σεμεΐ· οὐ μὴ ἀποθάνῃς· καὶ ὤμοσεν αὐτῷ ὁ βασιλεύς. καὶ ἰδοὺ μεμφιβοσθὲ υἱὸς ἰωνάθαν υἱοῦ σαοὺλ, κατέβη εἰς ἀπαντὴν τοῦ βασιλέως· καὶ οὐκ ἐθεράπευσε τοὺς πόδας αὐτοῦ, οὐ δὲ ὠνυχίσατο· οὐ δὲ ἐποίησε τὸν μύστακα αὐτοῦ· καὶ τὰ ἱμάτια αὐτοῦ, οὐκ ἀπέπλυνεν ἀπὸ τῆς ἡμέρας ἧς ἀπῆλθεν ὁ βασιλεὺς, ἕως τῆς ἡμέρας ἧς αὐτὸς παρεγένετο ἐν εἰρήνῃ. καὶ ἐγένετο ὅτε εἰσῆλθεν εἰς ἱερουσαλὴμ εἰς ἀπάντησιν τοῦ βασιλέως, καὶ εἶπεν αὐτῷ ὁ βασιλεύς· τί· ὅτι οὐκ ἐπορεύθης μετ' ἐμοῦ μεμφιβοσθέ; καὶ εἶπε πρὸς αὐτὸν μεμφιβοσθέ· κύριέ μου βασιλεῦ· ὁ δοῦλός μου παρελογίσατό με, ὅτι εἶπεν ὁ παῖς σου αὐτῷ, ἐπίσαξόν μοι τὴν ὄνον καὶ ἐπιβῶ ἐπ' αὐτὴν, καὶ πορεύσομαι μετὰ τοῦ βασιλέως· ὅτι χωλὸς ὁ δοῦλός σου· καὶ μεθώδευσεν ἐν τῷ δούλῳ σου πρὸς τὸν κύριόν μου τὸν βασιλέα· καὶ ὁ κύριός μου ὁ βασιλεὺς, ὡς ἄγγελος τοῦ θεοῦ· καὶ ποίησον τὸ ἀγαθὸν ἐν ὀφθαλμοῖς σου. ὅτι οὐκ ἦν πᾶς ὁ οἶκος τοῦ πατρός μου· ὅτι ἀλλ' ἢ ἄνδρες θανάτου τῷ κυρίῳ μου τῷ βασιλεῖ· καὶ ἔθηκας τὸν δοῦλόν σου ἐν τοῖς ἐσθίουσι τὴν τράπεζάν σου· καὶ τί ἐστι μοι ἔτι δικαίωμα· καὶ τοῦ κεκραγέναι με ἔτι πρὸς τὸν βασιλέα· καὶ εἶπεν αὐτῷ ὁ βασιλεύς· ἵνα τί λαλεῖς ἔτι τοὺς λόγους σου· εἶπόν σοι· καὶ σιβὰ διελεῖσθε τὸν ἀγρόν· καὶ εἶπε μεμφιβοσθὲ πρὸς τὸν βασιλέα· καί γε τὰ πάντα λαβέτω μετὰ τὸ παραγενέσθαι τὸν κύριόν μου τὸν βασιλέα ἐν εἰρήνῃ εἰς τὸν οἶκον αὐτοῦ. καὶ βερζελλὶ ὁ γαλααδίτης, κατέβη ἐκ ῥωγελλὶμ, καὶ διέβη μετὰ τοῦ βασιλέως τὸν ἰορδάνην τοῦ προεκπέμψαι αὐτὸν τὸν ἰορδάνην. καὶ βερζελλὶ, ἀνὴρ πρεσβύτης σφόδρα· υἱὸς ὀγδοήκοντα ἐτῶν· καὶ αὐτὸς διέθρεψε τὸν βασιλέα, ἐν τῷ οἰκεῖν αὐτὸν ἐν μαναΐμ· ὅτι ἀνὴρ μέγας ἦν σφόδρα· καὶ εἶπεν ὁ βασιλεὺς πρὸς βερζελλί· σὺ διαβήσῃ μετ' ἐμοῦ· καὶ διαθρέψω

τὸ γῆράς σου μετ' ἐμοῦ ἐν ἱερουσαλήμ. καὶ εἶπε βερζελλὶ πρὸς
τὸν βασιλέα. πόσαι ἡμέραι ἐτῶν ζωῆς μου, ὅτι ἀναβήσομαι με-
τὰ τοῦ βασιλέως εἰς ἱερουσαλήμ. υἱὸς ὀγδοήκοντα ἐτῶν ἐγώ
εἰμι σήμερον. μὴ γνώσομαι ἀνὰ μέσον ἀγαθοῦ καὶ ἀνὰ μέσον πο-
νηροῦ; ἢ γνώσεται ἔτι ὁ δοῦλός σου ὃ φάγομαι ἢ ὃ πίομαι. ἢ ἀκού-
σομαι ἔτι φωνὴν ᾀδόντων, ἢ ᾀδουσῶν, καὶ ἱνατὶ ἔσται ἔτι ὁ δοῦλός
σου εἰς φορτίον ἐπὶ τὸν κύριόν μου τὸν βασιλέα. ὡς βραχὺ δια-
βήσεται ὁ δοῦλός σου τὸν ἰορδάνην μετὰ τοῦ βασιλέως. καὶ ἱνατὶ
ἀνταποδίδωσί μοι ὁ βασιλεὺς τὴν ἀνταπόδοσιν ταύτην.
καθισάτω δὴ ὁ δοῦλός σου καὶ ἀποθανοῦμαι ἐν τῇ πόλει μου
παρὰ τῷ τάφῳ τοῦ πατρός μου καὶ τῆς μητρός μου. καὶ ἰδοὺ ὁ
δοῦλός σου χαμαὰμ ὁ υἱός μου, διαβήσεται μετὰ τοῦ κυρίου
μου τοῦ βασιλέως καὶ ποίησον αὐτῷ τὸ ἀγαθὸν ἐν ὀφθαλμοῖς σου.
καὶ εἶπεν ὁ βασιλεύς. μετ' ἐμοῦ δὴ διαβήτω χαμαὰμ. καὶ ἐγὼ
ποιήσω τὸ ἀγαθὸν ἐν ὀφθαλμοῖς μου. καὶ πάντα ὅσα ἂν ἐκλέξῃ
ἐπ' ἐμοί, ποιήσω σοι. καὶ διέβη πᾶς ὁ λαὸς τὸν ἰορδάνην. καὶ ὁ βα-
σιλεὺς διέβη. καὶ κατεφίλησεν ὁ βασιλεὺς τὸν βερζελλί. καὶ εὐλό-
γησεν αὐτόν, καὶ ἐπέστρεψεν εἰς τὸν οἶκον αὐτοῦ. καὶ διέβη ὁ βασι-
λεὺς εἰς γάλγαλα. καὶ χαμαὰμ διέβη μετ' αὐτοῦ. καὶ πᾶς ὁ λαὸς
ἰούδα διαβαίνοντες μετὰ τοῦ βασιλέως. καί γε τὸ ἥμισυ τοῦ λαοῦ
ἰσραήλ. καὶ ἰδοὺ πᾶς ἀνὴρ ἰσραήλ, παρεγένοντο πρὸς τὸν βασι-
λέα. καὶ εἶπον πρὸς τὸν βασιλέα. τί ὅτι ἔκλεψάν σε οἱ ἀδελφοὶ
ἡμῶν ἀνὴρ ἰούδα καὶ διεβίβασαν τὸν βασιλέα καὶ τὸν οἶκον αὐτοῦ
τὸν ἰορδάνην. καὶ πάντες ἄνδρες δαβὶδ μετ' αὐτοῦ. καὶ ἀπεκρί-
θη πᾶς ἀνὴρ ἰσραὴλ τῷ ἀνδρὶ ἰούδα. καὶ εἶπον. διότι ἐγγίζει
πρός με ὁ βασιλεύς. καὶ ἱνατὶ οὕτως ἐθυμώθης περὶ τοῦ λόγου τού-
του. μὴ βρῶσιν ἐφάγομεν ἐκ τοῦ βασιλέως. ἢ δόμα δέδωκεν, ἢ
ἄρσιν ἦρεν ἡμῖν; καὶ ἀπεκρίθη ἀνὴρ ἰσραὴλ τῷ ἀνδρὶ ἰούδα καὶ
εἶπεν. δέκα χεῖρές μοι ἐν τῷ βασιλεῖ. καὶ πρωτότοκος ἐγώ. ἢ
σύ. καί γε ἐν τῷ δαβὶδ εἰμὶ ὑπὲρ σέ. καὶ ἱνατὶ τοῦτο ὕβρισάς

μέ, καὶ οὐκ ἐλογίσθη ὁ λόγος μου πρῶτος ἐμοῦ τοῦ ἰούδα ἐπιστρέψαι τὸν βασιλέα ἐμοί. καὶ ἐσκληρύνθη ὁ λόγος ἀνδρὸς ἰούδα, ὑπὲρ τὸν λόγον ἀνδρὸς ἰσραήλ. Κεφ. κʹ. 20.

κ Αἰ ἐκεῖ ἐπικαλούμενος υἱὸς παράνομος, καὶ ὄνομα αὐτῷ σαβεέ. υἱὸς βοχορὶ ἀνὴρ ἰεμιναῖος, καὶ ἐσάλπισεν ἐν τῇ κερατίνῃ καὶ εἶπεν. οὐκ ἔστιν ἡμῖν μερὶς ἐν τῷ δαβίδ, οὐ δὲ κληρονομία ἡμῖν ἐν υἱῷ ἰεσσαί. ἀνὴρ εἰς τὰ σκηνώματά σου ἰσραήλ. καὶ ἀνέβη πᾶς ἀνὴρ ἰσραὴλ ἀπὸ ὄπισθεν δαβὶδ ὀπίσω σαβεὲ υἱοῦ βοχορί. καὶ ἀνὴρ ἰούδα, ἐκολλήθη τῷ βασιλεῖ αὐτῶν ἀπὸ τοῦ ἰορδάνου, καὶ ἕως ἱερουσαλήμ. καὶ εἰσῆλθε δαβὶδ εἰς τὸν οἶκον αὐτοῦ ἱερουσαλήμ. καὶ ἔλαβεν ὁ βασιλεὺς τὰς δέκα γυναῖκας τὰς παλλακὰς αὐτοῦ ἃς ἀφῆκε φυλάσσειν τὸν οἶκον, καὶ ἔδωκεν αὐτὰς ἐν οἴκῳ φυλακῆς. καὶ διέθρεψεν αὐτὰς, καὶ πρὸς αὐτὰς οὐκ εἰσῆλθε. καὶ ἦσαν συνεχόμεναι ἕως ἡμέρας θανάτου αὐτῶν χῆραι ζῶσαι. καὶ εἶπεν ὁ βασιλεὺς πρὸς ἀμεσσαΐ. βόησόν μοι τὸν ἄνδρα ἰούδα τρεῖς ἡμέρας. σὺ δὲ αὐτοῦ στῆθι, καὶ ἐπορεύθη ἀμεσσαῒ τοῦ βοῆσαι τὸν ἰούδαν, καὶ ἐχρόνισεν ἀπὸ τοῦ καιροῦ οὗ ἐτάξατο αὐτῷ δαβίδ. καὶ εἶπε δαβὶδ πρὸς ἀμεσσαΐ. νῦν κακοποιήσει ἡμᾶς σαβεὲ, υἱὸς βοχορὶ ὑπὲρ ἀβεσσαλώμ. καὶ νῦν σὺ λάβε μετὰ σεαυτοῦ τοὺς παῖδας τοῦ κυρίου σου, καὶ καταδίωξον ὀπίσω αὐτοῦ, μή ποτε ἑαυτῷ εὕρῃ πόλεις ὀχυρὰς, καὶ σκιάσει τοὺς ὀφθαλμοὺς ἡμῶν. καὶ ἐξῆλθον ὀπίσω αὐτοῦ ἀβεσσαῒ καὶ οἱ ἄνδρες ἰωὰβ, καὶ ὁ χερεθθὶ καὶ ὁ φελεθθί. καὶ πάντες οἱ δυνατοὶ, καὶ ἐξῆλθον ἐξ ἱερουσαλὴμ διῶξαι ὀπίσω σαβεὲ υἱοῦ βοχορί. καὶ αὐτοὶ παρὰ τῷ λίθῳ τῷ μεγάλῳ, τῷ ἐν γαβαών. καὶ ἀμεσσαῒ εἰσῆλθεν ἔμπροσθεν αὐτῶν, καὶ ἰωὰβ περιεζωσμένος μανδύαν τὸ ἔνδυμα αὐτοῦ, καὶ ἐπ' αὐτῷ ἐζωσμένος μάχαιραν ἐζευγμένην ἐπὶ τῆς ὀσφύος αὐτοῦ ἐν κολεῷ αὐτῆς. καὶ ἡ μάχαιρα ἐξῆλθε, καὶ ἔπεσε. καὶ εἶπεν ἰωὰβ τῷ ἀμεσσαΐ. εἰ ὑγιαίνεις σὺ ἀδελφέ; καὶ κατέσχεν ἡ

χεὶρ ἡ δεξιὰ ἰωὰβ τοῦ πώγωνος ἀμεσαῒ τοῦ καταφιλῆσαι αὐτόν. καὶ ἀμεσαῒ οὐκ ἐφυλάξατο τὴν μάχαιραν τὴν ἐν τῇ χειρὶ ἰωάβ καὶ ἔπαισεν αὐτὸν ἐν αὐτῇ ἰωὰβ εἰς τὴν ψόαν, καὶ ἐξεχύθη ἡ κοιλία αὐτοῦ ἐπὶ τὴν γῆν. καὶ οὐκ ἐδευτέρωσεν αὐτὸν καὶ ἀπέθανε. καὶ ἰωὰβ καὶ ἀβεσσὰ ὁ ἀδελφὸς αὐτοῦ, ἐδίωξεν ὀπίσω σαβεὲ υἱοῦ βοχορί. καὶ ἀνὴρ ἔστη ἐπ' αὐτὸν τῶν παιδαρίων ἰωὰβ καὶ εἶπε. τίς ὁ βουλόμενος ἰωάβ. καὶ τίς τοῦ δαβὶδ ὀπίσω ἰωάβ. καὶ ἀμεσαῒ τεθνηκὼς πεφυρμένος ἐν τῷ αἵματι ἐν μέσῳ τῆς τρίβου. καὶ εἶδεν ἀνὴρ ἰσραὴλ, ὅτι εἱστήκει πᾶς ὁ λαὸς, καὶ ἀπέστρεψε τὸν ἀμεσαῒ ἐκ τῆς τρίβου εἰς τὸν ἀγρόν. καὶ ἐπέρριψεν ἐπ' αὐτὸν ἱμάτιον καθότι εἶδεν, ὅτι πᾶς ὁ ἐρχόμενος ἐπ' αὐτὸν ἵστατο. καὶ ἐγένετο ὅτε μετέστη ἐκ τῆς τρίβου. παρῆλθε πᾶς ἀνὴρ ἰσραὴλ ὀπίσω ἰωάβ, τοῦ διῶξαι ὀπίσω σαβεὲ υἱοῦ βοχωρί. καὶ διῆλθεν ἐν πάσαις φυλαῖς ἰσραὴλ εἰς ἐβὲλ καὶ εἰς βαιθμαχᾶ. καὶ πάντας ἐν χαῤῥί. καὶ πᾶσαι αἱ πόλεις ἐξεκκλησιάσθησαν, καὶ ἦλθον κατόπισθεν αὐτοῦ, καὶ παρεγενήθησαν καὶ ἐπολιόρκουν ἐπ' αὐτὸν ἐνεβὲλ καὶ φερμαχᾶ. καὶ ἐξέχεαν πρόσχωμα πρὸς τὴν πόλιν. καὶ ἔστη ἐν τῷ προτειχίσματι. καὶ πᾶς ὁ λαὸς ὁ μετὰ ἰωὰβ ἐνενοοῦσαν καταβαλεῖν τὸ τεῖχος. καὶ ἐβόησε γυνὴ σοφὴ ἐκ τοῦ τείχους καὶ εἶπεν. ἀκούσατε. ἀκούσατε. εἴπατε πρὸς ἰωάβ. ἔγγισον ἕως ὧδε καὶ λαλήσω πρὸς αὐτόν. καὶ προσήγγισε πρὸς αὐτήν. καὶ εἶπεν ἡ γυνή, εἰ σὺ εἶ ἰωάβ. ὁ δὲ, εἶπεν. ἐγώ. εἶπε δὲ αὐτῷ. ἄκουσον τοὺς λόγους τῆς δούλης σου, καὶ εἶπεν ἰωάβ. ἀκούω ἐγώ εἰμι. καὶ εἶπε λέγουσα. λόγον ἐλάλησαν ἐν πρώτοις λέγοντες. ἠρωτημένος ἠρωτήθη ἐν τῇ ἐβὲλ καὶ ἐν δάν. εἰ ἐξέλιπον ἃ ἔθεντο οἱ πιστοὶ τοῦ ἰσραήλ. ἐρωτῶντες ἐπερωτῶσιν ἐν ἐνέβελ. καὶ οὕτως εἶπεν εἰ ἐξέλιπον ἐγώ εἰμι. εἰρηνικὰ τῶν στηριγμάτων ἰσραήλ. σὺ δὲ ζητεῖς θανατῶσαι πόλιν καὶ μητρόπολιν ἐν ἰσραήλ. καὶ ἵνα τί καταποντίζεις κληρονομίαν κυρίου. καὶ ἀπεκρίθη ἰωὰβ καὶ εἶπεν. ἵλεώς μοι ἵλε-

ὅς μοι εἰ καταποντιῶ καὶ εἰ διαφθερῶ. οὐχ οὕτως ὁ λόγος,
ὅτι ἀνὴρ ἐξ ὄρους ἐφραὶμ σαβεὲ υἱὸς βοχωρὶ ὄνομα αὐτῷ. καὶ
ἐπῆρε τὴν χεῖρα αὐτοῦ ἐπὶ τὸν βασιλέα δαβίδ. δότε αὐτόν
μοι μόνον καὶ ἀπελεύσομαι ἐπάνωθεν τῆς πόλεως. καὶ εἶπεν
ἡ γυνὴ πρὸς ἰωάβ. ἰδοὺ ἡ κεφαλὴ αὐτοῦ ῥιφήσεται πρός σε
διὰ τοῦ τείχους. καὶ εἰσῆλθεν ἡ γυνὴ πρὸς πάντα τὸν λαὸν, καὶ
ἐλάλησε πρὸς πᾶσαν τὴν πόλιν ἐν τῇ σοφίᾳ αὐτῆς, ἀφελεῖν τὴν
κεφαλὴν σαβεὲ υἱοῦ βοχωρί. καὶ ἀφαιροῦσι τὴν κεφαλὴν σαβεὲ
υἱοῦ βοχωρὶ, καὶ ῥίπτουσιν αὐτὴν πρὸς ἰωάβ. καὶ ἐσάλπισεν ἐν
κερατίνῃ. καὶ διεσπάρησαν ἀπὸ τῆς πόλεως ἀπ' αὐτοῦ ἀνὴρ εἰς
τὰ σκηνώματα αὐτοῦ. καὶ ἰωὰβ ἀπέστρεψεν εἰς ἱερουσαλὴμ πρὸς
τὸν βασιλέα. καὶ ὁ ἰωὰβ ἐπὶ πάσῃ τῇ δυνάμει ἰσραήλ. καὶ βα-
ναίας υἱὸς ἰωδαὲ ἐπὶ τοῦ χερεθθί. καὶ τοῦ φελεθθί. καὶ ἀδωνιρὰμ
ἐπὶ τοῦ φόρου. καὶ ἰωσαφὰτ υἱὸς ἀχιλοὺθ, ἀναμιμνήσκων. καὶ σου-
σᾶ γραμματεὺς, καὶ σαδὼχ καὶ ἀβιάθαρ ἱερεῖς. καὶ γε ἴρας ὁ ἰα-
ρεὶν ἦν ἱερεὺς τοῦ δαβίδ.

Κεφάλαιον. κα. 21.

Αἰ ἐγένετο λιμὸς ἐν ταῖς ἡμέραις δαβὶδ τρία ἔτη,
κ ἐνιαυτὸς ἐχόμενος ἐνιαυτοῦ. καὶ ἐζήτησε δαβὶδ τὸ
πρόσωπον κυρίου. καὶ εἶπε κύριος ἐπὶ σαοὺλ καὶ
ἐπὶ τὸν οἶκον αὐτοῦ ἡ ἀδικία ἐν θανάτῳ αἱμάτων αὐτοῦ περὶ
οὗ ἐθανάτωσε τοὺς γαβαωνίτας. καὶ ἐκάλεσεν ὁ βασιλεὺς δα-
βὶδ τοὺς γαβαωνίτας. καὶ εἶπε πρὸς αὐτούς. καὶ οἱ γαβαωνῖται,
οὐχὶ υἱοὶ ἰσραὴλ εἰσίν, ὅτι ἀλλ' ἢ ἐκ τοῦ αἵματος τοῦ ἀμορραίου. καὶ
οἱ υἱοὶ ἰσραὴλ ὤμοσαν αὐτοῖς, καὶ ἐζήτησε σαοὺλ πατάξαι αὐτοὺς
ἐν τῷ ζηλῶσαι αὐτὸν τοὺς υἱοὺς ἰσραὴλ καὶ ἰούδα. καὶ εἶπε δαβὶδ
πρὸς τοὺς γαβαωνίτας. τί ποιήσω ὑμῖν. καὶ ἐν τίνι ἐξιλάσομαι
καὶ εὐλογήσετε τὴν κληρονομίαν κυρίου. καὶ εἶπον αὐτῷ οἱ γα-
βαωνῖται. οὐκ ἔστιν ἡμῖν ἀργύειον ἢ χρυσίον μετὰ σαοὺλ καὶ μετὰ
τοῦ οἴκου αὐτοῦ, καὶ οὐκ ἔστιν ἡμῖν ἀνὴρ θανατώσεως ἐκ παντὸς ἰσραήλ.

καὶ εἶπε· τί ὑμεῖς λέγετε καὶ ποιήσω ὑμῖν. καὶ εἶπαν πρὸς τὸν βασιλέα· ὁ ἀνὴρ ὃς συνετέλεσεν ἡμᾶς καὶ ἐδίωξεν ἡμᾶς ὃς παρελογίσατο ἐξολοθρεῦσαι ἡμᾶς ἀφανίσωμεν αὐτὸν τοῦ μὴ ἑστάναι αὐτὸν ἐν παντὶ ὁρίῳ ἰσραήλ. δότε ἡμῖν ἑπτὰ ἄνδρας ἐκ τῶν υἱῶν αὐτοῦ· καὶ ἐξηλιάσωμεν αὐτοὺς τῷ κυρίῳ ἐν τῷ γαβαὼν σαοὺλ ἐκλεκτοὺς κυρίου· καὶ εἶπεν ὁ βασιλεὺς ἐγὼ δώσω. καὶ ἐφείσατο ὁ βασιλεὺς ἐπὶ μεμφιβοσθὲ υἱὸν ἰωνάθαν υἱοῦ σαούλ, διὰ τὸν ὅρκον κυρίου τὸν ἀνὰ μέσον αὐτῶν καὶ ἀνὰ μέσον δαβίδ. καὶ ἀνὰ μέσον ἰωνάθαν υἱοῦ σαούλ. καὶ ἔλαβεν ὁ βασιλεὺς τοὺς δύο υἱοὺς ῥεσφὰ θυγατρὸς αἰᾶ, παλλακῆς σαούλ οὓς ἔτεκε τῷ σαούλ· τὸν ἐρμωνεὶ καὶ τὸν μεμφιβοσθὲ καὶ τοὺς πέντε υἱοὺς, τῆς μελχὸλ θυγατρὸς σαούλ οὓς ἔτεκε τῷ ἐσδρί· υἱῷ βερζελλὶ τοῦ μαουλαθί· καὶ ἔδωκεν αὐτοὺς ἐν χειρὶ τῶν γαβαωνιτῶν· καὶ ἐξηλίασαν αὐτοὺς ἐν τῷ ὄρει ἐναντίον κυρίου· καὶ ἔπεσον ἐκεῖ οἱ ἑπτὰ ἐπὶ τὸ αὐτό· αὐτοὶ δὲ ἐθανατώθησαν ἐν ἡμέραις θερισμοῦ ἐν πρώτοις· ἐν ἀρχῇ θερισμοῦ κριθῶν· καὶ ἔλαβε ῥεσφὰ θυγάτηρ αἰᾶ τὸν σάκκον καὶ διέστρωσεν αὐτὸν ἑαυτῇ ἐπὶ τὴν πέτραν ἐν ἀρχῇ θερισμοῦ κριθῶν, ἕως ἔσταξεν ἐπ' αὐτοὺς ὕδατα θεοῦ ἐκ τοῦ οὐρανοῦ· καὶ οὐκ ἔδωκε τὰ πετεινὰ τοῦ οὐρανοῦ καταπαῦσαι ἐπ' αὐτοὺς ἡμέρας· καὶ τὰ θηρία τοῦ ἀγροῦ νυκτός· καὶ ἀνηγγέλη τῷ δαβὶδ πάντα ἃ ἐποίησε ῥεσφὰ θυγάτηρ αἰᾶ παλλακὴ σαούλ· καὶ ἐπορεύθη δαβὶδ καὶ ἔλαβε τὰ ὀστᾶ σαούλ καὶ τὰ ὀστᾶ ἰωνάθαν τοῦ υἱοῦ αὐτοῦ παρὰ τῶν ἀνδρῶν υἱῶν ἰαβεῖς γαλαὰδ οἳ ἔκλεψαν αὐτοὺς ἐκ τῆς πλατείας βαιθὰν, ὅτι ἔστησαν αὐτοὺς ἐκεῖ οἱ ἀλλόφυλοι ἐν τῇ ἡμέρᾳ ᾗ ἐπάταξαν οἱ ἀλλόφυλοι τὸν σαούλ ἐν γελβουέ· καὶ ἀνήνεγκεν ἐκεῖθεν τὰ ὀστᾶ σαούλ καὶ τὰ ὀστᾶ ἰωνάθαν τοῦ υἱοῦ αὐτοῦ· καὶ συνήγαγε τὰ ὀστᾶ τῶν ἐξηλιασμένων· καὶ ἔθαψε τὰ ὀστᾶ σαούλ καὶ τὰ ὀστᾶ ἰωνάθαν τοῦ υἱοῦ αὐτοῦ, καὶ τὰ ὀστᾶ τῶν ἡλιασθέντων, ἐν γῇ βενιαμίν· ἐν τῇ πλευρᾷ ἐν τῷ τάφῳ κεὶς τοῦ πατρὸς αὐτοῦ· καὶ ἐποίησαν πάντα ὅσα ἐνε-

τείλατο ὁ βασιλεύς. καὶ ἐπήκουσεν ὁ θεὸς τῇ γῇ μετὰ ταῦτα. καὶ ἐ-
γενήθη ἔτι πόλεμος τοῖς ἀλλοφύλοις μετὰ ἰσραήλ. καὶ κατέβη δα-
βὶδ καὶ οἱ παῖδες αὐτοῦ μετ᾽ αὐτοῦ, καὶ ἐπολέμησαν μετὰ τῶν
ἀλλοφύλων. καὶ ἐξελύθη δαβίδ. καὶ ἰεσβὶ ὃς ἦν ἐν τοῖς ἐκγό-
νοις τοῦ ῥαφαείν. καὶ ὁ σταθμὸς τοῦ δόρατος αὐτοῦ, τριακοσίων
σίκλων ὁλκῆς χαλκοῦ. καὶ αὐτὸς περιεζωσμένος κορύνην. καὶ
διενοεῖτο τοῦ πατάξαι τὸν δαβίδ. καὶ ἐβοήθησεν αὐτῷ ἀβεσ-
σὰ υἱὸς σαρουίας καὶ ἔσωσεν αὐτὸν ἀβεσσὰ καὶ ἐπάταξε τὸν
ἀλλόφυλον καὶ ἐθανάτωσεν αὐτόν, τότε ὤμοσαν οἱ ἄνδρες δα-
βὶδ λέγοντες οὐκ ἐξελεύσῃ ἔτι μεθ᾽ ἡμῶν εἰς πόλεμον. καὶ οὐ μὴ
σβέσῃς τὸν λύχνον ἰσραήλ. καὶ ἐγενήθη μετὰ ταῦτα ἔτι πόλε-
μος ἐν γὲθ μετὰ τῶν ἀλλοφύλων. τότε ἐπάταξε σοβοχαὶ ὁ ἀσω-
θὶ τοὺς ἐπισυνηγμένους ἀπογόνους τῶν γιγάντων καὶ ἐγένετο ἔ-
τι πόλεμος ἐν ῥὸβ μετὰ τῶν ἀλλοφύλων. καὶ ἐπάταξεν ἐλεανὰν
υἱὸς ἀρωρὶ ὁ βαιθλεεμίτης, τὸν γολιὰθ τὸν γεθθαῖον. καὶ τὸ ξύλον τοῦ
δόρατος αὐτοῦ ὡς ἀντίον ὑφαινόντων. καὶ ἐγένετο ἔτι πόλεμος
ἐν γὲθ. καὶ ἦν ἀνὴρ ἐκ μαδών. καὶ οἱ δάκτυλοι τῶν χειρῶν, καὶ
οἱ δάκτυλοι τῶν ποδῶν αὐτοῦ, ἓξ καὶ ἕξ. εἰκοσιτέσσαρες ἀριθ-
μῷ. καί γε αὐτὸς ἐτέχθη τῷ ῥαφᾶ. καὶ ὠνείδισε τὸν ἰσραήλ.
καὶ ἐπάταξεν αὐτὸν ἰωνάθαν υἱὸς σαμαὰ τοῦ ἀδελφοῦ δαβίδ. οἱ τέσ-
σαρες οὗτοι ἐτέχθησαν ἀπόγονοι τῶν γιγάντων, τῷ ῥαφᾶ ἐν
γὲθ καὶ ἔπεσον ἐν χειρὶ δαβὶδ καὶ ἐν χειρὶ τῶν δούλων αὐτοῦ.

Κεφ. κβ. 22.

ΑΙ ἐλάλησε δαβὶδ τῷ κυρίῳ τοὺς λόγους τῆς ᾠδῆς
κ ταύτης. ἐν ἡμέρᾳ ᾗ ἐξείλετο κύριος ἐκ χειρὸς πάντων
τῶν ἐχθρῶν αὐτοῦ, καὶ ἐκ χειρὸς σαούλ. καὶ εἶπε. κύρι-
ος πέτρα μου καὶ ὀχύρωμά μου, καὶ ἐξαιρούμενος ἐμοί. ὁ θεός
μου. φύλαξ μου ἔσται μοι. πεποιθὼς ἔσομαι ἐπ᾽ αὐτῷ. ὑπε-
ρασπιστής μου, καὶ κέρας σωτηρίας μου. ἀντιλήπτωρ μου καὶ κα-
ταφυγή μου σωτηρίας μου. ἐξ ἀδίκου σώσεις με. αἰνετὸν ἐπικαλέ-

σομαι κύριον, καὶ ἐκ τῶν ἐχθρῶν μου σωθήσομαι. ὅτι περιέσχον με συντριμμοὶ θανάτου καὶ χείμαῤῥοι ἀνομίας ἐθάμβησάν με. ὠδῖνες θανάτου ἐκύκλωσάν με. προέφθασάν με σκληρότητες θανάτου ἐν τῷ θλίβεσθαί με ἐπικαλέσομαι τὸν κύριον, καὶ πρὸς τὸν θεόν μου βοήσομαι. καὶ ἐπακούσεται ἐκ ναοῦ ἁγίου αὐτοῦ φωνῆς μου, καὶ ἡ κραυγή μου ἐν τοῖς ὠσὶν αὐτοῦ. καὶ ἐταράχθη καὶ ἐσαλεύθη ἡ γῆ. καὶ τὰ θεμέλια τοῦ οὐρανοῦ συνεταράχθησαν καὶ ἐσπαράχθησαν. ὅτι ἐθυμώθη κύριος αὐτοῖς. καὶ ἀνέβη καπνὸς ἐν ὀργῇ αὐτοῦ. καὶ πῦρ ἐκ στόματος αὐτοῦ κατέδεται. ἄνθρακες ἐξεκαύθησαν ἀπ' αὐτοῦ. καὶ ἔκλινεν οὐρανοὺς καὶ κατέβη. καὶ γνόφος ὑποκάτω τῶν ποδῶν αὐτοῦ, καὶ ἐπεκάθισεν ἐπὶ τῶν χερουβὶμ καὶ ἐπετάσθη. καὶ ὤφθη ἐπὶ πτερύγων ἀνέμων. καὶ ἔθετο σκότος ἀποκρυφὴν αὐτοῦ. κύκλῳ αὐτοῦ ἡ σκηνὴ αὐτοῦ σκότος ὑδάτων ἐπάχυνεν ἐν νεφέλαις ἀέρων. ἀπὸ τοῦ φέγγους ἐναντίον αὐτοῦ ἐξεκαύθησαν ἄνθρακες πυρός. καὶ ἐβρόντησεν ἐξ οὐρανοῦ ὁ κύριος. καὶ ὁ ὕψιστος ἔδωκε φωνὴν αὐτοῦ, καὶ ἀπέστειλε βέλη καὶ ἐσκόρπισεν αὐτούς. καὶ ἤστραψεν ἀστραπὴν καὶ ἐξέστησεν αὐτούς. καὶ ὤφθησαν ἀφέσεις θαλάσσης. καὶ ἀπεκαλύφθη θεμέλια τῆς οἰκουμένης ἐν τῇ ἐπιτιμήσει κυρίου. ἀπὸ πνοῆς πνεύματος θυμοῦ αὐτοῦ. καὶ ἐξαπέστειλεν ἐξ ὕψους καὶ ἔλαβέ με. εἵλκυσέ με ἐξ ὑδάτων πολλῶν. ἐῤῥύσατό με ἐξ ἐχθρῶν μου ἰσχύος. ἐκ τῶν μισούντων με, ὅτι ἐκραταιώθησαν ὑπὲρ ἐμέ. προέφθασάν με ἐν ἡμέρᾳ θλίψεώς μου. καὶ ἐγένετο κύριος ἀντιστήριγμά μου. καὶ ἐξήγαγέ με εἰς πλατυσμόν. καὶ ἐξείλετό με, ὅτι ηὐδόκησεν ἐν ἐμοί. καὶ ἀνταπέδωκέ μοι κύριος κατὰ τὴν δικαιοσύνην μου. καὶ κατὰ τὴν καθαριότητα τῶν χειρῶν μου ἀνταποδώσει μοι. ὅτι ἐφύλαξα τὰς ὁδοὺς κυρίου. καὶ οὐκ ἠσέβησα ἀπὸ τοῦ θεοῦ μου. ὅτι πάντα τὰ κρίματα αὐτοῦ κατεναντίον μου. καὶ τὰ δικαιώματα αὐτοῦ οὐκ ἀπέστησαν ἀπ' ἐμοῦ. καὶ ἔσομαι ἄμωμος αὐτῷ. καὶ προφυλάξομαι ἀπὸ τῆς ἀνομίας μου. καὶ ἀνταποδώσει μοι κύριος κατὰ τὴν δικαιοσύνην μου. καὶ κατὰ τὴν καθαριότητα τῶν χειρῶν μου ἀπέναντι τῶν

ὀφθαλμῶν αὐτοῦ. μετὰ ὁσίου, ὁσιωθήσῃ. καὶ μετὰ ἀνδρὸς τελείου, τέλειος ἔσῃ. καὶ μετὰ ἐκλεκτοῦ, ἐκλεκτὸς ἔσῃ. καὶ μετὰ στρεβλοῦ στρεβλωθήσῃ. καὶ τὸν λαὸν τὸν πτωχὸν σώσεις καὶ ὀφθαλμοὺς ὑπερηφάνων ταπεινώσεις. ὅτι σὺ φωτιεῖς λύχνον μου κύριε, καὶ ὁ κύριος ἐκλάμψει μοι τὸ σκότος μου. ὅτι ἐν σοὶ δραμοῦμαι μονόζωνος καὶ ἐν τῷ θεῷ μου ὑπερβήσομαι τεῖχος. ὁ ἰσχυρὸς ἄμωμος ἡ ὁδὸς αὐτοῦ, τὸ ῥῆμα κυρίου πεπυρωμένον ὑπερασπιστής ἐστι πᾶσι τοῖς πεποιθόσιν ἐπ᾽ αὐτόν. ὅτι τίς ἰσχυρὸς πλὴν τοῦ κυρίου. καὶ τίς κτίστης πλὴν τοῦ θεοῦ ἡμῶν. ὁ ἰσχυρὸς ὁ κραταιῶν με δυνάμει. καὶ ἐτίθετο ἄμωμον τὴν ὁδόν μου. τιθεὶς τοὺς πόδας μου ὡσεὶ ἐλάφων, καὶ ἐπὶ τὰ ὑψηλὰ ἱστῶν με. ὁ διδάσκων χεῖράς μου εἰς πόλεμον. καὶ κατάξας τόξον χαλκοῦν ἐν βραχίονί μου. καὶ ἔδωκάς μοι ὑπερασπισμὸν σωτηρίας μου. καὶ ὑπακοή σου ἐπλήθυνέ με. πλατυνεῖς τὰ διαβήματά μου ὑποκάτω μου, καὶ οὐκ ἐσαλεύθησαν τὰ σκέλη μου. διώξω ἐχθρούς μου καὶ ἀφανιῶ αὐτούς. καὶ οὐκ ἀποστρέψω ἕως ἂν συντελέσω αὐτούς. καὶ θλάσω αὐτοὺς καὶ οὐκ ἀναστήσονται καὶ πεσοῦνται ὑπὸ τοὺς πόδας μου. καὶ ἐνισχύσεις με δυνάμει εἰς πόλεμον. κάμψεις τοὺς ἐπανισταμένους ἐπ᾽ ἐμὲ ὑποκάτω μου. καὶ τοὺς ἐχθρούς μου ἔδωκάς μοι νῶτον τοὺς μισοῦντάς με καὶ ἐθανάτωσας αὐτούς. βοήσονται καὶ οὐκ ἔστι βοηθῶν πρὸς κύριον καὶ οὐκ ἐπήκουσεν αὐτῶν. καὶ ἐλέανα αὐτοὺς, ὡς χοῦν γῆς. ὡς πηλὸν ἐξόδων ἐλέπτυνα αὐτοὺς, καὶ ῥύσῃ με ἐκ μαχαίρας λαῶν. φυλάξῃ με εἰς κεφαλὴν ἐθνῶν. λαὸς ὃν οὐκ ἔγνων, ἐδούλευσέ μοι. εἰς ἀκοὴν ὠτίου ὑπήκουσέ μου. υἱοὶ ἀλλότριοι ἐψεύσαντό μοι. υἱοὶ ἀλλότριοι ἀπορριφήσονται, καὶ σφαλοῦσιν ἐκ τῶν συγκλεισμῶν αὐτῶν. ζῇ κύριος καὶ εὐλογητὸς ὁ φύλαξ μου, καὶ ὑψωθήσεται ὁ θεός μου ὁ φύλαξ τῆς σωτηρίας μου. ἰσχυρὸς κύριος ὁ διδοὺς ἐκδικήσεις ἐμοί. καὶ παιδεύων λαοὺς ὑποκάτω μου καὶ ἐξάγων με ἐξ ἐχθρῶν μου. καὶ τῶν ἐπεγειρομένων ἐπ᾽ ἐμὲ, ὑψώσεις με ἐξ ἀνδρῶν ἀδικημάτων, ῥύσῃ με. διὰ τοῦτο ἐξομολογήσομαί σοι κύριε ἐν ἔθνεσι κύριε. καὶ τῷ ὀνό-

θου ψαλῶ μεγαλύνων τὰς σωτηρίας τοῦ βασιλέως αὐτοῦ· καὶ ποιῶν
ἔλεος τῷ χριστῷ αὐτοῦ· τῷ δαυὶδ καὶ τῷ σπέρματι αὐτοῦ ἕως αἰῶνος.

Κεφ. κγ. 23

Αἱ οὗτοι οἱ λόγοι δαβὶδ οἱ ἔσχατοι· πιστὸς δαβὶδ υἱὸς
κ ἰεσσαί· καὶ πιστὸς ἀνὴρ ὃν ἀνέστησε κύριος ἐπὶ χριστὸν θε-
οῦ ἰακώβ· καὶ εὐπρεπεῖς ψαλμοὶ ἰσραήλ, καὶ πνεῦμα
κυρίου ἐλάλησεν ἐν ἐμοί· καὶ ὁ λόγος αὐτοῦ ἐπὶ γλώσσης μου.
λέγει ὁ θεὸς ἰσραήλ· ἐμοὶ ἐλάλησε φύλαξ ἰσραὴλ παραβολήν.
εἶπον ἐν ἀνθρώποις πῶς κραταιώσητε φόβον θεοῦ καὶ ἐν φωτὶ θε-
οῦ πρωΐας· καὶ ἀνατείλαι ὁ ἥλιος τοπρωΐ· οὐ παρῆλθεν ἐκ τοῦ
φέγγους καὶ ὡς ἐξ ὑετοῦ χλόης ἀπὸ γῆς· οὐ γὰρ οὕτως ὁ οἶκός
μου μετὰ ἰσχυροῦ· διαθήκην γὰρ αἰώνιον ἔθετό μοι ἑτοίμην ἐν
παντὶ καιρῷ πεφυλαγμένην· ὅτι πᾶσα σωτηρία μου καὶ πᾶν θέ-
λημα ἐν κυρίῳ· ὅτι οὐ μὴ βλαστήσῃ ὁ παράνομος ὥσπερ ἄκανθα
ἐξωσμένη πάντες αὗτοι, ὅτι οὐ χειρὶ λειφθήσονται, καὶ ἀνὴρ οὐ
κοπιάσει ἐν αὐτοῖς· καὶ πλῆθος σιδήρου· καὶ ξύλον δόρατος καὶ
ἐν πυρὶ καύσει· καὶ καυθήσονται εἰς αἰσχύνην αὐτῶν· ταῦτα τὰ ὀ-
νόματα τῶν δυνατῶν τοῦ δαβίδ· ἰεβοσθαὶ ὁ χαναναῖος ὁ ἄρ-
χων τοῦ τρίτου ἐστίν· ἀδινὼν ὁ ἀσωναῖος· οὗτος ἐσπάσατο τὴν ῥομ-
φαίαν αὐτοῦ ἐπὶ ὀκτακοσίους τραυματίας εἰσάπαξ· καὶ μετ᾽ αὐτὸν ἐ-
λεάναρ υἱὸς πατραδέλφου αὐτοῦ ἐν τοῖς τρισὶν δυνατοῖς ἀδελφοῖς·
οὗτος ἦν μετὰ δαβὶδ ἐν σερρὰν ἐν τῷ ὀνειδίσαι αὐτὸν ἐν τοῖς
ἀλλοφύλοις· καὶ οἱ ἀλλόφυλοι συνήχθησαν ἐκεῖ εἰς πόλεμον·
καὶ ἀνεβόησεν ἀνὴρ ἰσραὴλ πρὸ προσώπου αὐτοῦ· καὶ αὐτὸς ἀ-
νέστη καὶ ἐπάταξεν ἐν τοῖς ἀλλοφύλοις· ἕως οὗ ἐκοπίασεν ἡ χεὶρ
αὐτοῦ· καὶ προσεκολλήθη ἡ χεὶρ αὐτοῦ πρὸς τὴν μάχαιραν·
καὶ ἐποίησε κύριος σωτηρίαν μεγάλην ἐν τῇ ἡμέρᾳ ἐκείνῃ· καὶ ὁ
λαὸς ἐπέστρεψεν ὀπίσω αὐτοῦ πλὴν ἐκδιδύσκειν· καὶ μετ᾽ αὐτὸν
σαμαία υἱὸς ἄσα ὁ ἀρουχαῖος· καὶ συνήχθησαν οἱ ἀλλόφυλοι
εἰς θηρία· καὶ ἦν ἐκεῖ μερὶς ἀγροῦ πλήρης φακοῦ· καὶ ὁ λαὸς ἔφυ-
γεν ἐκ προσώπου ἀλλοφύλων· καὶ ἐστηλώθη ἐν μέσῳ τῆς μερί-

δος. καὶ ἐξείλετο αὐτὴν καὶ ἐπάταξε τοὺς ἀλλοφύλους. καὶ ἐ-
ποίησε κύριος σωτηρίαν μεγάλην. καὶ κατέβησαν τρεῖς ἀπὸ
τῶν τριάκοντα ἀρχόντων, καὶ ἦλθον εἰς κασωὰ πρὸς δαβὶδ εἰς
τὸ σπήλαιον ὀδολλάμ. καὶ τάγμα τῶν ἀλλοφύλων παρενέβα-
λον ἐν τῇ κοιλάδι ῥαφαεῖν. καὶ δαβὶδ τότε ἐν τῇ περιοχῇ.
καὶ τὸ ὑπόστημα τῶν ἀλλοφύλων τότε ἐν βηθλεέμ. καὶ ἐπεθύμη-
σε δαβὶδ καὶ εἶπε. τίς ποτιεῖ με ὕδωρ ἐκ τοῦ λάκκου τοῦ ἐν βη-
θλεὲμ τοῦ ἐν τῇ πύλῃ, τὸ δὲ σύστημα τῶν ἀλλοφύλων τότε ἐν βη-
θλεέμ. καὶ διέῤῥηξαν οἱ τρεῖς δυνατοὶ, τὴν παρεμβολὴν τῶν ἀλ-
λοφύλων. καὶ ὑδρεύσαντο ὕδωρ ἐκ τοῦ λάκκου τοῦ ἐν βηθλεὲμ
τοῦ ἐν τῇ πύλῃ καὶ ἔλαβον. καὶ παρεγένοντο πρὸς δαβὶδ, καὶ
οὐκ ἠθέλησε πιεῖν αὐτό. καὶ ἔσπεισεν αὐτὸ τῷ κυρίῳ καὶ εἶπεν·
ἵλεώς μοι κύριε τοῦ ποιῆσαι τοῦτο, εἰ αἷμα τῶν ἀνδρῶν τῶν πο-
ρευθέντων ἐν ταῖς ψυχαῖς αὐτῶν πίομαι. καὶ οὐκ ἠθέλησε πι-
εῖν αὐτό. ταῦτα ἐποίησαν οἱ τρεῖς δυνατοί. καὶ ἀβεσσὰ ὁ ἀδελ-
φὸς ἰωὰβ υἱὸς σαρουΐα οὗτος ἄρχων ἐν τοῖς τρισί. καὶ οὗτος
ἐξήγειρε τὸ δόρυ αὐτοῦ ἐπὶ τριακοσίους τραυματίας. καὶ αὐ-
τῷ ὄνομα ἐν τοῖς τρισὶν ἐκ τῶν τριῶν ἐκείνων ἔνδοξος. καὶ ἐ-
γένετο αὐτοῖς εἰς ἄρχοντα. καὶ ἕως τῶν τριῶν οὐκ ἦλθε. καὶ βα-
ναίας υἱὸς ἰωδαὲ ἀνὴρ οὗτος πολλοστὸς ἔργοις ἀπὸ καβασαὴλ
καὶ οὗτος ἐπάταξε τοὺς δύο υἱοὺς ἀριὴλ τοῦ μωάβ. καὶ αὐτὸς κα-
τέβη καὶ ἐπάταξε τὸν λέοντα ἐν μέσῳ τοῦ λάκκου ἐν τῇ ἡμέ-
ρᾳ τῆς χιόνος. καὶ αὐτὸς ἐπάταξε τὸν ἄνδρα τὸν αἰγύπτιον ἄν-
δρα ὁρατόν. ἐν δὲ τῇ χειρὶ τοῦ αἰγυπτίου, δόρυ ὡς ξύλον δια-
βάθρας. καὶ κατέβη πρὸς αὐτὸν ἐν ῥάβδῳ, καὶ ἥρπασε τὸ
δόρυ ἐκ τῆς χειρὸς τοῦ αἰγυπτίου, καὶ ἀπέκτεινεν αὐτὸν ἐν
τῷ δόρατι αὐτοῦ. ταῦτα ἐποίησε βαναίας υἱὸς ἰωδαὲ καὶ
αὐτῷ ὄνομα ἐν τοῖς τρισὶν δυνατοῖς ἐκ τῶν τριῶν ἔνδοξος καὶ
πρὸς τοὺς τρεῖς οὐκ ἦλθε, καὶ ἔταξεν αὐτὸν δαβὶδ πρὸς τοὺς ἀκο-
ὰς αὐτοῦ. καὶ τὰ ὀνόματα τῶν δυνατῶν δαβὶδ τοῦ βασιλέως. ἀσαὴλ ὁ

δελφὸς ἰωάβ· οὗτος ἐν τοῖς τριάκοντα. ἐλεανὰν υἱὸς πατραδέλφου αὐτοῦ ἐκ βηθλεέμ. σεμὼθ ὁ ἀρωδί. χελλὴς ὁ χελωθί. ἰρὰ υἱὸς ἐκκὴς ὁ θεκωΐτης. ἀβιέζερ ὁ ἀναθωθίτης. σεβουχαὶ ὁ ἀσωθίτης. ἐλλὼν ὁ ἀλωνίτης. μοοὲ ὁ νετωφαθίτης. ἐλὴ υἱὸς βαανὰ ὁ νετωφαθίτης. ἐθθὶ υἱὸς ῥιβὰ ἐκ γαβαὰ βενιαμὶν, βαναίας ὁ φαραθωνίτης. οὐρὶ ἐκ ναλαλιγαίας. ἀβιὴλ υἱὸς τοῦ ἀραβωθίτου ζαὼρ ὁ βαρσαμίτης. ἐλιασὰ υἱὸς ὀλαβονίτης. βασαὶ ὁ γωουνί. ἰωνάθαν υἱὸς σαμὰ ὁ ἀρωρίτης. ἀχιὰν υἱὸς ἀρατὰ ὁ ἀραθουρίτης ἐλιφαλὰθ υἱὸς τοῦ μαχαχί. ἐλιὰβ υἱὸς ἀχιτόφελ τοῦ γελωνίτου. ἀσαραὶ ὁ καρμήλιος. τοῦ οὐρὲμ, υἱὸς ἀσβί. ἰγάλλα υἱὸς νάθαν καὶ βαὰν υἱὸς ἀγαρίν. ἐλλὶχ ὁ ἀμμανίτης. γελωρὲ ὁ βηρωθαῖος ὁ αἴρων τὰ σκεύη ἰωὰβ υἱοῦ σαρουΐα. ἴρας ὁ ἐθθιραῖος. καὶ οὐρίας ὁ γεθθαῖος. οἱ πάντες, τριάκοντα καὶ ἑπτά.

Κεφάλαιον κδ. 24.

Αὶ προσέθετο ὀργὴν κύριος ἐκ καῆναι ἐν ἰσραήλ.
κ καὶ ἐπέσεισε τὸν δαβὶδ ἐν αὐτοῖς λέγων. πορεύθη-
τι, καὶ ἀρίθμησον τὸν ἰσραήλ. καὶ τὸν ἰούδαν, καὶ εἶπεν ὁ βασιλεὺς πρὸς ἰωὰβ ἄρχοντα τῆς ἰσχύος, τὸν μετ' αὐτοῦ. διέλθε δὴ πάσας τὰς φυλὰς ἰσραήλ, καὶ ἰούδα ἀπὸ δὰν καὶ ἕως βηρσαβεέ. καὶ ἐπίσκεψαι τὸν λαὸν καὶ γνώσομαι τὸν ἀριθμὸν τοῦ λαοῦ. καὶ εἶπεν ἰωὰβ πρὸς τὸν βασιλέα. καὶ προσθήσει κύριος ὁ θεός σου πρὸς τὸν λαόν σου ὥσπερ αὐτοὺς ἑκατονταπλάσιον, καὶ οἱ ὀφθαλμοὶ τοῦ κυρίου μου τοῦ βασιλέως ὁρῶντες, καὶ ὁ κύριός μου ὁ βασιλεὺς ἵνα τί βούλεται ἐν τῷ λόγῳ τούτῳ. καὶ ὑπερίσχυσεν ὁ λόγος τοῦ βασιλέως πρὸς ἰωὰβ καὶ πρὸς τοὺς ἄρχοντας τῆς δυνάμεως, καὶ ἐξῆλθεν ἰωὰβ, καὶ οἱ ἄρχοντες τῆς δυνάμεως, ἐνώπιον τοῦ βασιλέως ἐπισκέψασθαι τὸν λαὸν τὸν ἰσραήλ. καὶ διέβησαν τὸν ἰορδάνην, καὶ παρενέβαλον ἐν ἀροὴρ ἐκ δεξιῶν τῆς πόλεως τῆς ἐν μέσῳ τῆς φάραγγος γὰδ, καὶ ἐλιέζερ. καὶ ἦλθον εἰς γαλαάδ. καὶ εἰς γῆν βαθασὼν καὶ ἀδὼν καὶ δασαί. καὶ παραγένοντο

εἰς δανιδάν· καὶ ἐκύκλωσαν εἰς σιδῶνα· καὶ ἦλθον εἰς μαψαρτύρου,
καὶ εἰς πάσας τὰς πόλεις τοῦ εὐαίου, καὶ τοῦ χαναναίου. καὶ ἐξῆλθον κα-
τὰ νότον ἰούδα εἰς βηρσαβεὲ, καὶ περιώδευσαν ἐν πάσῃ τῇ γῇ. καὶ
παρεγένοντο ἀπὸ τέλους ἐννέα μηνῶν, καὶ εἴκοσι ἡμερῶν εἰς ἱερουσα-
λήμ. καὶ ἔδωκεν ἰωὰβ τὸν ἀριθμὸν τῆς ἐπισκέψεως τοῦ λαοῦ τῷ βασι-
λεῖ. καὶ ἦν ἰσραὴλ ὀκτακόσιαι χιλιάδες ἀνδρῶν δυνάμεως σπω-
μένων ῥομφαίαν. καὶ ἀνὴρ ἰούδα, πεντακόσιαι χιλιάδες ἀν-
δρῶν μαχητῶν. καὶ ἐπάταξε καρδία δαβὶδ αὐτὸν μετὰ τὸ ἀριθμῆ-
σαι τὸν λαόν, καὶ εἶπε δαβὶδ πρὸς κύριον· ἥμαρτον σφόδρα ποιήσας
τὸ ῥῆμα τοῦτο. καὶ νῦν κύριε παραβίβασον δὴ τὴν ἀνομίαν τοῦ δού-
λου σου ὅτι ἐμωράνθην σφόδρα, καὶ ἀνέστη δαβὶδ τὸ πρωΐ. καὶ
λόγος κυρίου ἐγένετο πρὸς γὰδ τὸν προφήτην τὸν ὁρῶντα πρὸς
δαβὶδ. λέγων. πορεύθητι καὶ λάλησον πρὸς δαβὶδ λέγων. τάδε
λέγει κύριος. τρία ἐγὼ αἴρω ἐπὶ σὲ καὶ ἔκλεξαι σεαυτῷ ἓν ἐξ αὐ-
τῶν καὶ ποιήσω σοι, καὶ εἰσῆλθε γὰδ πρὸς δαβὶδ, καὶ ἀνήγγειλε καὶ εἶ-
πεν αὐτῷ ἔκλεξαι. σεαυτῷ γενέσθαι, ἢ ἔλθοι σοι τρία ἔτη λιμὸς ἐν
τῇ γῇ σου, ἢ τρεῖς μῆνας φεύγειν σε ἔμπροσθεν τῶν ἐχθρῶν σου
καὶ ἔσονται καταδιώκειν σε. ἢ τρεῖς ἡμέρας γενέσθαι θάνατον
ἐν τῇ γῇ σου. νῦν οὖν γνῶθι καὶ ἴδε τί ἀποκριθῶ τῷ ἀποστείλαν-
τί με. καὶ εἶπε δαβὶδ πρὸς γάδ. στενά μοι πάντοθεν σφόδρα
ἐστὶ, καὶ τὰ τρία ἐμπεσοῦμαι δὴ εἰς χεῖρας κυρίου, ὅτι πολλοὶ οἱ
οἰκτιρμοὶ αὐτοῦ σφόδρα. εἰς δὲ χεῖρας ἀνθρώπων οὐ μὴ ἐμπέσω
καὶ ἐξελέξατο ἑαυτῷ δαβὶδ τὸν θάνατον καὶ ἡμέρας, καὶ αἱ ἡ-
μέραι θερισμοῦ πυρῶν, καὶ ἔδωκε κύριος θάνατον ἐν ἰσραὴλ ἀ-
πὸ πρωΐθεν ἕως ὥρας ἀρίστου, καὶ ἤρξατο ἡ θραῦσις ἐν τῷ λαῷ.
καὶ ἀπέθανον ἐκ τοῦ λαοῦ καὶ ἀπὸ δὰν καὶ ἕως βερσαβεὲ, ἑβδομήκον-
τα χιλιάδες ἀνδρῶν, καὶ ἐξέτεινεν ὁ ἄγγελος τοῦ θεοῦ τὴν χεῖρα αὐτοῦ
εἰς ἱερουσαλὴμ τοῦ διαφθεῖραι αὐτὴν, καὶ παρεκλήθη κύριος ἐπὶ τῇ κακίᾳ
καὶ εἶπε τῷ ἀγγέλῳ τῷ διαφθείροντι ἐν τῷ λαῷ. πολὺ νῦν. ἄνες τὴν
χεῖρά σου, καὶ ὁ ἄγγελος τοῦ θεοῦ ὁ ἦν ἑστὼς παρὰ τῇ ἅλῳ ὀρνὰ τοῦ ἰεβου-

σαίου. καὶ εἶπε δαβὶδ πρὸς κύριον. ἐν τῷ ἰδεῖν αὐτὸν τὸν ἄγγελον τὸν
τύπτοντα τὸν λαὸν, καὶ εἶπεν. ἰδοὺ ἐγώ εἰμι ἠδίκησα, καί γε ἐγώ
εἰμι ὁ ποιμὴν ἐκακοποίησα. καὶ οὗτοι τὰ πρόβατα τί ἐποίη
σαν. γενέσθω δὴ ἡ χείρ σου ἐν ἐμοὶ, καὶ ἐν τῷ οἴκῳ τοῦ
πατρός μου. καὶ ἦλθε γὰδ πρὸς δαβὶδ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ.
καὶ εἶπεν αὐτῷ ἀνάβηθι, καὶ στῆσον τῷ κυρίῳ θυσιαστήριον
ἐν τῇ ἅλω ὀρνᾶ τοῦ ἰεβουσαίου. καὶ ἀνέβη δαβὶδ κατὰ τὸ ῥῆ
μα γὰδ τοῦ προφήτου, ὃν τρόπον ἀνετείλατο αὐτῷ κύριος.
καὶ διέκυψεν ὀρνᾶ, καὶ εἶδε τὸν βασιλέα καὶ τοὺς παῖδας αὐ
τοῦ, παραπορευομένους ἐπάνω αὐτοῦ. καὶ ἐξῆλθεν ὀρνᾶ. καὶ
προσεκύνησε τῷ βασιλεῖ ἐπὶ πρόσωπον αὐτοῦ ἐπὶ τὴν γῆν. καὶ
εἶπεν ὀρνᾶ. τί ὅτι ἦλθεν ὁ κύριός μου ὁ βασιλεὺς πρὸς τὸν δοῦ
λον αὐτοῦ. καὶ εἶπε δαβίδ. κτήσασθαι περὶ σοῦ τὴν ἅλω τοῦ οἰ
κοδομῆσαι θυσιαστήριον τῷ κυρίῳ, καὶ συσχεθῇ ἡ θραῦσις ἐ
πάνωθεν τοῦ λαοῦ. καὶ εἶπεν ὀρνᾶ πρὸς δαβίδ. λαβέτω καὶ
ἀνενεγκάτω ὁ κύριός μου ὁ βασιλεὺς τῷ κυρίῳ, τὸ ἀγαθὸν ἐν
ὀφθαλμοῖς αὐτοῦ ἰδοὺ οἱ βόες εἰς ὁλοκαύτωμα καὶ οἱ τροχοὶ καὶ
τὰ σκεύη τῶν βοῶν εἰς ξύλα. τὰ πάντα ἔδωκεν ὀρνᾶ τῷ βα
σιλεῖ. καὶ εἶπεν ὀρνᾶ πρὸς τὸν βασιλέα κύριος ὁ θεός σου εὐλο
γήσαισε. καὶ εἶπεν ὁ βασιλεὺς πρὸς ὀρνᾶ. οὐχί. ὅτι ἀλλ᾽ ἢ
κτώμενος κτήσομαι περὶ σοῦ ἐν ἀλλάγματι. καὶ οὐκ ἀνοί
σω κυρίῳ τῷ θεῷ μου ὁλοκαύτωμα δωρεάν. καὶ ἐκτήσατο
δαβὶδ ἅλω. καὶ τοὺς βόας ἐν ἀργυρίῳ σίκλων πεντήκοντα,
καὶ ᾠκοδόμησεν ἐκεῖ δαβὶδ θυσιαστήριον τῷ κυρίῳ. καὶ ἀνή
νεγκεν ὁλοκαυτώσεις, καὶ εἰρηνικάς. καὶ προσέθηκε σαλομὼν
ἐπὶ τὸ θυσιαστήριον ἐπ᾽ ἐσχάτῳ. ὅτι μικρὸν ἦν ἐν πρώτοις. καὶ
ἐπήκουσε κύριος τῇ γῇ. καὶ συνεσχέθη ἡ θραῦσις, ἐπάνωθεν
ἰσραήλ.

Τέλος τῆς τῶν βασιλειῶν. β.

# ΒΑΣΙΛΕΙΩΝ ΤΡΙΤΗΣ.

## Κεφάλαιον α. 1.

Καὶ ὁ βασιλεὺς δαβὶδ πρεσβύτερος
προβεβηκὼς ἡμέραις, καὶ περιέβαλ-
λεν αὐτὸν, ἱματίοις, καὶ οὐκ ἐθερμαί-
νετο. καὶ εἶπον οἱ παῖδες αὐτοῦ ζητησά-
τωσαν τῷ κυρίῳ ἡμῶν τῷ βασιλεῖ
παρθένον νεανίδα καὶ παραστήσεται
τῷ βασιλεῖ. καὶ ἔσαι αὐτὸν θάλπουσα.
καὶ κοιμηθήσεται μετ' αὐτοῦ, καὶ θερμανθήσεται ὁ κύριος ἡμῶν
ὁ βασιλεύς. καὶ ἐζήτησαν νεανίδα καλὴν ἐκ παντὸς ὁρίου ἰσλ.
καὶ εὗρον τὴν ἀβισὰκ τὴν σωμανίτιν, καὶ ἤνεγκαν αὐτὴν πρὸς τὸν
βασιλέα. καὶ ἡ νεανὶς, καλὴ τῷ εἴδει σφόδρα. καὶ ἦν θάλπουσα τὸν
βασιλέα, καὶ ἐλειτούργει αὐτῷ. καὶ ὁ βασιλεὺς οὐκ ἔγνω αὐτήν.
καὶ ἀδωνίας υἱὸς ἀγγὶθ ἐπήρετο λέγων. ἐγὼ βασιλεύσω. καὶ ἐποί-
ησεν αὑτῷ, ἅρματα καὶ ἱππεῖς. καὶ πεντήκοντα ἄνδρας παρατρέ-
χειν ἔμπροσθεν αὐτοῦ. καὶ οὐκ ἀπεκώλυσεν αὐτὸν ὁ πατὴρ αὐτοῦ
οὐδέποτε λέγων. διατὶ σὺ τοῦτο ἐποίησας. καί γε αὐτὸς ὡραῖος
τῇ ὄψει σφόδρα. καὶ αὐτὸν ἔτεκεν ὀπίσω ἀβεσσαλώμ. καὶ ἐγέ-
νοντο οἱ λόγοι αὐτοῦ μετὰ ἰωὰβ τοῦ υἱοῦ σαρουίας, καὶ μετὰ ἀ-
βιάθαρ τοῦ ἱερέως. καὶ ἐβοήθουν ὀπίσω ἀδωνίου. καὶ σα-
δὼκ ὁ ἱερεὺς, καὶ βαναίας υἱὸς ἰωδαέ. καὶ νάθαν ὁ προφή-
της. καὶ σεμεῒ καὶ ῥησεΐ. καὶ υἱοὶ δυνατοὶ τοῦ δαβὶδ, οὐκ ἦσαν
ὀπίσω ἀδωνίου. καὶ ἐθυσίασεν ἀδωνίας, πρόβατα καὶ μόσχους
καὶ ἄρνας παρὰ τὸν λίθον τὸν ζωελὲθ. ὃς ἦν ἐχόμενος τῆς πη-
γῆς ῥωγήλ. καὶ ἐκάλεσε πάντας τοὺς ἀδελφοὺς αὐτοῦ τοὺς

υἱοὺς τοῦ βασιλέως· καὶ πάντας τοὺς ἀδελφοὺς υἱοὺς ἰούδα, παῖδας τοῦ βασιλέως καὶ ναθὰν τὸν προφήτην. καὶ βαναίαν καὶ τοὺς δυνατούς. καὶ σολομῶντα ἀδελφὸν αὐτοῦ οὐκ ἐκάλεσε. καὶ εἶπε ναθὰν πρὸς βηρσαβεὲ μητέρα σολομῶν λέγων. οὐκ ἤκουσας ὅτι ἐβασίλευσεν ἀδωνίας υἱὸς ἀγγίθ. καὶ ὁ κύριος ἡμῶν δαβὶδ οὐκ ἔγνω. καὶ νῦν δεῦρο συμβουλεύσω σοι συμβουλίαν, καὶ ἐξελοῦ τὴν ψυχήν σου, καὶ τὴν ψυχὴν τοῦ υἱοῦ σου σολομῶν. δεῦρο εἴσελθε πρὸς τὸν βασιλέα δαβὶδ, καὶ ἐρεῖς πρὸς αὐτὸν λέγουσα. οὐχὶ σὺ κύριέ μου βασιλεῦ ὤμοσας τῇ δούλῃ σου λέγων, ὅτι σολομῶν ὁ υἱός σου βασιλεύσει μετ' ἐμὲ, καὶ αὐτὸς καθίσεται ἐπὶ τοῦ θρόνου μου; καὶ τί ὅτι ἐβασίλευσεν ἀδωνίας. καὶ ἰδοὺ ἔτι σου λαλούσης ἐκεῖ μετὰ τοῦ βασιλέως. καὶ ἐγὼ εἰσελεύσομαι ὀπίσω σοῦ καὶ πληρώσω τοὺς λόγους σου. καὶ εἰσῆλθε βηρσαβεὲ πρὸς τὸν βασιλέα εἰς τὸ ταμεῖον. καὶ ὁ βασιλεὺς πρεσβύτης σφόδρα. καὶ ἀβισὰκ ἡ σωμανῖτις ἦν λειτουργοῦσα τῷ βασιλεῖ καὶ ἔκυψε βηρσαβεὲ, καὶ προσεκύνησε τῷ βασιλεῖ. καὶ εἶπεν ὁ βασιλεύς. τί ἐστι σοι. ἡ δὲ, εἶπε. κύριέ μου βασιλεῦ. σὺ ὤμοσας ἐν κυρίῳ τῷ θεῷ σου τῇ δούλῃ σου λέγων. ὅτι ὁ υἱός σου σολομῶν βασιλεύσῃ μετ' ἐμέ. καὶ αὐτὸς καθίσεται ἐπὶ τοῦ θρόνου μου. καὶ νῦν ἰδοὺ ἀδωνίας ἐβασίλευσε. καὶ σὺ κύριέ μου βασιλεῦ οὐκ ἔγνως. καὶ ἐθυσίασε μόσχους. καὶ ἄρνας καὶ πρόβατα εἰς πλῆθος. καὶ ἐκάλεσε πάντας τοὺς υἱοὺς τοῦ βασιλέως. καὶ ἀβιάθαρ τὸν ἱερέα. καὶ ἰωὰβ τὸν ἄρχοντα τῆς δυνάμεως. καὶ τὸν σολομῶντα τὸν δοῦλόν σου οὐκ ἐκάλεσε. καὶ σὺ κύριέ μου βασιλεῦ, οἱ ὀφθαλμοὶ παντὸς ἰσραὴλ πρὸς σέ. ἀπαγγεῖλαι αὐτοῖς τίς καθήσεται ἐπὶ τοῦ θρόνου τοῦ κυρίου μου τοῦ βασιλέως μετ' αὐτόν. καὶ ἔσται, ὡς ἂν κοιμηθῇ ὁ κύριός μου ὁ βασιλεὺς μετὰ τῶν πατέρων αὐτοῦ. καὶ ἔσομαι ἐγὼ καὶ σολομῶν ὁ υἱός μου ἁμαρτωλοί. καὶ ἰδοὺ ἔτι αὐτῆς λαλούσης μετὰ τοῦ βασιλέως. Καὶ νάθαν ὁ προφήτης εἰσῆλθε, καὶ αὐτὸς

γεῖλαν τῷ βασιλεῖ λέγοντες· ἰδοὺ νάθαν ὁ προφήτης. καὶ εἰσῆλθε κατὰ πρόσωπον τοῦ βασιλέως, καὶ προσεκύνησε τῷ βασιλεῖ κατὰ πρόσωπον αὐτοῦ ἐπὶ τὴν γῆν. καὶ εἶπε νάθαν· κύριέ μου βασιλεῦ· σὺ εἶπας ἀδωνίας βασιλεύσει ὀπίσω μου, καὶ αὐτὸς καθήσεται ἐπὶ τοῦ θρόνου μου ὅτι κατέβη σήμερον καὶ ἔθυσε μόσχους καὶ ἄρνας. καὶ πρόβατα εἰς πλῆθος. καὶ ἐκάλεσε πάντας τοὺς υἱοὺς τοῦ βασιλέως, καὶ τοὺς ἄρχοντας τῆς δυνάμεως. καὶ ἀβιάθαρ τὸν ἱερέα. καὶ ἰδού εἰσιν ἐσθίοντες, καὶ πίνοντες ἐνώπιον αὐτοῦ. καὶ εἶπον· ζήτω, ὁ βασιλεὺς ἀδωνίας. καὶ ἐμὲ αὐτὸν τὸν δοῦλόν σου, καὶ σαδὼκ τὸν ἱερέα. καὶ βαναίαν υἱὸν ἰωδαέ. καὶ σολομῶντα τὸν δοῦλόν σου, οὐκ ἐκάλεσεν. εἰ διὰ τοῦ κυρίου μου τοῦ βασιλέως γέγονε τὸ ῥῆμα τοῦτο. καὶ οὐκ ἐγνώρισας τῷ δούλῳ σου τίς καθήσεται ἐπὶ τοῦ θρόνου τοῦ κυρίου μου τοῦ βασιλέως μετ' αὐτὸν καὶ ἀπεκρίθη ὁ βασιλεὺς δαβὶδ καὶ εἶπε· καλέσατέ μοι τὴν βηρσαβεέ. καὶ εἰσῆλθεν ἐνώπιον τοῦ βασιλέως, καὶ ἔστη ἐνώπιον αὐτοῦ. καὶ ὤμοσεν ὁ βασιλεὺς καὶ εἶπε· ζῇ κύριος ὃς ἐλυτρώσατο τὴν ψυχήν μου ἐκ πάσης θλίψεως. ὅτι καθὼς ὤμοσά σοι ἐν κυρίῳ θεῷ ἰσραὴλ λέγων· ὅτι σολομὼν ὁ υἱός σου βασιλεύσει μετ' ἐμέ, καὶ αὐτὸς καθήσεται ἐπὶ τοῦ θρόνου μου ἀντ' ἐμοῦ. ὅτι οὕτω ποιήσω τῇ ἡμέρᾳ ταύτῃ. καὶ ἔκυψε βηρσαβεὲ ἐπὶ πρόσωπον ἐπὶ τὴν γῆν, καὶ προσεκύνησε τῷ βασιλεῖ. καὶ εἶπε· ζήτω ὁ κύριός μου ὁ βασιλεὺς δαβὶδ εἰς τὸν αἰῶνα. καὶ εἶπεν ὁ βασιλεὺς δαβίδ· καλέσατέ μοι τὸν σαδὼκ τὸν ἱερέα. καὶ νάθαν τὸν προφήτην. καὶ βαναίαν υἱὸν ἰωδαέ. καὶ εἰσῆλθον ἐνώπιον τοῦ βασιλέως. καὶ εἶπεν ὁ βασιλεὺς αὐτοῖς. λάβετε μεθ' ὑμῶν τοὺς δούλους τοῦ κυρίου ὑμῶν. καὶ ἐπιβιβάσατε τὸν υἱόν μου σολομῶν ἐπὶ τὴν ἡμίονον τὴν ἐμήν. καὶ καταγάγετε αὐτὸν εἰς τὸν γειών. καὶ χρισάτω αὐτὸν ἐκεῖ σαδὼκ ὁ ἱερεὺς καὶ νάθαν ὁ προφήτης, εἰς βασιλέα ἐπὶ τὸν ἰσραήλ. καὶ σαλπίσατε κερατίνῃ καὶ ἐρεῖτε ζήτω ὁ βασι-

λεὺς σολομών. καὶ ἀναβήσεσθε ὀπίσω αὐτοῦ. καὶ εἰσελεύσεται καὶ
καθήσεται ἐπὶ τοῦ θρόνου μου. καὶ αὐτὸς βασιλεύσει ἀντ᾽ ἐμοῦ.
καὶ ἐγὼ ἐνετειλάμην, τοῦ εἶναι εἰς ἡγούμενον ἐπὶ ἰσραὴλ καὶ ἰού
δαν. καὶ ἀπεκρίθη βαναίας υἱὸς ἰωδαὲ τῷ βασιλεῖ καὶ εἶπε. γέ
νοιτο οὕτως. πιστώσαι κύριος ὁ θεὸς τὸ ῥῆμα τοῦ κυρίου μου τοῦ
βασιλέως. καθὼς ἦν κύριος μετὰ τοῦ κυρίου τοῦ βασιλέως, οὕ-
τως εἴη μετὰ σολομῶντος. καὶ μεγαλύναι τὸν θρόνον αὐτοῦ ὑπὲρ
τὸν θρόνον τοῦ κυρίου μου τοῦ βασιλέως δαβίδ. καὶ κατέβη σα-
δὼκ ὁ ἱερεὺς καὶ νάθαν ὁ προφήτης. καὶ βαναίας υἱὸς ἰωδαέ. καὶ
ὁ χερεθθί. καὶ ὁ φελεθθί, καὶ ἐπεκάθισαν τὸν σολομῶντα ἐπὶ τὴν
ἡμίονον τοῦ βασιλέως δαβίδ, καὶ ἀπήγαγον αὐτὸν εἰς τὸν γιών.
καὶ ἔλαβε σαδὼκ ὁ ἱερεὺς τὸ κέρας τοῦ ἐλαίου ἐκ τῆς σκηνῆς
καὶ ἔχρισε τὸν σολομῶντα. καὶ ἐσάλπισε τῇ κερατίνῃ, καὶ εἶπε
πᾶς ὁ λαός. ζήτω ὁ βασιλεὺς σολομών. καὶ ἀνέβη πᾶς ὁ λαὸς ὀ-
πίσω αὐτοῦ, καὶ ἐχόρευον ἐν χοροῖς. καὶ εὐφραινόμενοι εὐφρο-
σύνην μεγάλην. καὶ ἐῤῥάγη ἡ γῆ, ἐν τῇ φωνῇ αὐτῶν. καὶ ἤκου-
σεν ἀδωνίας καὶ πάντες οἱ κλητοὶ αὐτοῦ, καὶ αὐτοὶ συνετέλε-
σαν φαγεῖν. καὶ ἤκουσεν ἰωὰβ τὴν φωνὴν τῆς κερατίνης καὶ εἶπε.
τίς ἡ φωνὴ τῆς πόλεως ἠχούσης, καὶ ἔτι αὐτοῦ λαλοῦντος. καὶ
ἰδοὺ ἰωνάθαν υἱὸς ἀβιάθαρ τοῦ ἱερέως ἦλθε, καὶ εἶπεν ἀδωνίας.
εἴσελθε. ὅτι ἀνὴρ δυνάμεως εἶ σὺ καὶ ἀγαθὰ εὐαγγέλισαι. καὶ
ἀπεκρίθη ἰωνάθαν καὶ εἶπε. καὶ μάλα. ὁ κύριος ἡμῶν ὁ βασι-
λεὺς δαβίδ. ἐβασίλευσε τὸν σολομῶντα. καὶ ἀπέστειλε μετ᾽ αὐ-
τοῦ ὁ βασιλεύς, τὸν σαδὼκ τὸν ἱερέα, καὶ νάθαν τὸν προφήτην.
καὶ βαναίαν τὸν υἱὸν ἰωδαέ. καὶ τὸν χερεθθί. καὶ τὸν φελεθθί, καὶ
ἐπεκάθισαν αὐτὸν ἐπὶ τὴν ἡμίονον τοῦ βασιλέως καὶ ἔχρισαν
αὐτὸν σαδὼκ ὁ ἱερεὺς καὶ νάθαν ὁ προφήτης εἰς βασιλέα ἐν
τῷ γαιών. καὶ ἀνέβησαν ἐκεῖθεν εὐφραινόμενοι. καὶ ἤχησεν ἡ
πόλις αὕτη φωνὴ ἣν ἠκούσατε. καὶ ἐκάθισε σολομὼν ἐπὶ θρό-
νου τῆς βασιλείας. καὶ εἰσῆλθον οἱ δοῦλοι τοῦ βασιλέως εὐλο-

γῆσαι τὸν κύριον ἡμῶν τὸν βασιλέα δαβὶδ λέγοντες. ἀγαθύναι ἀγαθύναι ὁ θεὸς τὸ ὄνομα σαλωμῶντος τοῦ υἱοῦ σου. ὑπὲρ τὸ ὄνομά σου. καὶ μεγαλύναι τὸν θρόνον αὐτοῦ ὑπὲρ τὸν θρόνον σου. καὶ προσεκύνησεν ὁ βασιλεὺς ἐπὶ τὴν κοίτην αὐτοῦ. καί γε οὕτως εἶπεν ὁ βασιλεύς. εὐλογητὸς κύριος ὁ θεὸς ἰσραὴλ ὃς ἔδωκε σήμερον ἐκ τοῦ σπέρματός μου, καθήμενον ἐπὶ θρόνου μου καὶ οἱ ὀφθαλμοί μου βλέπουσι. καὶ ἐξέστησαν καὶ ἐξανέστησαν πάντες οἱ κλητοὶ τοῦ ἀδωνίου. καὶ ἀπῆλθον ἀνὴρ εἰς τὴν ὁδὸν αὐτοῦ. καὶ ἀδωνίας ἐφοβήθη ἀπὸ προσώπου σαλωμῶντος, καὶ ἀνέστη καὶ ἀπῆλθε καὶ ἐπελάβετο τῶν κεράτων τοῦ θυσιαστηρίου. καὶ ἀνηγγέλη τῷ σολομῶντι λέγοντες ἰδοὺ ἀδωνίας ἐφοβήθη τὸν βασιλέα σαλωμῶν καὶ κατέχει τῶν κεράτων τοῦ θυσιαστηρίου λέγων ὀμοσάτω μοι σήμερον σαλωμῶν, εἰ οὐ θανατώσει τὸν δοῦλον αὐτοῦ ἐν ῥομφαίᾳ. καὶ εἶπε σολομών. ἐὰν γένηται εἰς υἱὸν δυνάμεως, εἰ πεσεῖται τῶν τριχῶν αὐτοῦ ἐπὶ τὴν γῆν. καὶ ἐὰν κακία εὑρεθῇ ἐν αὐτῷ, θανατωθήσεται. καὶ ἀπέστειλε ὁ βασιλεὺς σαλωμῶν, καὶ κατήνεγκεν αὐτὸν, ἀπάνωθεν τοῦ θυσιαστηρίου. καὶ εἰσῆλθε καὶ προσεκύνησε τῷ βασιλεῖ σαλωμῶντι. καὶ εἶπεν αὐτῷ σολομών. δεῦρο εἰς τὸν οἶκόν σου.

Κεφάλαιον β'. 2.

Καὶ ἤγγισαν αἱ ἡμέραι δαβὶδ ἀποθανεῖν αὐτόν. καὶ ἐνετείλατο τῷ σολομῶντι υἱῷ αὐτοῦ λέγων. ἐγώ εἰμι πορεύομαι ἐν ὁδῷ πάσης τῆς γῆς. καὶ ἰσχύσεις. καὶ ἔσῃ εἰς ἄνδρα τέλειον καὶ φυλάξεις τὴν φυλακὴν κυρίου θεοῦ σου τοῦ πορεύεσθαι ἐν ταῖς ὁδοῖς αὐτοῦ. φυλάσσειν τὰς ἐντολὰς αὐτοῦ καὶ τὰ δικαιώματα καὶ τὰ κρίματα καὶ τὰ μαρτύρια αὐτοῦ τὰ γεγραμμένα ἐν τῷ νόμῳ μωϋσέως. ἵνα συνήσῃς ἃ ποιήσεις κατὰ πάντα ὅσα ἂν ἐντείλωμαί σοι ἵνα στήσῃ κύριος τὸν λόγον αὐτοῦ ὃν ἐλάλησε περὶ ἐμοῦ λέγων. ἐὰν φυλάξωσιν οἱ υἱοί σου τὴν ὁδὸν αὐτῶν πορεύεσθαι ἐνώπιόν μου ἐν ἀληθείᾳ ἐν ὅλῃ καρδίᾳ αὐ-

τῶν καὶ ἐν ὅλῃ ψυχῇ αὐτῶν λέγων, οὐκ ἐξολοθρευθήσεταί σοι
ἀνὴρ ἐπάνωθεν τοῦ θρόνου ἰσραήλ. καί γε σὺ ἔγνως ὅσα ἐποίη-
σέ μοι ἰωὰβ υἱὸς σαρουίας. ὅσα ἐποίησε τοῖς δυσὶν ἄρχουσι τῶν
δυνάμεων ἰσραήλ. τῷ ἀβεννὴρ υἱῷ νήρ. καὶ τῷ ἀμεσσαὶ υἱῷ ἰε-
θὲρ καὶ ἀπέκτεινεν αὐτούς, καὶ ἔταξε τὰ αἵματα πολέμου ἐν εἰρή-
νῃ. καὶ ἔδωκεν αἷμα ἀθῷον ἐν τῇ ζώνῃ αὐτοῦ τῇ ἐν τῇ ὀσφύϊ αὐ-
τοῦ καὶ ἐν τῷ ὑποδήματι αὐτοῦ τῷ ἐν τῷ ποδὶ αὐτοῦ. καὶ ποιή-
σεις κατὰ τὴν σοφίαν σου. καὶ οὐ κατάξεις τὴν πολιὰν αὐτοῦ ἐν εἰ-
ρήνῃ εἰς ᾅδου. καὶ τοῖς υἱοῖς βερζελλὶ τοῦ γαλααδίτου ποιήσεις ἔλε-
ος καὶ ἔσονται ἐν τοῖς ἐσθίουσι τὴν τράπεζάν σου. ὅτι οὕτως ἤγ-
γισάν μοι ἐν τῷ ἀποδιδράσκειν ἀπὸ προσώπου ἀβεσσαλὼμ
τοῦ ἀδελφοῦ σου. καὶ ἰδοὺ μετὰ σοῦ σεμεῒ υἱὸς γηρά. υἱὸς τοῦ ἰεμενὶ
ἐκ βαουρίμ. καὶ αὐτὸς κατηράσατό με κατάραν ὀδυνηρὰν τῇ ἡ-
μέρᾳ ᾗ ἐπορευόμην εἰς παρεμβολάς. καὶ αὐτὸς κατέβη εἰς ἀπάν-
τησίν μου εἰς τὸν ἰορδάνην. καὶ ὤμοσα αὐτῷ ἐν κυρίῳ λέγων.
εἰ θανατώσω σε ἐν ῥομφαίᾳ, καὶ οὐ μὴ ἀθωώσῃς αὐτόν, ὅτι ἀνὴρ
σοφὸς εἶ σύ. καὶ γνώσῃ ἃ ποιήσεις αὐτῷ. καὶ κατάξεις τὴν πολι-
ὰν αὐτοῦ ἐν αἵματι εἰς ᾅδου. καὶ ἐκοιμήθη δαβὶδ μετὰ τῶν πα-
τέρων αὐτοῦ. καὶ ἐτάφη ἐν πόλει δαβίδ. καὶ αἱ ἡμέραι ἃς ἐβα-
σίλευσε δαβὶδ ἐπὶ τὸν ἰσραήλ, τεσσαράκοντα ἔτη. ἐν χεβρὼν
ἐβασίλευσεν ἑπτὰ ἔτη. καὶ ἐν ἱερουσαλὴμ ἐβασίλευσε τριά-
κοντα, καὶ τρία ἔτη. καὶ σολομὼν ἐκάθισεν ἐπὶ τοῦ θρόνου δα-
βὶδ τοῦ πατρὸς αὐτοῦ υἱὸς ἐτῶν δώδεκα. καὶ ἡτοιμάσθη ἡ βασι-
λεία αὐτοῦ σφόδρα, καὶ εἰσῆλθεν ἀδωνίας υἱὸς ἀγγὶθ πρὸς βηρ-
σαβεὲ μητέρα σολομῶντος, καὶ προσεκύνησεν αὐτῇ. ἡ δὲ εἶ-
πεν. εἰρήνη ἡ εἴσοδός σου. καὶ εἶπεν, εἰρήνη. λόγος μοι πρὸς
σέ. καὶ εἶπεν αὐτῷ, λάλησον. καὶ εἶπεν αὐτῇ. σὺ οἶδας, ὅτι
ἐμοὶ ἦν ἡ βασιλεία. καὶ ἐπ' ἐμὲ ἔθετο πᾶς ἰσραὴλ τὸ πρόσω-
πον αὐτοῦ εἰς βασιλέα. καὶ ἐστράφη ἡ βασιλεία. καὶ ἐγενήθη
τῷ ἀδελφῷ μου, ὅτι παρὰ κυρίου ἐγενήθη αὐτῷ, καὶ νῦν αἴτη-

στιν μίαν ἐγὼ αἰτοῦμαι παρὰ σοῦ μὴ ἀποστρέψῃς τὸ πρόσωπόν
σου. καὶ εἶπεν αὐτῇ βηρσαβεέ. λάλει. καὶ εἶπεν αὐτῇ. εἶπον
δὴ πρὸς τὸν βασιλέα σολομών, ὅτι οὐκ ἀποστρέψει τὸ πρό-
σωπον αὐτοῦ ἀπὸ σοῦ. καὶ δώσει μοι τὴν ἀβισὰκ τὴν σωμα-
νῖτιν εἰς γυναῖκα, καὶ εἶπεν βηρσαβεέ. καλῶς ἐγὼ λαλήσω περὶ
σοῦ τῷ βασιλεῖ. καὶ εἰσῆλθε βηρσαβεὲ πρὸς τὸν βασιλέα σολο-
μῶντα λαλῆσαι αὐτῷ περὶ ἀδωνίου. καὶ ἐξανέστη ὁ βασιλεὺς εἰς
ἀπάντησιν αὐτῆς καὶ κατεφίλησεν αὐτήν, καὶ ἐκάθισεν ἐπὶ τοῦ θρό-
νου αὐτοῦ καὶ ἐτέθη θρόνος τῇ μητρὶ τοῦ βασιλέως, καὶ ἐκάθισεν ἐκ
δεξιῶν αὐτοῦ. καὶ εἶπεν αὐτῷ. αἴτησιν μίαν μικρὰν ἐγὼ αἰτοῦ-
μαι παρὰ σοῦ, μὴ ἀποστρέψῃς τὸ πρόσωπόν μου. καὶ εἶπεν αὐτῇ
ὁ βασιλεύς. αἴτησαι μῆτερ ἐμή, ὅτι οὐκ ἀποστρέψω σε. καὶ εἶπε.
δοθήτω δὴ ἀβισὰκ ἡ σωμανίτης τῷ ἀδωνίᾳ τῷ ἀδελφῷ
σου εἰς γυναῖκα. καὶ ἀπεκρίθη ὁ βασιλεὺς σολομὼν καὶ εἶπε τῇ
μητρὶ αὐτοῦ. καὶ ἵνα τί σὺ ᾔτησαι τὴν ἀβισὰκ τὴν σωμανίτιν
τῷ ἀδωνίᾳ, καὶ αἴτησαι αὐτῷ τὴν βασιλείαν. ὅτι οὗτος ἀδελ-
φός μου ὁ μέγας ὑπὲρ ἐμέ. καὶ αὐτῷ ἀβιάθαρ ὁ ἱερεύς. καὶ αὐ-
τῷ ἰωὰβ υἱὸς σαρουίας ἀρχιστράτηγος ἑταῖρος. καὶ ὤμοσεν ὁ
βασιλεὺς σολομὼν κατὰ τοῦ κυρίου λέγων τάδε ποιήσαι μοι ὁ
θεὸς καὶ τάδε προσθείη. ὅτι κατὰ τῆς ψυχῆς αὐτοῦ ἐλάλησεν ἀ-
δωνίας τὸν λόγον τοῦτον, καὶ νῦν ζῇ κύριος ὃς ἡτοίμασέ με καὶ
ἔθετό με ἐπὶ τὸν θρόνον δαβὶδ τοῦ πατρός μου, καὶ αὐτὸς ἐποί-
ησέ μοι οἶκον καθὼς ἐλάλησε κύριος. ὅτι σήμερον θανατωθή-
σεται ἀδωνίας. καὶ ἐξαπέστειλεν ὁ βασιλεὺς σολομὼν ἐν χει-
ρὶ βαναίου υἱοῦ ἰωδαὲ, καὶ ἀνεῖλεν αὐτόν, καὶ ἀπέθανεν ἀδω-
νίας ἐν τῇ ἡμέρᾳ ἐκείνῃ. καὶ ἀβιαθὰρ τῷ ἱερεῖ, εἶπεν ὁ βασι-
λεύς. ἀπότρεχε σὺ εἰς ἀναθὼθ εἰς ἀγρόν σου. ὅτι ἀνὴρ θανάτου εἶ
σὺ ἐν τῇ ἡμέρᾳ ταύτῃ, καὶ οὐ θανατώσω σε. ὅτι ἦρας τὴν κιβω-
τὸν διαθήκης κυρίου ἐνώπιον τοῦ πατρός μου. καὶ ὅτι ἐκακωχή-
θης ἐν πᾶσιν οἷς ἐκακωχήθη ὁ πατήρ μου. καὶ ἐξέβαλε σολο-

μῶν τὸν ἀβιάθαρ τοῦ μὴ εἶναι ἱερέα τοῦ κυρίου· πληρωθῆναι τὸν λόγον κυρίου ὃν ἐλάλησεν ἐπὶ τὸν οἶκον ἠλὶ ἐν σηλώμ. καὶ ἡ ἀκοὴ ἦλθεν ἕως ἰωὰβ υἱοῦ σαρουΐας. ὅτι ἰωὰβ ἦν κεκλικὼς ὀπίσω ἀδωνίου. καὶ ὀπίσω σολομῶντος οὐκ ἔκλινε. καὶ ἔφυγεν ἰωὰβ εἰς τὸ σκήνωμα τοῦ κυρίου. καὶ κατέσχε τῶν κεράτων τοῦ θυσιαστηρίου. καὶ ἀπηγγέλη τῷ σολομῶντι λέγοντες. ὅτι πέφευγεν ἰωὰβ εἰς τὴν σκηνὴν τοῦ κυρίου. καὶ ἰδοὺ κατέχει τῶν κεράτων τοῦ θυσιαστηρίου. καὶ ἀπέστειλε σολομῶν ὁ βασιλεὺς πρὸς ἰωὰβ λέγων. τί γέγονέ σοι, ὅτι πέφευγας εἰς τὸ θυσιαστήριον. καὶ εἶπεν ἰωάβ. ὅτι ἐφοβήθην ἀπὸ προσώπου σου καὶ ἔφυγον πρὸς κύριον. καὶ ἀπέστειλε σολομῶν τὸν βαναίαν υἱὸν ἰωδαὲ λέγων. πορεύου καὶ ἄνελε αὐτὸν, καὶ θάψον αὐτόν. καὶ ἦλθε βαναίας υἱὸς ἰωδαὲ πρὸς ἰωὰβ εἰς τὴν σκηνὴν τοῦ κυρίου, καὶ εἶπεν αὐτῷ. τάδε λέγει ὁ βασιλεύς. ἔξελθε. καὶ εἶπεν ἰωάβ. οὐκ ἐκπορεύομαι, ὅτι ὧδε ἀποθανοῦμαι. καὶ ἐπέστρεψε βαναίας υἱὸς ἰωδαὲ καὶ εἶπε τῷ βασιλεῖ λέγων. τάδε λελάληκεν ἰωάβ, καὶ τάδε ἀποκέκριταί μοι. καὶ εἶπεν αὐτῷ ὁ βασιλεύς. πορεύου, καὶ ποίησον αὐτῷ καθὼς εἴρηκε, καὶ ἄνελε αὐτὸν καὶ θάψεις αὐτὸν καὶ ἐξαρεῖς σήμερον τὸ αἷμα ὃ δωρεὰν ἐξέχεεν ἰωὰβ ἀπ᾽ ἐμοῦ, καὶ ἀπὸ τοῦ οἴκου τοῦ πατρός μου. καὶ ἐπέστρεψε κύριος τὸ αἷμα τῆς ἀδικίας αὐτοῦ εἰς κεφαλὴν αὐτοῦ. ὡς ἀπήντησε τοῖς δυσὶν ἀνθρώποις τοῖς δικαίοις καὶ ἀγαθοῖς ὑπὲρ αὐτόν. καὶ ἀπέκτεινεν αὐτοὺς ἐν ῥομφαίᾳ. καὶ ὁ πατήρ μου δαβὶδ οὐκ ἔγνω τὸ αἷμα αὐτῶν. τὸν ἀβιννὴρ υἱὸν νὴρ ἀρχιστράτηγον ἰσραήλ. καὶ τὸν ἀμεσαῒ υἱὸν ἰεθὲρ ἀρχιστράτηγον ἰούδα καὶ ἐπεστράφη τὰ αἵματα αὐτῶν, εἰς κεφαλὴν αὐτοῦ. καὶ εἰς κεφαλὴν τοῦ σπέρματος αὐτοῦ εἰς τὸν αἰῶνα. καὶ τῷ δαβὶδ καὶ τῷ σπέρματι αὐτοῦ καὶ τῷ οἴκῳ αὐτοῦ. καὶ τῷ θρόνῳ αὐτοῦ, γένοιτό μοι εἰρήνη ἕως αἰῶνος παρὰ κυρίου. καὶ ἀνέβη βαναίας υἱὸς ἰωδαὲ, καὶ ἀπήντησεν αὐτῷ, καὶ ἐθανάτωσεν αὐτὸν, καὶ ἔθαψεν αὐτὸν ἐν τῷ οἴκῳ αὐτοῦ ἐν τῇ ἐρήμῳ.

καὶ ἔδωκεν ὁ βασιλεὺς τὸν βαναίαν υἱὸν ἰωδαὲ ἀντ' αὐτοῦ ἐπὶ
τὴν στρατηγίαν. καὶ ἡ βασιλεία κατωρθοῦτο ἐν ἱερουσαλήμ.
καὶ τὸν σαδὼκ τὸν ἱερέα ἔδωκεν ὁ βασιλεὺς εἰς ἱερέα πρῶτον,
ἀντὶ ἀβιαθάρ. καὶ σολομὼν υἱὸς δαβίδ. ἐβασίλευσεν ἐν ἐ
πὶ ἰσραὴλ καὶ ἰούδα ἐν ἱερουσαλήμ. καὶ ἔδωκε κύριος φρόνη
σιν τῷ σολομῶντι, καὶ σοφίαν πολλὴν σφόδρα. καὶ πλάτος
καρδίας, ὡς ἡ ἄμμος ἡ παρὰ τὴν θάλασσαν.

## Κεφ. γ'.

Καὶ ἐπληθύνθη ἡ φρόνησις σολομῶντος σφόδρα. ὑπὲρ
κ φρόνησιν πάντων υἱῶν ἀρχαίων, καὶ ὑπὲρ πάντας φρο
νίμους αἰγύπτου. καὶ ἔλαβε τὴν θυγατέρα φαραώ. καὶ
εἰσήγαγεν αὐτὴν εἰς πόλιν δαβίδ, ἕως συντελέσαι αὐτὸν οἰ
κοδομῆσαι τὸν οἶκον αὐτοῦ, καὶ τὸν οἶκον κυρίου ἐν πρώτοις. καὶ
τὸ τεῖχος ἱερουσαλὴμ κύκλοθεν ἐν ἑπτὰ ἔτεσιν ἐποίησε καὶ συν
ετέλεσε. καὶ ἦσαν τῷ σολομῶντι ἑβδομήκοντα χιλιάδες αἴ
ροντες ἄρσιν. καὶ ὀγδοήκοντα χιλιάδες λατόμων ἐν τῷ ὄρει.
καὶ ἐποίησε σολομὼν τὴν θάλασσαν. καὶ τὰ ὑποστηρίγματα καὶ
τοὺς λουτῆρας τοὺς μεγάλους. καὶ τοὺς στύλους. καὶ τὴν κρή
νην τῆς αὐτῆς. καὶ τὴν θάλασσαν τὴν χαλκῆν. καὶ ᾠκοδόμησε
τὴν ἄκραν καὶ τὰς ἐπάλξεις αὐτῆς. καὶ διέκοψε τὴν πόλιν δα
βίδ. οὕτως θυγάτηρ φαραὼ ἀνέβαινεν ἐκ τῆς πόλεως δαβὶδ
εἰς τὸν οἶκον αὐτῆς, ὃν ᾠκοδόμησεν αὐτῇ. τότε ᾠκοδόμησε τὴν
ἄκραν. καὶ σολομὼν ἀνέφερε τρεῖς ἐν τῷ ἐνιαυτῷ ὁλοκαυτώσεις.
καὶ εἰρηνικὰς ἐπὶ τὸ θυσιαστήριον ὃ ᾠκοδόμησε τῷ κυρίῳ. καὶ
ἐθυμία ἐνώπιον κυρίου. καὶ συνετέλεσε τὸν οἶκον. καὶ οὗτοι οἱ
ἄρχοντες οἱ καθεσταμένοι ἐπὶ τὰ ἔργα τοῦ σολομῶντος. τρεῖς χι
λιάδες καὶ ἑξακόσιοι ἐπιστάται τοῦ λαοῦ τῶν ποιούντων τὰ ἔρ
γα. καὶ ᾠκοδόμησε τὴν ἀσσοὺρ καὶ τὴν μαγδώ. καὶ τὴν γαζέρ. καὶ
τὴν βαιθωρῶν τὴν ἐπάνω καὶ τὰ βαλλάθ. πλὴν μετὰ τὸ οἰκοδομῆ
σαι αὐτὸν τὸν οἶκον κυρίου, καὶ τὸ τεῖχος ἱερουσαλὴμ κύκλῳ μετὰ

ταῦτα ᾠκοδόμησε τὰς πόλεις ταύτας. καὶ ἐν τῷ δαβὶδ ζῆν
ἐνετείλατο τῷ σολομῶντι λέγων. ἰδοὺ μετὰ σοῦ σεμεῒ υἱὸς γη-
ρὰ υἱὸς τοῦ σπέρματος τοῦ ἰεμενὶ ἐκ χεβρών. καὶ οὗτος κατηρά-
σατό με κατάραν ὀδυνηρὰν ἐν ᾗ ἡμέρᾳ ἐπορευόμην εἰς παρεμ-
βολάς, καὶ αὐτὸς κατέβη εἰς ἀπάντησίν μοι εἰς τὸν ἰορδάνην. καὶ ὤ-
μοσα αὐτῷ κατὰ τοῦ κυρίου λέγων εἰ θανατωθήσεται ἐν ῥομ-
φαίᾳ. καὶ νῦν μὴ ἀθῳώσῃς αὐτόν. ὅτι ἀνὴρ φρόνιμος εἶ σύ. καὶ
γνώσῃ ἃ ποιήσεις αὐτῷ. καὶ κατάξεις τὴν πολιὰν αὐτοῦ, ἐν αἵ-
ματι εἰς ᾅδου. καὶ ἀποστείλας ὁ βασιλεὺς ἐκάλεσε τὸν σεμεῒ καὶ
εἶπεν αὐτῷ. ᾠκοδόμησον σεαυτῷ οἶκον ἐν ἱερουσαλήμ, καὶ κά-
θου ἐκεῖ. καὶ οὐκ ἐξελεύσῃ ἐκεῖθεν οὐδαμοῦ. καὶ ἔσται ἐν τῇ ἡμέ-
ρᾳ τῆς ἐξόδου σου καὶ διαβήσῃ τὸν χειμάρρουν κέδρων. γινώ-
σκων γνώσῃ. ὅτι θανάτῳ ἀποθανῇ. τὸ αἷμά σου ἔσται ἐπὶ τὴν κεφα-
λήν σου. καὶ ὥρκισεν αὐτὸν ὁ βασιλεὺς ἐν τῇ ἡμέρᾳ ἐκείνῃ. καὶ
εἶπε σεμεῒ πρὸς τὸν βασιλέα. ἀγαθὸν τὸ ῥῆμα ὃ ἐλάλησας κύριέ
μου βασιλεῦ. οὕτω ποιήσει ὁ δοῦλός σου. καὶ ἐκάθισε σεμεῒ ἐν
ἱερουσαλὴμ τρία ἔτη καὶ ἐγενήθη μετὰ τρία ἔτη, καὶ ἀπέδρα-
σαν δύο δοῦλοι τοῦ σεμεῒ πρὸς ἀγχοῦς υἱὸν μααχὰ βασιλέα γέθ.
καὶ ἀπηγγέλη τῷ σεμεῒ λέγοντες. ἰδοὺ οἱ δοῦλοί σου ἐν γέθ. καὶ ἀ-
νέστη σεμεῒ καὶ ἐπέσαξε τὴν ὄνον αὐτοῦ καὶ ἐπορεύθη εἰς γὲθ πρὸς
ἀγχοῦς τοῦ ἐκζητῆσαι τοὺς δούλους αὐτοῦ. καὶ ἐπορεύθη σεμεῒ,
καὶ ἤγαγε τοὺς δούλους αὐτοῦ ἐκ γέθ. καὶ ἀπηγγέλη τῷ σολο-
μῶντι λέγοντες. ὅτι ἐπορεύθη σεμεῒ ἐξ ἱερουσαλὴμ εἰς γέθ,
καὶ ἀνέστρεψε τοὺς δούλους αὐτοῦ. καὶ ἀπέστειλεν ὁ βασιλεύς,
καὶ ἐκάλεσε τὸν σεμεΐ. καὶ εἶπε πρὸς αὐτόν. οὐχὶ ὥρκισά σε
κατὰ τοῦ κυρίου, καὶ ἐπεμαρτυράμην σοι λέγων. ἐν ᾗ ἡμέρᾳ ἐ-
ξέλθῃς ἐξ ἱερουσαλὴμ καὶ πορευθῇς εἰς δεξιά, ἢ εἰς ἀριστερὰ γινώσ-
κων γνώσῃ ὅτι θανάτῳ ἀποθανῇ. καὶ εἶπάς μοι ἀγαθὸν τὸ ῥῆμα ὃ
ἤκουσας; καὶ τί ὅτι οὐκ ἐφύλαξας τὸν ὅρκον κυρίου, καὶ τὴν ἐν-
τολὴν ἣν ἐνετειλάμην κατὰ σοῦ. καὶ εἶπεν ὁ βασιλεὺς πρὸς σε-

αὐτοῦ· σὺ ἔγνως πᾶσαν τὴν κακίαν σου ἣν οἶδεν ἡ καρδία σου, ἃ ἐ-
ποίησας δαβὶδ τῷ πατρί μου καὶ ἀνταπέδωκε κύριος τὴν κα-
κίαν εἰς κεφαλήν σου· καὶ ὁ βασιλεὺς σαλομὼν εὐλογημένος· καὶ
ὁ θρόνος δαβὶδ ἔσται ἕτοιμος ἐνώπιον κυρίου εἰς τὸν αἰῶνα. καὶ
ἐνετείλατο ὁ βασιλεὺς σαλομὼν τῷ βαναίᾳ υἱῷ ἰωδαὲ, καὶ ἐ-
ξῆλθε καὶ ἀνεῖλεν αὐτὸν καὶ ἀπέθανε. καὶ ἦν ὁ βασιλεὺς σαλομὼν
φρόνιμος σφόδρα καὶ σοφός. καὶ ἰούδα καὶ ἰσραὴλ πολλοὶ
σφόδρα, ὡς ἡ ἄμμος ἡ ἐπὶ τῆς θαλάσσης εἰς πλῆθος. καὶ πίνον-
τες ἐσθίοντες καὶ χαίροντες καὶ σολομὼν ἦν ἐξάρχων. ἐν πά-
σαις ταῖς βασιλείαις. ἀπὸ τοῦ ποταμοῦ γῆς φυλιστιαίων, καὶ ἕως
ὁρίου αἰγύπτου. καὶ ἦσαν προσφέροντες δῶρα. καὶ ἐδούλευον τῷ
σαλομῶντι πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτοῦ. καὶ σαλομὼν ἤρ-
ξατο ἀνοίγειν τὰ δυναστεύματα τοῦ λιβάνου. καὶ αὐτὸς ᾠκοδόμησε
τὴν θερμαὶ ἐν τῇ ἐρήμῳ. καὶ τοῦτο τὸ ἄριστον. καὶ ταῦτα τὰ δέοντα
τῷ σαλομῶντι ἐν ἡμέρᾳ μιᾷ· τριάκοντα κόροι σεμιδάλεως καὶ
ἑξήκοντα κόροι ἀλεύρου κεκοπανισμένου· δέκα μόσχοι ἐκλεκ-
τοί· καὶ εἴκοσι βόες νομάδες· καὶ ἑκατὸν πρόβατα ἐκτὸς ἐλά-
φων καὶ δορκάδων καὶ ὀρνίθων ἐκλεκτῶν νομάδων. ὅτι ἦν ἄρχων
ἐν παντὶ πέραν τοῦ ποταμοῦ· ἀπὸ ῥαφὶ ἕως γάζης· ἐν πᾶσι τοῖς
βασιλεῦσι πέραν τοῦ ποταμοῦ· καὶ ἦν αὐτῷ εἰρήνη ἐκ πάντων
τῶν μερῶν αὐτοῦ κυκλόθεν· καὶ κατῴκει ἰούδα, καὶ ἰσραὴλ πεποιθό-
τες ἕκαστος ὑπὸ τὴν ἄμπελον αὐτοῦ καὶ ὑπὸ τὴν συκῆν αὐτοῦ. ἐσθίον-
τες καὶ πίνοντες καὶ ἑορτάζοντες· ἀπὸ δὰν καὶ ἕως βηρσαβεέ. πά-
σας τὰς ἡμέρας σαλομῶντος. καὶ ἦσαν τῷ σαλομῶντι, τεσσαράκον-
τα χιλιάδες τοκάδες ἵπποι εἰς ἅρματα. καὶ δώδεκα χιλιάδες ἱπ-
πέων. καὶ ἦν ἄρχων ἐν πᾶσι τοῖς βασιλεῦσιν ἀπὸ τοῦ ποταμοῦ, καὶ ἕ-
ως γῆς ἀλλοφύλων· καὶ ἕως ὁρίων. αἰγύπτου καὶ σολομὼν υἱὸς
δαβὶδ ἐβασίλευσεν ἐπὶ ἰσραὴλ καὶ ἰούδαν ἐν ἱερουσα-
λήμ. πλὴν ὁ λαὸς ἦσαν θυμιῶντες ἐπὶ τοῖς ὑψηλοῖς. ὅτι οὐκ
ᾠκοδομήθη οἶκος τῷ ὀνόματι κυρίου ἕως τοῦ νῦν. καὶ ἠγάπησε

σολομὼν τὸν κύριον πορεύεσθαι ἐν τοῖς προστάγμασι δαβὶδ τοῦ πατρὸς αὐτοῦ. πλὴν ἐν τοῖς ὑψηλοῖς ἔθυε καὶ ἐθυμία. καὶ ἀνέστη, καὶ ἐπορεύθη εἰς γαβαὼν θύσαι ἐκεῖ. ὅτι αὕτη ὑψηλοτάτη, καὶ μεγάλη χιλίαν ὁλοκαύτωσιν ἀνήνεγκε σολομὼν ἐπὶ τὸ θυσιαστήριον ἐν γαβαών. καὶ ὤφθη κύριος τῷ σολομῶντι ἐν ὕπνῳ τὴν νύκτα, καὶ εἶπεν αὐτῷ, αἴτησαι τί αἴτημα σεαυτῷ. καὶ εἶπε σολομών. σὺ ἐποίησας μετὰ τοῦ δούλου σου δαβὶδ τοῦ πατρός μου ἔλεος μέγα καθὼς διῆλθεν ἐνώπιόν σου ἐν ἀληθείᾳ καὶ ἐν δικαιοσύνῃ, καὶ ἐν εὐθύτητι καρδίας μετὰ σοῦ. καὶ ἐφύλαξας αὐτῷ τὸ ἔλεος τὸ μέγα τοῦτο δοῦναι τὸν υἱὸν αὐτοῦ ἐπὶ τὸν θρόνον αὐτοῦ, ὡς ἡ ἡμέρα αὕτη. καὶ νῦν κύριε ὁ θεός μου, σὺ ἔδωκας τὸν δοῦλόν σου, ἀντὶ δαβὶδ τοῦ πατρός μου καὶ ἐγώ εἰμι παιδάριον μικρὸν, καὶ οὐκ οἶδα τὴν εἴσοδόν μου καὶ τὴν ἔξοδόν μου. ὁ δὲ δοῦλός σου ἐν μέσῳ τοῦ λαοῦ σου ὃν ἐξελέξω λαὸν πολὺν, ὃς οὐκ ἀριθμηθήσεται. καὶ δώσεις τῷ δούλῳ σου καρδίαν τοῦ ἀκούειν καὶ διακρίνειν τὸν λαόν σου ἐν δικαιοσύνῃ. τοῦ συνιέναι ἀνὰ μέσον ἀγαθοῦ καὶ κακοῦ. καὶ ὅτι, τίς δυνηθήσεται κρίνειν τὸν λαόν σου τὸν βαρὺν τοῦτον. καὶ ἤρεσεν ἐνώπιον κυρίου, ὅτι ἠτήσατο σολομὼν τὸ ῥῆμα τοῦτο. καὶ εἶπε κύριος πρὸς αὐτόν. ἀνθ᾽ ὧν ἠτήσω παρ᾽ ἐμοῦ τὸ ῥῆμα τοῦτο, καὶ οὐκ ἠτήσω παρ᾽ ἐμοῦ ἡμέρας πολλάς. καὶ οὐκ ἠτήσω πλοῦτον, οὐδὲ ἠτήσω ψυχὰς τῶν ἐχθρῶν σου, ἀλλ᾽ ἠτήσω σεαυτῷ σύνεσιν τοῦ εἰσακούειν κρίμα. ἰδοὺ πεποίηκα κατὰ τὸ ῥῆμά σου, ἰδοὺ δέδωκά σοι καρδίαν φρονίμην, καὶ σοφὴν, ὡς σὺ οὐ γέγονεν ἀνὴρ ἔμπροσθέν σου. καὶ μετὰ σὲ οὐκ ἀναστήσεται ὅμοιός σοι. καὶ ἃ οὐκ ἠτήσω δέδωκά σοι καὶ πλοῦτον καὶ δόξαν, ὡς σὺ οὐ γέγονεν ἀνὴρ ὅμοιός σοι ἐν βασιλεῦσι. καὶ ἐὰν πορευθῇς ἐν τῇ ὁδῷ μου φυλάσσειν τὰς ἐντολάς μου καὶ τὰ προστάγματά μου, ὡς ἐπορεύθη δαβὶδ ὁ πατήρ σου, καὶ πληθυνῶ τὰς ἡμέρας σου. καὶ ἐξυπνίσθη σολομών. καὶ ἰδοὺ ἐνύπνιον. καὶ ἀνέστη καὶ παραγίνεται

εἰς ἱερουσαλήμ. καὶ ἔστη κατὰ πρόσωπον τοῦ θυσιαστηρίου τοῦ κα-
τὰ πρόσωπον κιβωτοῦ διαθήκης κυρίου ἐν σιών. καὶ ἀνήγαγεν
ὁλοκαυτώσεις. καὶ ἐποίησεν εἰρηνικάς. καὶ ἐποίησε πότον μέ-
γαν ἑαυτῷ, καὶ πᾶσι τοῖς παισὶ αὐτοῦ. τότε ὤφθησαν δύο γυ-
ναῖκες πόρναι τῷ βασιλεῖ, καὶ ἔστησαν ἐνώπιον αὐτοῦ. καὶ εἶπεν
ἡ γυνὴ ἡ μία ἐν ἐμοὶ κύριέ μου. ἐγὼ καὶ ἡ γυνὴ αὕτη ᾠκοῦμεν
ἐν οἴκῳ ἑνί. καὶ ἐτέκομεν ἐν τῷ οἴκῳ. καὶ ἐγενήθη ἐν τῇ ἡμέ-
ρᾳ τῇ τρίτῃ τεκούσης μου ἔτεκε καὶ ἡ γυνὴ αὕτη, καὶ ἡμεῖς κα-
τὰ τὸ αὐτό. οὐκ ἔστιν οὐθεὶς μεθ' ἡμῶν πάρεξ ἀμφοτέρων ἡμῶν
ἐν τῷ οἴκῳ. καὶ ἀπέθανεν ὁ υἱὸς τῆς γυναικὸς ταύτης τὴν νύ-
κτα, ὡς ἐπεκοιμήθη ἐπ' αὐτόν. καὶ ἀνέστη μέσης τῆς νυκτὸς καὶ
ἔλαβε τὸν υἱόν μου ἐκ τῶν ἀγκαλῶν μου. καὶ ἐκοίμησεν αὐτὸν ἐν
τῷ κόλπῳ αὐτῆς. καὶ τὸν υἱὸν ἑαυτοῦ τὸν τεθνηκότα, ἐκοίμησεν
ἐν τῷ κόλπῳ μου. καὶ ἀνέστην τὸ πρωῒ θηλάσαι τὸν υἱόν μου. καὶ
ἐκεῖνος ἦν τεθνηκώς. καὶ ἰδοὺ κατενόησα αὐτὸν πρωῒ, καὶ ἰδοὺ
οὐκ ἦν ὁ υἱός μου ὃν ἔτεκον. καὶ εἶπεν ἡ γυνὴ ἑτέρα οὐχί. ἀλ-
λὰ ὁ υἱός μου ὁ ζῶν. ὁ δὲ υἱός σου ὁ τεθνηκώς, καὶ ἐλάλησαν ἐνώ-
πιον τοῦ βασιλέως. καὶ εἶπεν ὁ βασιλεὺς αὐταῖς. σὺ λέγεις ὅτι
οὗτος ὁ υἱός μου, ὁ ζῶν. καὶ ὁ υἱὸς ταύτης ὁ τεθνηκώς. καὶ σὺ λέ-
γεις, ὅτι οὐχί. ἀλλ' ἢ ὁ υἱός μου ὁ ζῶν, καὶ ὁ υἱός σου ὁ τεθνηκώς.
καὶ εἶπεν ὁ βασιλεὺς λάβετέ μοι μάχαιραν. καὶ προσήνεγκαν
τὴν μάχαιραν ἐνώπιον τοῦ βασιλέως. καὶ εἶπεν ὁ βασιλεύς. δι-
έλετε τὸ παιδάριον τὸ ζῶν τὸ θηλάζον, εἰς δύο. καὶ δότε τὸ ἥμισυ
αὐτοῦ ταύτῃ, καὶ τὸ ἥμισυ αὐτοῦ ταύτῃ. καὶ ἀπεκρίθη ἡ γυνὴ
ἧς ὁ υἱὸς ὁ ζῶν, καὶ εἶπε πρὸς τὸν βασιλέα ὅτι ἐταράχθη ἡ μή-
τρα αὐτῆς ἐπὶ τῷ υἱῷ αὐτῆς καὶ εἶπεν. ἐν ἐμοὶ κύριε δότε αὐ-
τῇ τὸ παιδίον, καὶ θανάτῳ μὴ θανατώσητε αὐτό. καὶ αὕτη εἶπε
μήτε ἐμοὶ μήτε ταύτῃ ἔστω. διέλετε. καὶ ἀπεκρίθη ὁ βασι-
λεὺς καὶ εἶπε. δότε τὸ παιδίον τὸ ζῶν τῇ γυναικὶ τῇ εἰπούσῃ. δό-
τε αὐτῇ αὐτό, καὶ θανάτῳ μὴ θανατώσητε αὐτό. αὕτη ἡ μήτηρ

αὐτοῦ· καὶ ἤκουσε πᾶς ἰσραὴλ τὸ κρίμα τοῦτο ὃ ἔκρινεν ὁ βασιλεύς, καὶ ἐφοβήθησαν ἀπὸ προσώπου τοῦ βασιλέως· ὅτι εἶδον ὅτι φρόνησις θεοῦ ἐν αὐτῷ.

Κεφάλαιον. δ. 4.

Καὶ ἦν ὁ βασιλεὺς σαλωμὼν, βασιλεύων ἐπὶ ἰσραήλ. καὶ οὗτοι οἱ ἄρχοντες οἳ ἦσαν αὐτοῦ. ἀζαρίας υἱὸς σαδὼκ ὁ ἱερεύς. ἐλιὰμ καὶ ἀχιὰ υἱοὶ σεισὰ γραμματεῖς καὶ ἰωσαφὰτ υἱὸς ἀχιλὶδ ἀναμιμνήσκων. καὶ βαναίας υἱὸς ἰωδαὲ ἐπὶ τῆς δυνάμεως. καὶ σαδὼκ καὶ ἀβιάθαρ ἱερεῖς. καὶ ἀζαρίας υἱὸς νάθαν ἐπὶ τῶν καθεσταμένων. καὶ ζαβοὺθ υἱὸς νάθαν ἑταῖρος τοῦ βασιλέως. καὶ ἀχισὰρ ἦν οἰκονόμος. καὶ ἐλιὰβ υἱὸς σαφὰτ ἐπὶ τῆς πατριᾶς. καὶ ἀδωνιρὰμ υἱὸς αὐδὼν ἐπὶ τῶν φόρων. καὶ τῷ σαλωμῶντι δώδεκα καθεστάμενοι ἐπὶ πάντα ἰσραήλ. χορηγεῖν τῷ βασιλεῖ καὶ τῷ οἴκῳ αὐτοῦ. μῆνα ἐν τῷ ἐνιαυτῷ. ἐγίνετο ἐπὶ τὸν ἕνα χορηγεῖν καὶ ταῦτα τὰ ὀνόματα αὐτῶν. βαινὼρ ἐν ὄρει ἐφραὶμ εἷς. υἱὸς δάκαρ. ἐν μαχεμαὰτ. καὶ ἐν βηθσαλαμίμ. καὶ ἐν βαιθσαμίς. καὶ αἰλὼν ἕως βαιθανάμ. εἷς υἱὸς ἐσὲδ ἐν ἀραβὼθ αὐτοῦ σωχώ. καὶ πᾶσα ἡ γῆ ὀφὲρ υἱοῦ ἀμιναδάβ. πᾶσαν νεφθαδώρ. τεφὰθ. θυγάτηρ σαλωμῶντος ἦν αὐτῷ εἰς γυναῖκα. εἷς βανὰ υἱὸς ἀχιλοὺθ τὴν ἰθααναὰχ, καὶ μαγεδδῶ, καὶ πᾶς ὁ οἶκος σάν. ὁ πρὸς σῶλ. σαρθὰν ὑπὸ κάτω τοῦ ἰσραήλ. καὶ ἐκ βηθσὰν, ἕως σαβελμαουλᾶ, ἕως βεμὲρ λαὶ ἐκ μαὰλ εἷς. υἱὸς γαβὲρ ἐν ῥαβὼθ γαλαάδ. τούτῳ σχοίνισμα ἐργὰβ, ἣ ἐν τῇ βασάν. ἑξήκοντα πόλεις μεγάλαι τειχήρεις. καὶ μοχλοὶ χαλκοῖ εἷς ἀχιναδὰβ υἱὸς σαδδῶ μαναΐμ. ἀχιμαὰς. ἐν νεφθαλείμ, καὶ οὗτος ἔλαβε τὴν μασεμαὰθ θυγατέρα σολομῶντος εἰς γυναῖκα. βαανᾶ υἱὸς χουσὶ ἐν ἀσήρ. καὶ ἐν βααλώθ. ἰωσαφὰτ, υἱὸς φαρουέμ. ἐν ἰσσάχαρ. σεμεῒ υἱὸς ἠλὰ ἐν τῷ βενιαμίν. γάβερ υἱὸς ἀδαῒ ἐν τῇ γῇ γαλαὰδ σηὼν, βασιλέως τοῦ ἐσεβών. καὶ ὢγ βασιλέως τοῦ βασάν. καὶ νασὴβ εἷς ἐν γῇ ἰουδᾶ. καὶ ἐχορήγουν οἱ καθεστάμενοι οὗτοι τῷ βασιλεῖ σαλωμῶντι. καὶ πάντα τὰ

παγγέλματα εἰς τὴν τράπεζαν τοῦ βασιλέως ἕκαστος μῆνα αὐ-
τοῦ οὐ παραλλάσσουσι λόγον. καὶ τὰς κριθὰς καὶ τὸ ἄχυρον τοῖς
ἵπποις. καὶ τοῖς ἅρμασιν. ἦρον εἰς τὸν τόπον οὗ ἂν ᾖ, ὁ βασιλεὺς
ἕκαστος κατὰ τὴν σύνταξιν αὐτοῦ. καὶ ἔδωκε κύριος σοφίαν καὶ
φρόνησιν τῷ σολομῶντι πολλὴν σφόδρα, καὶ χύμα καρδίας, ὡς
ἡ ἄμμος ἡ παρὰ τὴν θάλασσαν. καὶ ἐπληθύνθη σοφία σολομῶν-
τος σφόδρα ὑπὲρ τὴν φρόνησιν πάντων ἀρχαίων ἀνθρώπων
καὶ ὑπὲρ πάντας φρονίμους αἰγύπτου. καὶ ἐσοφίσατο ὑπὲρ
πάντας ἀνθρώπους. καὶ ἐσοφίσατο ὑπὲρ γαιθὰν τὸν ἰσραηλίτην
καὶ αἰμὰν. καὶ τὸν χαλχὰδ. καὶ τὸν δαρδὰ υἱοῦ σαμὰδ. καὶ
ἐλάλησε σολομῶν τρεῖς χιλιάδας παραβολάς. καὶ ἦσαν αἱ ᾠ-
δαὶ αὐτοῦ, πεντακισχίλιαι. καὶ ἐλάλησε περὶ τῶν ξύλων ἀπὸ
τῆς κέδρου τῆς ἐν τῷ λιβάνῳ, καὶ ἕως τῆς ὑσσώπου τῆς ἐκπορευο-
μένης διὰ τοῦ τοίχου. καὶ ἐλάλησε περὶ τῶν κτηνῶν καὶ περὶ τῶν πε-
τεινῶν καὶ περὶ τῶν ἑρπετῶν καὶ περὶ τῶν ἰχθύων. καὶ παρεγίνοντο
πάντες οἱ λαοὶ, ἀκοῦσαι τὴν σοφίαν σολομῶντος. καὶ ἐλάμβανε
δῶρα παρὰ πάντων τῶν βασιλέων τῆς γῆς, ὅσοι ἤκουον τὴν σοφί-
αν αὐτοῦ.

Κεφάλαιον. ε. 5.

Αἰ ἀπέστειλε χειρὰμ βασιλεὺς τύρου τοὺς παῖδας
κ αὐτοῦ, χρῖσαι πρὸς σολομῶντα. ἤκουσε γὰρ, ὅτι
αὐτὸν ἔχρισαν εἰς βασιλέα ἀντὶ δαβὶδ τοῦ πατρὸς
αὐτοῦ, ὅτι ἀγαπῶν ἦν χειρὰμ τὸν δαβὶδ πάσας τὰς ἡμέρας. καὶ
ἀπέστειλε σολομῶν πρὸς χειρὰμ λέγων. σὺ οἶδας τὸν πατέρα μου
δαβὶδ, ὅτι οὐκ ἠδύνατο οἰκοδομῆσαι οἶκον τῷ ὀνόματι κυρί-
ου θεοῦ μου ἀπὸ προσώπου τῶν πολέμων τῶν κυκλωσάντων αὐτὸν,
ἕως τοῦ δοῦναι κύριον αὐτοὺς ὑπὸ τὰ ἴχνη τῶν ποδῶν αὐτοῦ. καὶ νῦν ἀ-
νέπαυσε κύριος ὁ θεός μου ἐμοὶ κυκλόθεν. οὐκ ἔστιν ἐπίβουλος
καὶ οὐκ ἔστιν ἀπάντημα πονηρόν. καὶ ἰδοὺ ἐγὼ λέγω οἰκοδο-
μῆσαι οἶκον τῷ ὀνόματι κυρίου θεοῦ μου καθὼς ἐλάλησε κύρι-
ος πρὸς δαβὶδ τὸν πατέρα μου λέγων. ὁ υἱός σου ὃν δώσω ἀν-

τὶ σοῦ ἐπὶ τὸν θρόνον σου, οὗτος οἰκοδομήσει οἶκον τῷ ὀνόματί μου· καὶ νῦν ἔντειλαι καὶ κοψάτωσάν μοι ξύλα ἐκ τοῦ λιβάνου καὶ ἰδοὺ οἱ δοῦλοί μου, μετὰ τῶν δούλων σου καὶ τὸν μισθὸν δουλείας σου δώσω σοι κατὰ πάντα ὅσα ἂν εἴπῃς· ὅτι σὺ οἶδας, ὅτι οὐκ ἔστιν ἡμῖν εἰδὼς ξύλα κόπτειν καθὼς οἱ σιδώνιοι· καὶ ἐγενήθη καθὼς ἤκουσε χιρὰμ τῶν λόγων σολομῶντος, ἐχάρη σφόδρα καὶ εἶπεν· εὐλογητὸς ὁ θεὸς σήμερον· ὃς ἔδωκε τῷ δαβὶδ υἱὸν φρόνιμον ἐπὶ τὸν λαὸν τὸν πολὺν τοῦτον· καὶ ἀπέστειλε πρὸς σολομῶντα λέγων· ἀκήκοα περὶ πάντων ὧν ἀπέσταλκας πρός με· ἐγὼ ποιήσω πᾶν θέλημά σου· ξύλα κέδρινα καὶ πεύκινα οἱ δοῦλοί μου κατάξουσιν αὐτὰ ἐκ τοῦ λιβάνου εἰς τὴν θάλασσαν· καὶ ἐγὼ θήσομαι αὐτὰ σχεδίας, ἐκ τοῦ τόπου οὗ ἐὰν ἀποστείλῃς πρός με· καὶ ἐκτινάξω αὐτὰ ἐκεῖ· καὶ σὺ ἀρεῖς καὶ ποιήσεις τὸ θέλημά μου τοῦ δοῦναι ἄρτους τῷ οἴκῳ μου· καὶ ἦν χιρὰμ διδοὺς τῷ σολομῶντι κέδρους καὶ πεύκας καὶ πᾶν θέλημα αὐτοῦ· καὶ σολομῶν ἔδωκε τῷ χιρὰμ, εἴκοσι χιλιάδας κόρους πυροῦ καὶ μαχὶλ τῷ οἴκῳ αὐτοῦ· καὶ εἴκοσι χιλιάδας βαὶθ ἐλαίου κεκοπανισμένου· κατὰ τὸ αὐτὸ ἐδίδου σολομῶν τῷ χιρὰμ κατ' ἐνιαυτόν· καὶ κύριος ἔδωκε σοφίαν τῷ σολομῶντι, καθὼς ἐλάλησεν αὐτῷ· καὶ ἦν ἀνὰ μέσον σολομῶντος εἰρήνη καὶ ἀνὰ μέσον χιρὰμ· καὶ διέθεντο διαθήκην ἀνὰ μέσον αὐτῶν· καὶ ἀνήνεγκεν ὁ βασιλεὺς φόρον ἐκ παντὸς ἰσραήλ, καὶ ἦν ὁ φόρος τριάκοντα χιλιάδες ἀνδρῶν, καὶ ἀπέστειλεν αὐτοὺς εἰς τὸν λίβανον δέκα χιλιάδες ἐν τῷ μηνὶ ἀλλασσόμενοι· μῆνα ἦσαν ἐν τῷ λιβάνῳ· καὶ δύο μῆνας ἐν τῷ οἴκῳ αὐτῶν· καὶ ἀδωνιρὰμ ἐπὶ τοῦ φόρου· καὶ ἦσαν τῷ σολομῶντι ἑβδομήκοντα χιλιάδες αἴροντες ἄρσιν· καὶ ὀγδοήκοντα χιλιάδες λατόμων ἐν τῷ ὄρει χωρὶς τῶν ἀρχόντων τῶν καθεσταμένων ἐπὶ τῶν ἔργων τῷ σολομῶντι τρεῖς χιλιάδες καὶ ἑξακόσιοι ἐπιστάται οἱ ποιοῦντες τὰ ἔργα· καὶ ἡτοίμασαν τοὺς λίθους καὶ τὰ ξύλα τρία ἔτη·

Κεφάλαιον ς. 6.

a Καὶ ἐγενήθη ἐν τῷ τεσσαρακοστῷ. καὶ τετρακοσιοστῷ ἔτει τῆς ἐξόδου τῶν ὑιῶν ἰσραὴλ ἐξ αἰγύπτου τῷ ἔτει τῷ τετάρτῳ. ἐν μηνὶ τῷ δευτέρῳ βασιλεύοντος τοῦ βασιλέως Σολομῶν ἐπὶ τὸν ἰσραήλ. καὶ ἐνετείλατο ὁ βασιλεὺς καὶ αἴρουσι λίθους τιμίους μεγάλους εἰς τὸν θεμέλιον τοῦ οἴκου καὶ λίθους ἀπελεκήτους καὶ ἐπελέκησαν οἱ ὑιοὶ σολομῶν. καὶ οἱ ὑιοὶ χιράμ. καὶ ἐνέβαλον αὐτοὺς ἐν τῷ ἔτει τῷ τετάρτῳ ἐθεμελίωσε τὸν οἶκον κυρίου. ἐν μηνὶ ἰδίου. μηνὶ τῷ δευτέρῳ ἐν δὲ κάτῳ ἐνιαυτῷ ἐν μηνὶ βουάλ. αὐτὸς ὁ ἦν μὴν ὁ ὄγδοος συνετελέσθη ὁ οἶκος εἰς πάντα λόγον αὐτοῦ. καὶ εἰς πᾶσαν διάταξιν αὐτοῦ. καὶ ᾠκοδόμησε αὐτὸν, ἐν ἑπτὰ ἔτεσι. καὶ ᾠκοδόμησε τὸν οἶκον τῷ κυρίῳ. καὶ ὁ οἶκος ὃν ᾠκοδόμησεν ὁ βασιλεὺς Σολομῶν τῷ κυρίῳ, τεσσαράκοντα πήχεων τὸ μῆκος αὐτοῦ, καὶ εἴκοσι ἐν πήχει πλάτος αὐτοῦ. καὶ πέντε καὶ εἴκοσι ἐν πήχει τὸ ὕψος αὐτοῦ. καὶ τὸ αὐλὰμ κατὰ πρόσωπον αὐτοῦ εἰς τὸ ὕψος τοῦ οἴκου. δέκα πήχεις πλάτος αὐτοῦ. κατὰ πρόσωπον τοῦ οἴκου. καὶ ᾠκοδόμησε τὸν οἶκον καὶ συνετέλεσεν αὐτόν. καὶ ἐποίησε τῷ οἴκῳ θυρίδας διαπαρακυπτομένας κρυπτάς. καὶ ἔδωκεν ἐπὶ τὸν τοῖχον τοῦ οἴκου μέλαθρα κυκλόθεν τῷ ναῷ. καὶ τῷ δαβείρ. καὶ ἐποίησε πλευρὰς κυκλόθεν. ἡ πλευρὰ ἡ ὑποκάτω πέντε πήχεων τὸ πλάτος αὐτῆς, καὶ τὸ μέσον ἐξ πήχεων τὸ πλάτος. καὶ ἡ τρίτη ἑπτὰ ἐν πήχει τὸ πλάτος αὐτῆς. ὅτι διάστημα ἔδωκε τῷ οἴκῳ κυκλόθεν ἔξωθεν τοῦ οἴκου. ὅπως μὴ ἐπιλαμβάνωνται τῶν τοίχων τοῦ οἴκου. καὶ ὁ οἶκος ἐν τῷ οἰκοδομεῖσθαι αὐτὸν, λίθοις ἀκροτόμοις ἀργοῖς ᾠκοδομήθη. καὶ σφύρα καὶ πέλεκυς καὶ πᾶν σκεῦος σιδηροῦ οὐκ ἠκούσθη ἐν τῷ οἴκῳ. ἐν τῷ οἰκοδομεῖσθαι αὐτόν. καὶ ὁ πυλὼν τῆς πλευρᾶς τῆς ὑποκάτωθεν ὑπὸ τὴν ὠμίαν τοῦ οἴκου τὴν δεξιάν. καὶ ἑλικτὴ ἀνάβασις εἰς τὸ μέσον. καὶ ἐκ τῆς μέσης ἐπὶ τὰ τριώροφα. καὶ ᾠκοδόμησε τὸν οἶκον. καὶ συνετέλεσεν

αὐτόν. καὶ ἐκοιλοστάθμησε τὸν οἶκον φατνώμασιν καὶ διατάξε-
σιν ἐν κέδροις. καὶ ᾠκοδόμησε τοὺς ἐνδέσμους δι' ὅλου τοῦ οἴκου.
πέντε ἐν πήχει τὸ ὕψος αὐτοῦ. καὶ συνέσχε τὸν σύνδεσμον ἐν ξύ-
λοις κεδρίνοις. καὶ ἐγένετο λόγος κυρίου πρὸς Σαλωμὼν λέγων.
ὁ οἶκος οὗτος ὃν σὺ οἰκοδομεῖς. ἐὰν ὁδεύῃς τοῖς προστάγμασί μου
καὶ τὰ κρίματά μου ποιῇς, καὶ φυλάττῃς πάσας τὰς ἐντολάς μου
ἀναστρέφεσθαι ἐν αὐταῖς, στήσω τὸν λόγον μου ὃν ἐλάλησε πρὸς
Δαβὶδ τὸν πατέρα σου, καὶ κατασκηνώσω ἐν μέσῳ υἱῶν ἰσρα-
ήλ. καὶ οὐκ ἐγκαταλείψω τὸν λαόν μου ἰσραήλ. καὶ ᾠκοδόμη-
σε Σαλωμὼν τὸν οἶκον καὶ συνετέλεσεν αὐτόν. καὶ ᾠκοδόμησε τοὺς
τοίχους τοῦ οἴκου ἔσωθεν διὰ ξύλων κεδρίνων. ἀπὸ τοῦ ἐδά-
φους τοῦ οἴκου καὶ ἕως τῶν τοίχων. καὶ ἕως τῶν δοκῶν. ἐκοιλο-
στάθμησε συνεχόμενα ξύλοις ἔσωθεν. καὶ περιέσχε τὸ ἔσω τοῦ
οἴκου ἐν πλευραῖς πευκίναις. καὶ ᾠκοδόμησε τοὺς εἴκοσι πήχεις
ἀπ' ἄκρου τοῦ τοίχου τὸ πλευρὸν τὸ ἓν ἀπὸ τοῦ ἐδάφους ἕως τῶν δοκῶν
καὶ ἐποίησεν αὐτῷ ἔσωθεν ἐκ τοῦ δαβεὶρ τοῦ τοῖχον. εἰς τὸ ἅγιον τῶν ἁ-
γίων. καὶ τεσσαράκοντα πηχέων ἦν ὁ ναὸς κατὰ πρόσωπον τοῦ
δαβεὶρ. ἐν μέσῳ τοῦ οἴκου ἔσωθεν. δοῦναι ἐκεῖ τὴν κιβωτὸν διαθή-
κης κυρίου. εἴκοσι πήχεις πλάτος. καὶ εἰς πρόσωπον τοῦ δα-
βεὶρ εἴκοσι πήχεις τὸ ὕψος αὐτοῦ. καὶ περιέσχεν αὐτὸ χρυσίῳ συγ-
κεκλεισμένῳ. καὶ ἐποίησε θυσιαστήριον κέδρινον κατὰ πρόσω-
πον τοῦ δαβεὶρ καὶ περιέσχεν αὐτὸ χρυσίῳ. καὶ ὅλον τὸν οἶκον
περιέσχε χρυσίῳ ἕως συντελείας παντὸς τοῦ οἴκου. καὶ ἐποίησεν
ἐν τῷ δαβεὶρ δύο χερουβεὶμ ξύλων κυπαρισσίνων δέκα πήχε-
ων μέγεθος ἐσταθμωμένον. καὶ πέντε πηχέων πτερύγιον τοῦ χε-
ρουβὶμ τοῦ ἑνός. καὶ πέντε πηχέων πτερύγιον αὐτοῦ δεύτερον δέ-
κα ἐν πήχει ἀπὸ μέρους πτερυγίου αὐτοῦ. εἰς μέρος πτερυγίου
αὐτοῦ. οὕτως τῷ χερουβὶμ τῷ δευτέρῳ ἐν μέτρῳ ἑνί. συντέλεια
μία ἀμφοτέροις. καὶ τὸ ὕψος τοῦ χερουβὶμ τοῦ ἑνός, δέκα ἐν πήχει.
καὶ οὕτω τῷ χερουβὶμ τῷ δευτέρῳ. καὶ ἀμφότερα τὰ χερουβὶμ ἐν

μέσῳ τοῦ οἴκου τοῦ ἐσωτάτου. καὶ διεπέτασε τὰς πτέρυγας αὐτῶν. καὶ ἥπτετο πτέρυξ μία τοῦ τοίχου τοῦ οἴκου. καὶ πτέρυξ χερουβὶμ τοῦ δευτέρου, ἥπτετο, τοῦ τοίχου τοῦ δευτέρου. καὶ αἱ πτέρυγες αὐτῶν ἐν μέσῳ τοῦ οἴκου. ἥπτοντο πτέρυξ πτέρυγος. καὶ περιέσχε τὰ χερουβὶμ χρυσίῳ. καὶ πάντας τοὺς τοίχους τοῦ οἴκου κύκλῳ, ἐγκολαπτὰ ἔγραψε γραφίδι χερουβίμ. καὶ φοίνικας τῷ ἐσωτέρῳ, καὶ τῷ ἐξωτέρῳ. καὶ τὸ ἔδαφος τοῦ οἴκου. περιέσχε χρυσίῳ τοῦ ἐσωτάτου, καὶ τοῦ ἐξωτάτου. καὶ τῷ θυρώματι τοῦ δαβὶρ. ἐποίησε θύρας ξύλων ἀρκευθίνων. καὶ φλιὰς πενταπλᾶς, καὶ δύο θύρας ξύλων πευκίνων. καὶ ἐγκολαπτὰ ἐπ' αὐτῶν ἐγκεκολαμμένα χερουβὶμ. καὶ φοίνικας καὶ πέταλα διαπεπετασμένα. καὶ περιέσχε χρυσίῳ. καὶ κατέβαινον ἐπὶ τὰ χερουβεὶμ, καὶ ἐπὶ τοὺς φοίνικας τὸ χρυσίον. καὶ οὕτως ἐποίησε τῷ πυλῶνι τοῦ ναοῦ. φλιαὶ ξύλων ἀρκεύθου στοαὶ τετραπλῶς, καὶ ἐπ' ἀμφοτέραις ταῖς θύραις ξύλα πεύκινα. δύο πτυχαὶ ἡ θύρα ἡ μία, καὶ στροφεῖς αὐτῶν. καὶ δύο πτυχαὶ ἡ θύρα ἡ δευτέρα, στρεφόμεναι, ἐγκεκολαμμέναι χερουβίμ. καὶ φοίνικες διαπεπετασμένα πέταλα. καὶ περιεχόμενα χρυσίῳ καταγομένῳ ἐπὶ τὴν ἐκτύπωσιν. καὶ ᾠκοδόμησε τὴν αὐλὴν τὴν ἐσωτάτην. τρεῖς στίχους ἀπελεκήτων. καὶ στίχους κατειργασμένης κέδρου κυκλόθεν. καὶ ᾠκοδόμησε τὴν αὐλὴν οἴκου κυρίου. τὴν ἐσωτάτην, τῷ αἰλὰμ τοῦ οἴκου τοῦ κατὰ πρόσωπον τοῦ ναοῦ.

Κεφάλαιον ζ. 7.

κ Αἰ ἀπέστειλεν ὁ βασιλεὺς σολομὼν εἰς τύρον. καὶ ἔλαβε τὸν χειρὰμ ἐκ τύρου υἱὸν γυναικὸς χήρας, καὶ οὗτος ἀπὸ τῆς φυλῆς τῆς νεφθαλείμ. καὶ ὁ πατὴρ αὐτοῦ, ἀνὴρ τύριος τέκτων χαλκοῦ, καὶ πεπληρωμένος τῆς τέχνης, καὶ συνέσεως καὶ ἐπιγνώσεως τοῦ ποιεῖν πᾶν ἔργον ἐν χαλκῷ. καὶ εἰσήχθη πρὸς τὸν βασιλέα σολομῶντα, καὶ ἐποίησε πάντα τὰ ἔργα. καὶ ἐχώνευσε τοὺς δύο στύλους τῷ αἰλὰμ τοῦ οἴκου, καὶ ὀκτω-

καὶ δέκα πήχεις ὕψος τοῦ στύλου. καὶ περίμετρον τεσσαρεσκαίδεκα πήχεις ἐκύκλου αὐτόν. καὶ τὸ πάχος τοῦ στύλου, τεσσάρων δακτύλων τὰ κοιλώματα. καὶ οὕτως ὁ στύλος ὁ δεύτερος. καὶ δύο ἐπιθέματα ἐποίησε δοῦναι, ἐπὶ τὰς κεφαλὰς τῶν στύλων χωνεύματα χαλκᾶ. πέντε πήχεις τὸ ὕψος τοῦ ἐπιθέματος τοῦ ἑνός, καὶ πέντε πήχεις τὸ ὕψος τοῦ ἐπιθέματος τοῦ δευτέρου, καὶ ἐποίησε δύο δίκτυα περικαλύψαι τὸ ἐπίθεμα τοῦ ἐπιθέματος καὶ ἐποίησε δύο δίκτυα περικαλύψαι τὸ ἐπίθεμα τῶν στύλων. καὶ δίκτυον τῷ ἐπιθέματι τῷ ἑνί. καὶ δίκτυον τῷ ἐπιθέματι τῷ δευτέρῳ. καὶ ἔργον κρεμαστόν, δύο στίχοι ῥοῶν χαλκῶν, δεδικτυωμένοι. ἔργον κρεμαστὸν στίχος ἐπὶ στίχον. καὶ οὕτως ἐποίησε τῷ ἐπιθέματι τῷ δευτέρῳ. καὶ ἐπιθέματα ἐπὶ τῶν κεφαλῶν τῶν στύλων, ἔργον κρίνου κατὰ τὸ αὐλάμ. καὶ ἔστησε τοὺς στύλους τοῦ αὐλὰμ τοῦ ναοῦ. καὶ ἔστησε τὸν στύλον τὸν ἕνα καὶ ἐπεκάλεσε τὸ ὄνομα αὐτοῦ ἰαχούμ. καὶ ἔστησε τὸν στύλον τὸν δεύτερον. καὶ ἐπεκάλεσε τὸ ὄνομα αὐτοῦ βολώζ. καὶ ἐπὶ τῶν κεφαλῶν τῶν στύλων, ἔργον κρίνου. καὶ ἐτελειώθη τὸ ἔργον τῶν στύλων. κατὰ τὸ αὐλὰμ τεσσάρων πηχῶν. καὶ μέλαθρον ἐπ᾽ ἀμφοτέρων τῶν στύλων. καὶ ἐπάνωθεν τῶν πλευρῶν, ἐπίθεμα τὸ μέλαθρον. καὶ τῶν ῥοῶν διακόσιοι στίχοι κύκλῳ, ἐπὶ τῆς κεφαλίδος τῆς δευτέρας, τῷ πάχει. καὶ ἐποίησε τὴν θάλασσαν χυτήν. δέκα ἐν πήχει ἀπὸ τοῦ χείλους αὐτῆς. ἕως τοῦ χείλους αὐτῆς, στρογγύλον κύκλῳ τὸ αὐτό. πέντε ἐν πήχει τὸ ὕψος αὐτῆς. καὶ συνηγμένη τριάκοντα ἐν πήχει ἐκύκλου αὐτήν. καὶ ὑποστηρίγματα ὑποκάτωθεν τοῦ χείλους αὐτῆς κυκλόθεν κυκλοῦν αὐτὴν δέκα ἐν πήχει. ἀνιστᾶν τὴν θάλασσαν κυκλόθεν. καὶ δώδεκα βόες ὑποκάτω τῆς θαλάσσης. οἱ τρεῖς ἐπιβλέποντες βορρᾶν, καὶ οἱ τρεῖς ἐπιβλέποντες θάλασσαν. καὶ οἱ τρεῖς ἐπιβλέποντες νότον. καὶ οἱ τρεῖς ἐπιβλέποντες ἀνατολήν. καὶ πάντα τὰ ὀπίσθια εἰς τὸν οἶκον. καὶ ἡ θάλασσα ἐπ᾽ αὐτῶν ἐπάνωθεν. καὶ τὸ χεῖλος αὐτῆς, ὡς ἔργον χεί-

λους ποτηρίου βλαστὸς κρίνου. καὶ τὸ πάχος αὐτοῖς παλαιστής, καὶ ἐποίησε δέκα μεχωνὼθ χαλκᾶς. πέντε πήχεις τῆς μεχωνὼθ τῆς μιᾶς, καὶ τέσσαρες πήχεις τὸ πλάτος αὐτῆς. καὶ ἓξ ἐν πήχει τὸ ὕψος αὐτῆς. καὶ τοῦτο τὸ ἔργον τῶν μεχωνὼθ συγκλειστὸν αὐτοῖς, καὶ συγκλειστὸν ἀνὰ μέσον τῶν ἐξεχομένων. καὶ ἐπὶ τὰ συγκλείσματα αὐτῶν ἀνὰ μέσον τῶν ἐξεχομένων, λέοντες καὶ βόες. καὶ χερουβίμ. καὶ ἐπὶ τῶν ἐξεχομένων οὕτως. καὶ ἐπάνωθεν. καὶ ὑποκάτωθεν τῶν λεόντων καὶ τῶν βοῶν, χῶραι. ἔργον καταβάσεως. καὶ τέσσαρες τροχοὶ χαλκοῖ, τῇ μεχωνὼθ τῇ μιᾷ. καὶ τὰ προσέχοντα χαλκᾶ. καὶ τέσσαρα μέρη αὐτῶν καὶ ὠμίαι αὐτοῖς ὑποκάτωθεν τῶν λουτήρων, καὶ ὠμίαι κεχυμέναι ἀπὸ πέραν ἀνδρὸς προσκείμεναι. καὶ τὸ στόμα αὐτοῦ ἔσωθεν τῆς κεφαλίδος καὶ ἄνω ἐν πήχει. καὶ στόμα αὐτοῦ στρογγυλοῦν. ποίημα ὀκτὼ πήχεως, καὶ ἐπὶ στόματος αὐτοῦ διατορεύματα. καὶ διάπηγα αὐτῶν τετράγωνα οὐ στρογγύλα. καὶ τέσσαρες οἱ τροχοί. εἰς ὑποκάτωθεν τῶν διαπήγων. καὶ χεῖρες ἐν τοῖς τροχοῖς ἐν τῇ μεχωνώθ. καὶ τὸ ὕψος τοῦ τροχοῦ τοῦ ἑνὸς πήχεως, καὶ ἡμίσους. καὶ τὸ ἔργον τῶν τροχῶν ἔργον τροχῶν ἅρματος. αἱ χεῖρες αὐτῶν καὶ οἱ νῶτοι αὐτῶν καὶ ἡ πραγματεία αὐτῶν, τὰ πάντα χωνευτά. αἱ τέσσαρες ὠμίαι ἐπὶ τῶν τεσσάρων γωνιῶν τῆς μεχωνὼθ τῆς μιᾶς. ἐκ τῆς μεχωνὼθ οἱ ὦμοι αὐτῆς. καὶ ἐπὶ τῆς κεφαλῆς τῆς μεχωνὼθ, ἥμισυ τοῦ πήχεως. μέγεθος αὐτῆς στρογγύλον, κύκλῳ ἐπὶ τῆς κεφαλῆς τῆς μεχωνώθ. καὶ ἀρχὴ χειρῶν αὐτῆς. καὶ τὰ συγκλείσματα αὐτῆς. καὶ ἠνοίγετο ἐπὶ τὰς ἀρχὰς τῶν χειρῶν αὐτῆς. καὶ τὰ συγκλείσματα αὐτῆς. χερουβὶμ καὶ λέοντες καὶ φοίνικες ἑστῶτα. ἐχόμενα ἕκαστον κατὰ πρόσωπον αὐτοῦ ἔσωθεν κυκλόθεν. κατ᾿ αὐτὴν ἐποίησε πάσας τὰς δέκα μεχωνὼθ τάξιν μίαν καὶ μέτρον ἐν πάσαις. καὶ ἐποίησε δέκα χυτρογαύλους χαλκοῦς τεσσαράκοντα χοεῖς χωροῦντα τὸν ἕνα χυτρόγαυλον. μετρήσει τεσσάρων πηχῶν. χυτρόγαυλος ὁ εἷς ἐπὶ τῆς μεχωνὼθ

τῆς μιᾶς ταῖς δέκα μεχωνώθ. καὶ ἔθετο τὰς δέκα μεχωνὼθ πέντε ἀπὸ τῆς ὠμίας τοῦ οἴκου ἐκ δεξιῶν, κατὰ ἀνατολάς, καὶ πέντε ἀπὸ τῆς ὠμίας τοῦ οἴκου ἐξ ἀριστερῶν. καὶ ἡ θάλασσα ἀπὸ τῆς ὠμίας τοῦ οἴκου ἐκ δεξιῶν κατ' ἀνατολὰς ἀπὸ τοῦ κλίτους τοῦ νότου. καὶ ἐποίησε χειρὰμ τοὺς λέβητας, καὶ τὰς θερμὰς τρεῖς. καὶ τὰς φιάλας. καὶ συνετέλεσε χειρὰμ ποιῶν πάντα τὰ ἔργα ἃ ἐποίησε τῷ βασιλεῖ σολομῶντι ἐν οἴκῳ κυρίου. στύλους δύο. καὶ τὰ στρεπτὰ τῶν στύλων ἐπὶ τῶν κεφαλῶν τῶν στύλων δύο. καὶ τὰ δίκτυα δύο, τοῦ καλύπτειν ἀμφότερα τὰ στρεπτὰ τῶν γλυφῶν τὰ ὄντα ἐπὶ τῶν στύλων. τὰς ῥοὰς τετρακοσίας ἀμφοτέροις τοῖς δικτύοις. δύο στίχοι ῥοῶν τῷ δικτύῳ τῷ ἑνί, περικαλύπτειν ἀμφότερα τὰ στρεπτὰ ἐπ' ἀμφοτέροις τοῖς στύλοις. καὶ τὰ μεχωνὼθ δέκα. καὶ τοὺς χυτρογαύλους δέκα ἐπὶ τῶν μεχωνώθ. καὶ τὴν θάλασσαν μίαν καὶ τοὺς βόας δώδεκα ὑποκάτω τῆς θαλάσσης καὶ τοὺς λέβητας καὶ τὰς θέρμας τρεῖς καὶ τὰς φιάλας καὶ πάντα τὰ σκεύη ἃ ἐποίησε χειρὰμ τῷ βασιλεῖ σολομῶντι τῷ οἴκῳ κυρίου. καὶ οἱ στύλοι τεσσαράκοντα, καὶ ὀκτὼ τοῦ οἴκου τοῦ βασιλέως καὶ τοῦ οἴκου κυ. πάντα τὰ ἔργα τοῦ βασιλέως ἃ ἐποίησε χειρὰμ, χαλκᾶ ἄρδην. οὐκ ἦν σταθμὸς τοῦ χαλκοῦ οὗ ἐποίησε πάντα τὰ ἔργα ταῦτα ἐκ πλήθους σφόδρα. οὐκ ἦν τέρμα τῷ σταθμῷ τοῦ χαλκοῦ οὗ ἐποίησεν ἐν τῷ περιοίκῳ τοῦ ἰορδάνου ἐχώνευσεν αὐτὰ ὁ βασιλεὺς ἐν τῷ πάχει τῆς γῆς. ἀνὰ μέσον σοκχώθ, καὶ ἀνὰ μέσον γεδράν. καὶ ἔλαβεν ὁ βασιλεὺς σολομῶν πάντα τὰ σκεύη ἃ ἐποίησεν ἐν τῷ οἴκῳ κυρίου. τὸ θυσιαστήριον τὸ χρυσοῦν καὶ τὴν τράπεζαν ἐφ' ἧς οἱ ἄρτοι τῆς προθέσεως, χρυσῆν καὶ τὰς λυχνίας. πέντε ἐκ δεξιῶν, καὶ πέντε ἐξ ἀριστερῶν, κατὰ πρόσωπον τοῦ δαβὴρ. χρυσᾶς συγκεκλεισμένας. καὶ τὰ λαμπάδια καὶ τοὺς λύχνους, καὶ τὰς ἐπαρυστρίδας χρυσᾶς. καὶ τὰ πρόθυρα καὶ οἱ ἧλοι. καὶ αἱ φιάλαι. καὶ τὰ τρυβλία. καὶ αἱ θυΐσκαι

χρυσαῖ· συγκλεισαί. καὶ τὰ θυρώματα τῶν θυρῶν τοῦ οἴκου, τοῦ ἐσωτάτου ἁγίου τῶν ἁγίων καὶ τὰς θύρας τοῦ οἴκου τοῦ ναοῦ χρυσᾶς. καὶ ἀνεπληρώθη πᾶν τὸ ἔργον ὃ ἐποίησε σολομὼν ἐν οἴκῳ κυρίου. καὶ εἰσήνεγκε σολομὼν τὰ ἅγια δαβὶδ τοῦ πατρὸς αὐτοῦ. καὶ πάντα τὰ ἅγια σολομὼν τὸ ἀργύριον, καὶ τὸ χρυσίον καὶ τὰ σκεύη ἔδωκεν εἰς τοὺς θησαυροὺς οἴκου κυρίου. καὶ τὸν οἶκον αὐτοῦ ᾠκοδόμησε σολομὼν, τρισκαίδεκα ἔτεσι. καὶ ᾠκοδόμησε τὸν οἶκον, δρυμοῦ τοῦ λιβάνου. ἑκατὸν πήχεις μῆκος αὐτοῦ, καὶ πεντήκοντα πήχεις πλάτος αὐτοῦ. καὶ τριάκοντα πηχῶν ὕψος αὐτοῦ. καὶ τριῶν στίχων ξύλων κεδρίνων. καὶ ὠμίαι κέδριναι τοῖς στύλοις. καὶ ἐφάτνωσε τὸν οἶκον ἄνωθεν ἐπὶ τῶν πλευρῶν τῶν στύλων, καὶ ἀριθμὸς τῶν στύλων, τεσσαράκοντα καὶ πέντε. δεκαπέντε ὁ στίχος. καὶ μέλαθρα τρία. καὶ χώρα ἐπὶ χώραν τρισσῶς. καὶ πάντα τὰ θυρώματα, καὶ αἱ χῶραι τετράγωνοι μεμελαθρωμένα. καὶ ἀπὸ τοῦ θυρώματος ἐπὶ θύραν τρισσῶς. καὶ τὸ αὐλὰμ τῶν στύλων, πεντήκοντα πηχῶν μῆκος. καὶ πεντήκοντα πηχῶν ἐν πλάτει. ἐζυγωμένα αὐλὰμ ἐπὶ πρόσωπον αὐτῶν. καὶ στύλοι, καὶ πάχος ἐπὶ πρόσωπον αὐτῆς, τοῖς ἐλαμμείν. καὶ τὸ αὐλὰμ τῶν θρόνων οὗ κρινεῖ ἐκεῖ. τὸ αὐλὰμ τοῦ κριτηρίου. καὶ ὁ οἶκος αὐτῶν ἐν ᾧ καθήσεται ἐκεῖ, αὐλὴ μία ἐξελισσομένη τούτοις κατὰ τὸ ἔργον τοῦτο. καὶ οἶκον τῇ θυγατρὶ φαραὼ ἣν ἔλαβε σολομὼν, κατὰ τὸ αἰλὰμ τοῦτο. πάντα ταῦτα, ἐκ λίθων τιμίων κεκολαμμένα ἐκ διαστήματος ἔσωθεν καὶ ἐκ τῶν θεμελίου ἕως τῶν γεισῶν. καὶ ἔξωθεν εἰς τὴν αὐλὴν τὴν μεγάλην τὴν τεθεμελιωμένην ἐν λίθοις τιμίοις μεγάλοις λίθοις δεκαπήχεσι καὶ τοῖς ὀκταπήχεσι. καὶ ἐπάνωθεν τιμίοις κατὰ τὸ μέτρον ἀπελεκήτων. καὶ κέδροις τῆς αὐλῆς τῆς μεγάλης κύκλῳ. τρεῖς στίχοι ἀπελεκήτων. καὶ στίχος κεκολαμμένης κέδρου. καὶ συνετέλεσε σολομὼν, ὅλον τὸν οἶκον αὐτοῦ.

Κεφάλαιον. η΄. ς.

κ Αἰ ἐγένετο ἐν τῷ συντελέσαι σολομὼν τοῦ οἰκοδομῆσαι τὸν οἶκον κυρίου. καὶ τὸν οἶκον αὐτοῦ μετὰ εἴκοσι ἔτη. τότε ἐξεκκλησίασεν ὁ βασιλεὺς σολομὼν, πάντας τοὺς πρεσβυτέρους ἰσραὴλ ἐν σιὼν, τοῦ ἀνενεγκεῖν τὴν κιβωτὸν διαθήκης ἐκ πόλεως δαβίδ. αὕτη ἐστὶ σιὼν ἐν μηνὶ ἀθανείν. καὶ ἦραν οἱ ἱερεῖς τὴν κιβωτὸν, καὶ τὸ σκήνωμα τοῦ μαρτυρίου, καὶ πάντα τὰ σκεύη τὰ ἅγια, τὰ ἐν τῷ σκηνώματι τοῦ μαρτυρίου. καὶ ὁ βασιλεύς. καὶ πᾶς ἰσραὴλ ἔμπροσθεν τῆς κιβωτοῦ θύοντες βόας καὶ πρόβατα ἀναρίθμητα. καὶ εἰσφέρουσιν οἱ ἱερεῖς τὴν κιβωτὸν, εἰς τὸν τόπον αὐτῆς εἰς τὸ δαβεὶρ τοῦ οἴκου. εἰς τὰ ἅγια τῶν ἁγίων ὑπὸ τὰς πτέρυγας τῶν χερουβεῖμ. ὅτι τὰ χερουβεῖμ διαπεπετασμένα ταῖς πτέρυξιν ἐπὶ τὸν τόπον τῆς κιβωτοῦ. καὶ περικεκάλυπτον τὰ χερουβεῖμ ἐπὶ τὴν κιβωτὸν, καὶ ἐπὶ τὰ ἅγια αὐτῆς ἐπάνωθεν. καὶ ὑπερεῖχε τὰ ἡγιασμένα. καὶ ἐνεβλέποντο αἱ κεφαλαὶ τῶν ἡγιασμένων ἐκ τῶν ἁγίων εἰς πρόσωπον τοῦ δαβείρ. καὶ οὐκ ὠπτάνοντο ἔξω. οὐκ ἦν ἐν τῇ κιβωτῷ πλὴν αἱ δύο πλάκες λίθιναι. πλάκες τῆς διαθήκης ἃς ἔθηκεν ἐκεῖ μωϋσῆς ἐν χωρήβ. ἃς διέθετο κύριος μετὰ τῶν υἱῶν ἰσραὴλ ἐν τῷ ἐκπορεύεσθαι αὐτῶν ἐκ γῆς αἰγύπτου. καὶ ἐγένετο ὡς ἐξῆλθον οἱ ἱερεῖς ἐκ τοῦ ἁγίου, καὶ ἡ νεφέλη ἔπλησε τὸν οἶκον. καὶ οὐκ ἠδύναντο οἱ ἱερεῖς στῆναι λειτουργεῖν ἀπὸ προσώπου τῆς νεφέλης, ὅτι ἔπλησεν ἡ δόξα κυρίου τὸν οἶκον. καὶ ἀπέστρεψεν ὁ βασιλεὺς τὸ πρόσωπον αὐτοῦ. καὶ εὐλόγησε ὁ βασιλεὺς, τὸν πάντα ἰσραήλ. καὶ πᾶσα ἡ ἐκκλησία ἰσραὴλ εἱστήκει. καὶ εἶπεν. εὐλογητὸς κύριος ὁ θεὸς ἰσραὴλ σήμερον ὃς ἐλάλησεν ἐν στόματι αὐτοῦ περὶ δαβὶδ τοῦ πατρός μου. καὶ ἐν ταῖς χερσὶν αὐτοῦ ἐπλήρωσε λέγων. ἀφ' ἧς ἡμέρας ἐξήγαγον τὸν λαόν μου ἰσραὴλ ἐξ αἰγύπτου, οὐκ ἐξελεξάμην ἐν πόλει ἐν ἑνὶ σκήπτρῳ ἰσραὴλ τοῦ οἰκοδομῆσαι οἶκον τοῦ εἶναι τὸ ὄνομά μου ἐκεῖ. καὶ ἐξελεξάμην ἐν ἱερουσαλήμ

σαλὴμ τοῦ εἶναι τὸ ὄνομά μου ἐκεῖ· καὶ ἐξελεξάμην τὸν δαβὶδ τοῦ
εἶναι ἡγούμενον ἐπὶ τὸν λαόν μου ἰσραήλ· καὶ ἐγένετο ἐπὶ τῆς
καρδίας δαβὶδ τοῦ πατρός μου, οἰκοδομῆσαι οἶκον τῷ ὀνό-
ματι κυρίου θεοῦ ἰσραὴλ, καὶ εἶπε κύριος πρὸς δαβὶδ τὸν πατέ-
ρα μου· ἀνθ' ὧν ἦλθεν ἐπὶ τὴν καρδίαν σου τοῦ οἰκοδομῆσαι οἶ-
κον τῷ ὀνόματί μου, καλῶς ἐποίησας ὅτι ἐγενήθη ἐπὶ τὴν καρδί-
αν σου· σὺ πλὴν οὐκ οἰκοδομήσεις τὸν οἶκον· ἀλλ' ἢ ὁ υἱός σου ὁ ἐ-
ξελθὼν ἐκ τῶν πλευρῶν σου, οὗτος οἰκοδομήσει τὸν οἶκον τῷ ὀ-
νόματί μου καὶ ἀνέστησε κύριος τὸ ῥῆμα αὐτοῦ ὃ ἐλάλησε. καὶ ἀνέ-
στην ἀντὶ δαβὶδ τοῦ πατρός μου· καὶ ἐκάθισα ἐπὶ τοῦ θρόνου ἰσραὴλ
καθὼς ἐλάλησε κύριος· καὶ ᾠκοδόμησα τὸν οἶκον τῷ ὀνόματι
κυρίου θεοῦ ἰσραήλ· καὶ ἐθέμην ἐκεῖ τόπον τῇ κιβωτῷ ἐν ᾗ ἐστι
διαθήκη κυρίου ἣν διέθετο κύριος μετὰ τῶν πατέρων ἡμῶν ἐν
τῷ ἐξαγαγεῖν αὐτοὺς ἐκ γῆς αἰγύπτου· καὶ ἔστη σαλομὼν κατὰ πρό-
σωπον τοῦ θυσιαστηρίου κυρίου ἐνώπιον πάσης ἐκκλησίας υἱῶν ἰ-
σραὴλ, καὶ διεπέτασε τὰς χεῖρας αὐτοῦ εἰς τὸν οὐρανὸν, καὶ εἶπε κύ-
ριε ὁ θεὸς ἰσραήλ· οὐκ ἔστι θεὸς ὡς σὺ ἐν τῷ οὐρανῷ ἄνω καὶ ἐπὶ
τῆς γῆς κάτω, φυλάσσων διαθήκην, καὶ τὸ ἔλεος τῷ δούλῳ σου
τῷ πορευομένῳ ἐνώπιόν σου ἐν ὅλῃ καρδίᾳ αὐτοῦ ἃ ἐφύλα-
ξας τῷ δούλῳ σου δαβὶδ τῷ πατρί μου, καὶ ἐλάλησας ἐν τῷ στό-
ματί σου, καὶ ἐν χερσί σου ἐπλήρωσας ὡς ἡ ἡμέρα αὕτη. καὶ νῦν κύ-
ριε ὁ θεὸς ἰσραὴλ φύλαξον τῷ δούλῳ δαβὶδ τῷ πατρί μου ἃ ἐλά-
λησας αὐτῷ λέγων· οὐκ ἐξαρθήσεταί σοι ἀνὴρ· ἐκ προσώπου
μου καθήμενος ἐπὶ θρόνου ἰσραὴλ πλὴν ἐὰν φυλάξονται τὰ τέκνα
σου τὰς ὁδοὺς αὐτῶν τοῦ πορεύεσθαι ἐνώπιόν μου καθὼς ἐπο-
ρεύθης ἐνώπιον ἐμοῦ καὶ νῦν κύριε ὁ θεὸς ἰσραὴλ, πιστωθήτω δὴ
τὸ ῥῆμά σου δαβὶδ τῷ πατρί μου, ὅτι εἰ ἀληθῶς κατοικήσει
ὁ θεὸς μετὰ ἀνθρώπων ἐπὶ τῆς γῆς· εἰ ὁ οὐρανὸς τοῦ οὐρανοῦ οὐκ ἀρκέ-
σουσί σοι, πλὴν καὶ ὁ οἶκος οὗτος ὃν ᾠκοδόμησα τῷ ὀνόματί
σου· καὶ ἐπιβλέψῃ ἐπὶ τὴν δέησίν μου κύριε ὁ θεὸς ἰσραήλ.

ἀκούειν τῆς τέρψεως καὶ τῆς προσευχῆς ἧς ὁ δοῦλός σου προσεύχεται ἐνώπιόν σου σήμερον πρὸς σὲ τοῦ εἶναι τοὺς ὀφθαλμούς σου ἠνεῳγμένους εἰς τὸν οἶκον τοῦτον ἡμέρας, καὶ νυκτὸς εἰς τὸν τόπον ὃν εἶπας ἔσται τὸ ὄνομά μου ἐκεῖ τοῦ εἰσακούειν τῆς προσευχῆς ἧς προσεύχεται ὁ δοῦλός σου εἰς τὸν τόπον τοῦτον ἡμέρας καὶ νυκτὸς καὶ εἰσακούσῃ τῆς δεήσεως τοῦ δούλου σου καὶ τοῦ λαοῦ σου ἰσραὴλ ἃ ἂν προσεύχωνται εἰς τὸν τόπον τοῦτον, καὶ σὺ εἰσακούσῃ ἐν τῷ τόπῳ τῆς κατοικήσεώς σου ἐν τῷ οὐρανῷ· καὶ ποιήσεις καὶ ἵλεως ἔσῃ ὅσα ἂν ἁμάρτῃ ἕκαστος τῷ πλησίον αὐτοῦ. καὶ ἐὰν λάβῃ ἐπ' αὐτὸν ἀρὰν τοῦ ἀράσασθαι αὐτόν· καὶ ἔλθῃ, καὶ ἐξαγορεύσῃ κατὰ πρόσωπον τοῦ θυσιαστηρίου σου ἐν τῷ οἴκῳ τούτῳ καὶ σὺ εἰσακούσῃ ἐκ τοῦ οὐρανοῦ καὶ ποιήσεις· καὶ κρινεῖς τὸν λαόν σου ἰσραὴλ ἀνομηθῆναι ἄνομον δοῦναι τὴν ὁδὸν αὐτοῦ εἰς κεφαλὴν αὐτοῦ· καὶ τοῦ δικαιῶσαι δίκαιον δοῦναι αὐτῷ κατὰ τὴν δικαιοσύνην αὐτοῦ ἐν τῷ πταῖσαι τὸν λαόν σου ἰσραήλ, ἐνώπιον ἐχθρῶν, ὅτι ἁμαρτήσονταί σοι· καὶ ἐπιστρέψουσι, καὶ ἐξομολογήσονται τῷ ὀνόματί σου, καὶ προσεύξονται, καὶ δεηθήσονται ἐν τῷ οἴκῳ τούτῳ καὶ σὺ εἰσακούσῃ ἐκ τοῦ οὐρανοῦ, καὶ ἵλεως ἔσῃ ταῖς ἁμαρτίαις τοῦ λαοῦ σου, ἰσραήλ· καὶ ἐπιστρέψεις αὐτοὺς εἰς τὴν γῆν ἣν ἔδωκας τοῖς πατράσιν αὐτῶν ἐν τῷ συσχεθῆναι τὸν οὐρανόν, καὶ μὴ γενέσθαι ὑετόν, ὅτι ἁμαρτήσονταί σοι, καὶ προσεύξονται εἰς τὸν τόπον τοῦτον καὶ ἐξομολογήσονται τῷ ὀνόματί σου, καὶ ἀπὸ τῶν ἁμαρτιῶν αὐτῶν ἐπιστρέψουσιν ὅταν ταπεινώσεις αὐτούς· καὶ εἰσακούσῃ ἐκ τοῦ οὐρανοῦ, καὶ ἵλεως ἔσῃ ταῖς ἁμαρτίαις δούλου σου καὶ τοῦ λαοῦ σου ἰσραήλ· ὅτι δηλώσεις αὐτοῖς τὴν ὁδὸν τὴν ἀγαθὴν πορεύεσθαι ἐν αὐτῇ· καὶ δώσεις ὑετὸν ἐπὶ τὴν γῆν ἣν ἔδωκας τῷ λαῷ σου ἐν κληρονομίᾳ· λιμὸς ἐὰν γένηται, θάνατος ἐὰν γένηται ὅτι ἔσται ἐμπυρισμός· βροῦχος ἐρυσίβη ἐὰν γένηται· καὶ ἐὰν θλίψῃ αὐτὸν ὁ ἐχθρὸς αὐτοῦ ἐν μιᾷ τῶν πόλεων αὐτοῦ· πᾶν συνάντημα πάντα πόνον· πᾶσαν

προσευχὴν· πᾶσαν δέησιν ἐὰν γένηται παντὶ ἀνθρώπῳ, ὡς ἂν γνῶσιν ἕκαστος ἁφὴν καρδίας αὐτοῦ καὶ διαπετάσῃ τὰς χεῖρας αὐτοῦ εἰς τὸν οἶκον τοῦτον καὶ σὺ εἰσακούσῃ ἐκ τοῦ οὐρανοῦ ἐξ ἑτοίμου κατοικητηρίου σου καὶ ἵλεως ἔσῃ καὶ ποιήσεις καὶ δώσεις ἀνδρὶ κατὰ τὰς ὁδοὺς αὐτοῦ καθὼς ἂν γνῷς τὴν καρδίαν αὐτοῦ. ὅτι σὺ μονώτατος οἶδας τὴν καρδίαν πάντων υἱῶν ἀνθρώπων. ὅπως φοβῶνταί σε πάσας τὰς ἡμέρας ἃς αὐτοὶ ζῶσιν ἐπὶ τῆς γῆς ἧς ἔδωκας τοῖς πατράσιν ἡμῶν, καὶ τῷ ἀλλοτρίῳ ὃς οὐκ ἔστιν ἐκ τοῦ λαοῦ σου οὗτος, καὶ ἥξουσι καὶ προσεύξονται εἰς τὸν τόπον τοῦτον, καὶ σὺ εἰσακούσῃ ἐκ τοῦ οὐρανοῦ ἐξ ἑτοίμου καθοικητηρίου σου· καὶ ποιήσεις κατὰ πάντα ὅσα ἂν ἐπικαλέσηταί σε ὁ ἀλλότριος. ὅπως γνῶσι πάντες οἱ λαοὶ τῆς γῆς τὸ ὄνομά σου, καὶ φοβῶνταί σε καθὼς ὁ λαός σου ἰσραήλ, καὶ γνῶσιν, ὅτι τὸ ὄνομά σου ἐπικέκληται ἐπὶ τὸν οἶκον τοῦτον ὃν ᾠκοδόμησα. ὅτι ἐξελεύσεται ὁ λαός σου εἰς πόλεμον ἐπὶ ἐχθροὺς αὐτοῦ ἐν ὁδῷ ᾗ ἀποστρέψεις αὐτούς. καὶ προσεύξονται ἐν ὀνόματι κυρίου ὁδὸν τῆς πόλεως ἧς ἐξελέξω ἐν αὐτῇ. καὶ τοῦ οἴκου οὗ ᾠκοδόμησα τῷ ὀνόματί σου, καί σὺ εἰσακούσῃ ἐκ τοῦ οὐρανοῦ τῆς δεήσεως αὐτῶν, καὶ τῆς προσευχῆς αὐτῶν. καὶ ποιήσεις τὸ δικαίωμα αὐτῆς, ὅτι ἁμαρτήσονταί σοι. ὅτι οὐκ ἔστιν ἄνθρωπος ὃς οὐχ ἁμαρτήσεται. καὶ ἐπάξεις ἐπ' αὐτοὺς καὶ παραδώσεις, αὐτοὺς ἐνώπιον ἐχθρῶν. καὶ αἰχμαλωτιοῦσιν αὐτοὺς οἱ αἰχμαλωτίζοντες γῆν μακρὰν ἢ ἐγγύς. καὶ ἐπιστρέψουσιν καρδίας αὐτῶν ἐν τῇ γῇ οὗ μετηνέχθησαν ἐκεῖ. καὶ ἐπιστρέψωσι καὶ δεηθῶσί σου ἐν τῇ γῇ μετοικίας αὐτῶν λέγοντες ἡμάρτομεν ἠνομήσαμεν. καὶ ἠδικήσαμεν, ἐπιστρέψωσι πρὸς σὲ ἐν ὅλῃ καρδίᾳ αὐτῶν καὶ ἐν ὅλῃ ψυχῇ αὐτῶν ἐν τῇ γῇ ἐχθρῶν αὐτῶν οὗ μετήγαγες αὐτούς. καὶ προσεύξονται πρὸς σὲ ὁδὸν γῆς αὐτῶν ἧς ἔδωκας τοῖς πατράσιν αὐτῶν καὶ τῆς πόλεως ἧς ἐξελέξω, καὶ τοῦ οἴκου οὗ ᾠκοδόμησα τῷ ὀνόματί σου. καὶ εἰσακούσῃ ἐκ τοῦ οὐρανοῦ ἐξ ἑτοίμου κατοικητη-

ρίου σου καὶ ἵλεως ἔσῃ ταῖς ἀδικίαις αὐτῶν αἷς ἥμαρτόν σοι. καὶ
κατὰ πάντα τὰ ἀθετήματα αὐτῶν, ἃ ἠθέτησάν σοι. καὶ δώσεις
αὐτοὺς εἰς οἰκτιρμούς, ἐνώπιον τῶν αἰχμαλωτησάντων αὐτούς.
καὶ οἰκτιρήσουσιν αὐτούς, ὅτι λαός σου καὶ κληρονομία σου οὓς
ἐξήγαγες ἐκ γῆς αἰγύπτου ἐκ μέσου χωνευτηρίου σιδήρου. καὶ
ἔστωσαν οἱ ὀφθαλμοί σου καὶ τὰ ὦτά σου ἠνεῳγμένα εἰς τὴν δέ-
ησιν τοῦ δούλου σου. καὶ εἰς τὴν δέησιν τοῦ λαοῦ σου ἰσραήλ. εἰσακού-
ειν αὐτοῖς ἐν πᾶσιν οἷς ἂν ἐπικαλέσωνταί σε. ὅτι σὺ διέστειλας αὐ-
τοὺς σεαυτῷ εἰς κληρονομίαν ἐκ πάντων τῶν λαῶν τῆς γῆς. καθὼς
ἐλάλησας ἐν χειρὶ δούλου σου μωϋσέως, ἐν τῷ ἐξαγαγεῖν σε τοὺς
πατέρας ἡμῶν ἐκ γῆς αἰγύπτου κύριε κύριε. τότε ἐλάλησε σο-
λομῶν ὑπὲρ τοῦ οἴκου ὡς συνετέλεσε τοῦ οἰκοδομῆσαι αὐτόν.
ἥλιον ἐγνώρισεν ἐν οὐρανῷ. κύριος εἶπε τοῦ κατοικεῖν ἐν γνό-
φῳ. οἰκοδόμησον οἶκόν μου. οἶκον εὐπρεπῆ σεαυτῷ τοῦ κατοικεῖν
ἐπὶ καινότητος. οὐκ ἰδοὺ αὕτη γέγραπται ἐν βιβλίῳ τῆς ᾠδῆς
καὶ ἐγένετο ὡς συνετέλεσε σολομὼν προσευχόμενος πρὸς
κύριον ὅλην τὴν προσευχὴν καὶ τὴν δέησιν ταύτην. καὶ ἀνέ-
στη ἀπὸ προσώπου τοῦ θυσιαστηρίου κυρίου ὀκλακὼς ἐπὶ τὰ γό-
νατα αὐτοῦ. καὶ αἱ χεῖρες αὐτοῦ διαπεπετασμέναι εἰς τὸν οὐρα-
νόν. καὶ ἔστη καὶ εὐλόγησε πᾶσαν ἐκκλησίαν ἰσραὴλ φωνῇ με-
γάλῃ λέγων. εὐλογητὸς κύριος σήμερον ὃς ἔδωκε κατάπαυσιν
τῷ λαῷ αὐτοῦ ἰσραήλ, κατὰ πάντα ὅσα ἐλάλησεν οὐ διεφώνη-
σε λόγος εἷς, ἐν πᾶσι τοῖς λόγοις αὐτοῦ τοῖς ἀγαθοῖς οἷς ἐλάλησε
ἐν χειρὶ μωϋσέως δούλου αὐτοῦ, γένοιτο κύριος ὁ θεὸς ἡμῶν
μεθ' ἡμῶν καθὼς ἦν μετὰ τῶν πατέρων ἡμῶν. καὶ μὴ ἐγκατα-
λίποιτο ἡμᾶς μηδὲ ἀποστρέψαι ἡμᾶς ἐπικλῖναι καρδίας ἡ-
μῶν πρὸς αὐτὸν τοῦ πορεύεσθαι ἐν πάσαις ταῖς ὁδοῖς αὐτοῦ. καὶ φυ-
λάσσειν πάσας τὰς ἐντολὰς αὐτοῦ καὶ τὰ προστάγματα αὐτοῦ ἃ
ἐνετείλατο τοῖς πατράσιν ἡμῶν. καὶ ἔστωσαν οἱ λόγοι οὗτοι οὓς
δεδέημαι ἐνώπιον κυρίου θεοῦ ἡμῶν σήμερον, ἐγγίζοντες

πρὸς κύριον θεὸν ἡμῶν ἡμέρας καὶ νυκτός. τοῦ ποιεῖν τὸ δικαίω-
μα τοῦ δούλου σου καὶ τὸ δικαίωμα λαοῦ σου ἰσραὴλ ῥῆμα ἡ-
μέρας ἐν τῇ ἡμέρᾳ αὐτοῦ. ὅπως γνῶσι πάντες οἱ λαοὶ τῆς γῆς.
ὅτι κύριος ὁ θεὸς, αὐτὸς θεός. καὶ οὐκ ἔστιν ἔτι. καὶ ἔστωσαν αἱ
καρδίαι ἡμῶν τέλειαι πρὸς κύριον θεὸν ἡμῶν, ὁσίως πορεύε-
σθαι ἐν τοῖς προστάγμασιν αὐτοῦ. καὶ φυλάσσειν τὰς ἐντολὰς αὐ-
τοῦ, ὡς ἡ ἡμέρα αὕτη. καὶ ὁ βασιλεὺς καὶ πάντες οἱ υἱοὶ ἰσρα-
ὴλ ἔθυσαν θυσίαν ἐνώπιον κυρίου. καὶ ἔθυσεν ὁ βασιλεὺς σαλω-
μὼν, τὰς θυσίας τῶν εἰρηνικῶν ἃς ἔθυσε τῷ κυρίῳ, βοῶν δύο
καὶ εἴκοσι χιλιάδας. προβάτων ἑκατὸν καὶ εἴκοσι χιλιάδας καὶ ἐ-
νεκαίνισε τὸν οἶκον κυρίου ὁ βασιλεύς, καὶ πάντες οἱ υἱοὶ ἰηλ. τῇ
ἡμέρᾳ ἐκείνῃ, ἡγίασεν ὁ βασιλεύς, τὸ μέσον τῆς αὐλῆς τὸ κατὰ
πρόσωπον τοῦ οἴκου κυρίου. ὅτι ἐποίησεν ἐκεῖ τὴν ὁλοκαύτω-
σιν καὶ τὰς θυσίας. καὶ τὰ στέατα τῶν εἰρηνικῶν. ὅτι τὸ θυσια-
στήριον τὸ χαλκοῦν τὸ ἐνώπιον κυρίου μικρὸν τοῦ μὴ δύνασθαι τὴν ὁ-
λοκαύτωσιν καὶ τὸ δῶρον καὶ τὰς θυσίας τῶν εἰρηνικῶν καὶ ἐποί-
ησε σαλωμὼν τὴν ἑορτὴν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ πᾶς ἰσραὴλ
μετ' αὐτοῦ ἐν ἐκκλησίᾳ μεγάλῃ. ἀπὸ τῆς ὁδοῦ ἠθὴμ ἕως ποταμοῦ
αἰγύπτου ἐνώπιον κυρίου θεοῦ ἡμῶν. ἐν τῷ οἴκῳ, ᾧ ᾠκοδόμησεν
ἐσθίων καὶ πίνων καὶ εὐφραινόμενος ἐνώπιον κυρίου θεοῦ ἡμῶν
ἑπτὰ ἡμέρας. καὶ ἐν τῇ ἡμέρᾳ τῇ ὀγδόῃ. ἐξαπέστειλε τὸν λαὸν καὶ
εὐλόγησεν τὸν βασιλέα, καὶ ἀπῆλθεν ἕκαστος εἰς τὰ σκηνώματα
αὐτοῦ χαίροντες τῇ καρδίᾳ ἐπὶ τοῖς ἀγαθοῖς οἷς ἐποίησε κύρι-
ος τῷ δαβὶδ δούλῳ αὐτοῦ, καὶ τῷ ἰσραὴλ λαῷ αὐτοῦ.

## Κεφάλαιον θ. 9.

Αἰ ἐγενήθη ὡς συνετέλεσεν ὁ σαλωμὼν οἰκοδομῶν
κ τὸν οἶκον κυρίου καὶ τὸν οἶκον τοῦ βασιλέως καὶ πᾶσαν
τὴν πραγματείαν αὐτοῦ σαλωμὼν ὅσα ἠθέλησε ποιῆ-
σαι. καὶ ὤφθη κύριος τῷ σαλωμὼν ἐκ δευτέρου καθὼς ὤφθη ἐν γα-
βαὼν. καὶ εἶπεν αὐτῷ. ἤκουσα τῆς φωνῆς τῆς προσευχῆς σου, καὶ

τῆς δεήσεώς σου ἧς ἐδεήθης ἐνώπιόν μου· πεποίηκά σοι κατὰ πᾶ-
σαν τὴν προσευχήν σου, καὶ ἡγίακα τὸν οἶκον τοῦτον ὃν ᾠκοδόμη-
σας τοῦ θέσθαι τὸ ὄνομά μου ἐκεῖ εἰς τὸν αἰῶνα. καὶ ἔσονται οἱ ὀ-
φθαλμοί μου ἐκεῖ, καὶ καρδία μου πάσας τὰς ἡμέρας. καὶ σὺ ἐὰν
πορευθῇς ἐνώπιον ἐμοῦ καθὼς ἐπορεύθη δαβὶδ ὁ πατήρ σου ἐν
ὁσιότητι καρδίας καὶ ἐν εὐθύτητι, καὶ τοῦ ποιεῖν κατὰ πάντα
ἃ ἐνετειλάμην αὐτῷ. καὶ τὰ προστάγματά μου καὶ τὰς ἐντο-
λάς μου φυλάξῃς, καὶ ἀναστήσω τὸν θρόνον τῆς βασιλείας σου ἐπὶ
ἰσραὴλ εἰς τὸν αἰῶνα καθὼς ἐλάλησα δαβὶδ τῷ πατρί σου λέ-
γων. οὐκ ἐξαρθήσεταί σοι ἀνὴρ ἡγούμενος ἐν ἰσραήλ. ἐὰν δὲ ἀ-
ποστραφέντες ἀποστραφῆτε ὑμεῖς καὶ τὰ τέκνα ὑμῶν ἐπ' ἐμοῦ.
καὶ μὴ φυλάξητε τὰς ἐντολάς μου καὶ τὰ προστάγματά μου ἃ
ἔδωκε μωϋσῆς ἐνώπιον ὑμῶν. καὶ πορευθῆτε καὶ δουλεύσητε
θεοῖς ἑτέροις, καὶ προσκυνήσητε αὐτοῖς, καὶ ἐξαρῶ τὸν ἰσραὴλ
ἀπὸ τῆς γῆς ἧς ἔδωκα αὐτοῖς. καὶ τὸν οἶκον τοῦτον ὃν ἡγίασα τῷ
ὀνόματί μου, ἀπορρίψω ἐκ προσώπου μου. καὶ ἔσται ἰσραὴλ εἰς
ἀφανισμὸν, καὶ εἰς λάλημα εἰς πάντας τοὺς λαούς. καὶ ὁ οἶκος οὗ-
τος ὁ ὑψηλὸς, πᾶς ὁ διαπορευόμενος δι' αὐτοῦ, ἐκστήσεται καὶ
συριεῖ. καὶ ἐροῦσιν. ἕνεκεν τίνος ἐποίησε κύριος οὕτως τῇ γῇ
ταύτῃ καὶ τῷ οἴκῳ τούτῳ. καὶ ἐροῦσιν, ἀνθ' ὧν ἐγκατέλιπον κύ-
ριον τὸν θεὸν αὐτῶν. ὃς ἐξήγαγε τοὺς πατέρας αὐτῶν ἐξ αἰγύ-
πτου ἐξ οἴκου δουλείας, καὶ ἀντελάβοντο θεῶν ἀλλοτρίων. καὶ προ-
σεκύνησαν αὐτοῖς. καὶ ἐδούλευσαν αὐτοῖς. διὰ τοῦτο ἐπήγαγε
κύριος ἐπ' αὐτοὺς τὴν κακίαν ταύτην. τότε ἀνήγαγε σαλωμὼν
τὴν θυγατέρα φαραὼ ἐκ πόλεως δαβὶδ εἰς τὸν οἶκον αὐτοῦ ὃν ᾠ-
κοδόμησεν ἑαυτῷ ἐν ταῖς ἡμέραις ἐκείναις. εἴκοσι ἔτη ἐν οἷς
ᾠκοδόμησε σαλωμὼν τοὺς δύο οἴκους. τὸν οἶκον κυρίου, καὶ τὸν οἶ-
κον τοῦ βασιλέως. χιρὰμ βασιλεὺς τύρου ἀντελαμβάνετο τοῦ
σαλωμῶντος, ἐν ξύλοις κεδρίνοις, καὶ ἐν ξύλοις πευκίνοις. καὶ ἐν χρυ-
σίῳ. καὶ ἐν παντὶ θελήματι αὐτοῦ. τότε ἔδωκεν ὁ βασιλεὺς σα-

λομῶν τῷ χεράμ, εἴκοσι πόλεις ἐν τῇ γῇ γαλιλαίᾳ. καὶ ἐξῆλθε χερὰμ ἐκ τύρου καὶ ἐπορεύθη εἰς τὴν γαλιλαίαν, τοῦ ἰδεῖν τὰς πόλεις ἃς ἔδωκεν αὐτῷ σολομών. καὶ οὐκ ἤρεσαν αὐτῷ καὶ εἶπε. τί αἱ πόλεις αὗται ἃς ἔδωκάς μοι ἀδελφέ. καὶ ἐκάλεσεν αὐτὰς ὅριον ἕως τῆς ἡμέρας ταύτης. καὶ ἤνεγκε χερὰμ τῷ σολομῶνι, ἑκατὸν καὶ εἴκοσι τάλαντα χρυσίου. καὶ ναῦν ὑπὲρ οὗ ἐποίησεν ὁ βασιλεὺς σολομών. ἐργασίων γαβὲρ. τὴν οὖσαν ἐχομένην αἰλὰθ, ἐπὶ τοῦ χείλους τῆς θαλάσσης τῆς ἐσχάτης. ἐν γῇ ἐδώμ. καὶ ἀπέστειλε χερὰμ ἐν τῇ νηῒ τῶν παίδων αὐτοῦ. ἄνδρας ναυτικοὺς ἐλαύνειν εἰδότας θάλασσαν μετὰ τῶν παίδων σολομῶντος. καὶ ἦλθεν εἰς σωφηρὰ καὶ ἔλαβον ἐκεῖθεν χρυσίου τετρακόσια καὶ εἴκοσι τάλαντα, καὶ ἤνεγκε τῷ βασιλεῖ σολομῶντι. καὶ βασίλισσα σαβὰ, ἤκουσε τὸ ὄνομα σολομῶντος καὶ τὸ ὄνομα κυρίου, καὶ ἦλθε πειράσαι αὐτὸν ἐν αἰνίγμασι. καὶ ἦλθεν εἰς ἱερουσαλὴμ ἐν δυνάμει βαρείᾳ σφόδρα. καὶ κάμηλοι αἴρουσαι ἡδύσματα καὶ χρυσίον πολὺ σφόδρα. καὶ λίθον τίμιον. καὶ εἰσῆλθε πρὸς σολομῶντα. καὶ ἐλάλησεν αὐτῷ πάντα ὅσα ἦν ἐν τῇ καρδίᾳ αὐτῆς. καὶ ἀπήγγειλεν αὐτῇ σολομὼν πάντας τοὺς λόγους αὐτῆς. οὐκ ἦν λόγος παρεωραμένος ὑπὸ τοῦ βασιλέως. ὃν οὐκ ἀπήγγειλεν αὐτῇ. καὶ εἶδε βασίλισσα σαβὰ, πᾶσαν τὴν φρόνησιν σολομῶντος. καὶ τὸν οἶκον ὃν ᾠκοδόμησε. καὶ τὰ βρώματα σολομῶντος καὶ τὴν καθέδραν παίδων αὐτοῦ, καὶ τὴν στάσιν λειτουργῶν αὐτοῦ. καὶ τὸν ἱματισμὸν αὐτοῦ καὶ τοὺς οἰνοχόους αὐτοῦ. καὶ τὴν ὁλοκαύτωσιν αὐτοῦ ἣν ἀνέφερεν ἐν οἴκῳ κυρίου, καὶ ἐξ ἑαυτῆς ἐγένετο. καὶ εἶπε πρὸς τὸν σολομῶντα βασιλέα. ἀληθινὸς ὁ λόγος ὃν ἤκουσα ἐν τῇ γῇ μου περὶ τοῦ λόγου θεοῦ καὶ περὶ τῆς φρονήσεώς σου. καὶ οὐκ ἐπίστευσα τοῖς λαλοῦσί μοι, ἕως ὅτου παρεγενόμην καὶ ἑωράκασιν οἱ ὀφθαλμοί μου. καὶ ἰδοὺ οὐκ ἔστιν οὐδὲ τὸ ἥμισυ καθὼς ἀπήγγειλάν μοι. προστέθεικας ἀγαθὰ πρὸς αὐτὰ ἐπὶ πᾶσαν τὴν ἀκοὴν ἣν ἤ-

κουσα ἐν τῇ γῇ μου. μακάριαι αἱ γυναῖκές σου. μακάριοι οἱ
παῖδές σου οὗτοι οἱ παρεστηκότες ἐνώπιόν σου διόλου οἱ ἀκού
οντες πᾶσαν τὴν φρόνησίν σου. γένοιτο κύριος ὁ θεός σου εὐ
λογημένος ὃς ἠθέλησεν ἐν σοὶ δοῦναί σε ἐπὶ τοῦ θρόνου ἰσλ. διὰ
τὸ ἀγαπᾶν κύριον τὸν θεὸν ἰσραὴλ στῆσαι εἰς τὸν αἰῶνα. καὶ ἔθετό σε
βασιλέα ἐπ' αὐτοὺς, τοῦ ποιεῖν κρίμα ἐν δικαιοσύνῃ καὶ ἐν κρί
μασιν αὐτῶν. καὶ ἔδωκε τῷ σολομῶντι, εἴκοσι καὶ ἑκατὸν τά
λαντα χρυσίου. καὶ ἡδύσματα πολλὰ σφόδρα. καὶ λίθον τίμι
ον. οὐκ ἐληλύθει κατὰ τὰ ἡδύσματα ἐκεῖνα ἔτι εἰς πλῆθος, ἃ ἔ
δωκε βασίλισσα σαβὰ τῷ βασιλεῖ σολομῶντι. καὶ ἡ ναῦς χιρὰμ
ἡ αἴρουσα τὸ χρυσίον ἐκ σουφὶρ ἤνεγκε ξύλα ἀπελέκητα πολλὰ
σφόδρα. καὶ λίθον τίμιον. καὶ ἐποίησεν ὁ βασιλεὺς ὑποστηρί
γματα τοῦ οἴκου κυρίου. καὶ τοῦ οἴκου τοῦ βασιλέως καὶ νάβ
λας καὶ κινύρας τοῖς ᾠδοῖς οὐκ ἐληλύθει τοιαῦτα ξύλα τὰ ἀπελέκη
τα ἐπὶ τῆς γῆς. οὐδὲ ὤφθησάν που ἕως τῆς ἡμέρας ταύτης. καὶ ὁ βα
σιλεὺς σολομὼν ἔδωκε τῇ βασιλίσσῃ πάντα ὅσα ἠθέλησε καὶ
ὅσα ᾐτήσατο. ἐκτὸς πάντων ὧν δεδώκει αὐτῇ διὰ χειρὸς σολο
μῶντος τοῦ βασιλέως. καὶ ἀπεστράφη καὶ ἦλθεν εἰς τὴν γῆν αὐ
τῆς αὐτὴ καὶ πάντες οἱ παῖδες αὐτῆς. καὶ ἦν ὁ σταθμὸς τοῦ χρυσί
ου τοῦ ἐληλυθότος τῷ σολομῶντι ἐν ἐνιαυτῷ ἑνὶ, ἑξακόσια καὶ
ἑξήκοντα καὶ ἓξ τάλαντα χρυσίου. χωρὶς τῶν φόρων τῶν ὑπο
τεταγμένων καὶ τῶν ἐμπόρων καὶ πάντων τῶν βασιλέων τοῦ
πέραν. καὶ τῶν σατραπῶν τῆς γῆς. καὶ ἐποίησεν ὁ βασιλεὺς σο
λομῶν, τριακόσια δόρατα χρυσᾶ ἐλατά. τριακόσιοι χρυσοὶ
ἐπῆσαν ἐπὶ τὸ δόρυ τὸ ἕν. καὶ τριακόσια ὅπλα ἐλατὰ χρυσᾶ. τρεῖς
μναῖ χρυσίου ἐπῆσαν ἐπὶ τὸ ὅπλον τὸ ἕν. καὶ ἔδωκεν αὐτὰ ὁ βα
σιλεὺς, εἰς οἶκον δρυμοῦ τοῦ λιβάνου. καὶ ἐποίησεν ὁ βασιλεὺς θρό
νον ἐλεφάντινον μέγαν. καὶ περιεχρύσωσεν αὐτὸν, χρυσίῳ δο
κίμῳ. ἓξ ἀναβαθμοὶ τῷ θρόνῳ. καὶ προτομαὶ μόσχων τῷ θρόνῳ
ἐκ τῶν ὀπίσω αὐτοῦ, καὶ χεῖρες ἔνθεν καὶ ἔνθεν ἐπὶ τοῦ θρό

νου τῆς καθέδρας· καὶ δύο λέοντες ἑστηκότες παρὰ τὰς χεῖρας. καὶ δώδεκα λέοντες ἑστῶτες ἐκεῖ ἐπὶ τῶν ἓξ ἀναβαθμῶν ἔνθεν καὶ ἔνθεν. οὐκ ἐγένετο οὕτως πάσῃ βασιλείᾳ. καὶ πάντα τὰ σκεύη τὰ ὑπὸ τοῦ βασιλέως σολομῶντος γεγονότα χρυσᾶ καὶ λουτῆρες χρυσοῖ. καὶ πάντα τὰ σκεύη οἴκου δρυμοῦ τοῦ λιβάνου χρυσίῳ συγκεκλεισμένα. οὐκ ἦν ἀργύριον. ὅτι οὐκ ἦν λογιζόμενον ἐν ταῖς ἡμέραις σολομῶντος. ὅτι ναῦς θαρσεῖς τῷ βασιλεῖ σολομῶντι ἐν τῇ θαλάσσῃ μετὰ τῶν υἱῶν χειράμ. μία διὰ τριῶν ἐτῶν ἤρχετο τῷ βασιλεῖ ναῦς ἐκ θαρσεῖς χρυσίου καὶ ἀργυρίου καὶ ὀδόντων ἐλεφαντίνων καὶ πιθήκων καὶ λίθων τορευτῶν καὶ ἀπελεκήτων. αὕτη ἦν ἡ πραγματεία τῆς προνομῆς ἧς ἀνήνεγκεν ὁ βασιλεὺς σολομὼν οἰκοδομῆσαι τὸν οἶκον κυρίου καὶ τὸν οἶκον τοῦ βασιλέως, καὶ τὸ τεῖχος ἱερουσαλήμ. καὶ τὴν ἄκραν τοῦ περιφράξαι τὸν φραγμὸν τῆς πόλεως δαυίδ. καὶ τὴν ἀσσούρ. καὶ τὴν μαγδάλ. καὶ τὴν γαζέρ, καὶ τὴν βαιθωρὼν τὴν ἀνωτέραν. καὶ τὴν ἰεθερμὰθ καὶ πάσας τὰς πόλεις τῶν ἁρμάτων. καὶ πάσας τὰς πόλεις τῶν ἱππέων. καὶ τὴν πραγματείαν σολομῶντος ἣν ἐπραγματεύσατο οἰκοδομῆσαι ἐν ἱερουσαλὴμ καὶ ἐν πάσῃ τῇ γῇ τοῦ μὴ κατάρξαι αὐτοῦ πάντα τὸν λαὸν τὸν ὑπολελειμμένον. ὑπὸ τοῦ χετταίου καὶ τοῦ ἀμορραίου. καὶ τοῦ φερεζαίου. καὶ τοῦ χαναναίου. καὶ τοῦ εὐαίου. καὶ τοῦ ἰεβουσαίου. καὶ τοῦ γεργεσαίου, τῶν μὴ ὄντων ἐκ τῶν υἱῶν ἰσραὴλ τὰ τέκνα αὐτῶν τὰ ὑπολελειμμένα μετ' αὐτοῦ ἐν τῇ γῇ. οὓς οὐκ ἐδύναντο οἱ υἱοὶ ἰσραὴλ ἐξολοθρεῦσαι αὐτούς. καὶ ἀνήγαγεν αὐτοὺς σολομὼν εἰς φόρον, ἕως τῆς ἡμέρας ταύτης. καὶ ἐκ τῶν υἱῶν ἰσραήλ. οὐκ ἔδωκε σολομὼν εἰς πρᾶγμα, ὅτι αὐτοὶ ἦσαν ἄνδρες οἱ πολεμισταί. καὶ παῖδες αὐτοῦ καὶ ἄρχοντες τριαροὶ αὐτοῦ καὶ ἄρχοντες τῶν ἁρμάτων αὐτοῦ, καὶ ἱππεῖς αὐτοῦ, καὶ ἐμεγαλύνθη σολομὼν ὑπὲρ πάντας τοὺς βασιλεῖς τῆς γῆς, πλούτῳ καὶ φρονήσει. καὶ πάντες οἱ βασιλεῖς τῆς γῆς. ἐζήν

τοῦ τὸ πρόσωπον Σολομῶντος τοῦ ἀκοῦσαι τῆς φρονήσεως αὐτοῦ ἧς ἔδωκε κύριος ἐν τῇ καρδίᾳ αὐτοῦ. καὶ αὐτοὶ ἔφερον ἕκαστος τὰ δῶρα αὐτοῦ ἕκαστος σκεύη χρυσᾶ καὶ ἀργυρᾶ καὶ ἱματισμόν. στακτὴν καὶ ἡδύσματα καὶ ἵππους καὶ ἡμιόνους τὸ κατ' ἐνιαυτόν, ἐνιαυτόν. καὶ ἦσαν τῷ Σολομῶντι, τεσσαράκοντα χιλιάδες θήλειαι ἵπποι εἰς ἅρματα. καὶ δώδεκα χιλιάδες ἱππέων. καὶ ἔθετο αὐτὰς ἐν ταῖς πόλεσι τῶν ἁρμάτων καὶ μετὰ τοῦ βασιλέως ἐν ἱερουσαλήμ. καὶ ἦν ἡγούμενος πάντων τῶν βασιλέων. ἀπὸ τοῦ ποταμοῦ καὶ ἕως γῆς ἀλλοφύλων. καὶ ἕως ὁρίων αἰγύπτου. καὶ ἔδωκεν ὁ βασιλεὺς τὸ χρυσίον καὶ τὸ ἀργύριον ἐν ἱερουσαλὴμ ὡς λίθους. καὶ τὰς κέδρους ὡς συκαμίνους ἔδωκεν. καὶ τὰς ἐν τῇ πεδινῇ εἰς πλῆθος. καὶ ἡ ἔξοδος τῶν ἱππέων Σολομῶντος ἐξ αἰγύπτου, καὶ ἐκ θεκουέ, ἔμποροι τοῦ βασιλέως καὶ ἐλάμβανον ἐκ θεκουὲ ἐν ἀλλάγματι. καὶ ἀνέβαινεν ἡ ἔξοδος ἐξ αἰγύπτου, ἅρμα ἀντὶ ἑκατὸν ἀργυρίου. καὶ ἵππος ἀντὶ πεντήκοντα ἀργυρίου, καὶ οὕτως πᾶσι τοῖς βασιλεῦσι χετιείμ. καὶ βασιλεῦσι συρίας κατὰ θάλασσαν ἐξεπορεύοντο.

Κεφάλαιον ια. 11.

Αὶ ὁ βασιλεὺς Σολομὼν ἦν φιλογύναιος. καὶ ἔλαβε γυναῖκας ἀλλοτρίας. καὶ τὴν θυγατέρα φαραὼ μωαβίτιδας. ἀμμανίτιδας. σύρας, καὶ ἰδουμαίας. χετταίας. καὶ ἀμορραίας. ἐκ τῶν ἐθνῶν ὧν ἀπεῖπε κύριος τοῖς υἱοῖς ἰσραήλ. οὐκ εἰσελεύσεσθε εἰς αὐτάς. καὶ αὐτοὶ οὐκ εἰσελεύσονται εἰς ὑμᾶς. ἵνα μὴ ἐκκλίνωσι τὰς ψυχὰς ὑμῶν, ὀπίσω τῶν εἰδώλων αὐτῶν. εἰς αὐτοὺς ἐκολλήθη Σολομὼν τοῦ ἀγαπῆσαι. καὶ ἦσαν αὐτῷ γυναῖκες ἄρχουσαι, ἑπτακόσιαι. καὶ παλλακαὶ τριακόσιαι. καὶ ἐγενήθη ἐν τῷ καιρῷ γήρως Σολομῶντος, καὶ οὐκ ἦν καρδία αὐτοῦ τελεία μετὰ κυρίου θεοῦ αὐτοῦ, καθὼς ἡ καρδία δαβὶδ τοῦ πατρὸς αὐτοῦ. καὶ ἐπορεύθη σολομών, ὀπίσω τῆς ἀστάρτης βδελύγματος σιδωνίων. καὶ ὀπίσω

τοῦ βασιλέως αὐτῶν εἰδώλου υἱῶν ἀμμών. καὶ ἐποίησε σολομῶν
τὸ πονηρὸν ἐνώπιον κυρίου, καὶ οὐκ ἐπορεύθη ὀπίσω κυρίου, ὡς
δαβὶδ ὁ πατὴρ αὐτοῦ. καὶ ἐξέκλιναν αἱ γυναῖκες αἱ ἀλλότριαι
τὴν καρδίαν αὐτοῦ ὀπίσω θεῶν ἑτέρων. τότε ᾠκοδόμησε σολο-
μῶν ὑψηλὸν τῷ χαμὼς εἰδώλῳ μωάβ. καὶ τῷ βασιλεῖ αὐτῶν εἰ-
δώλῳ υἱῶν ἀμμών, καὶ τῇ ἀστάρτῃ βδελύγματι σιδωνίων. καὶ οὕ-
τως ἐποίησε πάσαις ταῖς γυναιξὶν αὐτοῦ ταῖς ἀλλοτρίαις αἳ ἐ-
θυμίων καὶ ἔθυον τοῖς εἰδώλοις αὐτῶν. καὶ ὠργίσθη κύριος ἐπὶ
σολομῶντι, ὅτι ἐξέκλινε καρδία αὐτοῦ ἀπὸ κυρίου θεοῦ ἰσρα-
ὴλ τοῦ ὀφθέντος αὐτῷ δὶς καὶ ἐντειλαμένου αὐτῷ δὶς ὑπὲρ
τοῦ λόγου τούτου, τὸ παράπαν μὴ πορευθῆναι ὀπίσω θεῶν ἑτέ-
ρων. καὶ φυλάξασθαι καὶ ποιῆσαι ἃ ἐνετείλατο αὐτῷ κύριος ὁ
θεός. καὶ εἶπε κύριος πρὸς σολομῶντα. ἀνθ' ὧν ἐγένετο ταῦτα
μετὰ σοῦ, καὶ οὐκ ἐφύλαξας τὰς ἐντολάς μου καὶ τὰ προστά-
γματά μου ἃ ἐνετειλάμην σοι, διαῤῥήσσων διαῤῥήξω τὴν βα-
σιλείαν σου ἐκ χειρός σου. καὶ δώσω αὐτὴν τῷ δούλῳ σου
πλὴν ἐν ταῖς ἡμέραις σου οὐ ποιήσω αὐτὰ διὰ δαβὶδ τὸν πα-
τέρα σου ἐκ χειρὸς υἱοῦ σου λήψομαι αὐτήν. πλὴν ὅλην τὴν βα-
σιλείαν οὐ μὴ λάβω. σκῆπτρον ἓν δώσω τῷ υἱῷ σου διὰ δαβὶδ
τὸν πατέρα σου καὶ διὰ ἱερουσαλὴμ τὴν πόλιν ἣν ἐξελεξάμην.
καὶ ἐξήγειρε κύριος σατὰν τῷ σολομῶντι τὸν ἄδερ τὸν ἰδου-
μαῖον. καὶ ἤγειρε κύριος τῷ σολομῶντι σατὰν τὸν ῥαζρὸν υἱὸν ἐλι-
δαὲ τὸν βαραμὲθ. καὶ τὸν ἀδραδέζερ βασιλέα σουβὰ κύριον αὐτοῦ.
καὶ συνηθροίσθησαν ἐπ' αὐτὸν ἄνδρες, καὶ ἦν ἄρχων συστρέμμα-
των. καὶ προκατελάβετο τὴν δαμασέκ. καὶ ἐκάθισεν ἐν αὐτῇ
καὶ ἐβασίλευσεν ἐν μασέκ, καὶ ἦν σατὰν τῷ ἰσραὴλ πά-
σας τὰς ἡμέρας σολομῶντος. καὶ ἄδερ ὁ ἰδουμαῖος ἐκ τοῦ σπέρ-
ματος τῆς βασιλείας ἐν ἰδουμαίᾳ. καὶ ἐγένετο ἐν τῷ ἐξολοθρεῦσαι
δαβὶδ τὸν ἐδὼμ ἐν τῷ πορευθῆναι ἰωὰβ τὸν ἄρχοντα τῆς
στρατιᾶς θάπτειν τοὺς τραυματίας, καὶ ἔκοψαν πᾶν ἀρσενικὸν ἐν

τῇ ἰδουμαίᾳ. ὅτι ἓξ μῆνας ἐνεκάθητο ἐκεῖ ἰωὰβ. καὶ πᾶς ἰσραὴλ
ἐν τῇ ἰδουμαίᾳ, ἕως ὅτου ἐξωλόθρευσαν πᾶν ἀρσενικὸν ἐκ τῆς
ἰδουμαίας. καὶ ἀπέδρα ἄδερ. αὐτὸς καὶ πάντες ἄνδρες ἰδου-
μαῖοι τῶν παίδων τοῦ πατρὸς αὐτοῦ μετ' αὐτοῦ. καὶ εἰσῆλθον
εἰς αἴγυπτον. καὶ ἄδερ παιδάριον μικρόν. καὶ ἀνίστανται ἄν-
δρες ἐκ τῆς πόλεως μαδιὰμ. καὶ ἔρχονται εἰς φαρὰν καὶ λαμ-
βάνουσιν ἄνδρας μεθ' αὐτῶν. καὶ ἔρχονται πρὸς φαραὼ βασι-
λέα αἰγύπτου. καὶ εἰσῆλθεν ἄδερ πρὸς φαραὼ καὶ ἔδωκεν αὐ-
τῷ οἶκον, καὶ ἄρτους διέταξεν αὐτῷ. καὶ γῆν ἔδωκεν αὐτῷ καὶ
εὗρεν ἄδερ χάριν ἐναντίον φαραὼ σφόδρα. καὶ ἔδωκεν αὐτῷ
γυναῖκα, ἀδελφὴν τῆς γυναικὸς αὐτοῦ. ἀδελφὴν θεκεμίνης τὴν
μείζω. καὶ ἔτεκεν αὐτῷ ἡ ἀδελφὴ θεκεμίνης τῷ ἄδερ τὸν γανη-
βὰθ υἱὸν αὐτοῦ. καὶ ἐξέθρεψεν αὐτὸν θεκεμῖνα, ἐν μέσῳ υἱῶν φα-
ραώ. καὶ ἦν γανηβὰθ ἐν μέσῳ υἱῶν φαραώ, καὶ ἄδερ ἤκουσεν ἐν
αἰγύπτῳ, ὅτι κεκοίμηται δαβὶδ μετὰ τῶν πατέρων αὐτοῦ. καὶ ὅτι
τέθνηκεν ἰωὰβ ὁ ἄρχων τῆς στρατιᾶς, καὶ εἶπεν ἄδερ πρὸς φαραώ.
ἐξαπόστειλόν με καὶ ἀποστρέψω εἰς τὴν γῆν μου. καὶ εἶπε φαραὼ
τῷ ἄδερ. τίνι σὺ ἐλαττονῇ μετ' ἐμοῦ. καὶ ἰδοὺ σὺ ζητεῖς ἀπελ-
θεῖν εἰς τὴν γῆν σου. καὶ εἶπεν αὐτῷ ἄδερ. ὅτι ἐξαποστέλλων ἐξ-
αποστελεῖς με. καὶ ἀνέστρεψεν ἄδερ εἰς τὴν γῆν αὐτοῦ. αὕτη ἡ κα-
κία ἣν ἐποίησεν ἄδερ καὶ ἐβαρύνθη ἐπὶ ἰσραὴλ, καὶ ἐβασίλευ-
σεν ἐν γῇ ἐδώμ. καὶ ἱεροβοὰμ υἱὸς ναβὰτ ἐφραθὶ ἐκ τῆς σαρρί-
ρα υἱὸς γυναικὸς χήρας δοῦλος σολομῶντος. καὶ τοῦτο τὸ πρᾶ-
γμα ὃ ἐποίησεν, ὡς ἐπήρατο χεῖρας ἐπὶ βασιλέα σολομῶντα. καὶ
ὁ βασιλεὺς σολομῶν, ᾠκοδόμησε τὴν ἄκραν. καὶ συνέκλεισε
τὸν φραγμὸν τῆς πόλεως δαβὶδ τοῦ πατρὸς ἑαυτοῦ. καὶ ὁ ἄνθρωπος
ἱεροβοὰμ ἰσχυρὸς δυνάμει. καὶ εἶδε σολομῶν τὸ παιδάριον, ὅτι
ἀνὴρ ἔργων ἐστὶ, καὶ κατέστησεν αὐτὸν ἐπὶ τὰς ἄρσεις οἴκου ἰωσήφ.
καὶ ἐγενήθη ἐν τῷ καιρῷ ἐκείνῳ, καὶ ἱεροβοὰμ ἐξῆλθεν ἐξ ἱερου-
σαλήμ. καὶ εὗρεν αὐτὸν ἀχιὰ ὁ σηλωνίτης ὁ προφήτης ἐν τῇ ὁδῷ

δῷ, καὶ μετέστησεν αὐτὸν ἐκ τῆς ὁδοῦ. καὶ ἀχιὰ περιβεβλημέ-
νος ἱματίῳ καινῷ, καὶ ἀμφότεροι μόνοι ἐν τῷ πεδίῳ. καὶ ἐπε-
λάβετο ἀχιὰ τοῦ ἱματίου αὐτοῦ τοῦ καινοῦ τοῦ ἐπ' αὐτοῦ, καὶ διέῤ-
ῥηξεν αὐτὸ δώδεκα ῥήγματα, καὶ εἶπε τῷ ἱεροβοάμ. λάβε σε-
αυτῷ δέκα ῥήγματα. ὅτι τάδε λέγει κύριος ὁ θεὸς ἰσραήλ. ἰ-
δοὺ ἐγὼ ῥήσσω τὴν βασιλείαν, ἐκ χειρὸς σολομῶνος. καὶ δώσω
σοι δέκα σκῆπτρα. καὶ δύο σκῆπτρα ἔσονται αὐτῷ, διὰ τὸν δοῦ-
λόν μου δαβίδ, καὶ διὰ ἱερουσαλὴμ τὴν πόλιν ἣν ἐξελεξάμην
ἐν αὐτῇ ἐκ πασῶν φυλῶν ἰσραήλ. ἀνθ' ὧν ἐγκατέλιπέ με καὶ ἐ-
ποίησε τῇ ἀστάρτῃ βδελύγματι σιδωνίων. καὶ τῷ χαμὼς καὶ
τοῖς εἰδώλοις μωὰβ καὶ τῷ βασιλεῖ αὐτῶν προσοχθίσματι υἱ-
ῶν ἀμμών. καὶ οὐκ ἐπορεύθη ἐν ταῖς ὁδοῖς μου τοῦ ποιῆσαι τὸ εὐ-
θὲς ἐνώπιον ἐμοῦ ὡς δαβὶδ ὁ πατὴρ αὐτοῦ. διότι ἀντιτασσόμε-
νος ἀντιτάξομαι αὐτῷ πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτοῦ καὶ οὐ
μὴ λάβω τὴν βασιλείαν ὅλην ἐκ χειρὸς αὐτοῦ. διὰ δαβὶδ τὸν δοῦ-
λόν μου ὃν ἐξελεξάμην αὐτὸν καὶ λήψομαι τὴν βασιλείαν ἐκ χει-
ρὸς τοῦ υἱοῦ αὐτοῦ. καὶ δώσω σοι τὰ δέκα σκῆπτρα. τῷ δὲ υἱῷ αὐ-
τοῦ, δώσω τὰ δύο σκῆπτρα, ὅπως ᾖ θέσις τῷ δούλῳ μου δαβὶδ
πάσας τὰς ἡμέρας ἐνώπιον ἐμοῦ ἐν ἱερουσαλὴμ τῇ πόλει, ἣν ἐξ-
ελεξάμην ἐμαυτῷ τοῦ θέσθαι τὸ ὄνομά μου ἐκεῖ, καὶ σὲ λήψομαι
καὶ βασιλεύσεις ἐν οἷς ἐπιθυμεῖ ἡ ψυχή σου. καὶ σὺ ἔσῃ βασι-
λεὺς ἐπὶ τὸν ἰσραήλ. καὶ ἔσται ἐὰν φυλάξῃς πάντα ὅσα ἂν ἐντέλ-
λωμαί σοι. καὶ πορευθῇς ἐν ταῖς ὁδοῖς μου. καὶ ποιήσῃς τὸ εὐ-
θὲς ἐνώπιον ἐμοῦ τοῦ φυλάξαι τὰ προστάγματά μου καὶ τὰς ἐν-
τολάς μου, καθὼς ἐποίησε δαβὶδ ὁ δοῦλός μου, καὶ ἔσομαι με-
τὰ σοῦ, καὶ οἰκοδομήσω σοι οἶκον πιστὸν καθὼς ᾠκοδόμησα τῷ
δαβίδ. καὶ ἐζήτησε σολομὼν, θανατῶσαι τὸν ἱεροβοάμ. καὶ ἀ-
νέστη καὶ ἀπέδρα εἰς αἴγυπτον πρὸς σουσακεὶμ βασιλέα αἰγύ-
πτου. καὶ ἦν ἐν αἰγύπτῳ, ἕως οὗ ἀπέθανε σολομών. καὶ τὰ λοιπὰ
τῶν λόγων σολομῶν καὶ πάντα ὅσα ἐποίησε καὶ πᾶσαν τὴν

φρόνησιν αὐτοῦ. οὐκ ἰδοὺ ταῦτα γέγραπται ἐν βιβλίῳ ῥημάτων
σολομῶντος; καὶ αἱ ἡμέραι ἃς ἐβασίλευσε σολομὼν ἐν ἱερου-
σαλὴμ ἐπὶ πάντα ἰσραὴλ, τεσσαράκοντα ἔτη καὶ ἐκοιμήθη σο-
λομὼν μετὰ τῶν πατέρων αὐτοῦ. καὶ ἔθαψαν αὐτὸν ἐν πόλει δα-
βὶδ τοῦ πατρὸς αὐτοῦ. καὶ ἐγενήθη ὡς ἤκουσεν ἱεροβοὰμ υἱὸς να-
βὰτ καὶ αὐτοῦ ἔτι ὄντος ἐν αἰγύπτῳ ὡς ἔφυγεν ἐκ προσώ-
που τοῦ βασιλέως σολομὼν καὶ ἐκάθητο ἐν αἰγύπτῳ, κατευθύ-
νει καὶ ἔρχεται εἰς τὴν πόλιν αὐτοῦ εἰς τὴν γῆν σαρειρὰ τὴν ἐν
ὄρει ἐφραὶμ καὶ ὁ βασιλεὺς σολομὼν ἐκοιμήθη μετὰ τῶν πατέ-
ρων αὐτοῦ καὶ ἐβασίλευσε ῥοβοὰμ ὁ υἱὸς αὐτοῦ ἀντ' αὐτοῦ.

Κεφ. ιβ. 12

Αἰ πορεύεται ὁ βασιλεὺς ῥοβοὰμ εἰς σίκιμα. ὅτι εἰς
κ σίκιμα ἤρχοντο πᾶς ἰσραὴλ βασιλεῦσαι αὐτόν. καὶ ἐ-
λάλησεν ὁ λαὸς πρὸς τὸν βασιλέα ῥοβοὰμ λέγοντες.
ὁ πατήρ σου ἐβάρυνε τὸν κλοιὸν ἡμῶν, καὶ σὺ νῦν κούφισον ἀπὸ τῆς
δουλείας τοῦ πατρός σου τῆς σκληρᾶς καὶ ἀπὸ τοῦ κλοιοῦ αὐτοῦ τοῦ
βαρέως οὗ ἔδωκεν ἐφ' ἡμᾶς, καὶ δουλεύσομέν σοι. καὶ εἶ-
πε πρὸς αὐτούς. ἀπέλθετε ἕως ἡμερῶν τριῶν, καὶ ἀνεστρέψατε
πρός με. καὶ ἀπῆλθον. καὶ ἀπήγγειλεν ὁ βασιλεὺς ῥοβοὰμ τοῖς
πρεσβυτέροις οἳ ἦσαν παρεστῶτες ἐνώπιον σολομῶντος τοῦ πα-
τρὸς αὐτοῦ ἔτι ζῶντος αὐτοῦ λέγων. πῶς ὑμεῖς βουλεύεσθε καὶ ἀπο-
κριθῶ τῷ λαῷ τούτῳ λόγον. καὶ ἐλάλησαν πρὸς αὐτὸν λέγον-
τες. ἐὰν ἐν τῇ ἡμέρᾳ ταύτῃ ἔσῃ δοῦλος τῷ λαῷ τούτῳ καὶ δου-
λεύσεις αὐτοῖς καὶ λαλήσεις πρὸς αὐτοὺς λόγους ἀγαθούς. καὶ ἔ-
σονταί σοι δοῦλοι πάσας τὰς ἡμέρας. καὶ ἐγκατέλιπε τὴν βου-
λὴν τῶν πρεσβυτέρων ἃ συνεβουλεύσαντο αὐτῷ καὶ συνεβου-
λεύσατο μετὰ τῶν παιδαρίων τῶν ἐκτραφέντων μετ' αὐτοῦ τῶν
παρεστηκότων πρὸ προσώπου αὐτοῦ καὶ εἶπεν αὐτοῖς. τί ὑμεῖς
συμβουλεύετε καὶ τί ἀποκριθῶ τῷ λαῷ τούτῳ τοῖς λαλήσα-
σι πρός με λεγόντων, κούφισον ἀπὸ τοῦ κλοιοῦ οὗ ἔδωκεν ὁ πα-

τήρ σου ἐφ' ἡμᾶς. καὶ ἐλάλησαν πρὸς αὐτὸν τὰ παιδάρια τὰ ἐκτραφέντα μετ' αὐτοῦ καὶ εἶπον αὐτῷ· τάδε λαλήσεις τῷ λαῷ τούτῳ τοῖς λαλήσασι πρὸς σὲ λεγόντων. ὁ πατήρ σου ἐβάρυνε τὸν κλοιὸν ἡμῶν, καὶ σὺ νῦν κούφισον ἀφ' ἡμῶν. τάδε λαλήσεις πρὸς αὐτούς. ἡ μικρότης μου παχυτέρα τῆς ὀσφύος τοῦ πατρός μου. καὶ νῦν ὁ πατήρ μου ἐπεσάσατο ὑμᾶς κλοιῷ βαρεῖ· κἀγὼ προσθήσω ἐπὶ τὸν κλοιὸν ὑμῶν. ὁ πατήρ μου ἐπαίδευσεν ὑμᾶς μάστιξιν· ἐγὼ δὲ παιδεύσω ὑμᾶς ἐν σκορπίοις. καὶ παρεγένετο πᾶς ὁ λαὸς πρὸς τὸν βασιλέα ῥοβοὰμ ἐν τῇ ἡμέρᾳ τῇ τρίτῃ, καθότι ἐλάλησεν αὐτοῖς ὁ βασιλεὺς ἰσραὴλ λέγων. ἀναστρέψατε πρός με ἐν τῇ ἡμέρᾳ τῇ τρίτῃ. καὶ ἀπεκρίθη ὁ βασιλεὺς πρὸς τὸν λαὸν σκληρά. καὶ ἐγκατέλιπον ὁ βασιλεὺς ῥοβοὰμ τὴν βουλὴν τῶν πρεσβυτέρων ἃ συνεβουλεύσαντο αὐτῷ. καὶ ἐλάλησε πρὸς αὐτοὺς κατὰ τὴν βουλὴν τῶν παιδαρίων λέγων ὁ πατήρ μου ἐβάρυνε τὸν κλοιὸν ὑμῶν, κἀγὼ προσθήσω ἐπὶ τὸν κλοιὸν ὑμῶν. ὁ πατήρ μου ἐπαίδευσεν ὑμᾶς ἐν μάστιξι, κἀγὼ παιδεύσω ὑμᾶς ἐν σκορπίοις. καὶ οὐκ ἤκουσεν ὁ βασιλεὺς τοῦ λαοῦ. ὅτι ἦν μεταστροφὴ παρὰ κυρίου ὅπως στήσῃ τὸ ῥῆμα αὐτοῦ ὃ ἐλάλησεν ἐν χειρὶ ἀχιὰ τοῦ σηλωνίτου περὶ ἱεροβοὰμ υἱοῦ ναβάθ. καὶ εἶδε πᾶς ἰσραὴλ, ὅτι οὐκ ἤκουσεν ὁ βασιλεὺς τῆς φωνῆς αὐτῶν καὶ ἀπεκρίθησαν ὁ λαὸς τῷ βασιλεῖ λέγων τίς ἡμῖν μερὶς ἐν δαβὶδ καὶ οὐκ ἔστιν ἡμῖν κληρονομία ἐν υἱῷ ἰεσσαί. ἀπότρεχε ἰσραὴλ εἰς τὰ σκηνώματά σου. νῦν βόσκε τὸν οἶκόν σου δαβίδ. καὶ ἀπῆλθεν ἰσραὴλ εἰς τὰ σκηνώματα αὐτοῦ. καὶ ἀπέστειλεν ὁ βασιλεὺς τὸν ἀδωνιρὰμ τὸν ἐπὶ τοῦ φόρου, καὶ ἐλιθοβόλησαν αὐτὸν ἐν λίθοις πᾶς ἰσραὴλ καὶ ἀπέθανε. καὶ ὁ βασιλεὺς ῥοβοὰμ ἔφθασεν ἀναβῆναι ἐπὶ τὸ ἅρμα τοῦ φυγεῖν εἰς ἱερουσαλήμ. καὶ ἠθέτησεν ἰσραὴλ εἰς τὸν οἶκον δαβὶδ ἕως τῆς ἡμέρας ταύτης. καὶ ἐγένετο ὡς ἤκουσε πᾶς ἰσραὴλ ὅτι ἀνέκαμψεν ἱεροβοὰμ ἐξ αἰγύπτου, καὶ ἀπέστειλαν καὶ ἐκάλεσαν αὐτὸν εἰς τὴν συνα-

γωγήν. καὶ ἐβασίλευσαν αὐτὸν ἐπὶ ἰσραήλ. καὶ οὐκ ἦν ὀπίσω οἴ-
κου δαβὶδ πάρεξ σκήπτρου ἰούδα καὶ βενιαμὶν μόνοι. Καὶ ῥο-
βοὰμ εἰσῆλθεν εἰς ἱερουσαλὴμ καὶ ἐξεκκλησίασε τὴν συναγω-
γὴν ἰούδα. καὶ σκῆπτρον βενιαμὶν, ἑκατὸν καὶ εἴκοσι χιλιάδας
νεανιῶν ποιούντων πόλεμον τοῦ πολεμεῖν πρὸς οἶκον ἰσραὴλ ἐ-
πιστρέψαι τὴν βασιλείαν ῥοβοὰμ υἱῷ σολομῶντι. καὶ ἐγένετο λό-
γος κυρίου πρὸς σαμαίαν ἄνθρωπον τοῦ θεοῦ λέγων. εἰπὸν τῷ ῥο-
βοὰμ υἱῷ σολομῶντι βασιλεῖ ἰούδα. καὶ πρὸς πάντα οἶκον ἰού-
δα, καὶ βενιαμὶν καὶ τῷ καταλοίπῳ τοῦ λαοῦ λέγων. τάδε λέγει
κύριος. οὐκ ἀναβήσεσθε οὐδὲ πολεμήσετε μετὰ τῶν ἀδελ-
φῶν ὑμῶν υἱῶν ἰσραήλ. ἀναστρεφέτω ἕκαστος εἰς τὸν οἶκον αὐτοῦ.
ὅτι παρ' ἐμοῦ γέγονε τὸ ῥῆμα τοῦτο. καὶ ἤκουσαν τοῦ λόγου κυρίου καὶ
κατέπαυσαν τοῦ πορευθῆναι κατὰ τὸ ῥῆμα καὶ ὁ βασιλεὺς σολο-
μῶν, κοιμᾶται μετὰ τῶν πατέρων αὐτοῦ. καὶ θάπτεται μετὰ τῶν πα-
* τέρων αὐτοῦ ἐν πόλει δαβὶδ * . καὶ ἐβασίλευσε ῥοβοὰμ υἱὸς αὐτοῦ
ἀντ' αὐτοῦ ἐν ἱερουσαλὴμ υἱὸς ὢν ἑξκαίδεκα ἐτῶν ἐν τῷ βασι-
λεύειν αὐτόν. καὶ δεκαεπτὰ ἔτη ἐβασίλευσεν ἐν ἱερουσαλήμ. καὶ
ὄνομα τῆς μητρὸς αὐτοῦ νααναμ. θυγάτηρ ἀνὼν υἱοῦ νάας βασιλέ-
ως υἱῶν ἀμμῶν. καὶ ἐποίησε τὸ πονηρὸν ἐνώπιον κυρίου, καὶ οὐκ ἐ-
πορεύθη ἐν ὁδῷ δαβὶδ τοῦ πατρὸς αὐτοῦ. καὶ ἦν ἄνθρωπος ἐξ
ὄρους ἐφραὶμ, δοῦλος τοῦ σολομῶν, καὶ ὄνομα αὐτῷ ἱεροβο-
άμ. καὶ ὄνομα τῆς μητρὸς αὐτοῦ σαρηρᾶ. γυνὴ πόρνη. καὶ ἔδωκεν
αὐτὸν σολομῶν εἰς ἄρχοντα σκυτάλης ἐπὶ τὰς ἄρσεις οἴκου ἰω-
σήφ. καὶ ᾠκοδόμησε τῷ σολομῶν τὴν σαρηρᾶ τὴν ἐν ὄρει ἐ-
φραίμ. καὶ ἦσαν αὐτῷ τριακόσια ἅρματα ἵππων. οὗτος ᾠκοδό-
μησε τὴν ἄκραν ἐν ταῖς ἄρσεσιν οἴκου ἐφραίμ. οὗτος συνέκλει-
σε τὴν πόλιν δαβίδ. καὶ ἦν ἐπαιρόμενος ἐπὶ τὴν βασιλείαν. καὶ ἐ-
ζήτει σολομῶν θανατῶσαι αὐτὸν, καὶ ἐφοβήθη καὶ ἀπέδρα πρὸς
σουσακεὶμ βασιλέα αἰγύπτου. καὶ ἦν μετ' αὐτοῦ. ἕως ἀπέθανε σο-
λομών. καὶ ἤκουσεν ἱεροβοὰμ ἐν αἰγύπτῳ ὅτι τέθνηκε σολομών.

καὶ ἐλάλη-

καὶ ἐλάλησεν εἰς τὰ ὦτα σουσακὴμ βασιλέως αἰγύπτου λέγων
ἐξαπόστειλόν με, καὶ ἀπελεύσομαι εἰς τὴν γῆν μου καὶ εἶπεν αὐ-
τῷ σουσακὶμ αἴτησαι τὶ αἴτημα, καὶ δώσω σοι. καὶ σουσακὴμ
ἔδωκε τῷ ἱεροβοὰμ τὴν ἄνω ἀδελφὴν θεκεμήνας τὴν πρεσβυτέ-
ραν τῆς γυναικὸς αὐτοῦ αὐτῷ εἰς γυναῖκα. καὶ αὕτη ἦν μεγάλη
ἐν μέσῳ τῶν θυγατέρων τοῦ βασιλέως. καὶ ἔτεκε τῷ ἱεροβο-
ὰμ τὸν ἀβιὰ υἱὸν αὐτοῦ. καὶ εἶπεν ἱεροβοὰμ πρὸς σουσακὶμ ὄντως ἐξα-
πόστειλόν με, καὶ ἀπελεύσομαι. καὶ ἐξῆλθεν ἱεροβοὰμ. ἐξ αἰ-
γύπτου καὶ ἦλθεν εἰς γῆν σαρηρᾶ τὴν ἐν ὄρει ἐφραίμ. καὶ συνά-
γεται ἐκεῖ πᾶν σκῆπτρον ἐφραὶμ πρὸς ἱεροβοάμ. καὶ ᾠκοδόμη-
σεν ἐκεῖ ἱεροβοὰμ χάρακα. καὶ ἠῤῥώστησε τὸ παιδάριον αὐτοῦ ἀῤ-
ῥωστίαν κραταιὰν σφόδρα. καὶ ἐπορεύθη ἱεροβοὰμ ἐρωτῆσαι
περὶ τοῦ παιδαρίου. καὶ εἶπε πρὸς ἄνω τὴν γυναῖκα αὐτοῦ ἀνάστη-
θι, καὶ πορεύου ἐπερώτησον τὸν θεὸν περὶ τοῦ παιδαρίου εἰ ζήσε-
ται ἀπὸ τῆς ἀῤῥωστίας αὐτοῦ, καὶ ἦν ὁ ἄνθρωπος ἐν σηλῶμ. καὶ ὄνο-
μα αὐτῷ ἀχιᾶ καὶ οὗτος ἦν υἱὸς ἑξήκοντα ἐτῶν καὶ ῥῆμα κυρίου μετ'
αὐτοῦ. καὶ εἶπεν ἱεροβοὰμ πρὸς τὴν γυναῖκα αὐτοῦ ἀνάστηθι, καὶ λά-
βε ἐν τῇ χειρί σου τῷ ἀνθρώπῳ τοῦ θεοῦ ἄρτους. καὶ κολλύρια
τοῖς τέκνοις αὐτοῦ, καὶ σταφυλὴν, καὶ στάμνον μέλιτος, καὶ ἀνέστη ἡ
γυνὴ, καὶ ἔλαβεν εἰς τὴν χεῖρα αὐτῆς ἄρτους, καὶ δύο κολλύρια.
καὶ σταφυλὴν, καὶ στάμνον μέλιτος τῷ ἀχιά. καὶ ὁ ἄνθρω-
πος πρεσβύτης. καὶ οἱ ὀφθαλμοὶ αὐτοῦ ἠμβλυώπουν τοῦ βλέ-
πειν καὶ ἀνέστη ἐκ σαρηρᾶ καὶ πορεύεται, καὶ ἐγένετο εἰσελθού-
σης αὐτῆς εἰς τὴν πόλιν πρὸς ἀχιᾶ τὸν σηλωνίτην. καὶ εἶπεν ἀ-
χιᾶ τῷ παιδαρίῳ αὐτοῦ ἔξελθε δὴ εἰς συνάντησιν ἄνω γυναι-
κὸς ἱεροβοὰμ, καὶ ἐρεῖς αὐτῇ. εἴσελθε, καὶ μὴ στῇς. ὅτι τάδε λέ-
γει κύριος. σκληρὰ ἐγὼ ἐπαποστελῶ ἐπὶ σέ. καὶ εἰσῆλθεν ἄνω
πρὸς τὸν ἄνθρωπον τοῦ θεοῦ, καὶ εἶπεν αὐτῇ ἀχιά. ἵνα τί ἐνήνο-
χάς μοι ἄρτους, καὶ σταφυλὴν, καὶ κολλύρια, καὶ στάμνον μέλι-
τος. τάδε λέγει κύριος. ἰδοὺ σὺ ἀπελεύσῃ ἀπ' ἐμοῦ καὶ ἔσται εἰ-

σελθούσης σου εἰς τὴν πόλιν εἰς σαρηρᾶ, καὶ τὰ κοράσιά σου ἐξελεύσονται εἰς συνάντησίν σου καὶ ἐροῦσί σοι, ὅτι τὸ παιδάριον τέθνηκεν. ὅτι τάδε λέγει κύριος. ἰδοὺ ἐγὼ ἐξολοθρεύσω τοῦ ἱεροβοὰμ οὐροῦντα πρὸς τοῖχον. καὶ ἔσται τὰ τεθνηκότα τοῦ ἱεροβοὰμ ἐν τῇ πόλει καταφάγονται οἱ κύνες. καὶ τὸν τεθνηκότα ἐν τῷ ἀγρῷ καταφάγονται τὰ πετεινὰ τοῦ οὐρανοῦ. καὶ τὸ παιδάριον κόψονται. οὐαὶ κύριε, ὅτι εὑρέθη ἐν αὐτῷ ῥῆμα καλὸν περὶ τοῦ κυρίου, καὶ ἀπῆλθεν ἡ γυνὴ, ὡς ἤκουσε, καὶ ἐγένετο ὡς εἰσῆλθεν εἰς τὴν σαρηρᾶ, καὶ τὸ παιδάριον ἀπέθανε, καὶ ἐξῆλθεν, ἡ κραυγὴ εἰς ἀπάντησιν. καὶ ἐπορεύθη ἱεροβοὰμ εἰς σίκημα τὴν ἐν ὄρει ἐφραίμ. καὶ συνήθροισεν ἐκεῖ τὰς φυλὰς τοῦ ἰσραήλ. καὶ ἀνέβη ἐκεῖ ῥοβοὰμ υἱὸς σολομῶν. καὶ λόγος κυρίου ἐγένετο πρὸς σαμαίαν τὸν ἐλαμίτην λέγων. λάβε σεαυτῷ ἱμάτιον καινὸν τὸ οὐκ εἰσεληλυθὸς εἰς ὕδωρ. καὶ ῥῆξον αὐτὸ δώδεκα ῥήγματα. καὶ δώσεις τῷ ἱεροβοὰμ, καὶ ἐρεῖς αὐτῷ. τάδε λέγει κύριος. λάβε σεαυτῷ δέκα ῥήγματα τοῦ περιβαλέσθαι σε. καὶ ἔλαβεν ἱεροβοὰμ, καὶ εἶπε σαμαίας. τάδε λέγει κύριος ἰδοὺ ἐγὼ ῥήσσω τὴν βασιλείαν σαλωμὼν καὶ δώσω σοι δέκα σκῆπτρα. καὶ δύο σκῆπτρα ἔσονται ῥοβοὰμ τῷ σαλωμών. καὶ ἐγενήθη μετὰ τελευτὴν τοῦ βασιλέως σαλωμὼν, ἐβασίλευσεν ὁ υἱὸς αὐτοῦ ῥοβοὰμ ἀντ' αὐτοῦ. καὶ εἶπεν ὁ λαὸς πρὸς ῥοβοὰμ. ὁ πατήρ σου ἐβάρυνε τὸν κλοιὸν αὐτοῦ ἐφ' ἡμᾶς. καὶ ἐβάρυνε τὰ βρώματα τῆς τραπέζης αὐτοῦ. νῦν κουφιεῖς ἐφ' ἡμᾶς καὶ δουλεύσομέν σοι. καὶ εἶπεν ῥοβοὰμ πρὸς τὸν λαὸν ἔτι τριῶν ἡμερῶν, καὶ ἀποκριθήσομαι ὑμῖν ῥῆμα. καὶ εἶπεν ῥοβοὰμ. εἰσαγάγετέ μοι τοὺς πρεσβυτέρους. καὶ συμβουλεύσομαι, μετ' αὐτῶν τί ἀποκριθῶ τῷ λαῷ ῥῆμα ἐν τῇ ἡμέρα τῇ τρίτῃ. καὶ ἐλάλησε ῥοβοὰμ εἰς τὰ ὦτα αὐτῶν καθὼς ἀπέστειλεν ὁ λαὸς πρὸς αὐτόν. καὶ εἶπον οἱ πρεσβύτεροι τοῦ λαοῦ. οὕτως ὡς ἐλάλησεν πρὸς σὲ ὁ λαὸς, λαλήσεις πρὸς τὸν

λαόν. καὶ διεσκέδασε ῥοβοὰμ τὴν βουλὴν αὐτῶν, καὶ οὐκ ἤρεσεν ἐνώπιον αὐτοῦ· καὶ ἀπέστειλε καὶ εἰσήγαγε τοὺς συντρόφους αὐτοῦ καὶ ἐλάλησεν αὐτοῖς ταῦτα καὶ ταῦτα ἀπέσταλκεν, ὁ λαὸς πρός με. καὶ εἶπον οἱ σύντροφοι αὐτοῦ οὕτως λαλήσεις πρὸς τὸν λαὸν λέγων. ἡ μικρότης μου παχυτέρα ὑπὲρ τὴν ὀσφῦν τοῦ πατρός μου. ὁ πατήρ μου ἐμαστίγου ὑμᾶς ἐν μάστιξιν, ἐγὼ δὲ κατάρξω ὑμῶν ἐν σκορπίοις. καὶ ἤρεσε τὸ ῥῆμα ἐνώπιον ἱεροβοὰμ καὶ ἀπεκρίθη τῷ λαῷ καθὼς συνεβούλευσαν αὐτῷ οἱ σύντροφοι αὐτοῦ τὰ παιδάρια. καὶ εἶπεν πᾶς ὁ λαὸς ὡς ἀνὴρ ἕκαστος τῷ πλησίον αὐτοῦ καὶ ἀνέκραξαν ἅπαντες λέγοντες. οὐκ ἔστι μερὶς ἡμῖν ἐν δαβὶδ οὐδὲ κληρονομία ἐν υἱῷ ἰεσσαί. ἕκαστος εἰς τὰ σκηνώματά σου ἰσραήλ. ὅτι ὁ ἄνθρωπος οὗτος οὐκ εἰς ἄρχοντα οὐδὲ εἰς ἡγούμενον, καὶ διεσπάρη πᾶς ὁ λαὸς ἐκ σικήμων. καὶ ἀπῆλθον ἕκαστος εἰς τὸ σκήνωμα αὐτοῦ. καὶ κατεκράτησε ῥοβοὰμ, καὶ ἀπῆλθεν. καὶ ἀνέβη ἐπὶ τὸ ἅρμα αὐτοῦ καὶ εἰσῆλθεν εἰς ἱερουσαλήμ. καὶ πορεύονται ὀπίσω αὐτοῦ πᾶν σκῆπτρον ἰούδα καὶ πᾶν σκῆπτρον βενιαμίν. καὶ ἐγένετο ἐνισταμένου τοῦ ἐνιαυτοῦ, καὶ συνήθροισε ῥοβοὰμ πάντα ἄνδρα ἰούδα, καὶ βενιαμὶν καὶ ἀνέβη τοῦ πολεμεῖν πρὸς ἱεροβοὰμ εἰς σίκημα. καὶ ἐγένετο ῥῆμα κυρίου πρὸς σαμαίαν ἄνθρωπον τοῦ θεοῦ λέγων. εἰπὸν τῷ ῥοβοὰμ βασιλεῖ ἰούδα. καὶ πρὸς πάντα οἶκον ἰούδα, καὶ βενιαμίν. καὶ πρὸς πᾶν τὸ κατάλειμμα τοῦ λαοῦ λέγων. τάδε λέγει κύριος. οὐκ ἀναβήσεσθε οὐδὲ πολεμήσετε πρὸς τοὺς ἀδελφοὺς ὑμῶν υἱοὺς ἰσραήλ. ἀναστρεφέτω ἕκαστος εἰς τὸν οἶκον αὐτοῦ. ὅτι παρ᾽ ἐμοῦ γέγονε τὸ ῥῆμα τοῦτο. καὶ ἤκουσαν τοῦ λόγου κυρίου. καὶ ἀνέσχον μὴ πορευθῆναι κατὰ τὸ ῥῆμα κυρίου. καὶ ᾠκοδόμησεν ἱεροβοὰμ τὴν σίκημα τὴν ἐν ὄρει ἐφραίμ. καὶ κατῴκει ἐν αὐτῇ. καὶ ἐξῆλθεν ἐκεῖθεν. καὶ ᾠκοδόμησε τὴν φανουήλ. καὶ εἶπεν ἱεροβοὰμ ἐν τῇ καρδίᾳ αὐτοῦ. ἰδοὺ νῦν ἐπιστρέψει ἡ βασιλεία εἰς οἶκον δαδ. ἐὰν ἀναβῇ ὁ λαὸς οὗτος ἀναφέρειν θυσίαν ἐν οἴκῳ

κυρίου εἰς ἱερουσαλὴμ, καὶ ἐπιστραφήσεται ἡ καρδία τοῦ λα-
οῦ πρὸς κύριον καὶ κύριον αὐτῶν, πρὸς ῥοβοὰμ βασιλέα ἰού-
δα. καὶ ἀποκτενοῦσί με. καὶ ἐβουλεύσατο ὁ βασιλεὺς καὶ ἐποί-
ησε δύο δαμάλεις χρυσᾶς, καὶ εἶπε πρὸς τὸν λαόν. ἱκανούσθω ὑμῖν
ἀναβαίνειν εἰς ἱερουσαλήμ. ἰδοὺ οἱ θεοί σου ἰσραὴλ οἱ ἀναγα-
γόντες σε ἐκ γῆς αἰγύπτου. καὶ ἔθετο τὴν μίαν ἐν βαιθὴλ, καὶ
τὴν μίαν ἔθηκεν ἐν δάν. καὶ ἐγένετο ὁ λόγος οὗτος, εἰς ἁμαρτίαν
καὶ ἐπορεύετο ὁ λαὸς ὀπίσω τῆς μιᾶς ἕως δὰν, καὶ ἀφῆκαν τὸν οἶ-
κον κυρίου. καὶ ἐποίησεν οἴκους ἐφ' ὑψηλῶν. καὶ ἐποίησεν ἱ-
ερεῖς μέρος τι ἐκ τοῦ λαοῦ, οἳ οὐκ ἦσαν ἐκ τῶν υἱῶν λευί. καὶ ἐποί-
ησεν ἱεροβοὰμ ἑορτὴν ἐν τῷ μηνὶ τῷ ὀγδόῳ ἐν τῇ πεντεκαι-
δεκάτῃ ἡμέρᾳ τοῦ μηνός. κατὰ τὴν ἑορτὴν τὴν ἐν γῇ ἰούδα. καὶ
ἀνέβη ἐπὶ τὸ θυσιαστήριον ὃ ἐποίησεν ἐν βαιθὴλ τοῦ θύειν ταῖς δα-
μάλεσιν αἷς ἐποίησε. καὶ παρέστησεν ἐν βαιθὴλ τοὺς ἱερεῖς τῶν ὑ-
ψηλῶν ὧν ἐποίησε. καὶ ἀνέβη ἐπὶ τὸ θυσιαστήριον ὃ ἐποίησε τῇ
πεντεκαιδεκάτῃ ἡμέρᾳ ἐν τῷ μηνὶ τῷ ὀγδόῳ ἐν τῇ ἑορτῇ ᾗ
ἐπλάσατο ἀπὸ καρδίας αὐτοῦ. καὶ ἐποίησεν ἑορτὴν τοῖς υἱοῖς
ἰσραήλ. καὶ ἀνέβη ἐπὶ τὸ θυσιαστήριον τοῦ ἐπιθῦσαι.

Κεφ. ιγ΄. 13.

Αἰ ἰδοὺ ἄνθρωπος τοῦ θεοῦ παρεγένετο ἐξ ἰούδα ἐν
κ λόγῳ κυρίου εἰς βαιθήλ. καὶ ἱεροβοὰμ εἱστήκει ἐπὶ τὸ
θυσιαστήριον αὐτοῦ ἐπιθῦσαι. καὶ ἐπεκάλεσεν ἐπὶ τὸ
θυσιαστήριον ἐν λόγῳ κυρίου καὶ εἶπε θυσιαστήριον θυσιαστή-
ριον. τάδε λέγει κύριος. ἰδοὺ υἱὸς τίκτεται τῷ οἴκῳ δαβίδ. ἰωσί-
ας ὄνομα αὐτῷ. καὶ θύσει ἐπὶ σὲ τοὺς ἱερεῖς τῶν ἐπιθυόντων ἐ-
πὶ σέ. καὶ ὀστᾶ ἀνθρώπων καύσει ἐπὶ σέ, καὶ ἔδωκεν ἐν τῇ ἡμέ-
ρᾳ ἐκείνῃ τέρας λέγων. τοῦτο τὸ ῥῆμα ὃ ἐλάλησε κύριος λέγων.
ἰδοὺ τὸ θυσιαστήριον ῥήγνυται καὶ ἐκχυθήσεται ἡ πιότης ἡ οὖσα
ἐπ' αὐτῷ. καὶ ἐγένετο ὡς ἤκουσεν ὁ βασιλεὺς ἱεροβοὰμ τῶν λό-
γων τοῦ ἀνθρώπου τοῦ θεοῦ τοῦ ἐπικαλεσαμένου ἐπὶ τὸ θυσιαστήριον

τοῦ ἐν βαιθήλ, καὶ ἐξέτεινεν ὁ βασιλεὺς τὴν χεῖρα αὐτοῦ ἀπὸ τοῦ θυσιαστήριον λέγων· συλλάβετε αὐτόν· καὶ ἰδοὺ ἐξηράνθη ἡ χεὶρ αὐτοῦ, ἣν ἐξέτεινεν ἐπ' αὐτόν· καὶ οὐκ ἐδυνήθη ἐπιστρέψαι αὐτὴν πρὸς ἑαυτόν· καὶ τὸ θυσιαστήριον ἐρράγη· καὶ ἐξεχύθη ἡ πιότης ἀπὸ τοῦ θυσιαστηρίου· κατὰ τὸ τέρας ὃ ἔδωκεν ὁ ἄνθρωπος τοῦ θεοῦ ἐν λόγῳ κυρίου. καὶ εἶπεν ὁ βασιλεὺς ἱεροβοὰμ τῷ ἀνθρώπῳ τοῦ θεοῦ· δεήθητι τοῦ προσώπου κυρίου τοῦ θεοῦ σου, καὶ ἐπιστρεψάτω ἡ χείρ μου πρὸς ἐμέ· καὶ ἐδεήθη ὁ ἄνθρωπος τοῦ θεοῦ τοῦ προσώπου κυρίου, καὶ ἐπέστρεψε τὴν χεῖρα τοῦ βασιλέως πρὸς αὐτόν, καὶ ἐγένετο καθὼς τὸ πρότερον· καὶ ἐλάλησεν ὁ βασιλεὺς πρὸς τὸν ἄνθρωπον τοῦ θεοῦ· εἴσελθε μετ' ἐμοῦ εἰς οἶκον καὶ ἀρίστησον· καὶ δώσω σοι δόμα· καὶ εἶπεν ὁ ἄνθρωπος τοῦ θεοῦ πρὸς τὸν βασιλέα· ἐὰν δῷς μοι τὸ ἥμισυ τοῦ οἴκου σου, οὐκ εἰσελεύσομαι μετὰ σοῦ οὐδὲ μὴ φάγω ἄρτον, οὐδὲ μὴ πίω ὕδωρ ἐν τῷ τόπῳ τούτῳ· ὅτι οὕτως κύριος ἐντέταλταί μοι ἐν λόγῳ λέγων· μὴ φάγῃς ἄρτον καὶ μὴ πίῃς ὕδωρ, καὶ μὴ ἐπιστρέψῃς ἐν τῇ ὁδῷ ᾗ ἐπορεύθης ἐν αὐτῇ· καὶ ἀπῆλθεν ἐν ὁδῷ ἄλλῃ καὶ οὐκ ἀνέστρεψεν ἐν τῇ ὁδῷ ᾗ ἦλθεν ἐν αὐτῇ εἰς βαιθήλ. καὶ προφήτης εἷς πρεσβύτης κατῴκει ἐν βαιθήλ· καὶ ἔρχονται οἱ υἱοὶ αὐτοῦ, καὶ διηγήσαντο αὐτῷ πάντα τὰ ἔργα ἃ ἐποίησεν ὁ ἄνθρωπος τοῦ θεοῦ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐν βαιθήλ· καὶ τοὺς λόγους οὓς ἐλάλησε τῷ βασιλεῖ· καὶ ἐπέστρεψεν τὸ πρόσωπον τοῦ πατρὸς αὐτῶν· καὶ ἐλάλησε πρὸς αὐτοὺς ὁ πατὴρ αὐτῶν λέγων· ποίᾳ ὁδῷ πεπόρευται· καὶ δεικνύουσιν αὐτῷ οἱ υἱοὶ αὐτοῦ τὴν ὁδὸν ἐν ᾗ ἀπῆλθεν ὁ ἄνθρωπος τοῦ θεοῦ ὁ ἐξελθὼν ἐξ ἰούδα· καὶ εἶπε τοῖς υἱοῖς αὐτοῦ· ἐπισάξατέ μοι τὴν ὄνον· καὶ ἐπέσαξαν αὐτῷ τὸν ὄνον· καὶ ἐπέβη ἐπ' αὐτήν· καὶ ἐπορεύθη κατόπισθεν τοῦ ἀνθρώπου τοῦ θεοῦ, καὶ εὗρεν αὐτὸν καθήμενον ὑπὸ δρῦν, καὶ εἶπεν αὐτῷ· εἰ σὺ εἶ ὁ ἄνθρωπος τοῦ θεοῦ ὁ ἐξεληλυθὼς ἐξ ἰούδα; καὶ εἶπεν· ἐγώ· καὶ εἶπεν αὐτῷ· δεῦρο μετ' ἐμοῦ, καὶ φάγε ἄρτον. καὶ εἶπεν· οὐ μὴ

δύναμαι ἐπιστρέψαι μετὰ σοῦ, οὐδὲ μὴ φάγωμαι ἄρτον οὐδὲ πίωμαι ὕδωρ ἐν τῷ τόπῳ τούτῳ. ὅτι οὕτως ἐντέταλταί μοι ἐν λόγῳ κύριος λέγων. μὴ φάγῃς ἄρτον ἐκεῖ καὶ μὴ πίῃς ὕδωρ ἐκεῖ, καὶ μὴ ἐπιστρέψῃς ἐν τῇ ὁδῷ ᾗ ἐπορεύθης ἐν αὐτῇ. καὶ εἶπε πρὸς αὐτόν. κἀγὼ προφήτης εἰμὶ καθὼς σύ. καὶ ἄγγελος ἐλάλησε πρός με ἐν ῥήματι κυρίου λέγων. ἐπίστρεψον αὐτὸν πρὸς σεαυτὸν εἰς τὸν οἶκόν σου καὶ φαγέτω ἄρτον καὶ πιέτω ὕδωρ. καὶ ἐψεύσατο αὐτῷ καὶ ἐπέστρεψεν αὐτόν, καὶ ἔφαγεν ἄρτον καὶ ἔπιεν ὕδωρ ἐν τῷ οἴκῳ αὐτοῦ. καὶ ἐγένετο αὐτῶν καθημένων ἐπὶ τῆς τραπέζης, καὶ ἐγένετο λόγος κυρίου πρὸς τὸν προφήτην τὸν ἐπιστρέψαντα αὐτὸν καὶ εἶπε πρὸς τὸν ἄνθρωπον τοῦ θεοῦ τὸν ἥκοντα ἐξ ἰούδα λέγων. τάδε λέγει κύριος. ἀνθ᾽ ὧν παρεπίκρανας τὸ ῥῆμα κυρίου. καὶ οὐκ ἐφύλαξας τὴν ἐντολὴν ἣν ἐνετείλατό σοι κύριος ὁ θεός σου, καὶ ἐπέστρεψας καὶ ἔφαγες ἄρτον καὶ ἔπιες ὕδωρ ἐν τῷ τόπῳ τούτῳ ᾧ ἐλάλησε πρὸς σὲ λέγων μὴ φάγῃς ἄρτον μηδὲ πίῃς ὕδωρ, οὐ μὴ εἰσέλθῃ τὸ σῶμά σου εἰς τὸν τάφον τῶν πατέρων σου. καὶ ἐγένετο μετὰ τὸ φαγεῖν αὐτὸν ἄρτον καὶ πιεῖν ὕδωρ, καὶ ἐπέσαξεν αὐτῷ τὸν ὄνον τῷ προφήτῃ, καὶ ἐπέστρεψε καὶ ἀπῆλθε. καὶ εὗρεν αὐτὸν λέων ἐν τῇ ὁδῷ, καὶ ἐθανάτωσεν αὐτόν. καὶ ἦν τὸ σῶμα αὐτοῦ ἐρριμμένον ἐν τῇ ὁδῷ. καὶ ὁ ὄνος εἱστήκει παρ᾽ αὐτῷ. καὶ ὁ λέων εἱστήκει παρὰ τὸ σῶμα. καὶ ἰδοὺ ἄνδρες παραπορευόμενοι καὶ εἶδον τὸ θνησιμαῖον ἐρριμμένον ἐν τῇ ὁδῷ. καὶ ὁ λέων εἱστήκει ἐχόμενα τοῦ θνησιμαίου. καὶ εἰσῆλθον καὶ ἐλάλησαν ἐν τῇ πόλει, οὗ ὁ προφήτης ὁ πρεσβύτης κατῴκει ἐν αὐτῇ. καὶ ἤκουσεν ὁ ἐπιστρέψας αὐτὸν ἐκ τῆς ὁδοῦ καὶ εἶπεν. ὁ ἄνθρωπος τοῦ θεοῦ οὗτός ἐστιν ὃς παρεπίκρανε τὸ ῥῆμα κυρίου. καὶ ἔδωκεν αὐτὸν ὁ κύριος τῷ λέοντι καὶ συνέτριψεν αὐτὸν καὶ ἐθανάτωσεν αὐτὸν κατὰ τὸ ῥῆμα κυρίου ὃ ἐλάλησεν αὐτῷ. καὶ ἐλάλησε πρὸς υἱοὺς αὐτοῦ ἐπισάξατέ μοι τὸν ὄνον. καὶ ἐπέσαξαν καὶ ἐπορεύθη καὶ εὗρε τὸ σῶμα αὐτοῦ ἐρριμμένον

ἐν τῇ ὁδῷ· καὶ ὁ ὄνος καὶ ὁ λέων εἱστήκεισαν παρὰ τὸ σῶμα καὶ οὐκ ἔφαγεν ὁ λέων τὸ σῶμα τοῦ ἀνθρώπου τοῦ θεοῦ· καὶ οὐ συνέτριψε τὸν ὄνον. καὶ ἦρεν ὁ προφήτης τὸ σῶμα τοῦ ἀνθρώπου τοῦ θεοῦ, καὶ ἐπέθηκεν αὐτὸ ἐπὶ τὸν ὄνον καὶ ἐπέστρεψεν αὐτὸν ὁ προφήτης καὶ ἦλθεν εἰς τὴν πόλιν τοῦ θάψαι αὐτὸν καὶ ἔθηκε τὸ σῶμα αὐτοῦ ἐν τῷ τάφῳ αὐτοῦ. καὶ ἐκόψαντο αὐτόν· οὐαὶ ἀδελφέ. καὶ ἐγένετο μετὰ τὸ κόψασθαι αὐτὸν καὶ εἶπε τοῖς υἱοῖς αὐτοῦ λέγων· ἐὰν ἀποθάνω, θάψατέ με ἐν τῷ τάφῳ τούτῳ οὗ ὁ ἄνθρωπος τοῦ θεοῦ τέθαπται ἐν αὐτῷ· παρὰ τὰ ὀστᾶ αὐτοῦ θέτε με ἵνα σωθῶσι τὰ ὀστᾶ μου μετὰ τῶν αὐτοῦ. ὅτι γινόμενον ἔσται τὸ ῥῆμα ὃ ἐλάλησεν ἐν λόγῳ κυρίου ἐπὶ τοῦ θυσιαστηρίου ἐν βαιθὴλ καὶ ἐπὶ τοὺς οἴκους τοὺς ὑψηλοὺς τοὺς ἐν σαμαρείᾳ.

## Κεφάλαιον. ιδ. 14.

Αἰ μετὰ τὸ ῥῆμα τοῦτο, οὐκ ἐπέστρεψεν ἱεροβοὰμ ἀ-
κ πὸ τῆς κακίας αὐτοῦ καὶ ἐπέστρεψε καὶ ἐποίησεν ἐκ μέρους τοῦ λαοῦ ἱερεῖς ὑψηλῶν· ὁ βουλόμενος ἐπλήρου τὴν χεῖρα αὐτοῦ καὶ ἐγένετο ἱερεὺς εἰς τὰ ὑψηλά. καὶ ἐγένετο τὸ ῥῆμα τοῦτο εἰς ἁμαρτίαν τῷ οἴκῳ ἱεροβοὰμ καὶ εἰς ὄλεθρον καὶ εἰς ἀφανισμὸν ἀπὸ προσώπου τῆς γῆς. * Ἐν τῷ καιρῷ ἐκείνῳ ἠῤῥώστησεν ἀβιὰ υἱὸς ἱεροβοάμ. καὶ τῇ γυναικὶ αὐτοῦ εἶπεν ἱεροβοάμ· ἀνάστηθι καὶ ἀλλοιωθήσῃ· καὶ οὐ γνώσονται, ὅτι σὺ γυνὴ ἱεροβοάμ· καὶ πορεύθητι εἰς σηλώ· ἰδοὺ ἐκεῖ ἀχιὰ ὁ προφήτης· αὐτὸς ἐλάλησεν ἐπ᾽ ἐμὲ τοῦ βασιλεῦσαι ἐπὶ τὸν λαὸν τοῦτον. καὶ λάβε εἰς τὴν χεῖρά σου τῷ ἀνθρώπῳ τοῦ θεοῦ ἄρτους, καὶ κολλύρια τοῖς τέκνοις αὐτοῦ. καὶ σταφυλάς, καὶ στάμνον μέλιτος, καὶ ἐλεύσῃ πρὸς αὐτόν. αὐτὸς ἀναγγελεῖ σοι τί ἔσται τῷ παιδίῳ. καὶ ἐποίησεν οὕτω γυνὴ ἱεροβοὰμ καὶ ἀνέστη καὶ ἐπορεύθη εἰς σηλώ, καὶ εἰσῆλθεν εἰς τὸν οἶκον ἀχιά· καὶ ὁ ἄνθρωπος πρεσβύτερος τοῦ ἰδεῖν καὶ ἡμβλυώπουν οἱ ὀφθαλμοὶ αὐτοῦ ἀπὸ τοῦ γήρως αὐτοῦ. καὶ εἶπε κύριος πρὸς ἀχιά· ἰδοὺ γυνὴ ἱεροβοὰμ εἰσέρχεται τοῦ

ἐκζητῆσαι ῥῆμα παρὰ σοῦ ὑπὲρ υἱοῦ αὐτῆς, ὅτι ἀῤῥωστός ἐστι κα-
τὰ τοῦτο καὶ κατὰ τοῦτο λαλήσεις πρὸς αὐτήν. καὶ ἐγένετο ἐν
τῷ εἰσέρχεσθαι αὐτήν, καὶ αὕτη ἀπεξενοῦτο. καὶ ἐγένετο ὡς ἤ-
κουσεν ἀχιὰ τὴν φωνὴν τῶν ποδῶν αὐτῆς εἰσερχομένης αὐτῆς ἐν
τῷ ἀνοίγματι καὶ εἶπεν εἴσελθε γυνὴ ἱεροβοάμ. ἵνα τί τοῦτο σὺ
ἀποξενοῦσαι. καὶ ἐγώ εἰμι ἀπόστολος πρὸς σὲ σκληρός. πορεύ-
θητι, εἰπὸν τῷ ἱεροβοάμ. τάδε λέγει κύριος ὁ θεὸς ἰσραὴλ
ἀνθ' οὗ ὅτι ὕψωσά σε ἀπὸ μέσου τοῦ λαοῦ, καὶ ἔδωκά σε ἡ-
γούμενον ἐπὶ τὸν λαὸν ἰσραήλ. καὶ ἔῤῥηξα τὸ βασίλειον ἀπὸ οἴκου
δαβίδ, καὶ ἔδωκα αὐτῷ σοί. καὶ οὐκ ἐγένου ὡς δοῦλός μου
δαβὶδ ὃς ἐφύλαξε τὰς ἐντολάς μου. καὶ ὃς ἐπορεύθη ὀπίσω μου
ἐν πάσῃ καρδίᾳ αὐτοῦ τοῦ ποιῆσαι τὸ εὐθὲς ἐν ὀφθαλμοῖς μου.
καὶ ἐπονηρεύσω τοῦ ποιῆσαι παρὰ πάντας ὅσοι ἐγένοντο εἰς
πρόσωπόν σου. καὶ ἐπορεύθης καὶ ἐποίησας σεαυτῷ θεοὺς ἑ-
τέρους καὶ χωνευτὰ τοῦ παροργίσαι με. καὶ ἐμὲ ἔῤῥιψας ὀπί-
σω σου. διὰ τοῦτο ἰδοὺ ἐγὼ ἄγω κακίαν πρὸς οἶκον ἱεροβοάμ.
καὶ ἐξολοθρεύσω ἱεροβοὰμ οὐροῦντα πρὸς τοῖχον ἐπεχόμενον
καὶ καταλελειμμένον ἐν ἰσραήλ. καὶ ἐπιλέξω ἱεροβοάμ, κα-
θὼς ἐπιλέγεται ἡ κόπρος ἕως τελεωθῆναι αὐτόν. τὸν τεθνηκό-
τα τοῦ ἱεροβοὰμ ἐν τῇ πόλει, καταφάγονται οἱ κύνες. καὶ τὸν
τεθνηκότα ἐν τῷ ἀγρῷ, καταφάγεται τὰ πετεινὰ τοῦ οὐρανοῦ,
ὅτι κύριος ἐλάλησε. καὶ σὺ ἀνάστα, πορεύθητι εἰς οἶκόν σου, ἐν
τῷ εἰσέρχεσθαι πόδας σου τὴν πόλιν, ἀποθανεῖται τὸ παιδάρι-
ον. καὶ κόψονται αὐτὸν πᾶς ἰσραήλ. καὶ θάψουσιν αὐτόν. ὅ-
τι οὗτος μόνος εἰσελεύσεται τῷ ἱεροβοάμ, πρὸς τάφον, ὅτι
εὑρέθη ἐν αὐτῷ ῥῆμα καλόν, περὶ τοῦ κυρίου θεοῦ ἰσραὴλ ἐν οἴκῳ ἱε-
ροβοάμ. καὶ ἀναστήσει κύριος ἑαυτῷ βασιλέα ἐπὶ ἰσραήλ. ὃς πλή-
ξει τὸν οἶκον ἱεροβοὰμ ταύτῃ τῇ ἡμέρᾳ καὶ ἔτι. καί γε νῦν καὶ πλήξει
κύριος τὸν ἰσραὴλ καθὰ κινεῖται ὁ κάλαμος ἐν τῷ ὕδατι. καὶ ἐκ-
τιλεῖ τὸν ἰσραὴλ ἀπὸ ἄνω τῆς χθονὸς τῆς ἀγαθῆς ταύτης. ἧς ἔ-

δῶκε τοῖς πατράσιν αὐτῶν. καὶ λικμήσει αὐτοὺς ἀπὸ πέραν
τοῦ ποταμοῦ. ἀνθ' ὧν ὅσων ἐποίησαν τὰ ἄλση αὐτῶν παροργίζον
τες τὸν κύριον. καὶ δώσει κύριος τὸν ἰσραὴλ χάριν ἁμαρτιῶν
ἱεροβοὰμ ὃς ἥμαρτε καὶ ὃς ἐξήμαρτεν ἰσραήλ. καὶ ἀνέστη ἡ γυ
νὴ ἱεροβοάμ, καὶ ἐπορεύθη εἰς τὴν σαριρά. καὶ ἐγένετο ὡς εἰσῆλθεν
ἐν τῷ προθύρῳ τοῦ οἴκου, καὶ τὸ παιδάριον ἀπέθανε. καὶ ἔθαψαν
αὐτό. καὶ ἐκόψαντο αὐτὸ πᾶς ἰσραὴλ κατὰ τὸ ῥῆμα κυρίου ὃ ἐλά
λησεν ἐν χειρὶ δούλου αὐτοῦ ἀχιὰ τοῦ προφήτου. καὶ περισσὸν
ῥῆμα τοῦ ἱεροβοὰμ ὅσα ἐπολέμησε καὶ ὅσα ἐβασίλευσεν ἰδοὺ
αὐτὰ γεγραμμένα ἐπὶ βιβλίου ῥημάτων τῶν ἡμερῶν τῶν βασιλέ
ων ἰσραήλ. καὶ αἱ ἡμέραι ἃς ἐβασίλευσεν ἱεροβοὰμ εἴκοσι καὶ
δύο ἔτη, καὶ ἐκοιμήθη μετὰ τῶν πατέρων αὐτοῦ. Καὶ ἐβα
σίλευσεν ναδὰβ υἱὸς αὐτοῦ ἀντ' αὐτοῦ καὶ ῥοβοὰμ υἱὸς σολο
μῶντος, ἐβασίλευσεν ἐπὶ ἰούδαν. υἱὸς τεσσαράκοντα καὶ ἑνὸς
ἐνιαυτῶν ῥοβοάμ, ἐν τῷ βασιλεύειν αὐτόν. καὶ ἑπτακαίδεκα ἔτη
ἐβασίλευσεν ἐν ἱερουσαλὴμ τῇ πόλει ἣν ἐξελέξατο κύριος θέ
σθαι τὸ ὄνομα αὐτοῦ ἐκεῖ, ἐκ πασῶν φυλῶν ἰσραήλ. καὶ τὸ ὄνομα
τῆς μητρὸς αὐτοῦ νααμὰ ἡ ἀμμανῖτις. καὶ ἐποίησε ῥοβοὰμ τὸ πο
νηρὸν ἐνώπιον κυρίου, καὶ παρεζήλωσεν αὐτὸν ἐν πᾶσιν οἷς πα
ρεζήλωσαν οἱ πατέρες αὐτοῦ, καὶ ἐν ταῖς ἁμαρτίαις αὐτῶν αἷς
ἥμαρτον. καὶ ᾠκοδόμησαν καὶ αὐτοὶ ἑαυτοῖς ὑψηλὰ καὶ στήλας
καὶ ἄλση ἐπὶ πάντα βουνὸν ὑψηλόν. καὶ ὑποκάτω παντὸς ξύλου
συσκίου. καὶ σύνδεσμος ἐγενήθη ἐν τῇ γῇ. καὶ ἐποίησαν ἀπὸ
πάντων τῶν βδελυγμάτων τῶν ἐθνῶν, ὧν ἐξῆρε κύριος ἀπὸ
προσώπου υἱῶν ἰσραήλ. καὶ ἐγένετο ἐν τῷ ἐνιαυτῷ τῷ
πέμπτῳ βασιλεύοντος ῥοβοάμ, ἀνέβη σουσακὶμ βασιλεὺς αἰ
γύπτου ἐπὶ ἱερουσαλήμ, καὶ ἔλαβε πάντας τοὺς θησαυροὺς οἴκου κυρίου καὶ
τοὺς θησαυροὺς οἴκου τοῦ βασιλέως. καὶ δόρατα τὰ χρυσᾶ ἃ ἔλαβε
δαβὶδ ἐκ χειρὸς τῶν παίδων ἀδραζὰρ βασιλέως σοβᾶ. καὶ εἰσή
νεγκεν αὐτὰ εἰς ἱερουσαλὴμ τὰ πάντα. ἃ ἔλαβεν ὅπλα τὰ χρυ

τὰ ὅσα ἐποίησε σολομών. καὶ ἀπήνεγκεν αὐτὰ εἰς αἴγυπτον. καὶ ἐποίησεν ῥοβοὰμ ὁ βασιλεὺς ὅπλα χαλκᾶ ἀντ' αὐτῶν καὶ ἐπέθεντο ἐπ' αὐτὸν οἱ ἡγούμενοι τῶν παρατρεχόντων οἱ φυλάσσοντες τὸν πυλῶνα οἴκου τοῦ βασιλέως. καὶ ἐγένετο ὅτε εἰσεπορεύετο ὁ βασιλεὺς εἰς οἶκον κυρίου. καὶ ἦρον αὐτὰ οἱ παρατρέχοντες καὶ ἐπηρείδοντο αὐτὰ εἰς τὸ θεὲ τῶν παρατρεχόντων. καὶ τὰ λοιπὰ τῶν λόγων ῥοβοὰμ, καὶ πάντα ἃ ἐποίησεν. οὐκ ἰδοὺ ταῦτα γεγραμμένα ἐν βιβλίῳ λόγων τῶν ἡμερῶν τοῖς βασιλεῦσιν ἰούδα καὶ πόλεμος ἦν ἀνὰ μέσον ἱεροβοὰμ πάσας τὰς ἡμέρας. καὶ ἐκοιμήθη ῥοβοὰμ μετὰ τῶν πατέρων αὐτοῦ. καὶ θάπτεται μετὰ τῶν πατέρων αὐτοῦ, ἐν πόλει δαβίδ. καὶ ἐβασίλευσεν ἀβιοὺ ὁ υἱὸς αὐτοῦ ἀντ' αὐτοῦ.

Κεφάλαιον ιε. 15.

Αἱ ἐν τῷ ὀγδόῳ καὶ δεκάτῳ ἔτει βασιλεύοντος ἱε-
κ ροβοὰμ υἱοῦ ναβὰτ, βασιλεύει ἀβιοὺ υἱὸς ῥοβοὰμ ἐπὶ
ἰούδα. καὶ τρία ἔτη ἐβασίλευσεν ἐπὶ ἱερουσαλήμ. καὶ ὄνομα τῆς μητρὸς αὐτοῦ μααχά. θυγάτηρ ἀβεσσαλώμ. καὶ ἐπορεύθη ἐν ταῖς ἁμαρτίαις τοῦ πατρὸς αὐτοῦ, αἷς ἐποίησεν ἐνώπιον αὐτοῦ. καὶ οὐκ ἦν ἡ καρδία αὐτοῦ τελεία μετὰ κυρίου θεοῦ αὐτοῦ, ὡς ἡ καρδία δαβὶδ τοῦ πατρὸς αὐτοῦ. ὅτι διὰ δαβὶδ ἐγκατέλιπεν αὐτῷ κύριος ὁ θεὸς κατάλειμμα ἐν ἱερουσαλὴμ, ἵνα στήσῃ τὰ τέκνα αὐτοῦ μετ' αὐτόν. καὶ στήσῃ τὴν ἱερουσαλὴμ, ὡς ἐποίησε δαβὶδ τὸ εὐθὲς ἐνώπιον κυρίου. οὐκ ἐξέκλινεν ἀπὸ πάντων ὧν ἐνετείλατο αὐτῷ πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτοῦ, ἐκτὸς ἐν ῥήματι οὐρίου τοῦ χετταίου. καὶ πόλεμος ἦν μεταξὺ ῥοβοὰμ, καὶ μεταξὺ ἱεροβοὰμ, πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτοῦ. καὶ τὰ λοιπὰ τῶν λόγων ἀβιὰ, καὶ πάντα ἃ ἐποίησεν, οὐκ ἰδοὺ ταῦτα γεγραμμένα ἐπὶ βιβλίῳ λόγων τῶν ἡμερῶν τοῖς βασιλεῦσιν ἰούδα. καὶ πόλεμος ἦν ἀνὰ μέσον ἀβιοὺ, καὶ ἀνὰ μέσον ἱεροβοάμ. καὶ ἐκοιμήθη ἀβιοὺ μετὰ τῶν πατέρων αὐτοῦ, ἐν

τῷ εἰκοστῷ ἔτει τοῦ ἱεροβοάμ. καὶ θάπτεται μετὰ τῶν πατέρων αὐ-
τοῦ ἐν πόλει δαβίδ. καὶ βασιλεύει ἀσὰ ὁ υἱὸς αὐτοῦ ἀντ' αὐτοῦ. καὶ
ἐν ἔτει εἰκοστῷ τοῦ ἱεροβοὰμ βασιλέως ἰσραὴλ, βασιλεύει ἀσὰ
ἐπὶ ἰούδα. καὶ τεσσαράκοντα καὶ ἓν ἔτος ἐβασίλευσεν ἐν ἱερου-
σαλὴμ, καὶ ὄνομα τῆς μητρὸς αὐτοῦ ἀνὰ θυγάτηρ ἀβεσσαλώμ. καὶ
ἐποίησεν ἀσὰ τὸ εὐθὲς ἐνώπιον κυρίου, ὡς δαβὶδ ὁ πατὴρ αὐ-
τοῦ. καὶ ἀφεῖλε τὰς τελετὰς ἀπὸ τῆς γῆς. καὶ ἐξαπέστειλε πάντα
τὰ ἐπιτηδεύματα ἃ ἐποίησαν οἱ πατέρες αὐτοῦ. καὶ τὴν ἀννὰ
τὴν μητέρα ἑαυτοῦ μετέστησε τοῦ μὴ εἶναι ἡγουμένην, καθὼς ἐ-
ποίησε σύνοδον ἐν τῷ ἄλσει αὐτῆς. καὶ ἐξέκοψεν ἀσὰ τὰς κα-
ταδύσεις αὐτῆς. καὶ ἐνέπρησε πυρὶ ἐν τῷ χειμάῤῥῳ τῶν κέ-
δρων. τὰ δὲ ὑψηλὰ οὐκ ἐξῆρε. πλὴν ἡ καρδία ἀσὰ ἦν τελεία με-
τὰ κυρίου πάσας τὰς ἡμέρας αὐτοῦ. καὶ εἰσήνεγκε τοὺς κίονας τοῦ
πατρὸς αὐτοῦ. καὶ τοὺς κίονας αὐτοῦ εἰσήνεγκεν εἰς τὸν οἶκον κυ-
ρίου ἀργυροῦς, καὶ χρυσοῦς καὶ σκεύη. καὶ πόλεμος ἦν ἀνὰ μέσον
ἀσὰ, καὶ ἀνὰ μέσον βαασὰ βασιλέως ἰσραὴλ πάσας τὰς ἡμέ-
ρας αὐτῶν. καὶ ἀνέβη βαασὰ βασιλεὺς ἰσραὴλ ἐπὶ ἰούδαν, καὶ
ᾠκοδόμησε τὴν ῥαμὰ, τοῦ μὴ εἶναι ἐκπορευόμενον, καὶ εἰσπορευό-
μενον τῷ ἀσὰ βασιλεῖ ἰούδα. καὶ ἔλαβεν ἀσὰ σύμπαν τὸ ἀργύ-
ριον καὶ τὸ χρυσίον τὸ εὑρεθὲν ἐν θησαυροῖς, οἴκου κυρίου, καὶ ἐν
τοῖς θησαυροῖς τοῦ οἴκου τοῦ βασιλέως, καὶ ἔδωκεν αὐτὰ εἰς χεῖρας
παίδων αὐτοῦ. καὶ ἐξαπέστειλεν αὐτοὺς ὁ βασιλεὺς ἀσὰ πρὸς υἱὸν
ἄδερ υἱὸν ταβερ ῥαμμὰν υἱοῦ ἀζαὴλ βασιλέως συρίας τοῦ κα-
τοικοῦντος ἐν δαμασκῷ λέγων. διάθου διαθήκην ἀνὰ μέσον ἐ-
μοῦ, καὶ ἀνὰ μέσον σοῦ, καὶ ἀνὰ μέσον τοῦ πατρός μου, καὶ τοῦ πατρός
σου. ἰδοὺ ἐξαπέσταλκά σοι δῶρα ἀργύριον καὶ χρυσίον. δεῦρο
διασκέδασον τὴν διαθήκην σου τὴν πρὸς βαασὰ βασιλέα ἰσρα-
ὴλ, καὶ ἀναβήσεται ἀπ' ἐμοῦ. καὶ ἤκουσεν υἱὸς ἄδερ τοῦ βασιλέως ἀ-
σὰ, καὶ ἀπέστειλε τοὺς ἄρχοντας τῶν δυνάμεων αὐτοῦ ταῖς πόλεσι
τοῦ ἰσραὴλ, καὶ ἐπάταξε τὴν αἰν, καὶ τὴν δὰν καὶ τὴν ἀβελ-

οἴκου μααχά, καὶ πᾶσαν τὴν χενερέθ, ἕως πάσης τῆς γῆς νεφθαλείμ, καὶ ἐγένετο ὡς ἤκουσε βαασά, καὶ διέλιπε τοῦ οἰκοδομεῖν τὴν ῥαμά, καὶ ἀνέστρεψεν εἰς θερσά. καὶ ὁ βασιλεὺς ἀσά, παρήγγειλε παντὶ ἰούδα εἰς ἐνακείμ. καὶ αἴρουσι τοὺς λίθους τῆς ῥαμά, καὶ τὰ ξύλα αὐτῆς ἃ ᾠκοδόμησε βαασά. καὶ ᾠκοδόμησεν ἐν αὐτοῖς ὁ βασιλεὺς ἀσὰ πάντα βουνὸν βενιαμίν, καὶ τὴν σκοπιάν. καὶ τὰ λοιπὰ τῶν λόγων ἀσά. καὶ πᾶσα ἡ δυναστεία αὐτοῦ. καὶ πάντα ἃ ἐποίησε, καὶ τὰς πόλεις ἃς ᾠκοδόμησεν, οὐκ ἰδοὺ ταῦτα γεγραμμένα ἐστὶν ἐν βιβλίῳ λόγων τῶν ἡμερῶν τοῖς βασιλεῦσιν ἰούδα. πλὴν ἐν τῷ καιρῷ τοῦ γήρως αὐτοῦ, ἐπόνεσε τοὺς πόδας αὐτοῦ. καὶ ἐκοιμήθη ἀσὰ μετὰ τῶν πατέρων αὐτοῦ. καὶ θάπτεται μετὰ τῶν πατέρων αὐτοῦ ἐν πόλει δαβὶδ πατρὸς αὐτοῦ. καὶ βασιλεύει ἰωσαφὰτ υἱὸς αὐτοῦ ἀντ' αὐτοῦ. καὶ ναβατὰ υἱὸς ἱεροβοὰμ βασιλεύει ἐν ἰσραὴλ ἐν ἔτει δευτέρῳ τοῦ ἀσὰ βασιλέως ἰούδα. καὶ ἐβασίλευσεν ἐπὶ ἰσραὴλ, ἔτη δύο, καὶ ἐποίησε τὸ πονηρὸν ἐνώπιον κυρίου, καὶ ἐπορεύθη ἐν ὁδῷ τοῦ πατρὸς αὐτοῦ, καὶ ταῖς ἁμαρτίαις αὐτοῦ αἷς ἐξήμαρτε τὸν ἰσραήλ. καὶ περιεκάθισεν αὐτὸν βαασὰ υἱὸς ἀχιὰ ἐπὶ τὸν οἶκον βελλὰν υἱοῦ ἀχιά, καὶ ἐπάταξεν αὐτὸν ἐν γαβαθὼν τῇ τῶν ἀλλοφύλων. καὶ ναβὰτ, καὶ πᾶς ἰσραὴλ, περιεκάθηντο ἐπὶ γαβαθών, καὶ ἐθανάτωσεν αὐτὸν βαασὰ ἐν ἔτει τρίτῳ τοῦ ἀσὰ υἱοῦ ἀβιὰ βασιλέως ἰούδα, καὶ ἐβασίλευσεν ἀντ' αὐτοῦ. καὶ ἐγένετο ὡς ἐβασίλευσεν, καὶ ἐπάταξε ὅλον τὸν οἶκον ἱεροβοὰμ καὶ οὐχ ὑπελείπετο πᾶσαν πνοὴν τοῦ ἱεροβοάμ, ἕως τοῦ ἐξολοθρεῦσαι αὐτόν. κατὰ τὸ ῥῆμα κυρίου ὃ ἐλάλησεν ἐν χειρὶ δούλου αὐτοῦ ἀχιὰ τοῦ σηλωνίτου περὶ τῶν ἁμαρτιῶν ἱεροβοὰμ, ὃς ἐξήμαρτε τὸν ἰσραήλ. καὶ ἐν τῷ παροργισμῷ αὐτοῦ ὃ παρώργισε τὸν κύριον θεὸν τοῦ ἰσραήλ, καὶ τὰ λοιπὰ τῶν λόγων ναβάτ. καὶ πάντα ὅσα ἐποίησεν. οὐκ ἰδοὺ ταῦτα γεγραμμένα ἐστὶν ἐν βιβλίῳ λόγων τῶν ἡμερῶν τοῖς βασιλεῦσιν ἰσραήλ.

Κεφάλαιον. ις΄. 16.

κ Αὶ ἐν τῷ ἔτει τῷ τρίτῳ τοῦ ἀσὰ βασιλέως ἰούδα, βασιλεύει βαασὰ υἱὸς ἀχιὰ ἐπὶ πάντα ἰσραὴλ ἐν θερσᾷ, εἴκοσι καὶ τέσσαρα ἔτη. καὶ ἐποίησε τὸ πονηρὸν ἐνώπιον κυρίου. καὶ ἐπορεύθη ἐν ὁδῷ ἱεροβοὰμ υἱοῦ ναβάτ. καὶ ἐν ταῖς ἁμαρτίαις αὐτοῦ αἷς ἐξήμαρτε τὸν ἰσραήλ. καὶ ἐγένετο λόγος κυρίου ἐν χειρὶ ἰοῦ υἱοῦ ἀνανὶ πρὸς βαασὰ λέγων. ἀνθ' ὧν ὕψωσά σε ἀπὸ τῆς γῆς, καὶ ἔδωκά σε ἡγούμενον ἐπὶ τὸν λαόν μου ἰσραὴλ, καὶ ἐπορεύθης ἐν τῇ ὁδῷ ἱεροβοὰμ, καὶ ἐξήμαρτες τὸν λαόν μου τὸν ἰσραὴλ, τοῦ παροργίσαι με ἐν τοῖς ματαίοις αὐτῶν, ἰδοὺ ἐγὼ ἐξεγείρω ὀπίσω βαασὰ, καὶ ὄπισθεν τοῦ οἴκου αὐτοῦ. καὶ δώσω τὸν οἶκόν σου, ὡς τὸν οἶκον ἱεροβοὰμ υἱοῦ ναβάτ. τὸν τεθνηκότα τοῦ βαασὰ ἐν τῇ πόλει καταφάγονται αὐτὸν οἱ κύνες καὶ τὸν τεθνηκότα αὐτοῦ ἐν τῷ πεδίῳ, καταφάγονται τὰ πετεινὰ τοῦ οὐρανοῦ. καὶ τὰ λοιπὰ τῶν λόγων βαασὰ, καὶ πάντα ἃ ἐποίησε. καὶ αἱ δυναστεῖαι αὐτοῦ. οὐκ ἰδοὺ ταῦτα γεγραμμένα ἐν βιβλίῳ λόγων τῶν ἡμερῶν τῶν βασιλέων ἰσραήλ. καὶ ἐκοιμήθη βαασὰ μετὰ τῶν πατέρων αὐτοῦ, καὶ θάπτεται ἐν θαρσᾷ. καὶ βασιλεύει ἠλὰ υἱὸς αὐτοῦ ἀντ' αὐτοῦ. ἐν ἔτει εἰκοστῷ καὶ ὀγδόῳ τοῦ ἀσὰ βασιλέως ἰούδα. καὶ ἐν χειρὶ ἰοῦ υἱοῦ ἀνανὶ τοῦ προφήτου. ἐλάλησε κύριος ἐπὶ βαασὰ καὶ ἐπὶ τὸν οἶκον αὐτοῦ, πᾶσαν τὴν κακίαν ἣν ἐποίησεν ἐνώπιον κυρίου τοῦ παροργίσαι αὐτὸν ἐν τοῖς ἔργοις τῶν χειρῶν αὐτοῦ, τοῦ εἶναι αὐτὸν καθὼς ὁ οἶκος ἱεροβοάμ. καὶ ὑπὲρ τοῦ πατάξαι αὐτόν. καὶ ἠλὰ υἱὸς βαασὰ, ἐβασίλευσεν ἐπὶ τὸν ἰσραὴλ δύο ἔτη ἐν θερσᾷ. καὶ συνέστρεψεν ἐφ' ἑαυτὸν τοὺς παῖδας αὐτοῦ. καὶ ζαμβρὶ ὁ ἄρχων τοῦ ἡμίσους τῆς ἵππου καὶ αὐτὸς ἦν ἐν θερσᾷ πίνων μεθύων ἐν τῷ οἴκῳ ὠσὰ τοῦ οἰκονόμου ἐν θερσᾷ. καὶ εἰσῆλθε ζαμβρὶ καὶ ἐπάταξεν αὐτὸν καὶ ἐβασίλευσεν ἀντ' αὐτοῦ. καὶ ἐγενήθη ἐν τῷ βασιλεῦσαι αὐτὸν ἐν τῷ καθίσαι αὐτὸν ἐπὶ τοῦ θρόνου αὐτοῦ, καὶ ἐπάταξεν ὅλον τὸν οἶκον βαασὰ κα-

τὰ τὸ ῥῆμα κυρίου ὃ ἐλάλησεν ἐπὶ τὸν οἶκον βαασά. καὶ πρὸς ἠλιοὺ τὸν προφήτην περὶ πασῶν τῶν ἁμαρτιῶν βαασά, καὶ ἠ-
λὰ τοῦ υἱοῦ αὐτοῦ, ὡς ἐξήμαρτε τὸν ἰσραὴλ τοῦ παροργίσαι κύριον
τὸν θεὸν ἰσραὴλ ἐν τοῖς ματαίοις αὐτῶν. καὶ τὰ λοιπὰ τῶν λόγων
ἠλά, καὶ πάντα ἃ ἐποίησεν. οὐκ ἰδοὺ ταῦτα γεγραμμένα ἐν βι-
βλίῳ λόγων, τῶν ἡμερῶν τῶν βασιλέων ἰσραήλ; καὶ ζαμβρὶ ἐβα-
σίλευσεν ἐν θερσᾷ, ἡμέρας ἑπτά. καὶ ἡ παρεμβολὴ ἰσραήλ, ἐπὶ
γαβαθὼν τὴν τῶν ἀλλοφύλων. καὶ ἤκουσεν ὁ λαὸς ἐν τῇ παρεμβο-
λῇ λεγόντων. συνεστράφη ζαμβρὶ καὶ ἔπαισε τὸν βασιλέα. καὶ ἐ-
βασίλευσαν ἐν ἱερουσαλὴμ τὸν γαμβρὶ τὸν ἡγούμενον τῆς στρατιᾶς
τοῦ ἰσραὴλ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐν τῇ παρεμβολῇ. καὶ ἀνέβη γαμ-
βρὶ καὶ πᾶς ἰσραὴλ μετ' αὐτοῦ ἐκ γαβεθών, καὶ περιεκάθισαν ἐπὶ
θερσᾷ. καὶ ἐγενήθη ὡς εἶδε ζαμβρί, ὅτι προκατείληπται αὐτοῦ ἡ πό-
λις, καὶ εἰσπορεύεται εἰς ἄντρον τοῦ οἴκου τοῦ βασιλέως. καὶ ἐνεπύρισεν
ἐπ' αὐτὸν τὸν οἶκον τοῦ βασιλέως ἐν πυρί. καὶ ἀπέθανεν ὑπὲρ τῶν ἁ-
μαρτιῶν αὐτοῦ ὧν ἐποίησε τοῦ ποιῆσαι τὸ πονηρὸν ἐνώπιον κυρίου
τοῦ πορευθῆναι ἐν ὁδῷ ἱεροβοὰμ υἱοῦ ναβάτ. καὶ ἐν ταῖς ἁμαρτί-
αις αὐτοῦ αἷς ἐποίησεν, ὡς ἐξήμαρτε τὸν ἰσραήλ. καὶ τὰ λοιπὰ τῶν
λόγων ζαμβρὶ καὶ τὰς συνάψεις αὐτοῦ ἃς συνῆψεν, οὐκ ἰδοὺ ταῦ-
τα γεγραμμένα ἐπὶ βιβλίῳ λόγων τῶν ἡμερῶν τῶν βασιλέων ἰ-
σραήλ. τότε μερίζεται ὁ λαὸς ἰσραήλ. τὸ ἥμισυ τοῦ λαοῦ γίνεται ὀπίσω
θαμνὶ υἱοῦ γωνὰθ τοῦ βασιλεῦσαι αὐτόν. καὶ τὸ ἥμισυ τοῦ λαοῦ γί-
νεται ὀπίσω γαμβρί. ὁ λαὸς ὁ ὢν ὀπίσω γαμβρί, ὑπερεκράτησε
τὸν λαὸν τὸν ὀπίσω θαμνὶ υἱοῦ γωνάθ. καὶ ἀπέθανε θαμνί, καὶ
ἰωρὰμ ὁ ἀδελφὸς αὐτοῦ ἐν τῷ καιρῷ ἐκείνῳ. καὶ ἐβασίλευσε
γαμβρὶ μετὰ θαμνί, ἐν τῷ ἔτει τῷ τριακοστῷ, καὶ πρώτῳ τοῦ βα-
σιλέως ἀσά, βασιλεύει γαμβρὶ ἐπὶ ἰσραὴλ δώδεκα ἔτη. ἐν θερ-
σᾷ βασιλεύει ἓξ ἔτη. καὶ ἐκτήσατο γαμβρὶ τὸ ὄρος τὸ σεμερὼν
παρὰ σεμμὴρ τοῦ κυρίου τοῦ ὄρους δύο ταλάντων ἀργυρίου. καὶ ᾠ-
κοδόμησε τὸ ὄρος καὶ ἐπεκάλεσε τὸ ὄνομα τοῦ ὄρους οὗ ᾠκοδόμη-

σεν ἐπὶ τῷ ὀνόματι σεμμὴρ τοῦ κυρίου τοῦ ὄρους σεμηρών. καὶ ἐποίησε
ζαμβρὶ τὸ πονηρὸν ἐνώπιον κυρίου. καὶ ἐπονηρεύσατο ὑπὲρ πάντας τοὺς
γενομένους ἔμπροσθεν αὐτοῦ. καὶ ἐπορεύθη ἐν πάσῃ ὁδῷ ἱεροβο-
ὰμ υἱοῦ ναβὰτ, καὶ ἐν ταῖς ἁμαρτίαις αὐτοῦ αἷς ἐξήμαρτε τὸν ἰ-
σραὴλ, τοῦ παροργίσαι τὸν κύριον θεὸν ἰσραὴλ ἐν τοῖς ματαίοις αὐ-
τῶν. καὶ τὰ λοιπὰ τῶν λόγων ζαμβρί. καὶ πάντα ἃ ἐποίησε, καὶ πᾶ-
σα ἡ δυναστεία αὐτοῦ οὐκ ἰδοὺ ταῦτα γεγραμμένα ἐν βιβλίῳ λό-
γων τῶν ἡμερῶν τῶν βασιλέων ἰσραὴλ. καὶ ἐκοιμήθη ζαμβρὶ μετὰ τῶν
πατέρων αὐτοῦ, καὶ θάπτεται ἐν σαμαρείᾳ. καὶ βασιλεύει ἀχα-
ὰβ ὁ υἱὸς αὐτοῦ ἀντ᾽ αὐτοῦ. ὁ δὲ ἀχαὰβ υἱὸς ζαμβρὶ, ἐβασίλευ-
σεν ἐπὶ ἰσραὴλ ἐν ἔτει τριακοστῷ, καὶ ὀγδόῳ τοῦ ἀσὰ βασιλέ-
ως ἰούδα. βασιλεύει δὲ ἀχαὰβ υἱὸς ζαμβρὶ ἐπὶ ἰσραὴλ. καὶ ἐν
τῷ ἐνιαυτῷ τῷ ἑνδεκάτῳ τοῦ ζαμβρὶ, βασιλεύει ἰωσαφὰτ υἱ-
ὸς ἀσὰ ἐτῶν τριάκοντα καὶ πέντε ἐν τῇ βασιλείᾳ αὐτοῦ. καὶ εἴ-
κοσι πέντε ἔτη, ἐβασίλευσεν ἐν ἱερουσαλὴμ, καὶ ὄνομα τῆς μητρὸς
αὐτοῦ γαζουβᾶ. θυγάτηρ σελεΐ. καὶ ἐπορεύθη ἐν τῇ ὁδῷ ἀσὰ τοῦ
πατρὸς αὐτοῦ. καὶ οὐκ ἐξέκλινεν ἀπ᾽ αὐτοῦ τοῦ ποιεῖν τὸ εὐθὲς ἐνώ-
πιον κυρίου. πλὴν τῶν ὑψηλῶν οὐκ ἐξῆραν ἔθυον ἐν τοῖς ὑψηλοῖς, καὶ
ἐθυμίων. καὶ ἃ συνέθετο ἰωσαφὰτ μετὰ βασιλέως ἰσραὴλ, καὶ
πᾶσα ἡ δυναστεία αὐτοῦ ἣν ἐποίησε, καὶ οὓς ἐπολέμησεν. οὐκ ἰ-
δοὺ ταῦτα γεγραμμένα ἐν βιβλίῳ λόγων τῶν ἡμερῶν τῶν βασιλέ-
ων ἰούδα, καὶ τὰ λοιπὰ τῶν συμπλοκῶν ἃ ἦν ἐν ταῖς ἡμέραις ἀ-
σὰ τοῦ πατρὸς αὐτοῦ, ἐξῆρεν ἀπὸ τῆς γῆς. καὶ βασιλεὺς οὐκ ἦν ἐν
συρίᾳ νασὶβ. καὶ ὁ βασιλεὺς ἰωσαφὰτ, ἐποίησε ναῦν εἰς θαρ-
σεῖς. πορεύεσθαι εἰς σωφειρὰ ἐπὶ τὸ χρυσίον, καὶ οὐκ ἐπορεύθη.
ὅτι συνετρίβη ἡ ναῦς ἐν γασιὼν γαβέρ. τότε εἶπεν ὁ βασιλεὺς ἰ-
σραὴλ πρὸς ἰωσαφάτ. ἐξαποστελῶ τοὺς παῖδάς μου μετὰ τῶν παί-
δων ἐν τῇ νηΐ, καὶ οὐκ ἠβουλήθη ἰωσαφάτ. καὶ ἐκοιμήθη ἰωσαφὰτ
μετὰ τῶν πατέρων αὐτοῦ, καὶ θάπτεται μετὰ τῶν πατέρων αὐ-
τοῦ ἐν πόλει δαβίδ. καὶ ἐβασίλευσεν ἰωρὰμ υἱὸς αὐτοῦ ἀντ᾽

αὐτοῦ. ἐν ἔτει δευτέρῳ τοῦ ἰωσαφὰτ βασιλέως ἰούδα, ἀχαὰβ υἱὸς γαμβρὶ ἐβασίλευσεν ἐπὶ ἰσραὴλ ἐν σαμαρείᾳ, εἴκοσι καὶ δύο ἔτη. καὶ ἐποίησεν ἀχαὰβ τὸ πονηρὸν ἐνώπιον κυρίου. καὶ ἐπονηρεύσατο ὑπὲρ πάντας τοὺς ἔμπροσθεν αὐτοῦ. καὶ οὐκ ἦν αὐτῷ ἱκανὸν τοῦ πορεύεσθαι ἐν ταῖς ἁμαρτίαις ἱεροβοὰμ υἱοῦ ναβάτ. καὶ ἔλαβε γυναῖκα τὴν ἰεζάβελ θυγατέρα ἰεθεβαὰλ βασιλέως σιδωνίων. καὶ ἐπορεύθη καὶ ἐδούλευσε τῷ βαὰλ, καὶ προσεκύνησεν αὐτῷ. καὶ ἔστησε θυσιαστήριον τῷ βαὰλ ἐν οἴκῳ τῶν προσοχθισμάτων αὐτοῦ, ὃν ᾠκοδόμησεν ἐν σαμαρείᾳ. καὶ ἐποίησεν ἀχαὰβ ἄλσος, καὶ προσέθηκεν ἀχαὰβ τοῦ ποιῆσαι παροργίσματα, τοῦ παροργίσαι τὸν κύριον θεὸν τοῦ ἰσραήλ. καὶ τὴν ψυχὴν αὐτοῦ τοῦ ἐξολοθρευθῆναι ἐκακοποίησεν, ὑπὲρ πάντας τοὺς βασιλεῖς ἰσραὴλ τοὺς γενομένους ἔμπροσθεν αὐτοῦ. καὶ ἐν ταῖς ἡμέραις αὐτοῦ, ᾠκοδόμησεν ἀχιὴλ ὁ βεθηλίτης τὴν ἱεριχώ. ἐν τῷ ἀβιρὼν πρωτοτόκῳ αὐτοῦ ἐθεμελίωσεν αὐτὴν. καὶ τῷ σεγοὺβ τῷ νεωτέρῳ αὐτοῦ ἐπέστησε τὰς θύρας αὐτῆς κατὰ τὸ ῥῆμα κυρίου ὃ ἐλάλησεν ἐν χειρὶ ἰησοῦ υἱοῦ ναυῆ.

Κεφάλαιον ιζ'. 17.

κ Καὶ εἶπεν ἠλιοὺ ὁ προφήτης ὁ ἐκ θεσβῶν τῆς γαλααδ πρὸς ἀχαάβ. ζῇ κύριος ὁ θεὸς τῶν δυνάμεων ὁ θεὸς ἰσραὴλ ᾧ παρέστην ἐνώπιον αὐτοῦ, εἰ ἔσται τὰ ἔτη ταῦτα δρόσος, καὶ ὑετὸς, ὅτι εἰ μὴ διὰ στόματος λόγου μου. καὶ ἐγένετο ῥῆμα κυρίου πρὸς ἠλιού. πορεύου ἐντεῦθεν κατὰ ἀνατολὰς, καὶ κρύβηθι ἐν τῷ χειμάρρῳ χοῤῥὰθ τοῦ ἐπὶ προσώπου τοῦ ἰορδάνου. καὶ ἔσται ἐκ τοῦ χειμάρρου πίεσαι ὕδωρ. καὶ τοῖς κόραξιν ἐντελοῦμαι διατρέφειν σε ἐκεῖ. καὶ ἐποίησεν ἠλιοὺ κατὰ τὸ ῥῆμα κυρίου, καὶ ἐκάθισεν ἐν τῷ χειμάῤῥῳ χοῤῥὰθ ἐπὶ προσώπου τοῦ ἰορδάνου. καὶ οἱ κόρακες ἔφερον αὐτῷ ἄρτους τὸ πρωῒ, καὶ κρέας τὸ δείλης. καὶ ἐκ τοῦ χειμάῤῥου ἔπιεν ὕδωρ. καὶ ἐγένετο μεθ' ἡμέρας, καὶ ἐξηράνθη ὁ χειμάῤῥους, ὅτι οὐκ ἐγένετο ὑετὸς ἐπὶ τῆς

γῆς. καὶ ἐγένετο ῥῆμα κυρίου πρὸς ἠλιού. ἀνάστηθι, καὶ πορεύ-
θητι εἰς ἀρεφθὰ τῆς σιδωνίας. ἰδοὺ ἐντέταλμαι ἐκεῖ γυναικὶ χή-
ρᾳ τοῦ διατρέφειν σε. καὶ ἀνέστη καὶ ἐπορεύθη εἰς ἀρεφθά. καὶ
ἦλθεν εἰς τὸν πυλῶνα τῆς πόλεως. καὶ ἰδοὺ ἐκεῖ γυνὴ χήρα συ-
νέλεγε ξύλα. καὶ ἐβόησεν ὀπίσω αὐτῆς ἠλιού. καὶ εἶπεν αὐτῇ.
λαβὲ δή μοι ὀλίγον ὕδωρ εἰς ἄγγος, καὶ πίομαι. καὶ ἐπορεύ-
θη λαβεῖν. καὶ ἐβόησεν ὀπίσω αὐτῆς ἠλιού, καὶ εἶπεν αὐτῇ. λή-
ψη δή μοι, καὶ ψωμὸν ἄρτου ἐν τῇ χειρί σου. καὶ φάγομαι.
καὶ εἶπεν ἡ γυνή. ζῇ κύριος ὁ θεός σου εἰ ἔστι μοι ἐγκρυφίας.
ἀλλ' ἢ ὅσον δρὰξ ἀλεύρου ἐν τῇ ὑδρίᾳ. καὶ ὀλίγον ἔλαιον ἐν
τῷ καψάκῃ, καὶ ἰδοὺ ἐγὼ συλλέξω δύο ξυλάρια, καὶ εἰσελεύσο-
μαι καὶ ποιήσω αὐτὸ ἐμαυτῇ καὶ τοῖς τέκνοις μου, καὶ φαγό-
μεθα, καὶ ἀποθανούμεθα. καὶ εἶπε πρὸς αὐτὴν ἠλιού, θάρσει.
εἴσελθε καὶ ποίησον κατὰ τὸ ῥῆμά σου. ἀλλὰ ποίησόν μοι ἐγ-
κρυφίαν μικρὸν ἐκεῖθεν, καὶ ἐξοίσεις μοι ἐν πρώτοις, σαυτῇ δὲ
καὶ τοῖς τέκνοις σου ποιήσεις ἐπ' ἐσχάτῳ. ὅτι τάδε λέγει κύρι-
ος ὁ θεὸς ἰσραήλ. ἡ ὑδρία τοῦ ἀλεύρου οὐκ ἐξέλιπε, καὶ ὁ καψά-
κης τοῦ ἐλαίου οὐκ ἐλαττονήσει, ἕως ἡμέρας τοῦ δοῦναι κύριον ὑε-
τὸν ἐπὶ τῆς γῆς. καὶ ἐπορεύθη ἡ γυνή, καὶ ἐποίησε κατὰ τὸ ῥῆμα
ἠλιού, καὶ ἔδωκεν αὐτῷ καὶ ἤσθιεν αὐτὸς, καὶ αὐτὴ, καὶ τὰ τέκνα
αὐτῆς. καὶ ἡ ὑδρία τοῦ ἀλεύρου οὐκ ἐξέλιπε. καὶ ὁ καψάκης τοῦ ἐ-
λαίου οὐκ ἠλαττονήθη, κατὰ τὸ ῥῆμα κυρίου ὃ ἐλάλησεν ἐν χει-
ρὶ ἠλιού. καὶ ἐγένετο μετὰ ταῦτα, καὶ ἠρρώστησεν ὁ υἱὸς τῆς γυ-
ναικὸς τῆς κυρίας τοῦ οἴκου. καὶ ἦν ἡ ἀρρωστία αὐτοῦ κραταιὰ σφό-
δρα, ἕως οὗ ὑπελείφθη ἐν αὐτῷ πνεῦμα. καὶ εἶπε πρὸς ἠλιού.
τί ἐμοὶ καὶ σοὶ ἄνθρωπε τοῦ θεοῦ εἰσῆλθες πρός με τοῦ ἀναμνῆ-
σαι τὰς ἀδικίας μου, καὶ θανατῶσαι τὸν υἱόν μου. καὶ εἶπεν ἠ-
λιοὺ πρὸς τὴν γυναῖκα δός μοι τὸν υἱόν σου. καὶ ἔλαβεν αὐτὸν ἐκ
τοῦ κόλπου αὐτῆς, καὶ ἀνήνεγκεν αὐτὸν εἰς τὸ ὑπερῷον ἐν ᾧ αὐτὸς
ἐκάθητο ἐκεῖ. καὶ ἐκοίμησεν αὐτὸν ἐπὶ τῆς κλίνης αὐτοῦ. καὶ ἀ-

εβόησεν ἠλιοὺ, καὶ εἶπεν· οἴμοι κύριε ὁ μάρτυς τῆς χήρας μεθ'
ἧς ἐγὼ κατοικῶ μετ' αὐτῆς, σὺ ἐκάκωσας, τοῦ θανατῶσαι τὸν
υἱὸν αὐτῆς. καὶ ἐνεφύσησε τῷ παιδαρίῳ τρίς. καὶ ἐπεκαλέσατο
τὸν κύριον καὶ εἶπε. κύριε ὁ θεός μου. ἐπιστραφήτω δὴ ἡ ψυχὴ τοῦ
παιδαρίου τούτου εἰς αὐτόν. καὶ ἐγένετο οὕτως. καὶ ἀνεβόησε
τὸ παιδάριον, καὶ κατήγαγεν αὐτὸ ἀπὸ τοῦ ὑπερώου εἰς τὸν οἶκον
καὶ ἔδωκεν αὐτὸ τῇ μητρὶ αὐτοῦ. καὶ εἶπεν ἠλιοὺ βλέπε. ζῇ ὁ υἱ-
ός σου. καὶ εἶπεν, ἡ γυνὴ πρὸς ἠλιοὺ. ἰδοὺ ἔγνωκα, ὅτι ἄνθρωπος
τοῦ θεοῦ εἶ σύ. καὶ ῥῆμα κυρίου ἐν τῷ στόματί σου ἀληθινόν.

Κεφ. ιη. 18.

Καὶ ἐγένετο μεθ' ἡμέρας πολλὰς, καὶ ῥῆμα κυρίου ἐγέ-
κ νετο πρὸς ἠλιοὺ ἐν τῷ ἐνιαυτῷ τῷ τρίτῳ λέγων. πο-
ρεύθητι, καὶ ὤφθητι τῷ ἀχαάβ. καὶ δώσω ὑετὸν ἐπὶ πρό-
σωπον τῆς γῆς. καὶ ἐπορεύθη ἠλιοὺ τοῦ ὀφθῆναι τῷ ἀχαάβ.
καὶ ἦν λιμὸς κραταιὸς ἐν σαμαρείᾳ. καὶ ἐκάλεσεν ἀχαὰβ τὸν ἀ-
βδιοὺ τὸν οἰκονόμον. καὶ αὐδιοὺ ἦν φοβούμενος τὸν κύριον σφό-
δρα. καὶ ἐγένετο ἐν τῷ τύπτειν τὴν ἰεζάβελ τοὺς προφήτας κυ-
ρίου, καὶ ἔλαβεν αὐδιοὺ ἑκατὸν ἄνδρας προφήτας καὶ κατέκρυ-
ψεν αὐτοὺς ἀνὰ πεντήκοντα ἐν δυσὶ σπηλαίοις. καὶ διέτρε-
φεν αὐτοὺς ἐν ἄρτῳ, καὶ ὕδατι. καὶ εἶπεν ἀχαὰβ πρὸς αὐ-
διοὺ δεῦρο, καὶ διέλθωμεν ἐπὶ τὴν γῆν, καὶ ἐπὶ τὰς πηγὰς
τῶν ὑδάτων καὶ ἐπὶ πάντας χειμάῤῥους, ἐάν πως εὕρωμεν βο-
τάνην, καὶ περιποιησώμεθα ἵππους καὶ ἡμιόνους καὶ οὐκ ἐξο-
λοθρευθήσονται ἀπὸ τῶν κτηνῶν, καὶ ἐμέρισαν ἑαυτοῖς τὴν ὁ-
δὸν τοῦ διελθεῖν ἐν αὐτῇ. ἀχαὰβ ἐπορεύθη ἐν ὁδῷ μιᾷ μόνος, καὶ
αὐδιοὺ ἐπορεύθη ἐν ὁδῷ ἄλλῃ μόνος. καὶ ἦν αὐδιοὺ ἐν τῇ ὁδῷ
καὶ ἦλθεν ἠλιοὺ εἰς συνάντησιν αὐτοῦ. καὶ αὐδιοὺ ἔσπευσε, καὶ
ἔπεσεν ἐπὶ πρόσωπον αὐτοῦ, καὶ εἶπεν εἰ σὺ εἶ αὐτὸς κύριέ μου
ἠλιού. καὶ εἶπεν ἠλιοὺ τῷ αὐδιοῦ, ἐγώ εἰμι. πορεύου λέγε τῷ κυ-
ρίῳ σου ἰδοὺ ἠλιού. καὶ εἶπεν αὐδιοὺ τί ἡμάρτηκα. ὅτι δίδως τὸν

δοῦλόν σου εἰς χεῖρας ἀχαὰβ τοῦ θανατῶσαί με. ζῇ κύριος ὁ θεὸς
σου εἰ ἔστιν ἔθνος, ἢ βασιλεία, οὗ οὐκ ἀπέσταλκεν ὁ κύριός μου ζητεῖν
σε. καὶ εἶπεν οὐκ ἔστι. καὶ ἐνέπρησε τὴν βασιλείαν καὶ τὰς χώρας αὐ-
τῆς, ὅτι οὐχ εὕρηκέ σε. καὶ νῦν σὺ λέγεις πορεύου ἀνάγγελλον τῷ κυ-
ρίῳ σου ἰδοὺ ἠλιού. καὶ ἔσται ἐὰν ἐγὼ ἀπέλθω ἀπὸ σοῦ. καὶ πνεῦ-
μα κυρίου ἀρεῖ σε εἰς γῆν ἣν οὐκ οἶδα. καὶ εἰσελεύσομαι ἀπαγγεῖ-
λαι τῷ ἀχαάβ, καὶ οὐχ εὑρήσει σε, καὶ ἀποκτενεῖ με. καὶ ὁ δοῦ-
λός σου ἐστὶ φοβούμενος τὸν κύριον ἐκ νεότητος αὐτοῦ. ἦ οὐκ ἀπηγ-
γέλη σοι τῷ κυρίῳ μου οἷα πεποίηκα ἐν τῷ ἀποκτείνειν τὴν ἰεζά-
βελ τοὺς προφήτας κυρίου. καὶ ἔλαβον ἐκ τῶν προφητῶν κυρίου ἑ-
κατὸν ἄνδρας καὶ ἔκρυψα αὐτοὺς ἐν τοῖς σπηλαίοις ἀνὰ πεντή-
κοντα. καὶ ἔθρεψα αὐτοὺς ἐν ἄρτοις, καὶ ὕδατι καὶ νῦν σὺ λέγεις
μοι πορεύου λέγε τῷ κυρίῳ σου ἰδοὺ ἠλιού. καὶ ἀποκτενεῖ με.
καὶ εἶπεν ἠλιού. ζῇ κύριος τῶν δυνάμεων ᾧ παρέστην ἐνώπιον
αὐτοῦ, ὅτι σήμερον ὀφθήσομαι αὐτῷ. καὶ ἐπορεύθη ἀβδιού,
εἰς συνάντησιν τῷ ἀχαάβ, καὶ ἀπήγγειλεν αὐτῷ. καὶ ἐξέ-
δραμεν ἀχαάβ. καὶ ἐπορεύθη εἰς συνάντησιν ἠλιού. καὶ ἐγένετο,
ὡς εἶδεν ἀχαὰβ τὸν ἠλιού, καὶ εἶπεν ἀχαὰβ πρὸς ἠλιού. εἰ σὺ εἶ
αὐτὸς ὁ διαστρέφων τὸν ἰσραήλ; καὶ εἶπεν ἠλιού, οὐ διαστρέφω
τὸν ἰσραήλ. ὅτι ἀλλ' ἢ σὺ καὶ οἶκος τοῦ πατρός σου ἐν τῷ κατα-
λιμπάνειν ὑμᾶς κύριον τὸν θεὸν ὑμῶν. καὶ ἐπορεύθης ὀπίσω τῶν
βααλίμ. καὶ νῦν ἀπόστειλον, καὶ συνάθροισον πρός με πάντα ἰ-
σραὴλ εἰς ὄρος τὸ καρμήλιον καὶ τοὺς προφήτας τοῦ βάαλ τετρα-
κοσίους καὶ πεντήκοντα. καὶ τοὺς προφήτας τῆς αἰσχύνης τε-
τρακοσίους, καὶ πεντήκοντα καὶ τοὺς προφήτας τῶν ἀλσῶν τε-
τρακοσίους ἐσθίοντας τράπεζαν ἰεζάβελ. καὶ ἀπέστειλεν ἀχαὰβ
εἰς πάντα ἰσραήλ, καὶ ἐπισυνήγαγε πάντας τοὺς προφήτας εἰς
τὸ ὄρος τὸ καρμήλιον. καὶ προσήγαγεν ἠλιοὺ πρὸς πάντας. καὶ
εἶπεν αὐτοῖς ἠλιού. ἕως πότε ὑμεῖς χωλανεῖτε ἐπ' ἀμφοτέραις
ταῖς ἰγνύαις. Εἰ ἔστι κύριος ὁ θεός, πορεύεσθε ὀπίσω αὐτοῦ. εἰ δὲ

ὁ βάαλ αὐτὸς, πορεύεσθαι ὀπίσω αὐτοῦ. καὶ οὐκ ἀπεκρίθη ὁ λα-
ὸς λόγον. καὶ εἶπεν ἠλιοὺ πρὸς τὸν λαὸν ἐγὼ ὑπολέλειμμαι
προφήτης τοῦ κυρίου μονώτατος. καὶ οἱ προφῆται τοῦ βάαλ.
τετρακόσιοι, καὶ πεντήκοντα ἄνδρες. καὶ οἱ προφῆται τοῦ ἄλ-
σους τετρακόσιοι. δότωσαν ἡμῖν δύο βόας. καὶ ἐκλεξάσθωσαν
ἑαυτοῖς τὸν ἕνα καὶ μελισάτωσαν καὶ ἐπιθέτωσαν ἐπὶ τῶν ξύ-
λων, καὶ πῦρ μὴ ἐπιθέτωσαν. καὶ ἐγὼ ποιήσω τὸν βοῦν τὸν
ἄλλον, καὶ πῦρ οὐ μὴ ἐπιθῶ, καὶ βοᾶτε ἐν ὀνόματι θεῶν ὑμῶν.
καὶ ἐγὼ ἐπικαλέσομαι ἐν τῷ ὀνόματι κυρίου τοῦ θεοῦ μου. καὶ ἔ-
σαι ὁ θεὸς ὃς ἂν ἐπακούσῃ ἐν πυρὶ, οὗτος θεός. καὶ ἀπεκρίθη-
σαν πᾶς ὁ λαὸς καὶ εἶπαν. καλὸν τὸ ῥῆμα ὃ ἐλάλησας. καὶ εἶπεν
ἠλιοὺ τοῖς προφήταις τῆς αἰσχύνης. ἐκλέξασθε ἑαυτοῖς τὸν μόσχ-
τὸν ἕνα, καὶ ποιήσατε πρῶτοι. ὅτι πολλοὶ ὑμεῖς. καὶ ἐπικαλέσασθε
ἐν ὀνόματι θεοῦ ὑμῶν καὶ πῦρ μὴ ἐπιθῆτε. καὶ ἔλαβον τὸν μό-
σχον, καὶ ἐποίησαν. καὶ ἐπεκαλέσαντο ἐν ὀνόματι τοῦ βάαλ ἐκ
πρωῒθεν ἕως μεσημβρίας καὶ εἶπον. ἐπάκουσον ἡμῶν ὁ βάαλ ἐ-
πάκουσον ἡμῶν. καὶ οὐκ ἦν φωνὴ, καὶ οὐκ ἦν ἀκρόασις. καὶ δι-
έτρεχον ἐπὶ τοῦ θυσιαστηρίου οὗ ἐποίησαν. καὶ ἐγένετο μεσημ-
βρία. καὶ ἐμυκτήρισεν αὐτοὺς ἠλιοὺ ὁ θεσβίτης καὶ εἶπεν ἐπι-
καλέσασθε ἐν φωνῇ μεγάλῃ, ὅτι ἐστιν ἀδολεσχία αὐτῷ. καὶ ἅμα
μήποτε χρηματίζῃ αὐτὸς, ἢ μήποτε καθεύδῃ αὐτὸς, καὶ ἐξανα-
στήσεται. καὶ ἐπεκάλουν ἐν φωνῇ μεγάλῃ, καὶ κατετέμνοντο κα-
τὰ τὸν ἐθισμὸν αὐτῶν ἐν μαχαίραις, καὶ ἐν σειρομάσταις ἕως
ἐκχύσεως αἵματος ἐπ᾽ αὐτοὺς, καὶ προεφήτευον ἕως οὗ πα-
ρῆλθε τὸ δειλινόν. καὶ ἐγένετο ὡς ὁ καιρὸς τοῦ ἀναβῆναι τὴν θυ-
σίαν, καὶ οὐκ ἦν φωνὴ, καὶ ἐλάλησεν ἠλιοὺ ὁ θεσβίτης πρὸς τοὺς
προφήτας τῶν προσοχθισμάτων λέγων. μετάστητε ἀπὸ τοῦ νῦν
καὶ ἐγὼ ποιήσω τὸ ὁλοκαύτωμά μου, καὶ μετέστησαν, καὶ ἀ-
πῆλθον, καὶ εἶπεν ἠλιοὺ πρὸς τὸν λαόν. προσαγάγετε πρός με.
καὶ προσήγαγε πᾶς ὁ λαὸς πρὸς αὐτόν. καὶ ἔλαβεν ἠλιοὺ δώδεκα

λίθους κατὰ ἀριθμὸν φυλῶν τοῦ ἰσραήλ. ὡς ἐλάλησε κύριος πρὸς αὐτὸν λέγων. ἰσραὴλ ἔσται τὸ ὄνομά σου. καὶ ᾠκοδόμησε τοὺς λίθους ἐν ὀνόματι κυρίου, καὶ ἰάσατο τὸ θυσιαστήριον τὸ κατεσκαμμένον. καὶ ἐποίησε θάλασσαν χωροῦσαν δύο μετρητὰς σπέρματος κυκλόθεν τοῦ θυσιαστηρίου. καὶ ἐστοίβασε τὰς σχίδακας ἐπὶ τὸ θυσιαστήριον ὃ ἐποίησε, καὶ ἐμέλισε τὸ ὁλοκαύτωμα καὶ ἐπέθηκεν ἐπὶ τὰς σχίδακας, καὶ ἐστοίβασεν ἐπὶ τὸ θυσιαστήριον. καὶ εἶπε λάβετέ μοι τέσσαρας ὑδρίας ὕδατος καὶ ἐπιχέετε ἐπὶ τὸ ὁλοκαύτωμα, καὶ ἐπὶ τὰς σχίδακας. καὶ ἐποίησαν οὕτως. καὶ εἶπε. δευτερώσατε, καὶ ἐδευτέρωσαν. καὶ εἶπε τρισσώσατε, καὶ ἐτρίσσευσαν καὶ διεπορεύσατο τὸ ὕδωρ κύκλῳ τοῦ θυσιαστηρίου. καὶ τὴν θάλασσαν ἔπλησαν ὕδατος. καὶ ἀνεβόησεν ἠλιοὺ εἰς τὸν οὐρανὸν, καὶ εἶπε, κύριε ὁ θεὸς ἀβραὰμ, καὶ ἰσαὰκ καὶ ἰσραὴλ, ἐπάκουσόν μου σήμερον ἐν πυρὶ, καὶ σήμερον γνώτωσαν πᾶς ὁ λαὸς οὗτος, ὅτι σὺ εἶ κύριος ὁ θεὸς ἰσραὴλ, καὶ ἐγὼ δοῦλος σός. καὶ διὰ σὲ πεποίηκα τὰ ἔργα ταῦτα. ἐπάκουσόν μου κύριε ἐπάκουσόν μου ἐν πυρί. καὶ γνώτω ὁ λαὸς οὗτος, ὅτι σὺ εἶ κύριος ὁ θεὸς, καὶ σὺ ἔστρεψας τὴν καρδίαν τοῦ λαοῦ τούτου ὀπίσω, καὶ ἔπεσε πῦρ παρὰ κυρίου ἐκ τοῦ οὐρανοῦ, καὶ κατέφαγε τὸ ὁλοκαύτωμα, καὶ τὰς σχίδακας, καὶ τὸ ὕδωρ τὸ ἐν τῇ θαλάσσῃ, καὶ τοὺς λίθους, καὶ τὸν χοῦν ἐξέλεξε τὸ πῦρ, καὶ ἔπεσε πᾶς ὁ λαὸς ἐπὶ πρόσωπον αὐτῶν, καὶ εἶπον. ἀληθῶς κύριος ἐστιν αὐτὸς θεὸς ὁ θεός. καὶ εἶπεν ἠλιοὺ πρὸς τὸν λαὸν συλλάβετε τοὺς προφήτας τοῦ βαάλ. μηδεὶς σωθήτω ἐξ αὐτῶν. καὶ συνέλαβον αὐτοὺς, καὶ κατάγει αὐτοὺς ἠλιοὺ εἰς τὸν χειμάῤῥουν κισσῶν. καὶ ἔσφαξεν αὐτοὺς ἐκεῖ. καὶ εἶπεν ἠλιοὺ πρὸς ἀχαάβ. ἀνάβηθι. καὶ φάγε καὶ πίε. ὅτι φωνὴ τῶν ποδῶν τοῦ ὑετοῦ. καὶ ἀνέβη ἀχαάβ. τοῦ φαγεῖν καὶ πιεῖν. καὶ ἠλιοὺ ἀνέβη ἐπὶ τὸν κάρμηλον καὶ ἔκυψεν ἐπὶ τὴν γῆν. καὶ ἔθηκε τὸ πρόσωπον αὐτοῦ ἀνὰ μέσον τῶν γονάτων αὐτοῦ. καὶ εἶπε πρὸς παι-

δαρίῳ αὐτοῦ ἀνάβηθι καὶ ἐπίβλεψον ὁδὸν τῆς θαλάσσης. καὶ ἀνέβη καὶ ἐπέβλεψε τὸ παιδάριον καὶ εἶπεν. οὐκ ἔστιν οὐθέν. καὶ εἶπεν ἠλιού, καὶ σὺ ἐπίστρεψον ἑπτάκις. καὶ ἐπέστρεψε τὸ παιδάριον ἑπτάκις ἐγένετο ἐν τῷ ἑβδόμῳ, καὶ ἰδοὺ νεφέλη μικρὰ ὡς ἴχνος ἀνδρὸς ἀνάγουσα ὕδωρ ἀπὸ θαλάσσης, καὶ εἶπεν ἀνάβηθι, καὶ εἶπεν τῷ ἀχαάβ. ζεῦξον τὸ ἅρμα σου καὶ κατάβηθι μὴ καταλάβῃ σε ὁ ὑετός. καὶ ἐγένετο ἕως ὧδε καὶ ἕως ὧδε καὶ ὁ οὐρανὸς συνεσκότασε ἐν νεφέλαις καὶ πνεύματι καὶ ἐγένετο ὑετὸς μέγας, καὶ ἔκλαιεν καὶ ἐπορεύετο ἀχαὰβ ἕως ἰεζράελ, καὶ χεὶρ κυρίου ἐγένετο ἐπὶ τὸν ἠλιοὺ καὶ συνέσφιγξε τὴν ὀσφὺν αὐτοῦ, καὶ ἔτρεχεν ἔμπροσθεν ἀχαὰβ ἕως ἰεζραέλ.

## Κεφάλαιον ιθ. 19.

Αὶ ἀνήγγειλεν ἀχαὰβ τῇ ἰεζάβελ τῇ γυναικὶ αὐ-
κ τοῦ, πάντα ὅσα ἐποίησεν ἠλιού. καὶ ὡς ἀπέκτει-
νε τοὺς προφήτας ῥομφαίᾳ. καὶ ἀπέστειλεν ἰεζάβελ

καὶ εἶπεν σὺ εἶ ἠλιοὺ καὶ ἐγὼ ἰεζάβελ. τάδε ποιήσαισάν μοι οἱ θεοί, καὶ τάδε προσθείησαν, ὅτι ταύτην τὴν ὥραν αὔριον θήσομαι τὴν ψυχήν σου καθὼς ἑνὸς ἐξ αὐτῶν. καὶ ἐφοβήθη ἠλιοὺ καὶ ἀνέστη, καὶ ἀπῆλθε κατὰ τὴν ψυχὴν αὐτοῦ. καὶ ἔρχεται εἰς βηρσαβεὲ γῆν ἰούδα. καὶ ἀφῆκε τὸ παιδάριον αὐτοῦ ἐκεῖ. καὶ αὐτὸς ἐπορεύθη ἐν τῇ ἐρήμῳ ὁδὸν ἡμέρας. καὶ ἦλθε καὶ ἐκάθισεν ὑπὸ κάτω ῥαθμὲν, καὶ ᾐτήσατο τὴν ψυχὴν αὐτοῦ ἀποθανεῖν καὶ εἶπεν. ἱκανούσθω νῦν. λάβε δὴ τὴν ψυχήν μου ἀπ' ἐμοῦ κύριε. ὅτι οὐ κρείσσων ἐγώ εἰμι ὑπὲρ τοῦ πατρός μου. καὶ ἐκοιμήθη, καὶ ὕπνωσεν ἐκεῖ ὑπὸ φυτόν. καὶ ἰδού τις ἥψατο αὐτοῦ καὶ εἶπεν αὐτῷ. ἀνάστηθι καὶ φάγε. καὶ ἐπέβλεψεν ἠλιοὺ καὶ ἰδοὺ πρὸς κεφαλῆς αὐτοῦ ἐγκρυφίας ὀλυρίτης καὶ καμψάκης ὕδατος. καὶ ἀνέστη καὶ ἔφαγε καὶ ἔπιε. καὶ ἐπιστρέψας ἐκοιμήθη. καὶ ἐπέστρεψεν ἄγγελος κυρίου

ἐκ δευτέρου, καὶ ἥψατο αὐτοῦ καὶ εἶπεν αὐτῷ. ἀνάστηθι φάγε·
ὅτι πολλὴ ἀπὸ σοῦ ἡ ὁδός. καὶ ἀνέστη καὶ ἔφαγε, καὶ ἔπιε καὶ
ἐπορεύθη ἐν ἰσχύϊ τῆς βρώσεως ἐκείνης τεσσαράκοντα ἡμέρας
καὶ τεσσαράκοντα νύκτας, ἕως ὄρους τοῦ θεοῦ χωρήβ. καὶ εἰ-
σῆλθεν ἐκεῖ εἰς τὸ σπήλαιον καὶ κατέλυσεν ἐκεῖ. καὶ ἰδοὺ ῥῆ-
μα κυρίου πρὸς αὐτὸν, καὶ εἶπε τί σὺ ἐνταῦθα ἠλιού. καὶ εἶ-
πεν ἠλιού. ζηλῶν ἐζήλωκα τῷ κυρίῳ παντοκράτορι. ὅτι ἐγκα-
τέλιπόν σε οἱ υἱοὶ ἰσραὴλ, τὰ θυσιαστήριά σου κατέσκαψαν. καὶ
τοὺς προφήτας σου ἀπέκτειναν ἐν ῥομφαίᾳ, καὶ ὑπολέλειμμαι
ἐγὼ μονώτατος, καὶ ζητοῦσι τὴν ψυχήν μου λαβεῖν αὐτήν. καὶ
εἶπεν, ἐξελεύσῃ αὔριον, καὶ στήσῃ ἐνώπιον κυρίου. ἐν τῷ ὄρει·
ἰδοὺ παρελεύσεται κύριος. καὶ ἰδοὺ πνεῦμα μέγα κραταιὸν
διαλῦον ὄρη, καὶ συντρίβον πέτρας ἐνώπιον κυρίου ἐν τῷ ὄ-
ρει, οὐκ ἐν τῷ πνεύματι κύριος. καὶ μετὰ τὸ πνεῦμα συσσει-
σμός. οὐκ ἐν τῷ συσσεισμῷ κύριος. καὶ μετὰ τὸν συσσεισμὸν
πῦρ. οὐκ ἐν τῷ πυρὶ κύριος, καὶ μετὰ τὸ πῦρ, φωνὴ αὔρας λε-
πτῆς. κἀκεῖ κύριος. καὶ ἐγένετο ὡς ἤκουσεν ἠλιού, καὶ ἐπεκά-
λυψε τὸ πρόσωπον αὐτοῦ ἐν τῇ μηλωτῇ αὐτοῦ, καὶ ἐξῆλθε, καὶ
ἔστη ὑπὸ τὸ σπήλαιον. καὶ ἰδοὺ πρὸς αὐτὸν φωνὴ, καὶ εἶπε. τί
σὺ ἐνταῦθα ἠλιού. καὶ εἶπεν ἠλιού. ζηλῶν ἐζήλωκα τῷ κυρίῳ
παντοκράτορι. ὅτι ἐγκατέλιπεν τὴν διαθήκην σου οἱ υἱοὶ ἰσραὴλ
τὰ θυσιαστήριά σου καθεῖλον. καὶ τοὺς προφήτας σου ἀπέκτειναν
ἐν ῥομφαίᾳ, καὶ ὑπολέλειμμαι ἐγὼ μονώτατος καὶ ζητοῦσι τὴν
ψυχήν μου λαβεῖν αὐτήν. καὶ εἶπε κύριος πρὸς αὐτόν. πορεύου ἀ-
νάστρεφε εἰς τὴν ὁδόν σου. καὶ ἥξεις εἰς τὴν ὁδὸν ἐρήμου δαμασκοῦ
καὶ χρίσεις τὸν ἀζαὴλ. εἰς βασιλέα τῆς συρίας. καὶ τὸν ἰηοῦ υἱὸν ναμ-
μεσί, χρίσεις εἰς βασιλέα ἐπὶ ἰσραὴλ, καὶ τὸν ἐλισαιὲ υἱὸν σα-
φὰτ ἀπὸ ἀβελμαουλὰ, χρίσεις εἰς προφήτην ἀντὶ σοῦ. καὶ ἔσται τὸν
σωζόμενον ἐκ ῥομφαίας ἀζαὴλ. θανατώσει ἰηού. καὶ τὸν σω-
ζόμενον ἐκ ῥομφαίας ἰηοὺ θανατώσει ἐλισαιέ. καὶ κατα-

λείψεις ἐν ἰσραὴλ ἑπτὰ χιλιάδας ἀνδρῶν πάντα γόνατα ἃ οὐκ
ἔκαμψαν γόνυ τῇ βάαλ. καὶ πᾶν στόμα ὃ οὐ προσεκύνησεν αὐ-
τῷ. καὶ ἀπῆλθεν ἐκεῖθεν καὶ εὑρίσκει τὸν ἐλισσαιὲ υἱὸν σα-
φάτ. καὶ αὐτὸς ἠροτρία ἐν βουσί. καὶ δώδεκα ζεύγη ἐνώπιον αὐ-
τοῦ. καὶ αὐτὸς ἐν τοῖς δώδεκα. καὶ ἀπῆλθεν ἠλιοὺ ἐπ' αὐτὸν, καὶ
ἐπέῤῥιψε τὴν μηλωτὴν αὐτοῦ ἐπ' αὐτόν. καὶ κατέλιπεν ἐλισσ-
σαιὲ τὰς βόας. καὶ ἔδραμεν ὀπίσω ἠλιοὺ, καὶ εἶπε. καταφιλή-
σω τὸν πατέρα μου, καὶ τὴν μητέρα μου, καὶ ἀκολουθήσω ὀ-
πίσω σοῦ. καὶ εἶπεν αὐτῷ, πορεύου ἀνάστρεφε, ὅτι πεποίηκά
σοι. καὶ ἀνέστρεψεν ἐξόπισθεν αὐτοῦ, καὶ ἔλαβε τὸ ζεῦγος τῶν
βοῶν καὶ ἔθυσε. καὶ ἥψησεν αὐτὰ ἐν τοῖς σκεύεσι τῶν βοῶν, καὶ
ἔδωκε τῷ λαῷ καὶ ἔφαγον. καὶ ἀνέστη, καὶ ἐπορεύθη ὀπίσω ἠ-
λιοῦ. καὶ ἐλειτούργει αὐτῷ.

## Κεφάλαιον κ. 20.

Αἰ υἱὸς ἄδερ βασιλεὺς συρίας, συνήθροισε πᾶσαν
κ τὴν δύναμιν αὐτοῦ, καὶ ἀνέβη, καὶ ἐκάθισεν ἐπὶ τὴν
σαμάρειαν. καὶ τριακονταδύο βασιλεῖς μετ' αὐτοῦ.
καὶ πᾶς ἵππος καὶ ἅρματα. καὶ ἀνέβησαν καὶ περιεκάθισαν ἐπὶ σα-
μάρειαν. καὶ ἐπολέμησαν ἐπ' αὐτήν. καὶ ἀπέστειλεν ἀγγέλους
πρὸς ἀχαὰβ βασιλέα ἰσραὴλ εἰς τὴν πόλιν, καὶ εἶπε πρὸς αὐ-
τόν. τάδε λέγει υἱὸς ἄδερ. τὸ ἀργύριόν σου, καὶ τὸ χρυσίον σου
ἐμόν ἐστι. καὶ αἱ γυναῖκές σου, καὶ τὰ τέκνα σου τὰ καλὰ ἐμά
ἐστι. καὶ ἀπεκρίθη ὁ βασιλεὺς ἰσραὴλ καὶ εἶπε. καθὼς ἐλάλησας
κύριέ μου βασιλεῦ σὸς ἐγὼ εἰμι. καὶ πάντα τὰ ἐμά. καὶ ἀνέ-
στρεψαν οἱ ἄγγελοι, καὶ εἶπον. τάδε λέγει ὁ υἱὸς ἄδερ. ἐγὼ ἀ-
πέστειλα πρὸς σὲ λέγων τὸ ἀργύριον, καὶ τὸ χρυσίον σου. καὶ τὰς
γυναῖκας, καὶ τὰ τέκνα σου, δώσεις ἐμοί. ὅτι ταύτην τὴν ὥ-
ραν αὔριον ἀποστελῶ τοὺς παῖδάς μου πρὸς σὲ, καὶ ἐρευνή-

σουσι τὸν οἶκόν σου, καὶ τοὺς οἴκους τῶν παίδων σου. καὶ ἔσται πάντα τὰ ἐπιθυμήματα τῶν ὀφθαλμῶν αὐτῶν, ἐφ᾽ ἃ ἂν ἐπιβάλλωσι τὰς χεῖρας αὐτῶν, καὶ λήψονται. καὶ ἐκάλεσεν ὁ βασιλεὺς ἰσραὴλ πάντας τοὺς πρεσβυτέρους τῆς γῆς, καὶ εἶπε. γνῶτε δὴ καὶ ἴδετε, ὅτι κακίαν οὗτος ζητεῖ. ὅτι ἀπέσταλκε πρός με περὶ τῶν γυναικῶν μου, καὶ περὶ τῶν υἱῶν μου, καὶ περὶ τῶν θυγατέρων μου. τὸ ἀργύριόν μου, καὶ τὸ χρυσίον μου, οὐκ ἀπεκώλυσα ἀπ᾽ αὐτοῦ. καὶ εἶπαν αὐτῷ οἱ πρεσβύτεροι καὶ πᾶς ὁ λαός. μὴ ἀκούσης καὶ μὴ θελήσης. καὶ εἶπε τοῖς ἀγγέλοις υἱοῦ ἀδέρ. λέγετε τῷ κυρίῳ ὑμῶν. πάντα ὅσα ἀπέσταλκας πρὸς τὸν δοῦλόν σου, ἐν πρώτοις ποιήσω. τὸ δὲ ῥῆμα τοῦτο, οὐ δυνήσομαι ποιῆσαι. καὶ ἀπῆραν οἱ ἄνδρες, καὶ ἀπέστρεψαν αὐτῷ λόγον. καὶ ἀνταπέστειλε πρὸς αὐτὸν υἱὸς ἀδὲρ λέγων. τάδε ποιήσαισάν μοι οἱ θεοὶ καὶ τάδε προσθείησαν. εἰ ἐκποιήσει ὁ χοῦς σαμαρείας ταῖς ἀλώπεξι, παντὶ τῷ λαῷ τοῖς πεζοῖς μου. καὶ ἀπεκρίθη ὁ βασιλεὺς ἰσραὴλ καὶ εἶπεν. ἱκανούσθω νῦν. μὴ καυχάσθω ὁ κυρτὸς, ὡς ὀρθός. καὶ ἐγένετο ὅτε ἀπεκρίθη αὐτῷ τὸν λόγον τοῦτον, πίνων ἦν αὐτὸς, καὶ πάντες οἱ βασιλεῖς οἱ μετ᾽ αὐτοῦ ἐν σκηναῖς. καὶ εἶπε τοῖς παισὶν αὐτοῦ, οἰκοδομήσατε χάρακα. καὶ ἔθεντο χάρακα ἐπὶ τὴν πόλιν. καὶ ἰδοὺ προφήτης εἷς προσῆλθε τῷ βασιλεῖ ἰσραὴλ καὶ εἶπε. τάδε λέγει κύριος. εἰ ἑώρακας πάντα τὸν ὄχλον τὸν μέγαν τοῦτον; ἰδοὺ ἐγὼ δίδωμι αὐτὸν σήμερον εἰς χεῖράς σου καὶ γνώσῃ, ὅτι ἐγὼ κύριος. καὶ εἶπεν ἀχαάβ. ἐν τίνι. καὶ εἶπε. τάδε λέγει κύριος ἐν τοῖς παιδαρίοις τῶν ἀρχόντων τῶν χωρῶν. καὶ εἶπεν ἀχαὰβ τίς συνάψει πόλεμον. καὶ εἶπεν σύ. καὶ ἐπεσκέψατο ἀχαὰβ τοὺς παῖδας τῶν ἀρχόντων τῶν χωρῶν, καὶ ἐγένοντο τριακόσιοι τριάκοντα δύο. καὶ μετὰ ταῦτα ἐπεσκέψατο τὸν λαὸν πάντα υἱὸν δυνάμεως, ἑξήκοντα ἑπτὰ χιλιάδας. καὶ ἐξῆλθε μεσημβρίας. καὶ υἱὸς ἀδὲρ, πίνων καὶ μεθύων

ἐν σοκχὼθ αὐτὸς καὶ οἱ βασιλεῖς. τριάκοντα, καὶ δύο βασιλεῖς συμβοηθοὶ αὐτοῦ. καὶ ἐξῆλθον τὰ παιδάρια ἀρχόντων τῶν χωρῶν ἐν πρώτοις. καὶ ἀπέστειλαν υἱὸς ἀδὲρ. καὶ ἀνήγγειλαν τῷ βασιλεῖ συρίας λέγοντες ἄνδρες ἐξεληλύθασιν ἐκ σαμαρείας. καὶ εἶπεν αὐτοῖς. εἰ εἰς εἰρήνην ἐκπορεύονται, συλλάβετε αὐτοὺς ζῶντας. καὶ εἰ εἰς πόλεμον ἐξῆλθον, ζῶντας συλλάβετε αὐτούς. καὶ μὴ ἐξελθέτωσαν ἐκ τῆς πόλεως. καὶ οὗτοι ἐξῆλθον ἐκ τῆς πόλεως τὰ παιδάρια ἀρχόντων τῶν χωρῶν καὶ ἡ δύναμις ὀπίσω αὐτῶν ἐπάταξεν ἕκαστος τὸν παρ' αὐτοῦ. καὶ ἐδευτέρωσεν ἕκαστος τὸν παρ' αὐτοῦ. καὶ ἔφυγε συρία καὶ κατεδίωξεν αὐτοὺς ἰσραήλ. καὶ σώζεται υἱὸς ἀδὲρ βασιλεὺς συρίας ἐφ' ἵππου ἱππέως. καὶ ἐξῆλθεν ὁ βασιλεὺς ἰσραὴλ, καὶ ἔλαβε πάντας τοὺς ἵππους καὶ τὰ ἅρματα, καὶ ἐπάταξε πληγὴν μεγάλην ἐν συρίᾳ. καὶ προσῆλθε προφήτης πρὸς βασιλέα ἰσραὴλ καὶ εἶπε. κραταιοῦ καὶ γνῶθι, καὶ ἴδε τί ποιήσεις. ὅτι ἐπιστρέφοντος τοῦ ἐνιαυτοῦ, υἱὸς ἀδὲρ βασιλεὺς συρίας, ἀναβαίνει ἐπὶ σέ. καὶ οἱ παῖδες βασιλέως συρίας εἶπον πρὸς αὐτόν. θεὸς ὀρέων θεὸς ἰσραὴλ, καὶ οὐ θεὸς κοιλάδων. διὰ τοῦτο ἐκραταίωσεν ὑπὲρ ἡμᾶς. ἐὰν δὲ πολεμήσωμεν αὐτοὺς κατ' εὐθὺ, εἰ μὴ κραταιώσωμεν ὑπὲρ αὐτούς. καὶ τὸ ῥῆμα τοῦτο ποίησον. ἀπόστειλον τοὺς βασιλεῖς ἕκαστον εἰς τὸν τόπον αὐτοῦ. καὶ θοῦ ἀντ' αὐτῶν σατράπας, καὶ ἀλλάξομέν σοι δύναμιν κατὰ τὴν δύναμιν τὴν πεσοῦσαν ἀπὸ σοῦ. καὶ ἵππον, κατὰ τὴν ἵππον καὶ ἅρματα, κατὰ τὰ ἅρματα. καὶ πολεμήσομεν πρὸς αὐτοὺς κατ' εὐθὺ, καὶ κραταιώσομεν ὑπὲρ αὐτούς. καὶ ἤκουσε τῆς φωνῆς αὐτῶν, καὶ ἐποίησεν οὕτως καὶ ἐγένετο ἐπιστρέψαντος τοῦ ἐνιαυτοῦ, καὶ ἐπεσκέψατο υἱὸς ἀδὲρ τὴν συρίαν, καὶ ἀνέβη εἰς ἀφεκκὰ εἰς πόλεμον ἐπὶ ἰσραήλ. καὶ οἱ υἱοὶ ἰσραὴλ ἐπεσκέπησαν καὶ παρεγένοντο εἰς ἀπάντησιν αὐτῶν. καὶ παρενέβαλον ἰσραὴλ ἐξεναντίας αὐτῶν ὡσεὶ δύο ποίμνια αἰγῶν. καὶ συρία ἔπλη

σει τὴν γῆν, καὶ προσῆλθεν ὁ ἄνθρωπος τοῦ θεοῦ, καὶ εἶπε τῷ βασιλεῖ ἰσραήλ. τάδε λέγει κύριος. ἀνθ' ὧν εἶπε συρία θεὸς ὀρέων κύριος ὁ θεὸς ἰσραήλ, καὶ οὐ κύριος κοιλάδων αὐτὸς, καὶ δώσω τὴν δύναμιν τὴν μεγάλην ταύτην, εἰς χεῖρα σήν. καὶ γνώσῃ, ὅτι ἐγὼ κύριος. καὶ παρεμβάλλουσιν οὗτοι, ἀπέναντι τούτων ἑπτὰ ἡμέρας. καὶ ἐγένετο ἐν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ, καὶ προσήγαγεν ὁ πόλεμος. καὶ ἐπάταξεν ἰσραὴλ τὴν συρίαν ἑκατὸν καὶ εἴκοσι χιλιάδας πεζῶν, ἐν ἡμέρᾳ μιᾷ. καὶ ἔφυγον οἱ κατάλοιποι εἰς ἀφεκκὰ εἰς τὴν πόλιν. καὶ ἔπεσε τὸ τεῖχος ἐπὶ εἴκοσι καὶ ἑπτὰ χιλιάδας ἀνδρῶν τῶν καταλοίπων. καὶ υἱὸς ἄδερ ἔφυγε. καὶ εἰσῆλθεν εἰς τὸν οἶκον τοῦ κοιτῶνος, εἰς τὸ ταμιεῖον. καὶ εἶπον πρὸς αὐτὸν οἱ παῖδες αὐτοῦ. ἰδοὺ δὴ οἴδαμεν, ὅτι βασιλεῖς οἴκου ἰσραὴλ, βασιλεῖς ἐλέους εἰσίν. ἐπιθώμεθα δὴ σάκκους ἐπὶ τὰς ὀσφύας ἡμῶν, καὶ σχοινία ἐπὶ τὰς κεφαλὰς ἡμῶν. καὶ ἐξέλθωμεν πρὸς βασιλέα ἰσραὴλ, εἴπως ζωογονήσει τὰς ψυχὰς ἡμῶν. καὶ περιεζώσαντο σάκκους ἐπὶ τὰς ὀσφύας αὐτῶν καὶ ἔθεντο σχοινία ἐπὶ τὰς κεφαλὰς αὐτῶν, καὶ εἶπον τῷ βασιλεῖ ἰσραὴλ, ὁ δοῦλός σου υἱὸς ἄδερ λέγει ζησάτω δὴ ἡ ψυχή μου. καὶ εἶπεν, εἰ ἔτι ζῇ, ἀδελφός μου ἐστί. καὶ οἱ ἄνδρες οἰωνίσαντο καὶ ἐπείσαντο. καὶ ἀνελέξαντο τὸν λόγον ἐκ τοῦ στόματος αὐτοῦ καὶ εἶπον. ἀδελφός σου υἱὸς ἄδερ. καὶ εἶπεν. εἰσέλθετε καὶ λάβετε αὐτόν. καὶ ἐξῆλθε πρὸς αὐτὸν υἱὸς ἄδερ. καὶ ἀναβιβάζουσιν αὐτὸν πρὸς αὐτὸν ἐπὶ τὸ ἅρμα. καὶ εἶπε πρὸς αὐτόν. τὰς πόλεις ἃς ἔλαβεν ὁ πατήρ μου παρὰ τοῦ πατρός σου, ἀποδώσω σοι. καὶ ἐξόδους θήσεις σεαυτῷ ἐν δαμασκῷ. καθὼς ἔθετο ὁ πατήρ μου ἐν σαμαρείᾳ. καὶ ἐγὼ ἐν διαθήκῃ ἐξαποστελῶ σε. καὶ διέθετο αὐτῷ διαθήκην καὶ ἐξαπέστειλεν αὐτόν. καὶ ἄνθρωπος εἷς ἐκ τῶν υἱῶν τῶν προφητῶν, εἶπε πρὸς τὸν πλησίον αὐτοῦ. ἐν λόγῳ κυρίου πάταξόν με δή. καὶ οὐκ ἠθέλησεν ὁ ἄνθρωπος πατάξαι αὐτόν. καὶ εἶπε πρὸς αὐτόν. ἀνθ' ὧν οὐκ εἰσήκου-

σας τῆς φωνῆς κυρίου, ἰδοὺ σὺ ἀποτρέχεις ἀπ' ἐμοῦ, καὶ πατά-
ξει σε λέων. καὶ ἀπῆλθεν ἀπ' αὐτοῦ. καὶ εὑρίσκει αὐτὸν λέων, καὶ
ἐπάταξεν αὐτόν. καὶ εὑρίσκει ἄνθρωπον ἄλλον καὶ εἶπε. πάτα-
ξόν με δή. καὶ ἐπάταξεν αὐτὸν ὁ ἄνθρωπος. καὶ πατάξας συ-
νέτριψε. καὶ ἐπορεύθη ὁ προφήτης, καὶ ἔστη τῷ βασιλεῖ ἰσρα-
ὴλ ἐπὶ τῆς ὁδοῦ. καὶ κατεδήσατο ἐν τελαμῶνι τοὺς ὀφθαλμοὺς
αὐτοῦ. καὶ ἐγένετο, ὡς ὁ βασιλεὺς παρεπορεύετο, καὶ οὗτος ἐ-
βόα πρὸς τὸν βασιλέα. καὶ εἶπεν. ὁ δοῦλός σου ἐξῆλθεν ἐπὶ
τὴν στρατιὰν τοῦ πολέμου. καὶ ἰδοὺ ἀνὴρ εἰσήγαγε πρός με ἄν-
δρα, καὶ εἶπε πρός με. φύλαξον τοῦτον τὸν ἄνδρα. ἐὰν δὲ ἐκπη-
δῶν ἐκπηδήσῃ, καὶ ἔσται ἡ ψυχή σου, ἀντὶ τῆς ψυχῆς αὐτοῦ. ἢ
τάλαντον ἀργυρίου τίσεις. καὶ ἐγενήθη, ὡς περιεβλέπετο ὁ δοῦ-
λός σου ὧδε καὶ ὧδε. καὶ οὗτος οὐκ ἦν. καὶ εἶπε πρὸς αὐτὸν ὁ
βασιλεὺς ἰσραὴλ ἰδοὺ τὰ ἔνεδρα παρ' ἐμοὶ ἐφόνευσας. καὶ ἔ-
σπευσε καὶ ἀφεῖλε τὸν τελαμῶνα ἀπὸ τῶν ὀφθαλμῶν αὐτοῦ. καὶ
ἐπέγνω αὐτὸν ὁ βασιλεὺς ἰσραήλ. ὅτι ἐκ τῶν προφητῶν οὗτος.
καὶ εἶπε πρὸς αὐτόν. τάδε λέγει κύριος. διότι ἐξήνεγκας σὺ
ἄνδρα ὀλέθριον ἐκ τῆς χειρός μου, καὶ ἔσται ἡ ψυχή σου ἀντὶ τῆς
ψυχῆς αὐτοῦ. καὶ ὁ λαός σου ἀντὶ τοῦ λαοῦ αὐτοῦ. καὶ ἀπῆλθεν ὁ
βασιλεὺς ἰσραὴλ συγκεχυμένος, καὶ ἐκλελυμένος.

Κεφάλαιον κά. 21.

ΚΑὶ ἐγένετο μετὰ τὰ ῥήματα ταῦτα καὶ ἀμπελὼν
εἷς ἦν τῷ ναβουθαὶ τῷ ἰσραηλίτῃ παρὰ τῇ ἅλῳ ἀ-
χαὰβ βασιλέως σαμαρείας. καὶ ἐλάλησεν ἀχαὰβ
πρὸς ναβουθαὶ λέγων, δός μοι τὸν ἀμπελῶνά σου, καὶ ἔσται μοι
εἰς κῆπον λαχάνων. ὅτι ἐγγίζων οὗτος τῷ οἴκῳ μου καὶ δώσω
σοι ἀμπελῶνα ἄλλον ἀγαθὸν ὑπὲρ αὐτόν. εἰ δὲ ἀρέσκει ἐνώπιόν
σου, δώσω ἀργύριον ἀντάλλαγμα τοῦ ἀμπελῶνός σου τούτου. καὶ
ἔσται μοι εἰς κῆπον λαχάνων. καὶ εἶπε ναβουθαὶ πρὸς ἀχαάβ.
μή μοι γένοιτο παρὰ θεοῦ μου δοῦναι κληρονομίαν πατέρων

μου. καὶ ἦλθεν ἀχαὰβ εἰς οἶκον αὐτοῦ συγκεχυμένος, καὶ ἐκλε-
λυμένος ἐπὶ τῷ λόγῳ ᾧ ἐλάλησε πρὸς αὐτὸν ναβουθαὶ ὁ ἰ-
σραηλίτης καὶ εἶπεν. οὐ δώσω σοι τὴν κληρονομίαν πατέρων
μου. καὶ ἐγένετο τὸ πνεῦμα ἀχαὰβ τεταραγμένον, καὶ ἐκοιμή-
θη ἐπὶ τῆς κλίνης αὐτοῦ καὶ συνεκάλυψε τὸ πρόσωπον αὐτοῦ καὶ
οὐκ ἔφαγεν ἄρτον. καὶ εἰσῆλθεν ἰεζάβελ ἡ γυνὴ αὐτοῦ πρὸς αὐ-
τόν. καὶ ἐλάλησε πρὸς αὐτόν. τί τὸ πνεῦμά σου τεταραγμένον.
καὶ οὐκ εἶ σὺ ἐσθίων ἄρτον; καὶ εἶπε πρὸς αὐτήν. ὅτι ἐλάλησα
πρὸς ναβουθαὶ τὸν ἰσραηλίτην λέγων. δός μοι τὸν ἀμπελῶνα
σου ἀργυρίου. εἰ δὲ μὴ βούλει, δώσω σοι ἀμπελῶνα ἄλλον ἀντ᾽ αὐ-
τοῦ. καὶ εἶπεν. οὐ δώσω σοι κληρονομίαν πατέρων μου. καὶ εἶπεν
πρὸς αὐτὸν ἰεζάβελ ἡ γυνὴ αὐτοῦ. σὺ νῦν οὕτω ποιεῖς βασιλε-
ὺς ἰσραήλ; ἀνάστηθι καὶ φάγε ἄρτον, καὶ σαυτοῦ γενοῦ. ἐγὼ
δὲ δώσω σοι τὸν ἀμπελῶνα ναβουθαὶ τοῦ ἰσραηλίτου. καὶ ἔγρα-
ψε βιβλίον ἐπὶ τῷ ὀνόματι ἀχαάβ. καὶ ἐσφραγίσατο τὴν σφρα-
γῖδα αὐτοῦ. καὶ ἀπέστειλε τὸ βιβλίον πρὸς τοὺς πρεσβυτέρους,
καὶ τοὺς ἐλευθέρους τοὺς κατοικοῦντας μετὰ ναβουθαί. καὶ ἐ-
γέγραπτο ἐν τῷ βιβλίῳ λέγων, νηστεύσατε νηστείαν. καὶ καθίσα-
τε τὸν νάβουθαὶ ἐν ἀρχῇ τοῦ λαοῦ. καὶ ἐγκαθίσατε δύο ἄν-
δρας υἱοὺς παρανόμων ἐξεναντίας αὐτοῦ. καὶ καταμαρτυρη-
σάτωσαν αὐτοῦ λέγοντες. εὐλόγησας θεόν, καὶ βασιλέα. καὶ
ἐξαγέτωσαν αὐτὸν καὶ λιθοβολησάτωσαν αὐτόν, καὶ ἀπο-
θανέτω. καὶ ἐποίησαν οἱ ἄνδρες τῆς πόλεως αὐτοῦ οἱ πρε-
σβύτεροι, καὶ οἱ ἐλεύθεροι οἱ κατοικοῦντες ἐν τῇ πόλει αὐ-
τοῦ, καθὼς ἀπέστειλε πρὸς αὐτοὺς ἰεζάβελ. καὶ καθὰ ἐγέγραπτο
ἐν τοῖς βιβλίοις, οἷς ἀπέστειλε πρὸς αὐτούς. καὶ ἐκάλεσαν νη-
στείαν καὶ ἐκάθισαν τὸν ναβουθαὶ ἐν ἀρχῇ τοῦ λαοῦ. καὶ εἰ-
σῆλθον δύο ἄνδρες υἱοὶ παρανόμων, καὶ ἐκάθισαν ἐξεναν-
τίας αὐτοῦ. καὶ κατεμαρτύρησαν αὐτοῦ ἄνδρες τῆς ἀποστα-
σίας τοῦ ναβουθαί, κατέναντι τοῦ λαοῦ λέγοντες. εὐλόγησε

θεὸν, καὶ βασιλέα. καὶ ἐξήγαγον αὐτὸν ἔξω τῆς πόλεως, καὶ ἐλιθοβόλησαν αὐτὸν ἐν λίθοις καὶ ἀπέθανε. καὶ ἀπέστειλαν πρὸς ἰεζάβελ λέγοντες. λελιθοβόληται ναβουθαὶ, καὶ τέθνηκε. καὶ ἐγένετο, ὡς ἤκουσεν ἰεζάβελ λεγόντων κέχωσται ναβουθαὶ καὶ ἀπέθανε. καὶ εἶπεν πρὸς ἀχαάβ. ἀνάστα κληρονόμει τὸν ἀμπελῶνα ναβουθαὶ τοῦ ἰσραηλίτου, ὃς οὐκ ἔδωκέ σοι ἀργυρίου, ὅτι οὐκ ἔστιν ναβουθαὶ ζῶν. ὅτι τέθνηκε, καὶ ἐγένετο, ὡς ἤκουσεν ἀχαάβ, ὅτι τέθνηκεν ναβουθαὶ ὁ ἰσραηλίτης, καὶ διέρρηξε τὰ ἱμάτια αὐτοῦ. καὶ περιεβάλετο σάκκον. καὶ ἐγένετο μετὰ ταῦτα καὶ ἀνέστη, καὶ κατέβη ἀχαὰβ εἰς τὸν ἀμπελῶνα ναβουθαὶ τοῦ ἰσραηλίτου κληρονομῆσαι αὐτόν. καὶ εἶπε κύριος πρὸς ἠλιοὺ τὸν θεσβίτην λέγων. ἀνάστηθι καὶ κατάβηθι εἰς ἀπάντησιν ἀχαὰβ βασιλέως ἰσραὴλ τοῦ ἐν σαμαρείᾳ. ἰδοὺ οὗτος ἐν ἀμπελῶνι ναβουθαί. ὅτι κατέβησαν ἐκεῖ κληρονομῆσαι αὐτόν. καὶ λαλήσει πρὸς αὐτὸν λέγων. τάδε λέγει κύριος, ὡς σὺ ἐφόνευσας καὶ ἐκληρονόμησας διὰ τοῦτο τάδε λέγει κύριος ἐν τῷ τόπῳ ᾧ ἔλειξαν αἱ ὕες, καὶ οἱ κύνες τὸ αἷμα ναβουθαὶ, ἐκεῖ λείξουσιν αἱ κύνες τὸ αἷμά σου. καὶ αἱ πόρναι λούσονται ἐν τῷ αἵματί σου, καὶ εἶπεν ἀχαὰβ πρὸς ἠλιού. εἰ εὕρηκάς με ὁ ἐχθρός μου; καὶ εἶπεν εὕρηκα διότι μάτην πεπέρασαι ποιῆσαι τὸ πονηρὸν ἐνώπιον κυρίου παροργίσαι αὐτόν. τάδε λέγει κύριος ἰδοὺ ἐγὼ ἐπάγω ἐπὶ σὲ κακά. καὶ ἐκκαύσω ὀπίσω σου, καὶ ἐξολοθρεύσω τὸν ἀχαὰβ οὐροῦντα πρὸς τοῖχον, καὶ συνεχόμενον, καὶ ἐγκαταλελειμμένον ἐν ἰσραήλ. καὶ δώσω τὸν οἶκόν σου ὡς τὸν οἶκον ἱεροβοὰμ υἱοῦ ναβάτ. καὶ ὡς τὸν οἶκον βαασὰ υἱοῦ ἀχιὰ περὶ τῶν παροργισμάτων ὧν παρώργισας καὶ ἐξήμαρτες τὸν ἰσραήλ. καὶ τῇ ἰεζάβελ ἐλάλησε κύριος λέγων. οἱ κύνες καταφάγονται αὐτὴν ἐν τῷ προτειχίσματι τοῦ ἰεζράελ. τὸν τεθνηκότα τοῦ ἀχαὰβ ἐν τῇ πόλει φάγονται οἱ κύνες. καὶ τὸν τεθνηκότα αὐτοῦ ἐν τῷ πε-

δίῳ, φάγονται τὰ πετεινὰ τοῦ οὐρανοῦ. πλὴν ματαίως ἀχαὰβ ὡς
ἐπράθη ποιῆσαι τὸ πονηρὸν ἐνώπιον κυρίου. ὡς μετέθηκεν αὐ-
τὸν ἰεζάβελ ἡ γυνὴ αὐτοῦ, καὶ ἐβδελύχθη σφόδρα πορευθῆναι ὀ-
πίσω τῶν βδελυγμάτων κατὰ πάντα ἃ ἐποίησεν ὁ ἀμορραῖος,
ὃν ἐξωλόθρευσε κύριος ἀπὸ προσώπου υἱῶν ἰσραήλ. καὶ ὑπὲρ τοῦ
λόγου, ὡς κατενύγη ἀχαὰβ ἀπὸ προσώπου κυρίου. καὶ ἐπορεύε-
το κλαίων. καὶ διέρρηξε τὸν χιτῶνα αὐτοῦ. καὶ ἐζώσατο σάκκον
ἐπὶ τὸ σῶμα αὐτοῦ. καὶ ἐνήστευσε, καὶ περιεβάλετο σάκκον ἐν τῇ
ἡμέρᾳ ᾗ ἐπάταξε ναβουθαὶ τὸν ἰσραηλίτην, καὶ ἐπορεύθη κε-
κλιμένος. καὶ ἐγένετο ῥῆμα κυρίου ἐν χειρὶ δούλου αὐτοῦ ἠλιοὺ
περὶ ἀχαάβ, καὶ εἶπε κύριος. ἑώρακας ὡς κατενύγη ἀχαὰβ ἀπὸ
προσώπου μου; ἀνθ' οὗ ὅτι ἐκωλύθη ἀπὸ προσώπου μου. οὐκ
ἐπάξω τὴν κακίαν ἐν ταῖς ἡμέραις αὐτοῦ ἀλλ' ἐν ταῖς ἡμέραις
τοῦ υἱοῦ αὐτοῦ, ἐπάξω τὴν κακίαν ἐπὶ τὸν οἶκον αὐτοῦ.

## Κεφάλαιον κβʹ. 22.

Αἰ ἔρχεται εἰς σαμάρειαν, καὶ ἐκάθισε τὰ τρία
κ ἔτη. καὶ οὐκ ἦν πόλεμος ἀνὰ μέσον συρίας καὶ ἀνὰ
μέσον ἰσραήλ. καὶ ἐγενήθη ἐν τῷ τρίτῳ ἐνιαυ-
τῷ, καὶ κατέβη ἰωσαφὰτ βασιλεὺς ἰούδα πρὸς βασιλέα ἰσρα-
ήλ. καὶ εἶπε βασιλεὺς ἰσραὴλ πρὸς τοὺς παῖδας αὐτοῦ. εἰ οἴδα-
τε, ὅτι ἡμῖν ῥεμμὰθ γαλαάδ, καὶ ἡμεῖς σιωπῶμεν λαβεῖν αὐτὴν
ἐκ χειρὸς βασιλέως συρίας. καὶ εἶπε βασιλεὺς ἰσραὴλ πρὸς
ἰωσαφάτ. εἰ ἀναβήσῃ μεθ' ἡμῶν εἰς πόλεμον εἰς ῥεμμὰθ γαλα-
άδ; καὶ εἶπεν ἰωσαφάτ. καθὼς ἐγώ, οὕτως καὶ σύ. καθὼς ὁ λα-
ός μου ὁ λαός σου καθὼς οἱ ἵπποι μου, οἱ ἵπποι σου. καὶ εἶπεν ἰω-
σαφὰτ βασιλεὺς ἰούδα, πρὸς βασιλέα ἰσραήλ. ἐπερωτήσατε
δὴ σήμερον τὸν κύριον. καὶ συνήθροισεν ὁ βασιλεὺς ἰσραὴλ πάν-
τας τοὺς προφήτας ὡς τετρακοσίους ἄνδρας, καὶ εἶπεν αὐτοῖς ὁ
βασιλεὺς εἰ πορευθῶ εἰς ῥεμμὰθ γαλαὰδ εἰς πόλεμον, ἢ ἐπι-
σχῶ; καὶ εἶπον, ἀνάβαινε. καὶ διδοὺς δώσει κύριος εἰς χεῖρας

τοῦ βασιλέως, καὶ εἶπεν ἰωσαφὰτ πρὸς τὸν βασιλέα ἰσραήλ. οὐκ
ἔστιν ὧδε προφήτης τοῦ κυρίου. καὶ ἐπερωτήσομεν τὸν κύριον δι'
αὐτοῦ. καὶ εἶπεν ὁ βασιλεὺς ἰσραὴλ πρὸς ἰωσαφάτ. ἔτι εἷς ἐστὶν
ἀνὴρ εἰς τὸ ἐπερωτῆσαι δι' αὐτοῦ τὸν κύριον. καὶ ἐγὼ μεμίσηκα
αὐτὸν, ὅτι οὐ λαλεῖ περὶ ἐμοῦ καλὰ, ἀλλὰ κακά. μιχαίας υἱὸς
ἰεμβλαά. καὶ εἶπεν ἰωσαφὰτ βασιλεὺς ἰούδα. μὴ λεγέτω ὁ βα-
σιλεὺς οὕτως καὶ ἐκάλεσεν ὁ βασιλεὺς ἰσραὴλ εὐνοῦχον ἕνα καὶ
εἶπε. τὸ τάχος μιχαίαν υἱὸν ἰεμβλαά. καὶ ὁ βασιλεὺς ἰσραήλ.
καὶ βασιλεὺς ἰούδα, ἰωσαφὰτ ἐκάθηντο ἀνὴρ ἐπὶ τοῦ θρόνου αὐ-
τοῦ ἔνοπλοι, ἐν ταῖς πύλαις σαμαρείας. καὶ πάντες οἱ προφῆται
προεφήτευον ἐνώπιον αὐτῶν. καὶ ἐποίησεν ἑαυτῷ σεδεκίας υἱ-
ὸς χαναὰμ κέρατα σιδηρᾶ καὶ εἶπε. τάδε λέγει κύριος. ἐν τού-
τοις κερατιεῖς τὴν συρίαν ἕως συντελεσθῇ. καὶ πάντες οἱ προφῆ-
ται προεφήτευον οὕτως λέγοντες. ἀνάβαινε εἰς ῥεμμὰθ γαλα-
ὰδ. καὶ εὐοδώσει, καὶ δώσει κύριος εἰς χεῖρά σου τὸν βασιλέα
συρίας. καὶ ὁ ἄγγελος ὁ πορευθεὶς καλέσαι τὸν μιχαίαν, ἐλάλη-
σεν αὐτῷ λέγων. ἰδοὺ δὴ πάντες οἱ προφῆται ἐν στόματι ἑ-
νὶ λαλοῦσι καλὰ περὶ τοῦ βασιλέως, γενοῦ δὴ καὶ σὺ εἰς τοὺς λό-
γους σου κατὰ τοὺς λόγους ἑνὸς τούτων καὶ λάλησον καλά. καὶ εἶπε
μιχαίας. ζῇ κύριος. ὅτι ἃ ἐὰν εἴπῃ κύριος πρός με, ταῦτα λα-
λήσω. καὶ ἦλθε πρὸς τὸν βασιλέα. καὶ εἶπεν αὐτῷ ὁ βασιλεύς.
μιχαία. εἰ ἀναβῶ εἰς ῥεμμὰθ γαλαὰδ εἰς πόλεμον, ἢ ἐπισχῶ.
καὶ εἶπεν, ἀνάβαινε καὶ εὐοδώσει κύριος εἰς χεῖρας τοῦ βασιλέ-
ως, καὶ εἶπεν αὐτῷ ὁ βασιλεύς. ἔτι δὶς ἐγὼ ὁρκίζω σε ὅπως λα-
λήσῃς πρός με ἀλήθειαν ἐν ὀνόματι κυρίου. καὶ εἶπε μιχαίας.
οὐχ οὕτως. ἑώρακα πάντα τὸν ἰσραὴλ διεσπαρμένον ἐν τοῖς
ὄρεσιν ὡς ποίμνιον ᾧ οὐκ ἔστι ποιμήν. καὶ εἶπε κύριος. οὐ κύ-
ριος τούτοις εἰς θεόν. ἀναστρεφέτω ἕκαστος εἰς τὸν οἶκον αὐτοῦ ἐν
εἰρήνῃ. καὶ εἶπε βασιλεὺς ἰσραὴλ πρὸς ἰωσαφὰτ βασιλέα ἰού-
δα. οὐκ εἶπα πρὸς σέ, ὅτι οὐ προφητεύει οὗτός μοι καλά. ἀλ-

λ' ἢ κακά; καὶ εἶπε μιχαίας. οὐχ οὕτως οὐκ ἐγώ. ἄκουε ῥῆμα
κυρίου. οὐχ οὕτως. εἶδον τὸν κύριον θεὸν ἰσραὴλ καθήμενον ἐ-
πὶ θρόνου αὐτοῦ. καὶ πᾶσα ἡ στρατιὰ τοῦ οὐρανοῦ, εἱστήκει πε-
ρὶ αὐτὸν, ἐκ δεξιῶν αὐτοῦ, καὶ ἐξ εὐωνύμων αὐτοῦ. καὶ εἶπε κύ-
ριος. τίς ἀπατήσει τὸν ἀχαὰβ βασιλέα ἰσραὴλ, καὶ ἀναβήσε-
ται καὶ πεσεῖται ἐν ῥεμμὰθ γαλαάδ; καὶ εἶπεν οὗτος. οὕτως.
καὶ οὗτος, εἶπεν οὕτως. καὶ ἐξῆλθε πνεῦμα, καὶ ἔστη ἐνώπιον κυ-
ρίου, καὶ εἶπεν. ἐγὼ ἀπατήσω αὐτόν. καὶ εἶπε πρὸς αὐτὸν κύρι-
ος ἐν τίνι. καὶ εἶπεν. ἐξελεύσομαι καὶ ἔσομαι πνεῦμα ψευδὲς ἐν
στόματι πάντων τῶν προφητῶν αὐτοῦ. καὶ εἶπεν ἀπατήσεις,
καί γε δυνήσῃ· ἔξελθε καὶ ποίησον οὕτως. καὶ νῦν ἰδοὺ ἔδω-
κε κύριος πνεῦμα ψευδὲς ἐν στόματι πάντων τῶν προφητῶν
σου τούτων. καὶ κύριος ἐλάλησεν περὶ σοῦ κακά. καὶ προσ-
ῆλθε σεδεκίας υἱὸς χαναὰν, καὶ ἐπάταξε τὸν μιχαίαν ἐπὶ τὴν
σιαγόνα, καὶ εἶπε. ποῖον πνεῦμα κυρίου τὸ λαλῆσαν ἐν σοί. καὶ
εἶπε μιχαίας. ἰδοὺ σὺ ὄψῃ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ὅταν εἰσέλθῃς
εἰς τὸ ταμεῖον τοῦ ταμιείου τοῦ κρυβῆναι ἐκεῖ. καὶ εἶπε βασιλεὺς
ἰσραήλ. λάβετε τὸν μιχαίαν, καὶ ἀποστρέψατε αὐτὸν πρὸς
ἀμμὼν τὸν ἄρχοντα τῆς πόλεως. καὶ πρὸς ἰωὰς υἱὸν τοῦ βασι-
λέως, εἶπον θέσθε τοῦτον ἐν φυλακῇ, καὶ ἐσθίειν αὐτὸν ἄρτον
θλίψεως καὶ ὕδωρ θλίψεως, ἕως τοῦ ἐπιστρέψαι με ἐν εἰρήνῃ.
καὶ εἶπε μιχαίας. ἐὰν ἐπιστρέφων ἐπιστρέψῃς ἐν εἰρήνῃ, οὐκ ἐ-
λάλησε κύριος ἐν ἐμοί. καὶ ἀνέβη βασιλεὺς ἰσραὴλ, καὶ ἰω-
σαφὰτ βασιλεὺς ἰούδα μετ' αὐτοῦ εἰς ῥεμμὰθ γαλαάδ. καὶ
εἶπε βασιλεὺς ἰσραὴλ πρὸς ἰωσαφὰτ βασιλέα ἰούδα. συγκα-
λυψόν με καὶ εἰσελεύσομαι εἰς τὸν πόλεμον. καὶ σὺ ἔνδυσαι
τὸν ἱματισμόν μου. καὶ συνεκαλύψατο ὁ βασιλεὺς ἰσραὴλ, καὶ
εἰσῆλθεν εἰς τὸν πόλεμον. καὶ ὁ βασιλεὺς συρίας ἐνετείλατο
τοῖς ἄρχουσι τῶν ἁρμάτων αὐτοῦ. τριάκοντα, καὶ δύο λέγων.
μὴ πολεμεῖτε μικρὸν ἢ μέγαν. ἀλλ' ἢ τὸν βασιλέα ἰσραὴλ μο-

νώτατον. καὶ ἐγένετο, ὡς εἶδον οἱ ἄρχοντες τῶν ἁρμάτων τὸν
ἰωσαφὰτ βασιλέα ἰούδα, καὶ αὐτοὶ εἶπον· φαίνεται βασιλεὺς
ἰσραὴλ οὗτος. καὶ ἐκύκλωσαν αὐτὸν πολεμῆσαι. καὶ ἀνεβό-
ησεν ἰωσαφάτ. καὶ ἐγένετο ὡς εἶδον οἱ ἄρχοντες τῶν ἁρμά-
των, ὅτι οὐκ ἔστι βασιλεὺς ἰσραὴλ οὗτος, καὶ ἀπέστρεψαν ἀπ᾽
αὐτοῦ. καὶ ἐνέτεινεν εἰς τὸ τόξον εὐστόχως, καὶ ἐπάταξε τὸν
βασιλέα ἰσραὴλ ἀνὰ μέσον τοῦ πνεύμονος, καὶ ἀνὰ μέσον
τοῦ θώρακος. καὶ εἶπε τῷ ἡνιόχῳ αὐτοῦ· ἐπίστρεψον τὰς χεῖράς
σου καὶ ἐξάγαγέ με ἐκ τοῦ πολέμου, ὅτι τέτρωμαι. καὶ ἐτρο-
πώθη ὁ πόλεμος ἐν τῇ ἡμέρᾳ ἐκείνῃ. καὶ ὁ βασιλεὺς ἦν ἑστηκὼς
ἐπὶ τοῦ ἅρματος ἐξεναντίας συρίας, ἀπὸ πρωῒ ἕως ἑσπέρας.
καὶ ἀπέχυνε τὸ αἷμα ἀπὸ τῆς πληγῆς εἰς τὸν κόλπον τοῦ ἅρμα-
τος, καὶ ἀπέθανεν ἑσπέρας. καὶ ἐξεπορεύετο τὸ αἷμα ἐκ τῆς
τροπῆς, ἕως τοῦ κόλπου τοῦ ἅρματος. καὶ ἔστη ὁ στρατοκήρυξ ἐν
τῇ παρεμβολῇ, δύνοντος τοῦ ἡλίου λέγων· ἕκαστος εἰς τὴν ἑαυτοῦ
πόλιν καὶ εἰς τὴν ἑαυτοῦ γῆν, ὅτι τέθνηκεν ὁ βασιλεύς. καὶ ἦλ-
θον εἰς σαμάρειαν, καὶ ἔθαψαν τὸν βασιλέα ἐν σαμαρείᾳ. καὶ
ἀπένιψαν τὸ αἷμα ἐπὶ τὴν κρήνην σαμαρείας. καὶ ἐξέλιξαν αἱ
ὕες καὶ οἱ κύνες τὸ αἷμα. καὶ αἱ πόρναι ἐλούσαντο ἐν τῷ αἵ-
ματι, κατὰ τὸ ῥῆμα κυρίου ὃ ἐλάλησε. καὶ τὰ λοιπὰ τῶν λό-
γων ἀχαάβ, καὶ πάντα ἃ ἐποίησε. καὶ οἶκον ἐλεφάντινον ὃν
ᾠκοδόμησε, καὶ πάσας τὰς πόλεις ἃς ἐποίησεν, οὐκ ἰδοὺ ταῦ-
τα γέγραπται ἐν βιβλίῳ λόγων τῶν ἡμερῶν τῶν βασιλέων
ἰσραήλ; καὶ ἐκοιμήθη ἀχαὰβ μετὰ τῶν πατέρων αὐτοῦ. καὶ
ἐβασίλευσεν ὀχοζίας υἱὸς αὐτοῦ ἀντ᾽ αὐτοῦ. καὶ ἰωσαφὰτ υἱὸς
ἀσά, ἐβασίλευσεν ἐπὶ ἰούδαν. ἐν ἔτει τῷ τετάρτῳ τοῦ ἀ-
χαὰβ βασιλέως ἰσραὴλ, ἐβασίλευσεν ἰωσαφὰτ υἱὸς ἀσά, τρι-
άκοντα καὶ πέντε ἐτῶν ἐν τῷ βασιλεύειν αὐτόν. καὶ εἴκοσι,
καὶ πέντε ἔτη, ἐβασίλευσεν ἐν ἱερουσαλήμ. καὶ ὄνομα τῇ μητρὶ
αὐτοῦ, ἀζουβὰ θυγάτηρ σαλαΐ. καὶ ἐπορεύθη ἐν πάσῃ ὁδῷ ἀσὰ

τοῦ πατρὸς αὐτοῦ, οὐκ ἐξέκλινεν ἀπ' αὐτῆς, τοῦ ποιῆσαι τὸ εὐθὲς ἐν ὀφθαλμοῖς κυρίου. πλὴν τῶν ὑψηλῶν οὐκ ἐξῆρεν, ἔτι ὁ λαὸς ἐθυσίαζε καὶ ἐθυμίων ἐν τοῖς ὑψηλοῖς. καὶ εἰρήνευσεν ἰωσαφὰτ μετὰ βασιλέως ἰσραήλ. καὶ τὰ λοιπὰ τῶν λόγων ἰωσαφάτ, καὶ αἱ δυναστεῖαι αὐτοῦ ἃς ἐποίησεν, οὐκ ἰδοὺ ταῦτα γεγραμμένα ἐν βιβλίῳ λόγων τῶν ἡμερῶν βασιλέων ἰούδα. καὶ ἐκοιμήθη ἰωσαφὰτ μετὰ τῶν πατέρων αὐτοῦ, καὶ ἐτάφη παρὰ τοῖς πατράσιν αὐτοῦ ἐν πόλει δαβὶδ τοῦ πατρὸς αὐτοῦ. καὶ ἐβασίλευσεν ἰωρὰμ υἱὸς αὐτοῦ ἀντ' αὐτοῦ. καὶ ὀχοζίας υἱὸς ἀχαάβ, ἐβασίλευσεν ἐπὶ ἰσραὴλ ἐν σαμαρείᾳ. ἐν ἔτει ἑπτακαιδεκάτῳ ἰωσαφὰτ βασιλέως ἰούδα ὀχοζίας υἱὸς ἀχαάβ, ἐβασίλευσεν ἐπὶ ἰσραὴλ ἐν σαμαρείᾳ, δύο ἔτη. καὶ ἐποίησε τὸ πονηρὸν ἐναντίον κυρίου, καὶ ἐπορεύθη ἐν ὁδῷ ἀχαὰβ τοῦ πατρὸς αὐτοῦ καὶ ἐν ὁδῷ ἰεζάβελ τῆς μητρὸς αὐτοῦ. καὶ ἐν ταῖς ἁμαρτίαις οἴκου ἱεροβοὰμ υἱοῦ ναβὰτ ὃς ἐξήμαρτε τὸν ἰσραήλ, καὶ ἐδούλευσε τοῖς βααλὶμ, καὶ προσεκύνησεν αὐτοῖς. καὶ παρώργισε τὸν κύριον θεὸν ἰσραὴλ κατὰ πάντα τὰ γενόμενα ἔμπροσθεν αὐτοῦ.

Τέλος τῆς τῶν βασιλειῶν τρίτης.

# ΒΑΣΙΛΕΙΩΝ. ΤΕΤΑΡΤΗΣ.

Κεφάλαιον. αʹ. 1.

Καὶ ἠθέτησε μωὰβ ἐν ἰσραὴλ μετὰ τὸ ἀποθανεῖν ἀχαάβ. καὶ ἔπεσεν ὀχοζίας διὰ τοῦ δικτυωτοῦ τοῦ ἐν τῷ ὑπερῴῳ αὐτοῦ ἐν σαμαρείᾳ, καὶ ἠῤῥώστησε. καὶ ἀπέστειλεν ἀγγέλους καὶ εἶπε πρὸς αὐτούς, πορεύθητε καὶ ἐπιζητήσατε ἐν τῷ βάαλ μυῖαν θεὸν ἀκκαρὼν εἰ ζήσομαι ἐκ τῆς ἀῤῥωστίας μου ταύτης. καὶ ἐπορεύθησαν ἐπερωτῆσαι δι' αὐτοῦ. καὶ ἄγγελος κυρίου ἐλάλησε πρὸς ἠλιοὺ τὸν θεσβίτην λέγων. ἀναστὰς πορεύθητι εἰς συνάντησιν τῶν ἀγγέλων ὀχοζίου βασιλέως σαμαρείας, καὶ ἐρεῖς πρὸς αὐτούς. εἰ παρὰ τὸ μὴ εἶναι θεὸν ἐν ἱερουσαλήμ, ὑμεῖς πορεύεσθε ἐπιζητῆσαι ἐν τῇ βάαλ μυῖαν θεὸν ἀκκαρών; καὶ οὐχ οὕτως. ὅτι τάδε λέγει κύριος. ἡ κλίνη ἐφ' ἧς ἀνέβης ἐκεῖ, οὐ καταβήσῃ ἀπ' αὐτῆς. ὅτι ἐκεῖ θανάτῳ ἀποθανῇ. καὶ ἐπορεύθη ἠλιού, καὶ εἶπε πρὸς αὐτούς. καὶ ἀπεστράφησαν οἱ ἄγγελοι πρὸς αὐτόν, καὶ εἶπε πρὸς αὐτούς. τί ὅτι ἐπεστρέψατε. καὶ εἶπαν πρὸς αὐτόν. ἀνὴρ ἀνέβη εἰς συνάντησιν ἡμῖν, καὶ εἶπε πρὸς ὑμᾶς. δεῦτε ἐπιστράφητε πρὸς τὸν βασιλέα τὸν ἀποστείλαντα ὑμᾶς καὶ λαλήσατε πρὸς αὐτόν. τάδε λέγει κύριος εἰ παρὰ τὸ μὴ εἶναι θεὸν ἐν ἰσραήλ, σὺ πορεύῃ ἐπιζητῆσαι ἐν τῷ βάαλ μυῖαν θεὸν ἀκκαρών; οὐχ οὕτως. ἡ κλίνη ἐφ' ἧς ἀνέβη οὐ καταβήσῃ ἀπ' αὐτῆς, ὅτι θανάτῳ ἀπο-

ποθανῆ. καὶ ἐπιςρέψαντες ἀπήγγειλαν τῷ βασιλεῖ καθὰ ἐλάλησεν ἠλιού. καὶ εἶπεν. τίς ἡ κρίσις τοῦ ἀνδρὸς τοῦ ἀναβάντος εἰς συνάντησιν ὑμῖν, καὶ λαλήσαντος πρὸς ὑμᾶς τοὺς λόγους τούτους. καὶ εἶπον πρὸς αὐτόν. ἀνὴρ δασὺς καὶ ζώνην δερματίνην περιεζωσμένος τὴν ὀσφὺν αὐτοῦ. καὶ εἶπεν. ἠλιοὺ ὁ θεσβύτης οὗτός ἐστι. καὶ ἀπέστειλε πρὸς αὐτὸν ἡγούμενον πεντηκόνταρχον καὶ τοὺς πεντήκοντα αὐτοῦ, καὶ ἀνέβη καὶ ἦλθε πρὸς αὐτόν. καὶ ἰδοὺ ἠλιοὺ ἐκάθητο ἐπὶ τῆς κορυφῆς τοῦ ὄρους, καὶ ἐλάλησεν ὁ πεντηκόνταρχος πρὸς αὐτὸν καὶ εἶπεν. ἄνθρωπε τοῦ θεοῦ. ὁ βασιλεὺς ἐκάλεσέ σε. κατάβηθι. καὶ ἀπεκρίθη ἠλιοὺ, καὶ εἶπε πρὸς τὸν πεντηκόνταρχον. καὶ εἰ ἄνθρωπος τοῦ θεοῦ ἐγὼ, καταβήσεται ἐκ τοῦ οὐρανοῦ πῦρ, καὶ καταφάγεται σὲ, καὶ τοὺς πεντήκοντά σου. καὶ κατέβη πῦρ ἐκ τοῦ οὐρανοῦ, καὶ κατέφαγεν αὐτὸν, καὶ τοὺς πεντήκοντα αὐτοῦ. καὶ προσέθετο ὁ βασιλεὺς καὶ ἀπέστειλε πρὸς αὐτὸν ἄλλον πεντηκόνταρχον, καὶ τοὺς πεντήκοντα αὐτοῦ. καὶ ἀνέβη καὶ ἐλάλησεν ὁ πεντηκόνταρχος πρὸς αὐτὸν καὶ εἶπεν. ἄνθρωπε τοῦ θεοῦ. τάδε λέγει ὁ βασιλεύς. ταχέως κατάβηθι. καὶ ἀπεκρίθη ἠλιού. καὶ ἐλάλησε πρὸς αὐτὸν καὶ εἶπεν. εἰ ἄνθρωπος τοῦ θεοῦ ἐγώ εἰμι καταβήσεται πῦρ ἐκ τοῦ οὐρανοῦ, καὶ καταφάγεται σὲ, καὶ τοὺς πεντήκοντά σου. καὶ κατέβη πῦρ ἐκ τοῦ οὐρανοῦ, καὶ κατέφαγεν αὐτὸν καὶ τοὺς πεντήκοντα αὐτοῦ. καὶ προσέθετο ὁ βασιλεὺς ἔτι ἀποστεῖλαι ἡγούμενον πεντηκόνταρχον τρίτον καὶ τοὺς πεντήκοντα αὐτοῦ. καὶ ἦλθε πρὸς αὐτὸν ὁ πεντηκόνταρχος ὁ τρίτος, καὶ ἔκαμψεν ἐπὶ τὰ γόνατα αὐτοῦ κατέναντι ἠλιού, καὶ ἐδεήθη αὐτοῦ. καὶ ἐλάλησε πρὸς αὐτὸν καὶ εἶπεν. ἄνθρωπε τοῦ θεοῦ. ἐντιμωθήτω δὴ ἡ ψυχή μου, καὶ ἡ ψυχὴ τῶν δούλων σου τούτων τῶν πεντήκοντα ἐν ὀφθαλμοῖς σου. ἰδοὺ κατέβη πῦρ ἐκ τοῦ οὐρανοῦ καὶ κατέφαγε τοὺς δύο πεντηκοντάρχους τοὺς πρώτους καὶ τοὺς πεντήκοντα αὐτῶν. καὶ νῦν ἐντιμωθήτω δὴ ἡ ψυχὴ τῶν δούλων σου ἐν ὀφθαλμοῖς

οῦ. καὶ ἐλάλησεν ἄγγελος κυ πρὸς ἠλιοῦ καὶ εἶπε· κατάβηθι μετ'
αὐτοῦ· μὴ φοβηθῇς ἀπὸ προσώπου αὐτῶν· καὶ ἀνέστη ἠλιοῦ καὶ κατέβη
μετ' αὐτοῦ πρὸς τὸν βασιλέα καὶ ἐλάλησε πρὸς αὐτὸν καὶ εἶπε· τά-
δε λέγει κύριος· τί ὅτι ἀπέστειλας ἀγγέλους ἐκζητῆσαι ἐν τῷ
βαὰλ μυῖαν θεὸν ἀκκαρών· οὐχ οὕτως, ἡ κλίνη ἐφ' ἧς ἀνέβης ἐ-
κεῖ, οὐ καταβήσῃ ἀπ' αὐτῆς, ὅτι θανάτῳ ἀποθανῇ· καὶ ἀπέθανε κα-
τὰ τὸ ῥῆμα κυ ὃ ἐλάλησεν ἠλιοῦ· καὶ τὰ λοιπὰ τῶν λόγων ὀχοζίου
ὅσα ἐποίησεν, οὐκ ἰδοὺ ταῦτα γεγραμμένα ἐν βιβλίῳ λόγων τῶν
ἡμερῶν τοῖς βασιλεῦσιν ἰηλ· καὶ ἰωρὰμ υἱὸς ἀχαὰβ βασιλεύει ἐπὶ
ἰσραὴλ ἐν σαμαρείᾳ ἔτη δεκαδύο, ἐν ἔτει εἰκοστῷ, καὶ πρώτῳ,
τῆς βασιλείας ἰωσαφὰτ βασιλέως ἰούδα· καὶ ἐποίησε τὸ πονηρὸν
ἐνώπιον κυ· πλὴν οὐχ, ὡς οἱ ἀδελφοὶ αὐτοῦ οὐδὲ ὡς ἡ μήτηρ αὐ-
τοῦ· καὶ ἀπέστησε τὰς στήλας τοῦ βαὰλ ἃς ἐποίησεν ὁ πατὴρ αὐτοῦ,
καὶ συνέτριψεν αὐτάς· πλὴν ἐν ταῖς ἁμαρτίαις οἴκου ἱεροβοὰμ υἱοῦ
οὐναβάτ· ὃς ἐξήμαρτε τὸν ἰσραὴλ ἐκολλήθη οὐκ ἀπέστη ἀπ' αὐτῶν·
καὶ ἐθυμώθη ὀργῇ κύριος εἰς τὸν οἶκον ἀχαάβ·

Κεφάλαιον β. 2.

Αἰ ἐγένετο ἐν τῷ ἀνάγειν κύριον ἐν συσσεισμῷ τὸν
x ἠλιοῦ· ὡς εἰς τὸν οὐρανόν· καὶ ἐπορεύθη ἠλιοῦ, καὶ ἐλισ-
σαιὲ ἐκ γαλγάλων· καὶ εἶπεν ἠλιοῦ πρὸς ἐλισσαιέ· κά-
θου δὴ ἐνταῦθα, ὅτι κύριος ἀπέσταλκέ με ἕως βαιθήλ· καὶ εἶ-
πεν ἐλισσαιέ· ζῇ κύριος καὶ ζῇ ἡ ψυχή σου εἰ ἐγκαταλείψω σε· καὶ
ἦλθον εἰς βαιθήλ· καὶ ἦλθον οἱ υἱοὶ τῶν προφητῶν οἱ ἐν βαιθὴλ
πρὸς ἐλισσαιὲ καὶ εἶπον πρὸς αὐτόν· εἰ ἔγνως, ὅτι λαμβάνει σή-
μερον κύριος τὸν κύριόν σου ἐπάνωθεν τῆς κεφαλῆς σου· καὶ εἶπε·
καὶ ἐγὼ ἔγνωκα· σιωπᾶτε· καὶ εἶπεν αὐτῷ ἠλιοῦ· κάθου δὴ
ἐνταῦθα, ὅτι κύριος ἀπέσταλκέ με εἰς ἱεριχώ· καὶ εἶπεν ἐλισ-
σαιέ, ζῇ κύριος καὶ ζῇ ἡ ψυχή σου εἰ ἐγκαταλείψω σε· καὶ ἦλ-
θον εἰς ἱεριχώ· καὶ ἤγγισαν οἱ υἱοὶ τῶν προφητῶν οἱ ἐν ἱερι-
χῷ πρὸς ἐλισσαιέ, καὶ εἶπον πρὸς αὐτόν· εἰ ἔγνως, ὅτι σή-

μερον λαμβάνει κύριος τὸν κύριόν σου ἐπάνωθεν τῆς κεφαλῆς
σου. καὶ εἶπε. καί γε ἐγὼ ἔγνωκα. σιωπᾶτε. καὶ εἶπεν αὐτῷ ἠ-
λιού. κάθου δὴ ὧδε, ὅτι ἀπέσταλκέ με ἕως τοῦ ἰορδάνου. καὶ
εἶπεν ἐλισσαιέ. ζῇ κύριος καὶ ζῇ ἡ ψυχή σου εἰ ἐγκαταλείψω
σε. καὶ ἐπορεύθησαν ἀμφότεροι καὶ πεντήκοντα ἄνδρες υἱοὶ
τῶν προφητῶν, καὶ ἔστησαν ἐξεναντίας μακρόθεν. καὶ ἀμφότε-
ροι ἔστησαν ἐπὶ τοῦ ἰορδάνου. καὶ ἔλαβεν ἠλιοὺ τὴν μηλωτὴν αὐτοῦ
καὶ ἐλισσαιὲ καὶ ἐπάταξε τὸ ὕδωρ. καὶ διῃρέθη τὸ ὕδωρ ἔνθα
καὶ ἔνθα, καὶ διέβησαν ἀμφότεροι ἐν ἐρήμῳ. καὶ ἐγένετο ἐν τῷ
διαβῆναι αὐτούς, καὶ ἠλιοὺ εἶπε πρὸς ἐλισσαιέ. αἴτησαι τί ποι-
ήσω σοι πρὶν ἢ ἀναληφθῆναί με ἀπὸ σοῦ. καὶ εἶπεν ἐλισσαιέ.
γενηθήτω δὴ διπλᾶ ἐν πνεύματί σου ἐπ' ἐμέ. καὶ εἶπεν ἠλιού.
ἐσκλήρυνας τοῦ αἰτήσασθαι. καὶ εἶπεν. ἐὰν ἴδῃς με ἀναλαμβανόμε-
νον ἀπὸ σοῦ, καὶ ἔσται σοι οὕτως. καὶ ἐὰν μή, οὐ μὴ γένηται. καὶ ἐγέ-
νετο αὐτῶν πορευομένων, ἐπορεύοντο καὶ ἐλάλουν. καὶ ἰδοὺ ἅρ-
μα πυρὸς καὶ ἵπποι πυρός, καὶ διέστειλαν ἀνὰ μέσον ἀμφοτέρων
καὶ ἀνελήφθη ἠλιοὺ ἐν συσσεισμῷ ὡς εἰς τὸν οὐρανόν. καὶ ἐλισσαιὲ ἑ-
ώρα. καὶ ἐβόα. πάτερ πάτερ ἅρμα ἰσραὴλ καὶ ἱππεὺς αὐτοῦ, καὶ οὐκ
εἶδεν αὐτὸν ἔτι. καὶ ἐπελάβετο τῶν ἱματίων αὐτοῦ. καὶ διέρρηξεν
αὐτὰ εἰς δύο ῥήγματα. καὶ ὕψωσεν ἠλιοὺ τὴν μηλωτὴν αὐτοῦ ἣ
ἔπεσεν ἐπάνωθεν ἐλισσαιέ. καὶ ἐπέστρεψεν ἐλισσαιὲ καὶ ἔστη
ἐπὶ τοῦ χείλους τοῦ ἰορδάνου. καὶ ἔλαβε τὴν μηλωτὴν ἠλιοὺ ἣ
ἔπεσεν ἐπάνωθεν αὐτοῦ. καὶ ἐπάταξε τὸ ὕδωρ καὶ οὐ διέ-
στη. καὶ εἶπε. ποῦ ὁ θεὸς ἠλιοὺ ἀπφώ. καὶ ἐπάταξε τὰ ὕδατα καὶ
διεῤῥάγησαν ἔνθα καὶ ἔνθα. καὶ διέβη ἐλισσαιὲ διὰ ξηρᾶς. καὶ
εἶδον αὐτὸν οἱ υἱοὶ τῶν προφητῶν οἱ ἐν ἱεριχῷ ἐξεναντίας, καὶ
εἶπον. ἐπαναπέπαυται τὸ πνεῦμα ἠλιοὺ ἐπὶ ἐλισσαιέ. καὶ ἦλθον
εἰς συνάντησιν αὐτοῦ, καὶ προσεκύνησαν αὐτῷ ἐπὶ τὴν γῆν, καὶ
εἶπον πρὸς αὐτόν. ἰδοὺ δὴ μετὰ τῶν παίδων σου πεντήκον-
τα ἄνδρες υἱοὶ δυνάμεως. πορευθέντες δὴ ζητησάτωσαν τὸν

κύριόν σου, μήποτε ἦρεν αὐτὸν πνεῦμα κυρίου καὶ ἔρριψεν αὐτὸν
ἐν τῷ ἰορδάνῃ ἐφ' ἓν τῶν ὀρέων, ἢ ἐφ' ἓν τῶν βουνῶν. καὶ
εἶπεν ἐλισσαιέ. οὐκ ἀποστελεῖτε. καὶ παρεβιάσαντο αὐτὸν, ἕως
ὅτου ᾐσχύνετο. καὶ εἶπεν. ἀποστείλατε. καὶ ἀπέστειλαν πεντήκον-
τα ἄνδρας καὶ ἐζήτησαν τρεῖς ἡμέρας καὶ οὐχ εὗρον αὐτόν. καὶ
ἀνέστρεψαν πρὸς αὐτόν. καὶ αὐτὸς ἐκάθητο ἐν ἱεριχῷ, καὶ εἶπεν
ἐλισσαιέ. οὐκ εἶπον πρὸς ὑμᾶς μὴ ἀποστείλητε καὶ εἶπον οἱ ἄν-
δρες τῆς πόλεως πρὸς ἐλισσαιέ. ἰδοὺ ἡ κατοίκησις τῆς πόλε-
ως ἀγαθή, καθὼς σὺ κύριε βλέπεις. καὶ τὰ ὕδατα πονηρά. καὶ ἡ
γῆ ἀτεκνουμένη. καὶ εἶπεν ἐλισσαιέ. λάβετέ μοι ὑδρίαν καινήν.
καὶ θέτε ἐκεῖ ἅλα. καὶ ἔλαβον καὶ ἤνεγκαν πρὸς αὐτόν. καὶ ἐξῆλθεν
ἐλισσαιὲ εἰς τὴν διέξοδον τῶν ὑδάτων, καὶ ἔρριψεν ἐκεῖ ἅλας
καὶ εἶπε. τάδε λέγει κύριος ἴαμαι τὰ ὕδατα ταῦτα. οὐκ ἔ-
σται ἔτι ἐκεῖθεν θάνατος καὶ ἀτεκνουμένη. καὶ ἰάθησαν τὰ ὕ-
δατα ἕως τῆς ἡμέρας ταύτης κατὰ τὸ ῥῆμα ἐλισσαιὲ ὃ ἐλά-
λησε. καὶ ἀνέβη ἐκεῖθεν εἰς βαιθήλ. καὶ ἀναβαίνοντος αὐτοῦ ἐν
τῇ ὁδῷ καὶ παιδάρια μικρὰ ἐξῆλθον ἐκ τῆς πόλεως καὶ κατέπαι-
ζον αὐτοῦ καὶ εἶπον αὐτῷ. ἀνάβαινε φαλακρὲ ἀνάβαινε. καὶ ἐξέ-
νευσεν ὀπίσω αὐτῶν καὶ εἶδεν αὐτὰ καὶ κατηράσατο αὐτοῖς ἐν ὀ-
νόματι κυρίου. καὶ ἰδοὺ ἐξῆλθον δύο ἄρκοι ἐκ τοῦ δρυμοῦ καὶ ἀνέρ-
ρηξαν ἐξ αὐτῶν τεσσαράκοντα καὶ δύο παῖδας. καὶ ἐπορεύθη ἐ-
κεῖθεν εἰς τὸ ὄρος τὸ καρμήλιον κἀκεῖθεν ἐπέστρεψεν εἰς σαμάρειαν.

Κεφάλαιον γ. 3.

Αὶ ἰωρὰμ υἱὸς ἀχαὰβ, ἐβασίλευσεν ἐν ἰσραὴλ
κ ἐν ἔτει ὀκτωκαιδεκάτῳ ἰωσαφὰτ βασιλέως ἰού-
δα. καὶ ἐβασίλευσε δώδεκα ἔτη. καὶ ἐποίησε τὸ
πονηρὸν ἐν ὀφθαλμοῖς κυρίου. πλὴν οὐχ ὡς ὁ πατὴρ αὐτοῦ
οὐδ' ὡς ἡ μήτηρ αὐτοῦ. καὶ μετέστησε τὰς στήλας τοῦ βαὰλ ἃς ἐ-
ποίησεν αὐτοῦ. πλὴν ἐν τῇ ἁμαρτίᾳ ἱεροβοὰμ υἱοῦ ναβὰτ ὃς
ἐξήμαρτε τὸν ἰσραὴλ ἐκολλήθη. οὐκ ἀπέστη ἀπ' αὐτῶν καὶ μω-

σὰ βασιλεὺς μωὰβ ἦν ὠκήδ. καὶ ἀπέστρεφε τῷ βασιλεῖ ἰσρα-
ὴλ ἐν τῇ ἐπαναστάσει, ἑκατὸν χιλιάδας ἀρνῶν. καὶ ἑκατὸν χιλιά-
δας κριῶν ἐπὶ πόκων. καὶ ἐγένετο μετὰ τὸ ἀποθανεῖν ἀχαὰβ καὶ
ἠθέτησε βασιλεὺς μωὰβ ἐν βασιλεῖ ἰσραήλ. καὶ ἐξῆλθεν ὁ βα-
σιλεὺς ἰωρὰμ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐκ σαμαρείας, καὶ ἐπεσκέψατο
τὸν ἰσραὴλ καὶ ἐπορεύθη. καὶ ἐξαπέστειλε πρὸς ἰωσαφὰτ βασιλέ-
α ἰούδα. λέγων. βασιλεὺς μωὰβ ἠθέτησεν ἐν ἐμοί. εἰ πορεύσῃ
μετ' ἐμοῦ εἰς μωὰβ εἰς πόλεμον. καὶ εἶπεν ἀναβήσομαι. ὅμοι-
ός μοι ὅμοιός σοι ὡς ὁ λαός μου ὁ λαός σου ὡς οἱ ἵπποι μου οἱ
ἵπποι σου. καὶ εἶπε. ποίᾳ ὁδῷ ἀναβῶ. καὶ εἶπεν. ὁδὸν ἔρημον
ἐδώμ. καὶ ἐπορεύθη ὁ βασιλεὺς ἰσραὴλ καὶ ὁ βασιλεὺς ἰούδα.
καὶ ὁ βασιλεὺς ἐδώμ, καὶ ἐκύκλωσαν ὁδὸν ἑπτὰ ἡμερῶν. καὶ οὐκ
ἦν ὕδωρ τῇ παρεμβολῇ καὶ τοῖς κτήνεσι τοῖς ἐν τοῖς ποσὶν αὐ-
τῶν. καὶ εἶπε τοῖς παισὶν αὐτοῦ ὁ βασιλεὺς ἰσραήλ, ὦ. ὅτι κέκλη-
κεν ὁ κύριος τοὺς τρεῖς βασιλεῖς παρερχομένους δοῦναι αὐτοὺς ἐν
χειρὶ μωάβ. καὶ εἶπεν ἰωσαφὰτ πρὸς αὐτὸν ὁ βασιλεὺς ἰούδα, οὐκ
ἔστιν ὧδε προφήτης τοῦ κυρίου καὶ ἐπιζητήσωμεν τὸν κύριον παρ' αὐτοῦ;
καὶ ἀπεκρίθη εἷς τῶν παίδων τοῦ βασιλέως ἰσραὴλ καὶ εἶπεν. ὧδε
ἐλισαιὲ υἱὸς σαφὰτ ὃς ἐπέχεεν ὕδωρ ἐπὶ χεῖρας ἠλιοὺ καὶ εἶπεν
ἰωσαφάτ. ἔστιν αὐτῷ ῥῆμα κυρίου. καὶ κατέβη πρὸς αὐτὸν βασι-
λεὺς ἰσραήλ, καὶ ἰωσαφὰτ βασιλεὺς ἰούδα, καὶ βασιλεὺς ἐ-
δώμ, καὶ εἶπεν ἐλισαιὲ πρὸς βασιλέα ἰσραὴλ τί ἐμοὶ καὶ σοί
δεῦρο πρὸς τοὺς προφήτας τοῦ πατρός σου καὶ τοὺς προφή-
τας τῆς μητρός σου. καὶ εἶπεν αὐτῷ ὁ βασιλεὺς ἰσραήλ. μή,
ὅτι κέκληκε κύριος τοὺς τρεῖς βασιλεῖς τοῦ παραδοῦναι αὐτοὺς
εἰς χεῖρας μωάβ; καὶ εἶπεν ἐλισαιέ. ζῇ κύριος τῶν δυνάμεων
ᾧ παρέστην ἐνώπιον αὐτοῦ, ὅτι εἰ μὴ πρόσωπον ἰωσαφὰτ βασι-
λέως ἰούδα ἐγὼ λαμβάνω. εἰ ἐπέβλεψα πρὸς σὲ καὶ εἶδόν
σε. καὶ νῦν ἴδε λάβε μοι ψάλλοντα. καὶ ἐγένετο ὡς ἔψαλλεν ὁ ψάλ-
λων, καὶ ἐγένετο ἐπ' αὐτὸν χεὶρ κυρίου καὶ εἶπε. τάδε λέγει κύριος. ποιή-

ἔτι τὸν χείμαῤῥουν τοῦτον, βοθύνους βοθύνους. ὅτι τάδε λέγει κύρι
ος. οὐκ ὄψεσθε πνεῦμα καὶ οὐκ ὄψεσθε ὑετὸν, καὶ ὁ χείμαῤῥους οὗ
τος πλησθήσεται ὕδατος. καὶ πίεσθε ὑμεῖς καὶ αἱ κτήσεις ὑμῶν
καὶ τὰ κτήνη ὑμῶν. καὶ κούφη αὕτη ἐν ὀφθαλμοῖς κυρίου. καὶ
παραδώσει τὴν μωὰβ εἰς χεῖρας ὑμῶν. καὶ πατάξετε πᾶσαν
πόλιν ὀχυρὰν. καὶ πᾶν ξύλον ἀγαθὸν καταβαλεῖτε. καὶ πά-
σας πηγὰς ὕδατος ἐμφράξετε. καὶ πᾶσαν μερίδα ἀγαθὴν ἀ
χρειώσετε ἐν λίθοις. καὶ ἐγένετο πρωῒ ἀναβαινούσης τῆς θυ-
σίας, καὶ ἰδοὺ ὕδατα ἤρχοντο ἐξ ὁδοῦ ἐδὼμ, καὶ ἐπλήσθη ἡ
γῆ ὕδατος. καὶ πᾶσα μωὰβ ἤκουσαν, ὅτι ἀνέβησαν οἱ τρεῖς βα
σιλεῖς πολεμεῖν αὐτοὺς, ἀνεβόησαν ἐκ παντὸς περιεζωσμένοι ζώ
νην, καὶ ἐπάνω. καὶ ἔστησαν ἐπὶ τοῦ ὁρίου. καὶ ὤρθρισαν τοπρωΐ.
καὶ ὁ ἥλιος ἀνέτειλεν ἐπὶ τὰ ὕδατα. καὶ εἶδε μωὰβ ἐξεναντί-
ας τὰ ὕδατα πυῤῥὰ ὡς αἷμα καὶ εἶπεν. αἷμα τοῦ τῆς ῥομφαί
ας. καὶ ἐμαχέσαντο οἱ βασιλεῖς. καὶ ἐπάταξεν ἀνὴρ τὸν πλη
σίον αὐτοῦ. καὶ νῦν ἐπὶ τὰ σκῦλα μωάβ. καὶ εἰσῆλθον εἰς τὴν
παρεμβολὴν ἰσραὴλ, καὶ ἰσραὴλ ἀνέστησαν καὶ ἐπάταξαν τὴν
μωὰβ, καὶ ἔφυγον ἀπὸ προσώπου αὐτῶν. καὶ εἰσῆλθον εἰσπο-
ρευόμενοι καὶ τύπτοντες τὴν μωάβ. καὶ τὰς πόλεις καθεῖλον.
καὶ ἐπὶ πᾶσαν μερίδα ἀγαθὴν ἔῤῥιψαν ἀνὴρ τὸν λίθον αὐτοῦ καὶ
ἐνέπλησαν αὐτήν. καὶ πᾶσαν πηγὴν ὕδατος ἐνέφραξαν. καὶ
πᾶν ξύλον ἀγαθὸν κατέβαλον, ἕως τοῦ καταλιπεῖν τοὺς λίθους τοῦ
τοίχου καθῃρημένους. καὶ ἐκύκλωσαν οἱ σφενδονῆται. καὶ ἐπά
ταξαν αὐτήν. καὶ εἶδεν ὁ βασιλεὺς μωὰβ, ὅτι ἐκραταίωσεν
ὑπὲρ αὐτὸν ὁ πόλεμος, καὶ ἔλαβε μεθ' ἑαυτοῦ ἑπτακοσίους ἄν-
δρας ἐσπασμένους ῥομφαίαν διακόψαι πρὸς τὸν βασιλέα ἐ-
δώμ, καὶ οὐκ ἠδυνήθησαν. καὶ ἔλαβε τὸν υἱὸν αὐτοῦ τὸν πρωτότο-
κον ὃν ἐβασίλευσεν ἀντ' αὐτοῦ, καὶ ἀνήνεγκεν αὐτὸν ὁλοκαύ-
τωμα ἐπὶ τοῦ τοίχους. καὶ ἐγένετο μετάμελος μέγας ἐπὶ ἰσρα
ὴλ. καὶ ἀπῆραν ἀπ' αὐτοῦ καὶ ἐπέστρεψαν εἰς τὴν γῆν.

## Κεφάλαιον δ'. 4.

κ Αἱ γυνὴ μία ἀπὸ τῶν υἱῶν τῶν προφητῶν ἐβόα πρὸς τὸν ἐλισσαιὲ λέγουσα ὁ δοῦλός σου ὁ ἀνήρ μου ἀπέθανε. καὶ σὺ ἔγνως, ὅτι δοῦλος ἦν φοβούμενος τὸν κύριον. καὶ ὁ δανειστὴς ἦλθε λαβεῖν τοὺς δύο υἱούς μου αὑτῷ εἰς δούλους. καὶ εἶπε πρὸς αὐτὴν ἐλισσαιὲ τί ποιήσω σοι. ἀνάγγειλόν μοι τί ἐστὶν ἐν τῷ οἴκῳ σου. ἡ δὲ εἶπεν οὐκ ἔστι τῇ δούλῃ σου οὐδὲν ἐν τῷ οἴκῳ. ὅτι ἀλλ' ἢ ὃ ἀλείψομαι ἔλαιον. καὶ εἶπε πρὸς αὐτήν. δεῦρο αἴτησαι αὐτῇ σκεύη ἔξωθεν παρὰ πάντων τῶν γειτόνων σου σκεύη κενά. καὶ μὴ ὀλιγώσῃς. καὶ εἰσελεύσῃ καὶ ἀποκλείσῃς τὴν θύραν κατὰ σου καὶ κατὰ τῶν υἱῶν σου καὶ ἀποχεεῖς εἰς τὰ σκεύη ταῦτα καὶ τὸ πληρωθὲν ἀρεῖς. καὶ ἀπῆλθε παρ' αὐτοῦ. καὶ ἐποίησεν οὕτως. καὶ ἀπέκλεισε τὴν θύραν καθ' ἑαυτῆς καὶ κατὰ τῶν υἱῶν αὐτῆς αὐτοὶ προσήγγιζον πρὸς αὐτὴν, καὶ αὐτὴ ἐπέχεεν, ἕως ἐπλήσθησαν τὰ σκεύη. καὶ εἶπε πρὸς τοὺς υἱοὺς αὐτῆς. ἐγγίσατε ἔτι πρός με σκεῦος καὶ εἶπον αὐτῇ. οὐκ ἔστιν ἔτι σκεῦος. καὶ ἔστη τὸ ἔλαιον. καὶ ἦλθε καὶ ἀνήγγειλε τῷ ἀνθρώπῳ τοῦ θεοῦ καὶ εἶπεν ἐλισσαιέ. δεῦρο καὶ ἀπόδου τὸ ἔλαιον. καὶ ἀποτίσεις τοὺς τόκους σου. καὶ σὺ καὶ οἱ υἱοί σου ζήσεσθε ἐν τῷ ὑπολοίπῳ ἐλαίῳ καὶ ἐγένετο ἡμέρα καὶ διέβη ἐλισσαιὲ εἰς σωμάν. καὶ ἐκεῖ γυνὴ μεγάλη καὶ ἐκράτησεν αὐτὸν φαγεῖν ἄρτον. καὶ ἐγένετο ἀφ' ἱκανοῦ τοῦ εἰσπορεύεσθαι αὐτὸν ἐξέκλινε τοῦ ἐκεῖ φαγεῖν ἄρτον. καὶ εἶπεν ἡ γυνὴ πρὸς τὸν ἄνδρα αὐτῆς ἰδοὺ δὴ ἔγνων, ὅτι ἄνθρωπος τοῦ θεοῦ ἅγιος οὗτος διαπορεύεται ἐφ' ἡμᾶς διαπαντὸς ποιήσωμεν δὴ αὐτῷ ὑπερῷον τόπον μικρόν. καὶ θῶμεν αὐτῷ ἐκεῖ κλίνην καὶ τράπεζαν καὶ δίφρον καὶ λυχνίαν. καὶ ἔσται ἐν τῷ εἰσπορεύεσθαι πρὸς ἡμᾶς, καὶ ἐκκλινεῖ ἐκεῖ. καὶ ἐγένετο ἡμέρα, καὶ εἰσῆλθεν ἐκεῖ. καὶ ἐξέκλινεν εἰς τὸ ὑπερῷον, καὶ ἐκοιμήθη ἐκεῖ καὶ εἶπε πρὸς γιεζεὶ τὸ παιδάριον αὐτοῦ. κάλεσόν μοι τὴν σωμανίτιν ταύτην. καὶ ἐκάλεσεν αὐτὴν καὶ ἔστη ἐνώπιον αὐτοῦ. καὶ εἶπεν αὐτῷ. εἶπον δὴ

πρὸς αὐτήν· ἰδοὺ ἐξέστησας ἡμῖν πᾶσαν τὴν ἔκστασιν ταύτην τί δεῖ ποιῆσαί σοι; εἰ ἔστι λόγος σοι πρὸς τὸν βασιλέα ἢ πρὸς τοὺς ἄρχοντας τῆς δυνάμεως. ἡ δὲ εἶπεν· ἐν μέσῳ τοῦ λαοῦ ἐγώ εἰμι οἰκῶ ἡσυχάζουσα. καὶ εἶπε πρὸς γιεζὶ τί δεῖ ποιῆσαι αὐτῇ, καὶ εἶπε γιεζὶ τὸ παιδάριον αὐτοῦ. καὶ μάλα υἱὸς οὐκ ἔστιν αὐτῇ καὶ ὁ ἀνὴρ αὐτῆς πρεσβύτης. καὶ εἶπεν· κάλεσον αὐτήν. ἐκάλεσεν αὐτήν. καὶ ἔστη παρὰ τὴν θύραν. καὶ εἶπεν ἐλισσαιὲ πρὸς αὐτὴν εἰς τὸν καιρὸν τοῦτον ὡς ἡ ὥρα ζῶσα καὶ σὺ περιειληφυῖα υἱόν. ἡ δὲ εἶπε· μὴ κύριε· μὴ διαψεύσῃ τὴν δούλην σου. καὶ ἐν γαστρὶ ἔλαβεν ἡ γυνὴ καὶ ἔτεκεν υἱὸν εἰς τὸν καιρὸν τοῦτον· ὡς ἡ ὥρα ζῶσα, ὡς ἐλάλησε πρὸς αὐτὴν ἐλισσαιέ. καὶ ἡδρύνθη τὸ παιδάριον. καὶ ἐγένετο ἡνίκα ἐξῆλθε τὸ παιδάριον πρὸς τὸν πατέρα αὐτοῦ. πρὸς τοὺς θερίζοντας, καὶ εἶπε πρὸς τὸν πατέρα αὐτοῦ· τὴν κεφαλήν μου· τὴν κεφαλήν μου. καὶ εἶπε τῷ παιδαρίῳ· ἆρον αὐτὸν πρὸς τὴν μητέρα αὐτοῦ. καὶ ἦρεν αὐτὸν πρὸς τὴν μητέρα αὐτοῦ. καὶ ἐκοιμήθη ἐπὶ τῶν γονάτων αὐτῆς ἕως μεσημβρίας καὶ ἀπέθανε. καὶ ἀνήνεγκεν αὐτὸν καὶ ἐκοίμησεν αὐτὸν ἐπὶ τὴν κλίνην τοῦ ἀνθρώπου τοῦ θεοῦ καὶ ἀπέκλεισε κατ' αὐτοῦ καὶ ἐξῆλθε. καὶ ἐκάλεσε τὸν ἄνδρα αὐτῆς καὶ εἶπεν· ἀπόστειλον δή μοι ἓν τῶν παιδαρίων καὶ μίαν τῶν ὄνων καὶ δραμοῦμαι ἕως τοῦ ἀνθρώπου τοῦ θεοῦ καὶ ἐπιστρέψω. καὶ εἶπε· τί, ὅτι σὺ πορεύῃ πρὸς αὐτὸν σήμερον; οὐ νεομηνία οὐδὲ σάββατον; ἡ δὲ εἶπεν· εἰρήνη. καὶ ἐπέσαξε τὴν ὄνον καὶ εἶπε πρὸς τὸ παιδάριον αὐτῆς· ἄγε πορεύου. μὴ ἐπίσχῃς μοι τοῦ ἐπιβῆναι. ὅτι ἐὰν εἴπω σοι δεῦρο καὶ πορεύσῃ καὶ ἐλεύσῃ πρὸς τὸν ἄνθρωπον τοῦ θεοῦ εἰς ὄρος τὸ καρμήλιον. καὶ ἐπορεύθη καὶ ἦλθεν ἕως τοῦ ἀνθρώπου τοῦ θεοῦ εἰς τὸ ὄρος. καὶ ἐγένετο ὡς εἶδεν ἐλισσαιὲ ἐρχομένην αὐτήν, καὶ εἶπε πρὸς γιεζὶ τὸ παιδάριον αὐτοῦ· ἰδὲ ἡ σωμανίτης ἐκείνη. νῦν δράμε εἰς ἀπάντησιν αὐτῆς, καὶ ἐρεῖς εἰρήνη σοι. καὶ ἔδραμεν εἰς ἀπάντησιν αὐτῆς καὶ εἶπεν αὐτῇ, εἰρήνη σοι· εἰρήνη τῷ ἀνδρί

σου εἰρήνη τῷ παιδαρίῳ. ἡ δὲ εἶπεν· εἰρήνη. καὶ ἦλθε πρὸς τὸν ἐλιασσαιὲ εἰς τὸ ὄρος, καὶ ἐπελάβετο τῶν ποδῶν αὐτοῦ. καὶ ἤγγισεν γιεζεὶ ἀπώσασθαι αὐτήν. καὶ εἶπεν ἐλιασσαιὲ ἄφες αὐτήν. ὅτι ἡ ψυχὴ αὐτῆς κατώδυνος αὐτῇ καὶ κύριος ἀπέκρυψεν ἀπ' ἐμοῦ καὶ οὐκ ἀνήγγειλέ μοι. ἡ δὲ, εἶπε. μὴ ᾐτησάμην υἱὸν παρὰ τοῦ κυρίου μου, ὅτι εἶπον οὐ πλανήσεις μετ' ἐμοῦ; καὶ εἶπεν ἐλιασσαιὲ τῷ γιεζεὶ. ζῶσαι τὴν ὀσφύν σου καὶ λάβε τὴν βακτηρίαν μου ἐν τῇ χειρί σου καὶ δεῦρο. ὅτι ἐὰν εὕρῃς ἄνδρα εὐλογήσεις αὐτόν. καὶ ἐὰν εὐλογήσῃ σε ἀνὴρ, οὐκ ἀποκριθήσῃ αὐτῷ. καὶ ἐπιθήσεις τὴν βακτηρίαν μου ἐπὶ πρόσωπον τοῦ παιδαρίου. καὶ εἶπεν ἡ μήτηρ τοῦ παιδαρίου. ζῇ κύριος καὶ ζῇ ἡ ψυχή σου εἰ ἐγκαταλείψω σε. καὶ ἀνέστη ἐλιασσαιὲ καὶ ἐπορεύθη ὀπίσω αὐτῆς. καὶ γιεζεὶ ἦλθεν ἔμπροσθεν αὐτῆς, καὶ ἐπέθηκε τὴν βακτηρίαν εἰς τὸ πρόσωπον τοῦ παιδαρίου, καὶ οὐκ ἦν φωνὴ καὶ οὐκ ἦν ἀκρόασις. καὶ ἐπέστρεψεν εἰς ἀπάντησιν αὐτοῦ, καὶ ἀπήγγειλεν αὐτῷ λέγων. οὐκ ἠγέρθη τὸ παιδάριον. καὶ εἰσῆλθεν ἐλιασσαιὲ εἰς τὸν οἶκον, καὶ ἰδοὺ τὸ παιδάριον τεθνηκὸς κεκοιμισμένον ἐπὶ τὴν κλίνην αὐτοῦ. καὶ εἰσῆλθεν ἐλιασσαιὲ εἰς τὸν οἶκον καὶ ἀπέκλεισε τὴν θύραν κατὰ τῶν δύο αὐτῶν, καὶ προσηύξατο πρὸς κύριον καὶ ἀνέβη. καὶ ἐκοιμήθη ἐπὶ τὸ παιδάριον. καὶ ἔθηκε τὸ στόμα αὐτοῦ ἐπὶ τὸ στόμα αὐτοῦ. καὶ τοὺς ὀφθαλμοὺς αὐτοῦ, ἐπὶ τοὺς ὀφθαλμοὺς αὐτοῦ. καὶ τὰς χεῖρας αὐτοῦ, ἐπὶ τὰς χεῖρας αὐτοῦ. καὶ τὰ ἴχνη αὐτοῦ, ἐπὶ τὰ ἴχνη αὐτοῦ, καὶ ἐνεφύσησεν αὐτόν. καὶ διέκαμψεν ἐπ' αὐτὸν, καὶ διεθερμάνθη ἡ σὰρξ τοῦ παιδαρίου, καὶ ἐπέστρεψε. καὶ ἐπορεύθη ἐν τῇ οἰκίᾳ, ἔνθεν καὶ ἔνθεν. καὶ ἀνέβη καὶ συνέκαλυψεν ἐπὶ τὸ παιδάριον ἕως ἑπτάκις. καὶ ἤνοιξε τὸ παιδάριον τοὺς ὀφθαλμοὺς αὐτοῦ. καὶ ἐξεβόησεν ἐλιασσαιὲ πρὸς γιεζεὶ καὶ εἶπε. κάλεσον τὴν σωμανίτην ταύτην. καὶ ἐκάλεσεν καὶ εἰσῆλθε πρὸς αὐτόν. καὶ εἶπεν ἐλιασσαιέ. λάβε τὸν υἱόν σου. καὶ εἰσῆλθεν ἡ γυνὴ καὶ ἔπεσεν παρὰ

τοὺς πόδας αὐτοῦ καὶ προσεκύνησεν ἐπὶ τὴν γῆν. καὶ ἔλαβε τὸν υἱ-
ὸν αὐτῆς, καὶ ἐξῆλθε. καὶ ἐλισσαιὲ, ἐπέστρεψεν εἰς γάλγαλα, καὶ
ὁ λιμὸς ἐν τῇ γῇ καὶ οἱ υἱοὶ τῶν προφητῶν, ἐκάθηντο ἐνώπιον
αὐτοῦ. καὶ εἶπεν ἐλισσαιὲ τῷ παιδαρίῳ αὐτοῦ. ἐπίστησον τὸν λέ-
βητα τὸν μέγαν. καὶ ἕψει ἕψημα τοῖς υἱοῖς τῶν προφητῶν. καὶ ἐξ-
ῆλθεν εἰς τὸν ἀγρὸν συλλέξαι ἀριὼθ. καὶ εὗρεν ἄμπελον ἐν τῷ ἀ-
γρῷ, καὶ συνέλεξεν ἀπ' αὐτῆς τολύπην ἀγρίαν πλήρες τὸ ἱμά-
τιον αὐτοῦ. καὶ ἐνέβαλεν εἰς τὸν λέβητα τοῦ ἑψέματος, ὅτι οὐκ ἔ-
γνωσαν καὶ ἐνέχεε τοῖς ἀνδράσι φαγεῖν. καὶ ἐγένετο ἐν τῷ ἐσθίειν
αὐτοὺς ἐκ τοῦ ἑψέματος. καὶ ἰδοὺ ἀνεβόησαν καὶ εἶπαν. θάνατος ἐν
τῷ λέβητι ἄνθρωπε τοῦ θεοῦ. καὶ οὐκ ἠδύναντο φαγεῖν. καὶ εἶπε
λάβετε ἄλευρον, καὶ ἐμβάλετε εἰς τὸν λέβητα. καὶ εἶπεν ἐλι-
σσαιὲ πρὸς γιεζεὶ τὸ παιδάριον αὐτοῦ. ἔγχει τῷ λαῷ καὶ ἐσθιέ-
τωσαν. καὶ οὐκ ἐγενήθη ἐκεῖ ἔτι ῥῆμα πονηρὸν ἐν τῷ λέβητι. καὶ
ἀνὴρ διῆλθεν ἐκ βαιθαρλισὰ, καὶ ἤνεγκε πρὸς τὸν ἄνθρωπον τοῦ
θεοῦ πρωτογεννημάτων εἴκοσι ἄρτους κριθίνους καὶ παλάθας. καὶ
εἶπε. δότε τῷ λαῷ καὶ ἐσθιέτωσαν. καὶ εἶπεν ὁ λειτουργὸς αὐ-
τῶν. τίνι δῶ ταῦτα ἐνώπιον ἑκατὸν ἀνδρῶν. καὶ εἶπε δὸς τῷ
λαῷ καὶ ἐσθιέτωσαν. ὅτι τάδε λέγει κύριος. φάγονται καὶ κα-
ταλείψουσι. καὶ ἔφαγον καὶ κατέλιπον κατὰ τὸ ῥῆμα κυρίου.

Κεφάλαιον. ε. 5.

Αἰνεεμὰν ὁ ἄρχων τῆς δυνάμεως τῆς συρίας ἦν ἀνὴρ
κ μέγας ἔχων βασιλέως ἐνώπιον τοῦ κυρίου αὐτοῦ. καὶ
τεθαυμασμένος προσώπῳ. ὅτι δι' αὐτοῦ ἔδωκε κύρι-
ος σωτηρίαν συρίᾳ. καὶ ὁ ἀνὴρ ἦν δυνατὸς ἰσχύι λελεπρωμένος.
καὶ ἐκ συρίας ἐξῆλθον μονόζωνοι, καὶ ᾐχμαλώτευσαν ἐκ γῆς ἰ-
σραὴλ νεάνιδα μικράν. καὶ ἦν ἐνώπιον τῆς γυναικὸς νεεμάν. ἡ δὲ
εἶπε τῇ κυρίᾳ αὐτῆς. ὄφελον ὁ κύριός μου ἐνώπιον τοῦ προφήτου
τοῦ θεοῦ, τοῦ ἐν σαμαρείᾳ. τότε ἀποσυνάξει αὐτὸν ἀπὸ τῆς λέ-
πρας αὐτοῦ. καὶ εἰσῆλθε καὶ ἀπήγγειλε τῷ κυρίῳ αὐτῆς καὶ εἶπεν.

οὕτως καὶ οὕτως ἐλάλησεν ἡ νεᾶνις ἡ ἐκ γῆς ἰσραήλ. καὶ εἶπε βασιλεὺς συρίας πρὸς νεεμάν. δεῦρο εἴσελθε καὶ ἐξαποστελῶ βιβλίον πρὸς βασιλέα ἰσραήλ. καὶ ἐπορεύθη καὶ ἔλαβεν ἐν τῇ χειρὶ αὐτοῦ δέκα τάλαντα ἀργυρίου, καὶ ἑξακισχιλίους χρυσοῦς, καὶ δέκα ἀλλασσομένας στολάς. καὶ ἤνεγκε τὸ βιβλίον, πρὸς τὸν βασιλέα ἰσραὴλ λέγων. καὶ νῦν ὡς ἂν ἔλθῃ τὸ βιβλίον τοῦτο πρὸς σέ. ἰδοὺ ἀπέστειλα πρὸς σὲ νεεμὰν τὸν δοῦλόν μου. καὶ ἀποσυνάξεις αὐτὸν ἀπὸ τῆς λέπρας αὐτοῦ. καὶ ἐγένετο ὡς ἀνέγνω βασιλεὺς ἰσραὴλ τὸ βιβλίον, διέρρηξε τὰ ἱμάτια αὐτοῦ καὶ εἶπε. μὴ θεὸς ἐγὼ τοῦ ζωοποιῆσαι; ἢ τοῦ θανατῶσαι, ὅτι οὗτος ἀποστέλλει πρός με ἄνδρα ἀποσυνάξαι ἀπὸ τῆς λέπρας αὐτοῦ. ὅτι πλὴν γνῶτε δὴ καὶ ἴδετε, ὅτι προφασίζεται οὗτός με. καὶ ἐγένετο ὡς ἤκουσεν ἐλισσαιὲ, ὅτι διέρρηξεν ὁ βασιλεὺς ἰσραὴλ τὰ ἱμάτια αὐτοῦ, καὶ ἀπέστειλε πρὸς τὸν βασιλέα ἰσραὴλ λέγων. ἱνατί διέρρηξας τὰ ἱμάτιά σου. ἐλθέτω δὴ πρός με νεεμὰν, καὶ γνώτω, ὅτι ἔστι προφήτης ἐν ἰσραήλ. καὶ ἦλθε νεεμὰν ἐν ἵππῳ καὶ ἅρματι, καὶ ἔστη ἐπὶ θύραις οἴκου ἐλισσαιέ. καὶ ἀπέστειλεν ἐλισσαιὲ ἄγγελον πρὸς αὐτὸν λέγων. πορευθεὶς, λοῦσαι ἑπτάκις ἐν τῷ ἰορδάνῃ, καὶ ἐπιστρέψει ἡ σάρξ σου σοὶ καὶ καθαρισθήσῃ, καὶ ἐθυμώθη νεεμὰν καὶ ἀπῆλθε καὶ εἶπεν. ἰδοὺ δὴ ἔλεγον, ὅτι ἐξελεύσεται πρός με καὶ στήσεται καὶ ἐπικαλέσεται ἐν ὀνόματι θεοῦ αὐτοῦ. καὶ ἐπιθήσει τὴν χεῖρα αὐτοῦ, ἐπὶ τὸν τόπον καὶ ἀποσυνάξει τὸ λεπρόν. οὐχὶ ἀγαθοὶ ἀβανὰ καὶ φαρφὰρ ποταμοὶ δαμασκοῦ ὑπὲρ ἰορδάνην καὶ πάντα τὰ ὕδατα ἰσραήλ. οὐχὶ πορευθεὶς λούσομαι ἐν αὐτοῖς καὶ καθαρισθήσομαι; καὶ ἐξέκλινε καὶ ἀπῆλθεν ἐν θυμῷ, καὶ ἤγγισαν οἱ παῖδες αὐτοῦ, καὶ ἐλάλησαν πρὸς αὐτόν. μέγαν λόγον ἐλάλησε ὁ προφήτης πρὸς σέ. οὐχὶ ποιήσεις; ὅτι εἶπε πρὸς σὲ λοῦσαι καὶ καθαρίσθητι. καὶ κατέβη νεεμὰν καὶ ἐβαπτίσατο ἐν τῷ ἰορδάνῃ ἑπτάκις, κατὰ τὸ ῥῆμα ἐλισσαιέ. καὶ ἀπέστρεψεν ἡ σάρξ αὐτοῦ ὡς σάρξ παι-

παιδαρίου μικροῦ· καὶ ἐκαθαρίσθη. καὶ ἐπέστρεψε πρὸς ἐλισαιὲ αὐτὸς καὶ πᾶσα ἡ παρεμβολὴ αὐτοῦ. καὶ ἦλθε καὶ ἔστη ἐνώπιον αὐτοῦ. καὶ εἶπεν. ἰδοὺ δὴ ἔγνωκα ὅτι οὐκ ἔστι θεὸς ἐν πάσῃ τῇ γῇ, ὅτι ἀλλ' ἢ ἐν τῷ ἰσραήλ. καὶ νῦν λάβε τὴν εὐλογίαν παρὰ τοῦ δούλου σου. καὶ εἶπεν ἐλισαιέ. ζῇ κύριος ᾧ παρέστην ἐνώπιον αὐτοῦ. εἰ λήψομαι καὶ παρεβιάσατο αὐτὸν λαβεῖν καὶ ἠπείθησε. καὶ εἶπε νεεμάν. καὶ εἰ μή. δοθήτω δὴ τῷ δούλῳ σου γόμορ ζεῦγος ἡμιόνων. καὶ σύ μοι δώσεις ἐκ τῆς γῆς τῆς πυῤῥᾶς. ὅτι οὐ ποιήσει ἔτι ὁ δοῦλός σου ὁλοκαύτωμα καὶ θυσίας θεοῖς ἑτέροις, ἀλλ' ἢ τῷ κυρίῳ μόνῳ τῷ ῥήματι τούτῳ καὶ περὶ τοῦ λόγου τούτου καὶ ἱλάσεται ὁ κύριος τῷ δούλῳ σου, ἐν τῷ εἰσπορεύεσθαι τὸν κύριόν μου εἰς οἶκον ῥεμμὰν προσκυνῆσαι αὐτὸν, καὶ ἐκεῖ ἐπαναπαύσεται ἐπὶ τῆς χειρός μου. καὶ προσκυνήσω ἐν οἴκῳ ῥεμμὰν, ἐν τῷ προσκυνεῖν αὐτὸν ἐν οἴκῳ ῥεμμάν. καὶ ἱλασθήσεται δὴ κύριος τῷ δούλῳ σου ἐν τῷ λόγῳ τούτῳ. καὶ εἶπεν ἐλισαιὲ πρὸς νεεμάν. δεῦρο εἰς εἰρήνην. καὶ ἀπῆλθεν ἀπ' αὐτοῦ εἰς χαβραθὰ τῆς γῆς. καὶ εἶπε γιεζὶ τὸ παιδάριον ἐλισαιέ. ἰδοὺ ἐφείσατο ὁ κύριός μου τοῦ νεεμὰν τοῦ σύρου τούτου, τοῦ μὴ λαβεῖν ἐκ χειρὸς αὐτοῦ ὧν ἐνήνοχε. ζῇ κύριος, ὅτι εἰ μὴ δραμοῦμαι ὀπίσω αὐτοῦ, καὶ λήψομαι ἀπ' αὐτοῦ τι. καὶ ἐδίωξε γιεζὶ ὀπίσω τοῦ νεεμάν. καὶ εἶδεν αὐτὸν νεεμὰν τρέχοντα ὀπίσω αὐτοῦ, καὶ ἐπέστρεψεν ἀπὸ τοῦ ἅρματος εἰς ἀπάντησιν αὐτοῦ καὶ εἶπεν. εἰρήνη. ὁ κύριός μου ἀπέστειλέ με λέγων. ἰδοὺ νῦν ἦλθον πρός με δύο παιδάρια ἐξ ὄρους ἐφραὶμ ἀπὸ τῶν υἱῶν τῶν προφητῶν. δὸς δὴ αὐτοῖς τάλαντον ἀργυρίου, καὶ δύο ἀλλασσομένας στολάς. καὶ εἶπε νεεμάν. λάβε δὴ τάλαντον ἀργυρίου. καὶ ἔλαβε δύο τάλαντα ἀργυρίου ἐν δυσὶ θυλακίοις, καὶ δύο ἀλλασσομένας στολὰς, ἔδωκεν τοῖς δύο παιδαρίοις αὐτοῦ. καὶ ἦραν ἔμπροσθεν αὐτοῦ. καὶ ἦλθεν εἰς τὸ σκοτεινὸν, καὶ ἔλαβεν ἐκ τῶν χειρῶν αὐτῶν, καὶ παρέθετο ἐν οἴκῳ, καὶ ἐξαπέστειλε τοὺς ἄνδρας. καὶ αὐτὸς ἦλθε καὶ πα-

ρεστήκει

φεστήκει πρὸς τὸν κύριον αὐτοῦ, καὶ εἶπε πρὸς αὐτὸν ἐλισαιέ· πό-
θεν γιεζεὶ καὶ εἶπε γιεζί· οὐ πεπόρευται ὁ δοῦλός σου ἔνθα καὶ
ἔνθα· καὶ εἶπε πρὸς αὐτὸν ἐλισαιὲ οὐχὶ ἡ καρδία μου ἐπορεύ-
θη μετὰ σοῦ καὶ οἶδα, ὅτι ἐπέστρεψεν ὁ ἀνὴρ ἀπὸ τοῦ ἅρματος αὐτοῦ
εἰς συνάντησίν σου. καὶ νῦν ἔλαβες τὸ ἀργύριον καὶ ἔλαβες τὰ
ἱμάτια. καὶ λήψῃ ἐν αὐτῷ κήπους καὶ ἐλαιῶνας. καὶ ἀμπελῶ-
νας καὶ πρόβατα καὶ βόας. καὶ παῖδας καὶ παιδίσκας. καὶ ἡ λέπρα
νεεμὰν, κολληθήσεται ἐν σοὶ καὶ ἐν τῷ σπέρματί σου εἰς τὸν αἰῶ-
να. καὶ ἐξῆλθεν ἐκ τοῦ προσώπου αὐτοῦ λελεπρωμένος ὡσεὶ χιών.

### Κεφάλαιον ς'. 6.

αἰ εἶπον οἱ υἱοὶ τῶν προφητῶν πρὸς ἐλισαιέ. ἰδοὺ
K δὴ ὁ τόπος ἐν ᾧ ἡμεῖς οἰκοῦμεν ἐνώπιόν σου στενὸς ἀ-
φ' ἡμῶν. πορευθῶμεν δὴ ἕως τοῦ ἰορδάνου. καὶ λάβωμεν
ἐκεῖθεν ἀνὴρ εἷς δοκὸν μίαν, καὶ ποιήσωμεν ἑαυτοῖς ἐκεῖ τοῦ οἰκεῖν
ἐκεῖ. καὶ εἶπε, δεῦτε, καὶ εἶπεν ὁ εἷς. δεῦρο ἐπιεικῶς δεῦρο μετὰ
τῶν δούλων σου. καὶ εἶπεν ἐγὼ πορεύσομαι. καὶ ἐπορεύθη μετ' αὐ-
τῶν, καὶ ἦλθον εἰς τὸν ἰορδάνην καὶ ἔτεμνον ξύλα. καὶ ἰδοὺ ὁ εἷς
καταβάλλων τὴν δοκόν. καὶ τὸ σιδήριον ἐκπεσὸν ἐκ τοῦ στελέ-
χους, ἐξέπεσεν εἰς τὸ ὕδωρ. καὶ ἀνεβόησεν ὦ κύριε. καὶ αὐτὸ κε-
χρυμμένον. καὶ εἶπεν ὁ ἄνθρωπος τοῦ θεοῦ ποῦ ἔπεσε. καὶ ἔδει-
ξεν αὐτῷ τὸν τόπον. καὶ ἀπέκνισε ξύλον καὶ ἔρριψεν αὐτὸ ἐκεῖ καὶ
ἐπεπόλασε τὸ σιδήριον. καὶ εἶπεν. ὕψωσόν σε αὐτῷ. καὶ ἐξέτει-
νε τὴν χεῖρα αὐτοῦ καὶ ἔλαβεν αὐτό. καὶ ὁ βασιλεὺς συρίας ἦν πο-
λεμῶν ἐν ἰσραήλ. καὶ ἐβουλεύσατο πρὸς τοὺς παῖδας αὐτοῦ λέ-
γων. εἰς τὸν τόπον τόνδε τινὰ ἐλμωνὶ παρεμβαλῶ. καὶ ἀπέστει-
λεν ἐλισαιὲ πρὸς τὸν βασιλέα ἰσραὴλ λέγων. φύλαξαι μὴ πα-
ρελθεῖν ἐν τῷ τόπῳ τούτῳ, ὅτι ἐκεῖ συρία κέκρυπται. καὶ ἀπέ-
στειλεν ὁ βασιλεὺς ἰσραὴλ εἰς τὸν τόπον ὃν εἶπεν αὐτῷ ἐλισαιὲ
καὶ ἐφυλάξατο ἐκεῖθεν οὐδὲ μίαν ἢ δύο. καὶ ἐξεκινήθη
ἡ ψυχὴ βασιλέως συρίας περὶ τοῦ λόγου τούτου, καὶ ἐκάλεσε

τοὺς παῖδας αὐτοῦ καὶ εἶπε πρὸς αὐτούς. οὐκ ἀπαγγελεῖτέ μοι προδίδωσί με βασιλεῖ ἰσραήλ, καὶ εἶπεν εἷς τῶν παίδων αὐτοῦ, οὐχὶ κύριέ μου βασιλεῦ. ὅτι προφήτης ἐλισαιὲ ὁ ἐν ἰσραὴλ ἀναγγέλλει τῷ βασιλεῖ ἰσραήλ, πάντας τοὺς λόγους οὓς ἐὰν λαλήσῃς ἐν τῷ ταμιείῳ τοῦ κοιτῶνός σου. καὶ εἶπε δεῦτε ἴδετε ποῦ αὐτός, καὶ ἀποστείλας, λήψομαι αὐτόν. καὶ ἀπήγγειλαν αὐτῷ λέγοντες ἰδοὺ ἐν δωθαΐμ. καὶ ἀπέστειλεν ἐκεῖ ἵππον καὶ ἅρμα καὶ δύναμιν βαρεῖαν. καὶ ἦλθον νυκτὸς καὶ περιεκύκλωσαν τὴν πόλιν. καὶ ὤρθρισεν ὁ λειτουργὸς ἐλισαιὲ ἀναστῆναι καὶ ἐξῆλθε. καὶ ἰδοὺ δύναμις κυκλοῦσα τὴν πόλιν. καὶ ἵπποι καὶ ἅρμα. καὶ εἶπε τὸ παιδάριον πρὸς αὐτόν. ὦ κύριε πῶς ποιήσωμεν καὶ εἶπεν ἐλισαιέ, μὴ φοβοῦ. ὅτι πλείους οἱ μεθ' ἡμῶν ὑπὲρ τοὺς μετ' αὐτῶν. καὶ προσηύξατο ἐλισαιὲ καὶ εἶπε κύριε. διάνοιξον δὴ τοὺς ὀφθαλμοὺς τοῦ παιδαρίου καὶ ἰδέτω. καὶ διήνοιξε κύριος τοὺς ὀφθαλμοὺς αὐτοῦ καὶ εἶδε. καὶ ἰδοὺ τὸ ὄρος πλῆρες ἵππων. καὶ ἅρμα πυρὸς περὶ κύκλῳ ἐλισαιὲ καὶ κατέβησαν πρὸς αὐτόν. καὶ προσηύξατο ἐλισαιὲ πρὸς κύριον καὶ εἶπε. πάταξον δὴ τὸ ἔθνος τοῦτο ἀορασίᾳ. καὶ ἐπάταξεν αὐτοὺς ἀορασίᾳ. κατὰ τὸ ῥῆμα ἐλισαιέ. καὶ εἶπε πρὸς αὐτοὺς ἐλισαιέ. οὐχὶ αὕτη ἡ πόλις καὶ οὐχ αὕτη ἡ ὁδός. δεῦτε ὀπίσω μου, καὶ ἀπάξω ὑμᾶς πρὸς τὸν ἄνδρα ὃν ζητεῖτε. καὶ ἀπήγαγεν αὐτοὺς εἰς σαμάρειαν. καὶ ἐγένετο ὡς εἰσῆλθον εἰς σαμάρειαν, καὶ εἶπεν ἐλισαιέ. ἄνοιξον δὴ κύριε τοὺς ὀφθαλμοὺς αὐτῶν καὶ ἰδέτωσαν. καὶ διήνοιξε κύριος τοὺς ὀφθαλμοὺς αὐτῶν καὶ εἶδον. καὶ ἰδοὺ ἦσαν ἐν μέσῳ σαμαρείας. καὶ εἶπεν ὁ βασιλεὺς ἰσραὴλ πρὸς ἐλισαιὲ ὡς εἶδεν αὐτούς. εἰ πατάξας πατάξω πάτερ. καὶ εἶπεν οὐ πατάξεις, εἰ μὴ οὓς ᾐχμαλώτευσας ἐν ῥομφαίᾳ σου καὶ τόξῳ σου σὺ τύπτεις. παράθες ἄρτους καὶ ὕδωρ. ἐνώπιον αὐτῶν. καὶ φαγέτωσαν καὶ πιέτωσαν, καὶ ἀπελθέτωσαν πρὸς τὸν κύριον αὐτῶν. καὶ παρέθηκεν αὐτοῖς παράθεσιν μεγάλην καὶ

ἔφαγον καὶ ἔπιον καὶ ἀπέστειλεν αὐτοὺς καὶ ἀπῆλθον πρὸς τὸν κύριον αὐτῶν, καὶ οὐ προσέθεντο ἔτι μονόζωνοι συρίας τοῦ ἐλθεῖν εἰς γῆν ἰσραήλ.

Κεφ. ϛ'. 7.

Καὶ ἐγένετο μετὰ ταῦτα. καὶ ἤθροισεν υἱὸς ἄ-
κ δερ βασιλεὺς συρίας, πᾶσαν τὴν παρεμβολὴν αὐ-
τοῦ. καὶ ἀνέβη καὶ περιεκάθισεν ἐπὶ σαμάρειαν. καὶ ἐγένετο λιμὸς μέγας ἐν σαμαρείᾳ. καὶ ἰδοὺ περιεκάθηντο ἐπ' αὐτήν, ἕως οὗ ἐγενήθη κεφαλὴ ὄνου, πεντήκοντα σίκλων ἀργυρίου. καὶ τέταρτον τοῦ κάβου κόπρου περιστερῶν πέντε σίκλων ἀργυρίου. καὶ ἦν ὁ βασιλεὺς ἰσραὴλ διαπορευόμενος ἐπὶ τοῦ τείχους. καὶ γυνὴ ἐβόησε πρὸς αὐτὸν λέγουσα. σῶσον κύριε βασιλεῦ. καὶ εἶπεν αὐτῇ, μή, σε σώσαι κύριος, πόθεν σώσω σε; μὴ, ἀπὸ τῆς ἅλωνος ἢ ἀπὸ τῆς ληνοῦ, καὶ εἶπεν αὐτῇ ὁ βασιλεύς. τί ἐστί σοι. καὶ εἶπεν ἡ γυνή. αὕτη εἶπε πρός με δὸς τὸν υἱόν σου καὶ φαγόμεθα αὐτὸν σήμερον. καὶ τὸν υἱόν μου αὔριον. καὶ ἠψήσαμεν τὸν υἱόν μου καὶ ἐφάγομεν αὐτόν. καὶ εἶπον πρὸς αὐτὴν τῇ ἡμέρᾳ τῇ δευτέρᾳ, δὸς τὸν υἱόν σου καὶ φάγωμεν αὐτόν, καὶ ἔκρυψεν τὸν υἱὸν αὐτῆς. καὶ ἐγένετο ὡς ἤκουσεν ὁ βασιλεὺς ἰσραὴλ τοὺς λόγους τῆς γυναικὸς, διέῤῥηξε τὰ ἱμάτια αὐτοῦ καὶ αὐτὸς διεπορεύετο ἐπὶ τοῦ τείχους. καὶ εἶδεν ὁ λαὸς τὸν σάκκον ἐπὶ τῆς σαρκὸς αὐτοῦ ἔσωθεν, καὶ εἶπεν ὁ βασιλεύς. τάδε ποιήσαι μοι ὁ θεὸς καὶ τάδε προσθείη. εἰ στήσεται ἡ κεφαλὴ ἐλισσαιὲ ἐπ' αὐτῷ σήμερον. καὶ ἐλισσαιὲ ἐκάθητο ἐν τῷ οἴκῳ αὐτοῦ. καὶ οἱ πρεσβύτεροι ἐκάθηντο μετ' αὐτοῦ. καὶ ἀπέστειλεν ἄνδρα πρὸ προσώπου αὐτοῦ. καὶ πρὶν ἐλθεῖν τὸν ἄγγελον πρὸς αὐτόν. καὶ αὐτὸς εἶπε πρὸς τοὺς πρεσβυτέρους. εἰ μὴ οἴδατε, ὅτι ἀπέστειλε ὁ υἱὸς τοῦ φονευτοῦ οὗτος ἀφελεῖν τὴν κεφαλήν μου; ἴδετε ὡς ἂν ἔλθῃ ὁ ἄγγελος, ἀποκλείσατε τὴν θύραν καὶ παραθλίψατε αὐτὸν ἐν τῇ θύρᾳ. οὐχὶ φωνὴ τῶν ποδῶν τοῦ κυρίου αὐτοῦ κατόπισθεν αὐτοῦ. ἔτι αὐτοῦ λαλοῦντος μετ' αὐτῶν. καὶ ἰδοὺ ὁ ἄγγελος

κατέβη πρὸς αὐτόν· καὶ εἶπεν· ἰδοὺ αὕτη ἡ κακία παρὰ κυρίου· τί ὑπομενῶ τῷ κυρίῳ ἔτι· καὶ εἶπεν ἐλισαιέ· ἄκουσον λόγον κυρίου· τάδε λέγει κύριος· ὡς ἡ ὥρα αὕτη αὔριον μέτρον σεμιδάλεως σίκλου· καὶ δίμετρον κριθῶν σίκλου ἐν ταῖς πύλαις σαμαρείας· καὶ ἀπεκρίθη ὁ τριστάτης ἐφ' ὃν ὁ βασιλεὺς ἐπανεπαύετο ἐπὶ τὴν χεῖρα αὐτοῦ πρὸς τὸν ἐλισαιὲ καὶ εἶπεν· ἰδοὺ ποιήσει κύριος καταῤῥάκτας ἐν οὐρανῷ· μὴ ἔσται τὸ ῥῆμα τοῦτο· καὶ ἐλισαιὲ εἶπεν· ἰδοὺ σὺ ὄψει τοῖς ὀφθαλμοῖς σου, καὶ ἐκεῖθεν οὐ φάγῃ· καὶ τέσσαρες ἄνδρες ἦσαν λεπροὶ παρὰ τὴν θύραν τῆς πόλεως· καὶ εἶπεν ἀνὴρ πρὸς τὸν πλησίον αὐτοῦ· τί ἡμεῖς καθήμεθα ὧδε ἕως ἀποθάνωμεν· ἐὰν εἴπωμεν εἰσέλθωμεν εἰς τὴν πόλιν, καὶ ὁ λιμὸς ἐν τῇ πόλει· καὶ ἀποθανούμεθα ἐκεῖ· καὶ ἐὰν καθίσωμεν ὧδε, καὶ ἀποθανούμεθα· καὶ νῦν δεῦτε καὶ ἐμπέσωμεν εἰς τὴν παρεμβολὴν συρίας· ἐὰν ζωογονήσωσιν ἡμᾶς, καὶ ζησόμεθα· καὶ ἐὰν θανατώσωσιν ἡμᾶς καὶ ἀποθανούμεθα· καὶ ἀνέστησαν ἐν τῷ σκότει εἰσελθεῖν εἰς τὴν παρεμβολὴν συρίας· καὶ εἰσῆλθον εἰς μέσον παρεμβολῆς συρίας· καὶ ἰδοὺ οὐκ ἔστιν ἀνὴρ ἐκεῖ· καὶ κύριος ἀκουστὴν ἐποίησε παρεμβολῇ συρίας φωνὴν ἅρματος καὶ φωνὴν ἵππου· καὶ φωνὴν δυνάμεως μεγάλης· καὶ εἶπεν ἀνὴρ πρὸς τὸν ἀδελφὸν αὐτοῦ· νῦν ἐμισθώσατο ἐφ' ἡμᾶς ἰσραὴλ τοὺς βασιλεῖς τῶν χετταίων, καὶ τοὺς βασιλεῖς αἰγύπτου τοῦ ἐλθεῖν ἐφ' ἡμᾶς· καὶ ἀνέστησαν καὶ ἀπέδρασαν ἐν τῷ σκότει· καὶ ἐγκατέλιπον τὰς σκηνὰς αὐτῶν καὶ τοὺς ἵππους αὐτῶν καὶ τοὺς ὄνους αὐτ ὡς ἔστιν ἐν τῇ παρεμβολῇ ὡς ἦσαν, καὶ ἔφυγον πρὸς τὴν ψυχὴν ἑαυτῶν, καὶ εἰσῆλθον οἱ λεπροὶ οὗτοι ἕως μέρους τῆς παρεμβολῆς· καὶ εἰσῆλθον εἰς σκηνὴν μίαν, καὶ ἔφαγον, καὶ ἔπιον· καὶ ἦραν ἐκεῖθεν ἀργύριον καὶ χρυσίον καὶ ἱματισμόν· καὶ ἐπορεύθησαν καὶ ἐπέστρεψαν καὶ εἰσῆλθον εἰς σκηνὴν ἄλλην, καὶ ἔλαβον ἐκεῖθεν καὶ ἐπορεύθησαν καὶ κατέκρυψαν· καὶ εἶπεν ἀνὴρ πρὸς τὸν πλησίον αὐτοῦ· οὐχ οὕτως ἡμεῖς ποιοῦμεν· ἡ ἡμέρα αὕτη

ἡμέρα εὐαγγελίας ἐστί. καὶ ἡμεῖς σιωπῶμεν καὶ μένομεν ἕως
φωτὸς τοῦ πρωΐ, καὶ εὑρήσομεν ἀνομίαν. καὶ νῦν δεῦρο καὶ εἰ-
σέλθωμεν καὶ ἀναγγείλωμεν εἰς τὸν οἶκον τοῦ βασιλέως. καὶ εἰ-
σῆλθον καὶ ἐβόησαν πρὸς τὴν πύλην τῆς πόλεως, καὶ ἀνήγγειλαν
αὐτοῖς λέγοντες. εἰσήλθομεν εἰς τὴν παρεμβολὴν συρίας. καὶ
ἰδοὺ οὐκ ἔστιν ἐκεῖ ἀνὴρ καὶ φωνὴ ἀνθρώπου. ὅτι εἰ μὴ ἵππος δε-
δεμένος καὶ ὄνος καὶ αἱ σκηναὶ αὐτῶν ὡς εἰσί. καὶ ἐβόησαν οἱ
θυρωροί. καὶ ἀνήγγειλαν εἰς τὸν οἶκον τοῦ βασιλέως. καὶ ἀνέστη ὁ βα-
σιλεὺς νυκτὸς, καὶ εἶπε τοῖς παισὶν αὐτοῦ ἀναγγελῶ δὴ ὑμῖν
ἃ ἐποίησεν ἡμῖν συρία. ἔγνωσαν ὅτι πεινῶμεν ἡμεῖς, καὶ ἐξῆλ-
θον ἐκ τῆς παρεμβολῆς καὶ ἐκρύβησαν ἐν τῷ ἀγρῷ λέγοντες, ὅ-
τι ἐξελεύσονται ἐκ τῆς πόλεως, καὶ συλληψόμεθα αὐτοὺς ζῶν-
τας, καὶ εἰς τὴν πόλιν εἰσελευσόμεθα. καὶ ἀποκριθεὶς εἷς τῶν
παίδων αὐτοῦ εἶπε λαβέτωσαν δὴ πέντε τῶν ἵππων τῶν ὑπο-
λελειμμένων οἳ κατελείφθησαν ὧδε. ἰδού εἰσι πρὸς πᾶν τὸ πλῆ-
θος ἰσραὴλ τὸ ἐκλεῖπον καὶ ἀποστελοῦμεν ἐκεῖ καὶ ὀψόμεθα.
καὶ ἔλαβον δύο ἐπιβάτας ἵππων. καὶ ἀπέστειλεν ὁ βασιλεὺς ἰ-
σραὴλ ὀπίσω τοῦ βασιλέως συρίας λέγων. δεῦτε. καὶ ἴδετε.
καὶ ἐπορεύθησαν ὀπίσω αὐτῶν ἕως τοῦ ἰορδάνου, καὶ ἰδοὺ πᾶσα
ἡ ὁδὸς πλήρης ἱματίων καὶ σκευῶν ὧν ἔρριψε συρία ἐν τῷ θαμ-
βεῖσθαι αὐτούς. καὶ ἀπέστρεψαν οἱ ἄγγελοι καὶ ἀνήγγειλαν τῷ βασιλεῖ
ἰσραὴλ, καὶ ἐξῆλθεν ὁ λαὸς καὶ διήρπασαν τὴν πᾶσαν παρεμ-
βολὴν συρίας. καὶ ἐγένετο μέτρον σεμιδάλεως σίκλου. καὶ δί-
μετρον κριθῶν σίκλου, κατὰ τὸ ῥῆμα κυρίου. καὶ ὁ βασιλεὺς κατέστη-
σε τὸν τριστάτην ἐφ' ὃν ὁ βασιλεὺς ἐπανεπαύετο ἐπὶ τῇ χειρὶ αὐ-
τοῦ ἐπὶ τῆς πύλης. καὶ συνεπάτησεν αὐτὸν ὁ λαὸς ἐπὶ τῆς πύλης, καὶ
ἀπέθανε καθὰ ἐλάλησεν ὁ ἄνθρωπος τοῦ θεοῦ ὃς ἐλάλησεν ἐν τῷ
καταβῆναι τὸν ἄγγελον πρὸς αὐτόν. καὶ ἐγένετο καθὰ ἐλάλησεν ἐ-
λισαιὲ πρὸς τὸν βασιλέα λέγων. δίμετρον κριθῆς σίκλου καὶ
μέτρον σεμιδάλεως σίκλου, καὶ ἔσται ὡς ἡ ὥρα αὕτη αὔριον ἐν τῇ

πύλῃ σαμαρείας. καὶ ἀπεκρίθη ὁ τριστάτης τῷ ἐλισσαιὲ καὶ εἶ-
πεν. ἰδοὺ κύριος ποιεῖ καταῤῥάκτας ἐν τῷ οὐρανῷ. μὴ ἔσται
τὸ ῥῆμα τοῦτο; καὶ εἶπεν ἐλισσαιέ. ἰδοὺ ὄψει τοῖς ὀφθαλμοῖς σου
καὶ ἐκεῖθεν οὐ φαγῇ. καὶ ἐγένετο οὕτως καὶ συνεπάτησεν αὐτὸν
ὁ λαὸς ἐν τῇ πύλῃ καὶ ἀπέθανε.

Κεφάλαιον η. ς.

Αἰ ἐλισσαιὲ ἐλάλησε πρὸς τὴν γυναῖκα ἧς ἐζωοπύ-
κ ρησε τὸν υἱὸν λέγων. ἀνάστηθι καὶ δεῦρο σὺ καὶ ὁ οἶ-
κός σου, καὶ παροίκει οὗ ἐὰν παροικήσῃς. ὅτι κέ-
κληκε κύριος λιμὸν ἐπὶ τὴν γῆν. καί γε ἦλθεν ἐπὶ τὴν γῆν, ἑπτὰ ἔτη
καὶ ἀνέστη ἡ γυνὴ καὶ ἐποίησε κατὰ τὸ ῥῆμα ἐλισσαιὲ, καὶ αὐτὴ
καὶ ὁ οἶκος αὐτῆς. καὶ παρῴκει ἐν γῇ ἀλλοφύλων ἑπτὰ ἔτη. καὶ
ἐγένετο μετὰ τὸ τέλος τῶν ἑπτὰ ἐτῶν καὶ ἐπέστρεψεν ἡ γυνὴ
ἐκ τῶν ἀλλοφύλων εἰς τὴν πόλιν καὶ ἦλθε βοῆσαι πρὸς τὸν βα-
σιλέα περὶ τοῦ οἴκου αὐτῆς, καὶ περὶ τῶν ἀγρῶν αὐτῆς. καὶ ὁ βα-
σιλεὺς ἐλάλει πρὸς γιεζεὶ τὸ παιδάριον ἐλισσαιὲ τοῦ ἀνθρώπου
τοῦ θεοῦ λέγων. διήγησαι δή μοι πάντα τὰ μεγάλα ἃ ἐποίη-
σεν ἐλισσαιέ. καὶ ἐγένετο αὐτοῦ ἐξηγουμένου τῷ βασιλεῖ ὡς ἐζω-
πύρησεν υἱὸν τεθνηκότα καὶ ἰδοὺ ἡ γυνὴ ἧς ἐζωπύρησε τὸν υἱὸν
αὐτῆς ἐλισσαιὲ βοῶσα πρὸς τὸν βασιλέα περὶ τοῦ οἴκου αὐτῆς καὶ
περὶ τῶν ἀγρῶν αὐτῆς καὶ εἶπε γιεζεὶ, κύριε βασιλεῦ. αὕτη ἡ γυνὴ καὶ
οὗτος ὁ υἱὸς αὐτῆς ὃν ἐζωπύρησεν ἐλισσαιέ. καὶ ἐπηρώτησεν ὁ βασι-
λεὺς τὴν γυναῖκα. καὶ διηγήσατο αὐτῷ. καὶ ἔδωκεν αὐτῇ ὁ βασι-
λεὺς εὐνοῦχον ἕνα λέγων. ἐπίστρεψον πάντα τὰ αὐτῆς, καὶ πάντα
τὰ γεννήματα τοῦ ἀγροῦ αὐτῆς ἀπὸ τῆς ἡμέρας ἧς κατέλιπε τὴν
γῆν, ἕως τοῦ νῦν. καὶ ἦλθεν ἐλισσαιὲ εἰς δαμασκόν. καὶ υἱὸς
ἄδερ βασιλεὺς συρίας, ἠῤῥώστει. καὶ ἀνήγγειλαν αὐτῷ λέγοντες.
ἥκει ὁ ἄνθρωπος τοῦ θεοῦ ἕως ὧδε. καὶ εἶπεν ὁ βασιλεὺς πρὸς ἀζαὴλ
λάβε ἐν τῇ χειρί σου μαναὰ, καὶ δεῦρο εἰς ἀπάντησιν τοῦ ἀνθρώπου
τοῦ θεοῦ. καὶ ἐπιζήτησον τὸν κύριον δι' αὐτοῦ λέγων εἰ ζήσομαι ἐκ

τῆς ἀῤῥωστείας μου ταύτης. καὶ ἐπορεύθη ἀζαὴλ εἰς ἀπάντησιν
αὐτοῦ. καὶ ἔλαβε μαναὰ ἐν τῇ χειρὶ αὐτοῦ. καὶ πάντα τὰ ἀγα
θὰ δαμασκοῦ ἄρσιν τεσσαράκοντα καμήλων. καὶ ἦλθε καὶ ἔστη ἐ
νώπιον αὐτοῦ. καὶ εἶπε πρὸς ἐλισσαιέ. ὁ υἱός σου υἱὸς ἀδὲρ βασι
λεὺς συρίας, ἀπέστειλέ με πρὸς σὲ λέγων. εἰ ζήσομαι ἐκ τῆς ἀῤ
ῥωστείας μου ταύτης. καὶ εἶπε πρὸς αὐτὸν ἐλισσαιέ. δεῦρο εἰπὸν
αὐτῷ, ζωῇ ζήσῃ. καὶ ἔδειξέ μοι κύριος ὅτι θανάτῳ ἀποθανῇ.
καὶ παρέστη τῷ προσώπῳ αὐτοῦ καὶ ἐκείνου τὰ δῶρα ἕως οὗ
ἐσάπρισαν καὶ ἔθηκεν ἕως αἰσχύνης. καὶ ἔκλαυσεν ὁ ἄνθρωπος
τοῦ θεοῦ. καὶ εἶπεν ἀζαήλ. τί, ὅτι ὁ κύριός μου κλαίει. καὶ εἶπεν.
οἶδα ὅσα ποιήσεις τοῖς υἱοῖς ἰσραὴλ κακά. τὰ ὀχυρώματα αὐ
τῶν, ἐξαποστελεῖς ἐν πυρί. καὶ τοὺς ἐκλεκτοὺς αὐτῶν, ἐν ῥομφαίᾳ
ἀποκτενεῖς. καὶ τὰ νήπια αὐτῶν ἐνσείσεις. καὶ τὰς ἐν γαστρὶ ἐχούσας
αὐτῶν ἀναῤῥήξεις. καὶ εἶπεν ἀζαήλ. τίς ἐστιν ὁ δοῦλός σου ὁ κύων
ὁ τεθνηκὼς ὅτι ποιήσει τὸ ῥῆμα τοῦτο; καὶ εἶπεν ἐλισσαιέ. ἔδει
ξέ μοι κύριος σὲ βασιλεύοντα ἐπὶ συρίαν. καὶ ἀπῆλθεν ἀπὸ
ἐλισσαιέ. καὶ εἰσῆλθε πρὸς τὸν κύριον αὐτοῦ, καὶ εἶπεν αὐτῷ.
τί εἶπέν σοι ἐλισσαιέ. καὶ εἶπεν εἴρηκέ μοι ἐλισσαιέ, ζωῇ ζήσῃ.
καὶ ἐγένετο τῇ ἐπαύριον καὶ ἔλαβε τὸ μαχβὰρ καὶ ἔβαψεν ἐν
τῷ ὕδατι καὶ περιέβαλεν ἐπὶ τὸ πρόσωπον αὐτοῦ, καὶ ἀπέθανε.
καὶ ἐβασίλευσεν ἀζαὴλ ἀντ' αὐτοῦ. ἐν ἔτει πέμπτῳ ἱεροβοὰμ υἱῷ
ἀχαὰβ βασιλεῖ ἰσραήλ. ἐβασίλευσεν ἰωρὰμ υἱὸς ἰωσαφὰτ βα
σιλέως ἰούδα, υἱὸς τριάκοντα καὶ δύο ἐτῶν ἦν ἐν τῷ βασιλεύ
ειν αὐτόν. καὶ ὀκτὼ ἔτη ἐβασίλευσεν ἐν ἱερουσαλήμ. καὶ ἐπορεύ
θη ἐν ὁδῷ βασιλέων ἰσραὴλ, καθὼς ἐποίησεν οἶκος ἀχαάβ, ὅτι
θυγάτηρ ἀχαὰβ ἦν αὐτῷ εἰς γυναῖκα. καὶ ἐποίησε τὸ πονηρὸν
ἐνώπιον κυρίου. καὶ οὐκ ἠθέλησε κύριος διαφθεῖραι τὸν ἰούδαν
διὰ δαβὶδ τὸν δοῦλον αὐτοῦ. καθὼς εἶπε δοῦναι αὐτῷ λύ
χνον καὶ τοῖς υἱοῖς αὐτοῦ πάσας τὰς ἡμέρας. Ἐν ταῖς ἡμέραις
αὐτοῦ, ἠθέτησεν ἐδὼμ ὑποκάτωθεν χειρὸς ἰούδα. καὶ ἐβα-

σίλευσαν ἐφ' ἑαυτοῦ βασιλέα. καὶ ἀνέβη ἰωρὰμ εἰς σιὼρ καὶ
πάντα τὰ ἅρματα τὰ μετ' αὐτοῦ. καὶ ἐγένετο αὐτοῦ ἀναστάν-
τος. καὶ ἐπάταξεν ἐδὼμ τὸν κυκλώσαντα αὐτὸν, καὶ τοὺς ἄρ-
χοντας τῶν ἁρμάτων. καὶ ἔφυγεν ὁ λαὸς εἰς τὰ σκηνώματα
αὐτῶν. καὶ ἠθέτησεν ἐδὼμ ὑπὸ κάτωθεν χειρὸς ἰούδα ἕως τῆς
ἡμέρας ταύτης. τότε ἠθέτησεν λασβανὰ ἐν τῷ καιρῷ ἐκείνῳ.
καὶ τὰ λοιπὰ τῶν λόγων ἰωρὰμ καὶ πάντα ὅσα ἐποίησεν, οὐκ ἰ-
δοὺ γέγραπται ἐν βιβλίῳ λόγων τῶν ἡμερῶν τοῖς βασιλεῦσιν
ἰούδα. καὶ ἐκοιμήθη ἰωρὰμ μετὰ τῶν πατέρων αὐτοῦ. καὶ ἐτά-
φη μετὰ τῶν πατέρων αὐτοῦ ἐν πόλει δαβὶδ τοῦ πατρὸς αὐτοῦ.
καὶ ἐβασίλευσεν ὀχοζίας υἱὸς αὐτοῦ ἀντ' αὐτοῦ. ἐν ἔτει δωδε-
κάτῳ ἰωρὰμ υἱῷ ἀχαὰβ βασιλεῖ ἰσραὴλ ἐβασίλευσεν ὀχοζί-
ας υἱὸς ἰωράμ. εἴκοσι καὶ δύο ἐτῶν ὀχοζίας ἐν τῷ βασιλεύ-
ειν αὐτόν. καὶ ἐνιαυτὸν ἐβασίλευσεν ἐν ἱερουσαλήμ. καὶ ὄνο-
μα τῆς μητρὸς αὐτοῦ γοθολία. θυγάτηρ ζαμβρὶ βασιλέως ἰσρα-
ὴλ καὶ ἐπορεύθη ἐν ὁδῷ οἴκου ἀχαάβ. καὶ ἐποίησε τὸ πονηρὸν
ἐνώπιον κυρίου καθὼς ὁ οἶκος ἀχαάβ. γαμβρὸς γὰρ οἴκου ἀχα-
άβ ἐστὶν καὶ ἐπορεύθη μετὰ ἰωρὰμ υἱοῦ ἀχαάβ, εἰς πόλεμον με-
τὰ ἀζαὴλ βασιλέως ἀλλοφύλων ἐν ῥαμὰθ τῇ γαλαὰδ καὶ ἐπάτα-
ξαν οἱ σύροι ἰωράμ. καὶ ἀπέστρεψεν ὁ βασιλεὺς ἰωρὰμ τοῦ ἰα-
τρευθῆναι ἐν ἰεζραὴλ. ἀπὸ τῶν πληγῶν ὧν ἐπάταξαν αὐτὸν ἐν
ῥαμὼθ ἐν τῷ πολεμεῖν αὐτὸν μετὰ ἀζαὴλ βασιλέως συρίας καὶ
ὀχοζίας υἱὸς ἰωρὰμ βασιλεὺς ἰούδα κατέβη τοῦ ἰδεῖν τὸν ἰωρὰμ
υἱὸν ἀχαὰβ ἐν ἰεζὰρ, ὅτι ἠῤῥώστει αὐτός.

Κεφάλαιον. θ. 9.

κ Αἱ ἐλισσαιὲ ὁ προφήτης ἐκάλεσεν ἕνα τῶν υἱῶν
τῶν προφητῶν. καὶ εἶπεν αὐτῷ ζῶσαι τὴν ὀσφύν σου
καὶ λάβε τὸν φακὸν τοῦ ἐλαίου τούτου. ἐν τῇ χειρί σου καὶ δεῦρο εἰς
ῥεμὼθ γαλαάδ. καὶ εἰσελεύσῃ ἐκεῖ καὶ ὄψει ἐκεῖ υἱὸν ἰηοῦ ἰωσαφὰτ
υἱὸν ναμεσί. καὶ εἰσελεύσῃ καὶ ἀναστήσεις αὐτὸν ἐκ μέσου τῶν ἀ-

ἀδελφῶν αὐτοῦ. καὶ εἰσάξεις αὐτὸν εἰς τὸ ταμιεῖον. καὶ λήψῃ τὸν φακὸν τοῦ ἐλαίου καὶ ἐπιχεεῖς ἐπὶ τὴν κεφαλὴν αὐτοῦ. καὶ εἶπον τάδε λέγει κύριος ὁ θεὸς ἰσραὴλ κέχρικά σε εἰς βασιλέα ἐπὶ ἰσραήλ. καὶ ἀνοίξεις τὴν θύραν καὶ φεύξῃ καὶ οὐ μενεῖς. καὶ ἐπορεύθη τὸ παιδάριον ὁ προφήτης εἰς ῥαμὼθ γαλαάδ. καὶ εἰσῆλθε καὶ ἰδοὺ οἱ ἄρχοντες τῆς δυνάμεως ἐκάθηντο, καὶ εἶπε. λόγος μοι πρός σε ὁ ἄρχων. καὶ εἶπεν ἰηοὺ πρὸς τίνα ἐκ πάντων ἡμῶν, καὶ εἶπε πρός σε ὁ ἄρχων, καὶ ἀνέστη, καὶ εἰσῆλθεν εἰς τὸν οἶκον, καὶ ἐπέχεεν τὸ ἔλαιον ἐπὶ τὴν κεφαλὴν αὐτοῦ, καὶ εἶπεν αὐτῷ, τάδε λέγει κύριος ὁ θεὸς ἰσραὴλ κέχρικά σε εἰς βασιλέα ἐπὶ λαὸν κυρίου ἐπὶ τὸν ἰσραήλ. καὶ ἐξολοθρεύσεις τὸν οἶκον ἀχαὰβ τοῦ κυρίου σου ἐκ προσώπου μου καὶ ἐκδικήσεις τὰ αἵματα τῶν δούλων μου τῶν προφητῶν καὶ τὰ αἵματα πάντων τῶν δούλων κυρίου ἐκ χειρὸς ἰεζάβελ καὶ ἐκ χειρὸς ὅλου τοῦ οἴκου ἀχαάβ. καὶ ἐξολοθρεύσεις τοῦ οἴκου ἀχαὰβ οὐροῦντα πρὸς τοῖχον. καὶ συνεχόμενον, καὶ ἐγκαταλελειμμένον ἐν ἰσραήλ. καὶ δώσω τὸν οἶκον ἀχαάβ, ὡς τὸν οἶκον ἰεροβοὰμ υἱοῦ ναβάτ. καὶ ὡς τὸν οἶκον βαασὰ υἱοῦ ἀχιά. καὶ τὴν ἰεζάβελ καταφάγονται οἱ κύνες ἐν τῇ μερίδι ἰεζραὴλ καὶ οὐκ ἔστιν ὁ θάπτων. καὶ ἤνοιξε τὴν θύραν, καὶ ἔφυγεν καὶ ἰηοὺ ἐξῆλθε πρὸς τοὺς παῖδας τοῦ κυρίου αὐτοῦ. καὶ εἶπαν αὐτῷ εἰρήνη. τί ὅτι εἰσῆλθεν ὁ ἐπίληπτος οὗτος πρὸς σέ. καὶ εἶπεν αὐτοῖς. ὑμεῖς οἴδατε τὸν ἄνδρα, καὶ τὴν ἀδολεσχίαν αὐτοῦ. καὶ εἶπεν. ἄδικον εἰ οὐκ ἀπαγγελεῖς ἀπάγγειλον δὴ ἡμῖν. καὶ εἶπεν ἰηοὺ πρὸς αὐτούς. οὕτω καὶ οὕτως ἐλάλησε πρός με λέγων. τάδε λέγει κύριος. κέχρικά σε εἰς βασιλέα ἐπὶ ἰσραήλ. καὶ ἀκούσαντες ἔσπευσαν, καὶ ἔλαβον ἕκαστος τὸ ἱμάτιον αὐτοῦ, καὶ ἔθηκαν ὑπὸ κάτω αὐτοῦ. ἐπὶ γὰρ ἕνα τῶν ἀναβαθμῶν ἐκάθητο. καὶ ἐσάλπισαν ἐν κερατίνῃ, καὶ εἶπαν. ἐβασίλευσεν ἰηοῦ καὶ συνεστράφη ἰηοῦ υἱὸς ἰωσαφὰτ υἱοῦ ναμεσσὶ πρὸς ἰω-

ραὰμ. καὶ ἰωρὰμ αὐτὸς ἐφύλασσεν ἐν ῥαμὼθ γαλαάδ. αὐτὸς
καὶ πᾶς ἰσραὴλ ἀπὸ προσώπου ἀζαὴλ βασιλέως συρίας. καὶ
ἀπέστρεψεν ἰωρὰμ ὁ βασιλεὺς ἰατρευθῆναι ἐν ἱερουσαλήμ, ἀ-
πὸ τῶν πληγῶν ὧν ἔπαισαν αὐτὸν οἱ σύροι ἐν τῷ πολεμεῖν αὐ-
τοὺς μετὰ ἀζαὴλ βασιλέως συρίας. καὶ εἶπεν ἰηού. εἰ ἔστι ψυ-
χὴ ὑμῶν μετ' ἐμοῦ, μὴ ἐξελθέτω ἐκ τῆς πόλεως διαπεφευ-
γὼς τοῦ πορευθῆναι, καὶ ἀπαγγέλλαι ἐν ἰεζράελ. καὶ ἵππευ-
σεν καὶ ἐπορεύθη ἰηοῦ, καὶ κατέβη εἰς ἰεζραέλ. ὅτι ἰωρὰμ βα-
σιλεὺς ἰσραὴλ ἐθεραπεύετο ἐν ἰεζραὲλ ἀπὸ τῶν τοξευμάτων
ὧν κατετόξευσαν αὐτὸν οἱ ῥαμαεὶμ ἐν τῇ ῥαμμὰθ ἐν τῷ πο-
λέμῳ μετὰ ἀζαὴλ βασιλέως συρίας. ὅτι αὐτὸς δυνατὸς καὶ ἀ-
νὴρ δυνάμεως ἐκοιμήθη ἐκεῖ. καὶ ὀχοζίας βασιλεὺς ἰούδα. κα-
τέβη ἰδεῖν τὸν ἰωράμ. καὶ ὁ σκοπὸς ἀνέβη ἐπὶ τὸν πύργον ἐν ἰεζρά-
ελ. καὶ εἶδε τὸν κονιορτὸν ἰηοὺ ἐν τῷ παραγίνεσθαι αὐτὸν καὶ εἶ-
πε. κονιορτὸν ἐγὼ βλέπω, καὶ εἶπεν ἰωράμ. λαβὲ ἐπιβάτην
καὶ ἀπόστειλον ἔμπροσθεν αὐτῶν καὶ εἰπάτω εἰρήνη καὶ ἐπο-
ρεύθη ἐπιβάτης ἵππου. εἰς ἀπάντησιν αὐτοῦ καὶ εἶπε. τάδε λέ-
γει ὁ βασιλεύς, εἰ εἰρήνη. καὶ εἶπεν ἰηού. τί σοι καὶ εἰρήνη. ἐ-
πίστρεφε εἰς τὰ ὀπίσω μου. καὶ ἀπήγγειλεν ὁ σκοπὸς λέγων.
ἦλθεν ὁ ἄγγελος ἕως αὐτῶν καὶ οὐκ ἀνέστρεψεν. καὶ ἀπέστει-
λεν ἐπιβάτην ἵππου δεύτερον, καὶ ἦλθε πρὸς αὐτὸν καὶ εἶπεν
τάδε λέγει ὁ βασιλεύς, εἰ εἰρήνη, καὶ εἶπεν ἰηοῦ, τί σοι καὶ εἰ-
ρήνη, ἐπίστρεφε εἰς τὰ ὀπίσω μου, καὶ ἀπήγγειλεν ὁ σκοπὸς
λέγων ἦλθεν ἕως αὐτῶν καὶ οὐκ ἀνέστρεψεν καὶ ὁ ἄγων ἦγε
τὸν ἰηοὺ υἱὸν ναμεσσί, ὅτι ἐν παραλλαγῇ ἐγένετο. καὶ εἶπεν ἰω-
ράμ. ζεῦξον. καὶ ἔζευξεν ἅρμα. καὶ ἐξῆλθεν βασιλεὺς ἰσραήλ,
καὶ ὀχοζίας βασιλεὺς ἰούδα ἀνὴρ ἐν τῷ ἅρματι αὐτοῦ, καὶ ἐ-
ξῆλθον εἰς ἀπάντησιν ἰηού. καὶ εὗρον αὐτὸν ἐν τῇ μερίδι ναβου-
θαὶ τοῦ ἰσραηλίτου. καὶ ἐγένετο, ὡς εἶδεν ἰωρὰμ τὸν ἰηού, καὶ εἶ-
πεν, εἰ εἰρήνη ἰηού. καὶ εἶπεν ἰηού. τί σοι καὶ εἰρήνη. ἔτι αἱ πορ-

νεῖαι ἰεζάβελ τῆς μητρός σου, καὶ τὰ φάρμακα αὐτῆς τὰ πολ-
λά, καὶ ἐπέστρεψεν ἰωρὰμ τὰς χεῖρας αὐτοῦ τοῦ φυγεῖν. καὶ εἶ-
πε πρὸς ὀχοζίαν. δόλος ὀχοζία. καὶ ἔπλησεν ἰηοὺ τὴν χεῖρα
αὐτοῦ ἐν τῷ τόξῳ. καὶ ἐπάταξεν τὸν ἰωρὰμ ἀνὰ μέσον τῶν
βραχιόνων αὐτοῦ. καὶ ἐξῆλθε τὸ βέλος διὰ τῆς καρδίας αὐ-
τοῦ, καὶ ἔκαμψεν ἐπὶ τὰ γόνατα αὐτοῦ. καὶ εἶπεν ἰηοὺ πρὸς βα-
δεκὰρ τὸν τριστάτην αὐτοῦ. ἆρον καὶ ῥίψον αὐτὸν ἐν τῇ μερίδι
τοῦ ἀγροῦ ναβουθαὶ τοῦ ἰσραηλίτου. ὅτι μνημονεύω ἐγώ, καὶ σὺ
ἐπιβεβηκότων ἐπὶ ζεύγη ὀπίσω ἀχαὰβ τοῦ πατρὸς αὐτοῦ. καὶ
κύριος ἐλάλησεν ἐπ' αὐτὸν τὸ λῆμμα τοῦτο λέγων. εἰ μὴ με-
τὰ τῶν αἱμάτων ναβουθαί, καὶ τὰ αἵματα τῶν υἱῶν αὐτοῦ εἶ-
δον, ἐχθὲς φησὶ κύριος. καὶ ἀνταποδώσω αὐτῷ ἐν τῇ μερίδι
ταύτῃ φησὶ κύριος. καὶ νῦν ἄρας δὴ ῥίψον αὐτὸν ἐν τῇ μερίδι
κατὰ τὸ ῥῆμα κυρίου, καὶ ὀχοζίας βασιλεὺς ἰούδα εἶδε καὶ ἔφυγεν
ὁδὸν βαιθγάν. καὶ ἐδίωξεν ὀπίσω αὐτοῦ ἰηοὺ καὶ εἶπε καί γε αὐ-
τόν. καὶ ἐπάταξεν αὐτὸν ἐν τῷ ἅρματι ἐν τῷ ἀναβαίνειν γαὶ ἥ
ἐστιν ἰεβλαάμ. καὶ ἔφυγεν εἰς μαγεδδώ, καὶ ἀπέθανεν ἐκεῖ. καὶ ἐ-
πεβίβασαν αὐτὸν οἱ παῖδες αὐτοῦ ἐπὶ τὸ ἅρμα, καὶ ἤγαγον αὐτὸν
εἰς ἱερουσαλήμ, καὶ ἔθαψαν αὐτὸν ἐν τῷ τάφῳ αὐτοῦ ἐν πό-
λει δαβίδ. καὶ ἐν ἔτει ἑνδεκάτῳ ἰωρὰμ βασιλέως ἰσραήλ, ἐβα-
σίλευσεν ὀχοζίας ἐπὶ ἰούδαν. καὶ ἦλθεν ἰηοὺ εἰς ἰεζράελ. καὶ ἰε-
ζάβελ ἤκουσε καὶ ἐστιβίσατο τοὺς ὀφθαλμοὺς αὐτῆς, καὶ ἐκόσμη-
σε τὴν κεφαλὴν αὐτῆς, καὶ διέκυψε διὰ τῆς θυρίδος, καὶ ἰηοὺ
εἰσεπορεύετο ἐν τῇ πόλει, καὶ εἶπεν εἰ εἰρήνη ζαμβρὶ ὁ φονευτὴς
τοῦ κυρίου αὐτοῦ. καὶ ἐπῆρεν τὸ πρόσωπον αὐτοῦ εἰς τὴν θυ-
ρίδα, καὶ εἶδεν αὐτὴν καὶ εἶπε. τίς εἶ σύ, κατάβηθι μετ' ἐμοῦ.
κατέκυψαν πρὸς αὐτὸν δύο εὐνοῦχοι. καὶ εἶπε. κυλίσατε αὐτήν.
καὶ ἐκύλισαν αὐτήν. καὶ ἐρραντίσθη τοῦ αἵματος ἑαυτῆς πρὸς τὸν τοῖ-
χον, καὶ πρὸς τοὺς ἵππους, καὶ συνεπάτησαν αὐτήν. καὶ εἰσῆλ-
θεν ἰηού, καὶ ἔφαγε καὶ ἔπιε καὶ εἶπεν, ἐπισκέψασθαι δὴ τὴν

κατηραμένην ταύτην, καὶ θάψατε αὐτήν, ὅτι θυγάτηρ βασιλέ-
ως ἐστί, καὶ ἐπορεύθησαν θάψαι αὐτήν. καὶ οὐχ εὑρέθη ἐν αὐτῇ
ἄλλο τι, ἢ τὸ κρανίον, καὶ τὰ ἴχνη τῶν χειρῶν, καὶ οἱ πόδες. καὶ
ἐπέστρεψαν καὶ ἀνήγγειλαν αὐτῷ. καὶ εἶπε, λόγος κυρίου ὃν
ἐλάλησεν ἐν χειρὶ δούλου αὐτοῦ ἠλιοῦ τοῦ θεσβίτου λέγων·
ἐν τῇ μερίδι ἰεζραὲλ καταφάγονται οἱ κύνες τὰς σάρκας ἰεζρά-
ελ. καὶ ἔσται τὸ θνησιμαῖον ἰεζάβελ, ὡς κοπρία ἐπὶ προσώπου τοῦ
ἀγροῦ ἐν τῇ μερίδι ἰεζραὲλ. ὥστε μὴ εἰπεῖν αὐτοὺς ἰεζάβελ.

Κεφάλαιον ί. 10.

Καὶ τῷ ἀχαὰβ ἑβδομήκοντα υἱοὶ ἐν σαμαρείᾳ. καὶ
ἔγραψεν ἰηοῦ βιβλίον, καὶ ἀπέστειλεν ἐν σαμαρείᾳ πρὸς
τοὺς ἄρχοντας σαμαρείας· πρὸς τοὺς πρεσβυτέρους, καὶ πρὸς τοὺς
τιθηνοὺς τῶν υἱῶν ἀχαὰβ λέγων. καὶ νῦν, ὡς ἂν ἔλθῃ τὸ βιβλίον
τοῦτο πρὸς ὑμᾶς· μεθ' ὑμῶν οἱ υἱοὶ τοῦ κυρίου ὑμῶν, καὶ μεθ' ὑ-
μῶν τὸ ἅρμα καὶ οἱ ἵπποι· καὶ πόλεις ὀχυραί, καὶ τὰ ὅπλα. καὶ ὄ-
ψεσθε τὸν ἀγαθὸν καὶ τὸν εὐθῆ ἐν τοῖς υἱοῖς τοῦ κυρίου ὑμῶν. καὶ κα-
ταστήσατε αὐτὸν ἐπὶ τὸν θρόνον τοῦ πατρὸς αὐτοῦ. καὶ πολεμεῖτε
ὑπὲρ τοῦ οἴκου τοῦ κυρίου ὑμῶν. καὶ ἐφοβήθησαν σφόδρα, καὶ εἶ-
πον· ἰδοὺ οἱ δύο βασιλεῖς οὐκ ἔστησαν κατὰ πρόσωπον αὐτοῦ.
καὶ πῶς στησόμεθα ἡμεῖς. καὶ ἀπέστειλαν οἱ ἐπὶ τοῦ οἴκου καὶ οἱ
ἐπὶ τῆς πόλεως, καὶ οἱ πρεσβύτεροι, καὶ οἱ τιθηνοὶ πρὸς ἰηοῦ λέ-
γοντες· παῖδές σου ἡμεῖς· καὶ ὅσα ἐὰν εἴπῃς πρὸς ἡμᾶς, ποιήσο-
μεν, οὐ βασιλεύσομεν ἄνδρα· τὸ ἀγαθὸν ἐν ὀφθαλμοῖς σου ποιήσο-
μεν. καὶ ἔγραψε πρὸς ἰηοῦ αὐτοὺς βιβλίον δεύτερον λέγων· εἰ
ἐμοὶ ὑμεῖς, καὶ τῆς φωνῆς μου ὑμεῖς ἀκούετε. λάβετε τὴν κεφα-
λὴν ἀνδρῶν τῶν υἱῶν τοῦ κυρίου ὑμῶν, καὶ ἐνέγκατε πρός με, ὡς
ἡ ὥρα αὕτη αὔριον ἐν ἰεζραὲλ. καὶ οἱ υἱοὶ τοῦ βασιλέως ἦσαν ἑ-
βδομήκοντα ἄνδρες. οὗτοι ἁδροὶ τῆς πόλεως ἐξέτρεφον αὐ-
τούς. καὶ ἐγένετο, ὡς ἦλθε τὸ βιβλίον πρὸς αὐτούς, καὶ ἔλαβον τοὺς
υἱοὺς τοῦ βασιλέως· καὶ ἔσφαξαν αὐτοὺς ἑβδομήκοντα ἄνδρας

καὶ ἔθηκαν τὰς κεφαλὰς αὐτῶν ἐν καρτάλλοις, καὶ ἀπέστειλαν αὐτὰς πρὸς αὐτὸν εἰς ἰεζραὴλ. καὶ ἦλθεν ὁ ἄγγελος, καὶ ἀπήγγειλε λέγων, ἤνεγκαν τὰς κεφαλὰς τῶν υἱῶν τοῦ βασιλέως, καὶ εἶπε. θέτε αὐτὰς βουνοὺς δύο παρὰ τὴν θύραν τῆς πόλεως εἰς πρωΐ. καὶ ἐγένετο ἐν πρωΐ. καὶ ἐξῆλθε καὶ ἔστη ἐν τῷ πυλῶνι τῆς πόλεως, καὶ εἶπε πρὸς πάντα τὸν λαόν. δίκαιοι ὑμεῖς, ἰδοὺ ἐγώ εἰμι. συνεστράφην ἐπὶ τὸν κύριόν μου, καὶ ἀπέκτεινα αὐτόν. καὶ τίς ἐπάταξε πάντας τούτους. ἴδετε ἀφφῶ. ὅτι οὐ πεσεῖται ἀπὸ τοῦ ῥήματος κυρίου εἰς τὴν γῆν. ὅτι ἐλάλησε κύριος ἐπὶ τὸν οἶκον ἀχαὰβ, καὶ κύριος ἐποίησεν ὅσα ἐλάλησεν ἐν χειρὶ δούλου αὐτοῦ ἠλιού. καὶ ἐπάταξεν ἰηοὺ πάντας τοὺς καταλειφθέντας ἐν τῷ οἴκῳ ἀχαὰβ ἐν ἰσραῆλ. καὶ πάντας τοὺς ἁδροὺς αὐτοῦ. καὶ τοὺς γνωστοὺς αὐτοῦ, καὶ τοὺς ἱερεῖς αὐτοῦ, ὥστε μὴ καταλιπεῖν αὐτοῦ κατάλειμμα. καὶ ἀνέστη. καὶ ἐπορεύθη εἰς σαμάρειαν αὐτὸς ἐν βαιθακὰλ τῶν ποιμένων ἐν τῇ ὁδῷ. καὶ ἰηοὺ εὗρε τοὺς ἀδελφοὺς ὀχοζίου βασιλέως ἰούδα καὶ εἶπε. τίνες ὑμεῖς. καὶ εἶπον. ἀδελφοὶ ὀχοζίου ἡμεῖς, καὶ κατέβημεν εἰς εἰρήνην τῶν υἱῶν τοῦ βασιλέως, καὶ τῶν υἱῶν τῆς δυναστευούσης. καὶ εἶπε. συλλάβετε αὐτοὺς ζῶντας. καὶ ἔσφαξεν αὐτοὺς ἐν βαιθακάλ, τεσσαράκοντα καὶ δύο ἄνδρας. οὐ κατέλιπεν ἄνδρα ἐξ αὐτῶν. καὶ ἐπορεύθη ἐκεῖθεν, καὶ εὗρε τὸν ἰωναδὰβ υἱὸν ῥηχὰβ ἐν τῇ ὁδῷ εἰς ἀπάντησιν αὐτοῦ, καὶ εὐλόγησεν αὐτὸν καὶ εἶπε πρὸς αὐτὸν ἰηού. εἰ ἔστι καρδία σου μετὰ καρδίας μου εὐθεῖα, καθὼς ἡ καρδία μου μετὰ τῆς καρδίας σου, καὶ εἶπεν ἰωναδάβ. ἔστι, καὶ εἶπεν ἰηού. καὶ εἰ ἔστι, δὸς τὴν χεῖρά σου. καὶ ἔδωκε τὴν χεῖρα αὐτοῦ, καὶ ἀνεβίβασεν αὐτὸν πρὸς αὐτὸν ἐπὶ τὸ ἅρμα καὶ εἶπε πρὸς αὐτόν. δεῦρο μετ' ἐμοῦ καὶ ἴδε ἐν τῷ ζηλῶσαί με τῷ κυρίῳ σαβαώθ. καὶ ἐπεκάθισεν αὐτὸν ἐν τῷ ἅρματι αὐτοῦ, καὶ εἰσῆλθον εἰς σαμάρειαν, καὶ ἐπάταξε πάντας τοὺς καταλειφθέντας τοῦ ἀχαὰβ ἐν

σαμαρείᾳ, ἕως τοῦ ἀφανίσαι αὐτὸν κατὰ τὸ ῥῆμα κυρίου ὃ ἐ-
λάλησεν πρὸς ἡλιού. καὶ συνήθροισεν ἰηοὺ πάντα τὸν λαὸν καὶ
εἶπε πρὸς αὐτούς. ἀχαὰβ ἐδούλευσε τῷ βάαλ ὀλίγα. καί γε
ἰηοὺ δουλεύσει αὐτῷ πολλά. καὶ νῦν πάντες οἱ προφῆται τοῦ
βάαλ. πάντας τοὺς δούλους αὐτοῦ καὶ τοὺς ἱερεῖς αὐτοῦ, καλέσατε
πρός με, ἀνὴρ μὴ ἐπισκεπήτω. ὅτι θυσία μοι μεγάλη τῷ βά-
αλ. πᾶς ὃς ἐὰν ἐπισκεπῇ, οὐ ζήσεται. καὶ ἰηοὺ ἐποίησεν ἐν πτερ-
νισμῷ. ἵνα ἀπολέσῃ τοὺς δούλους τοῦ βάαλ. καὶ εἶπεν ἰηού. ἁγιά-
σατε ἱερείαν τῷ βάαλ, καὶ θεραπείαν. καὶ ἐκήρυξαν, καὶ ἀπέστει-
λεν ἰηοὺ ἐν παντὶ ἰσραὴλ, καὶ εἶπε λέγων. καὶ νῦν πάντες οἱ δοῦ-
λοι τοῦ βάαλ. καὶ πάντες οἱ ἱερεῖς αὐτοῦ, καὶ πάντες οἱ προφῆται
αὐτοῦ μηδεὶς ἀπολιπέσθω, ὅτι θυσίαν μεγάλην ποιῶ, ὃς ἂν ἀ-
πολειφθῇ οὐ ζήσεται. καὶ ἦλθον πάντες οἱ δοῦλοι τοῦ βάαλ καὶ
πάντες οἱ ἱερεῖς αὐτοῦ καὶ πάντες οἱ προφῆται αὐτοῦ. οὐ κα-
τελείφθη ἀνὴρ ὃς οὐ παρεγένετο. καὶ εἰσῆλθον εἰς τὸν οἶκον τοῦ
βάαλ. καὶ ἐπλήσθη ὁ οἶκος τοῦ βάαλ στόμα εἰς στόμα. καὶ εἶπεν
ἰηοὺ τοῖς ἐπὶ τοῦ οἴκου μεσθάαλ. ἐξαγάγετε ἐνδύματα πᾶσι
τοῖς δούλοις τοῦ βάαλ, καὶ ἐξήνεγκεν αὐτοῖς ὁ στολιστής. καὶ
εἰσῆλθεν ἰηοὺ καὶ ἰωναδὰβ υἱὸς ῥηχὰβ εἰς οἶκον τοῦ βάαλ καὶ
εἶπεν τοῖς δούλοις τοῦ βάαλ. ἐρευνήσατε καὶ ἴδετε. εἰ ἔστι μεθ'
ὑμῶν τῶν δούλων τοῦ κυρίου, καὶ ἐξαποστείλατε πάντας τοὺς
δούλους κυρίου τοὺς εὑρισκομένους ἐκεῖ, καὶ ἐγένετο καὶ ὡς
ἐλάλησε ἰηού, ὅτι οὐκ ἦν τῶν δούλων κυρίου. ὅτι ἀλλ' ἢ οἱ
δοῦλοι τοῦ βάαλ μονώτατοι. καὶ εἰσῆλθε τοῦ ποιῆσαι τὰ θυ-
μιάματα, καὶ τὰ ὁλοκαυτώματα. καὶ ἰηοὺ ἔταξεν ἑαυτῷ ἔξω
ὀγδοήκοντα ἄνδρας, καὶ εἶπεν. ἀνὴρ ὃς ἐὰν διασωθῇ ἀπὸ τῶν
ἀνδρῶν ὧν ἐγὼ ἀνάγω ἐπὶ χεῖρα ὑμῶν, ἡ ψυχὴ αὐτοῦ, ἀντὶ τῆς
ψυχῆς αὐτοῦ. καὶ ἐγένετο, ὡς συνετέλεσε ποιῶν τὴν ὁλοκαύτω-
σιν, καὶ εἶπεν ἰηοὺ τοῖς παρατρέχουσι, καὶ τοῖς τριστάταις. εἰσελθόν-
τες, πατάξατε αὐτούς. μὴ ἐξελθέτω ἐξ αὐτῶν ἀνήρ, καὶ ἐπάτα-

ξαν.

ξαν αὐτοὺς ἐν στόματι ῥομφαίας. καὶ ἔρριψαν οἱ παρατρέχοντες, καὶ οἱ τριστάται. καὶ ἐπορεύθησαν ἕως πόλεως οἴκου τοῦ βαάλ, καὶ ἐξήνεγκαν τὴν στήλην τοῦ βαάλ, καὶ ἐνέπρησαν αὐτήν. καὶ κατέσπασαν τὰς στήλας τοῦ βαάλ, καὶ ἔταξαν αὐτὸν εἰς λυτρῶνα ἕως τῆς ἡμέρας ταύτης. καὶ ἠφάνισεν ἰηοὺ τὸν οἶκον τοῦ βαάλ ἐξ ἰσραήλ. πλὴν τῶν ἁμαρτιῶν ἱεροβοὰμ υἱοῦ ναβὰτ ὃς ἐξήμαρτε τὸν ἰσραήλ. οὐκ ἀπέστη ἰηοὺ ἀπὸ ὄπισθεν αὐτῶν. αἱ δαμάλεις αἱ χρυσαῖ, ἐν βαιθήλ, καὶ ἐν δάν. καὶ εἶπε κύριος πρὸς ἰηού. ἀνθ' ὧν ὅσα ἠγάθυνας ποιῆσαι τὸ εὐθὲς ἐν ὀφθαλμοῖς μου. καὶ πάντα ὅσα ἐν τῇ καρδίᾳ μου ἐποίησας τῷ οἴκῳ ἀχαάβ. υἱοὶ τέταρτοι καθήσονταί σοι ἐπὶ θρόνου ἰσραήλ. καὶ ἰηοὺ οὐκ ἐφύλαξε πορεύεσθαι ἐν νόμῳ κυρίου θεοῦ ἰσραήλ. ἐν ὅλῃ καρδίᾳ αὐτοῦ οὐκ ἀπέστη ἐπάνωθεν ἁμαρτιῶν ἱεροβοὰμ υἱοῦ ναβὰτ ὃς ἐξήμαρτε τὸν ἰσραήλ. ἐν ταῖς ἡμέραις ἐκείναις ἤρξατο κύριος συγκόπτειν ἐν τῷ ἰσραήλ. καὶ ἐπάταξεν αὐτοὺς ἀζαὴλ ἐν παντὶ ὁρίῳ ἰσραήλ. ἀπὸ τοῦ ἰορδάνου κατ' ἀνατολὰς ἡλίου, πᾶσαν τὴν γῆν γαλαάδ. τοῦ γαδδί. καὶ τοῦ ῥουβὴν, καὶ τοῦ μανασσῆ. ἀπὸ ἀροὴρ ἥ ἐστιν ἐπὶ τοῦ χείλους χειμάρρου ἀρνῶν, καὶ τὴν γαλαὰδ καὶ τὴν βασάν. καὶ τὰ λοιπὰ τῶν λόγων ἰηοὺ, καὶ πάντα ἃ ἐποίησε, καὶ πᾶσα ἡ δυναστεία αὐτοῦ, καὶ τὰς συνάψεις ἃς συνῆψεν. οὐχὶ ἰδοὺ ταῦτα γεγραμμένα ἐπὶ βιβλίου λόγων τῶν ἡμερῶν τοῖς βασιλεῦσιν ἰσραήλ. καὶ ἐκοιμήθη ἰηοὺ μετὰ τῶν πατέρων αὐτοῦ. καὶ ἔθαψαν αὐτὸν ἐν σαμαρείᾳ. καὶ ἐβασίλευσεν ἰωάχαζ υἱὸς αὐτοῦ ἀντ' αὐτοῦ. καὶ αἱ ἡμέραι ἃς ἐβασίλευσεν ἰηοὺ ἐπὶ ἰσραὴλ εἰκοσιοκτὼ ἔτη ἐν σαμαρείᾳ.

Κεφάλαιον ιαʹ. 11.

Αὶ γοθολία ἡ μήτηρ ὀχοζίου εἶδεν, ὅτι ἀπέθανον οἱ
B υἱοὶ αὐτῆς, καὶ ἀπώλεσε πᾶν τὸ σπέρμα τῆς βασιλεί-
ας. καὶ ἔλαβεν ἰωσαβεὲ θυγάτηρ τοῦ βασιλέως ἰω-

ῥὰμ ἀδελφὴ ὀχοζίου τὸν ἰωὰς υἱὸν ἀδελφοῦ αὐτῆς καὶ ἔκλε-
ψεν αὐτὸν ἐκ μέσου τῶν υἱῶν τοῦ βασιλέως τῶν θανατουμέ-
νων· αὐτὸν καὶ τὴν τροφὴν αὐτοῦ, ἐν τῷ ταμιείῳ τῶν κλινῶν·
καὶ ἔκρυψεν αὐτὸν ἀπὸ προσώπου γοθολίας, καὶ οὐκ ἐθανατώ-
θη· καὶ ἦν μετ' αὐτῆς κρυβόμενος, ἐν οἴκῳ κυρίου ἓξ ἔτη· καὶ γο-
θολία βασιλεύουσα ἐπὶ τῆς γῆς. καὶ ἐν τῷ ἔτει τῷ ἑβδόμῳ,
ἀπέστειλεν ἰωδαὲ ὁ ἱερεύς, καὶ ἔλαβε τοὺς ἑκατοντάρχους
τῶν χορρὶ, καὶ τῶν ῥασὶμ, καὶ ἀπήγαγεν αὐτοὺς πρὸς
αὐτὸν εἰς οἶκον κυρίου, καὶ διέθετο αὐτοῖς διαθήκην κυρίου·
καὶ ὥρκισεν αὐτοὺς ἐνώπιον κυρίου. καὶ ἔδειξεν αὐτοῖς ἰω-
δαὲ τὸν υἱὸν τοῦ βασιλέως, καὶ ἐνετείλατο αὐτοῖς λέγων· οὗ-
τος ὁ λόγος ὃν ποιήσετε. τὸ τρίτον ἐξ ὑμῶν εἰσελθέτω τὸ
σάββατον, καὶ φυλάξατε φυλακὴν οἴκου τοῦ βασιλέως ἐν
τῷ πυλῶνι, καὶ τὸ τρίτον ἐν τῇ πύλῃ τῶν ὁδῶν· καὶ τὸ τρί-
τον τῆς πύλης, ὀπίσω τῶν παρατρεχόντων· καὶ φυλάξατε
τὴν φυλακὴν τοῦ οἴκου. καὶ δύο χεῖρες ἐν ὑμῖν· πᾶς ὁ ἐκ-
πορευόμενος τὸ σάββατον, καὶ φυλάξουσι τὴν φυλακὴν
οἴκου κυρίου πρὸς τὸν βασιλέα. καὶ κυκλώσατε περὶ τὸν
βασιλέα κύκλῳ, ἀνὴρ καὶ τὸ σκεῦος αὐτοῦ ἐν χειρὶ αὐτοῦ·
καὶ ὁ εἰσπορευόμενος εἰς τὰς ἀσηρώθ, ἀποθανεῖται. καὶ ἐγέ-
νετο μετὰ τοῦ βασιλέως ἐν τῷ εἰσπορεύεσθαι αὐτὸν, καὶ ἐν τῷ
ἐκπορεύεσθαι αὐτόν. καὶ ἐποίησαν οἱ ἑκατόνταρχοι πάντα
ὅσα ἐνετείλατο ἰωδαὲ ὁ συνετός. καὶ ἔλαβεν ἀνὴρ τοὺς ἄν-
δρας αὐτοῦ, καὶ τοὺς εἰσπορευομένους τὸ σάββατον, μετὰ
τῶν ἐκπορευομένων τὸ σάββατον, καὶ εἰσῆλθον πρὸς ἰωδαὲ
τὸν ἱερέα. καὶ ἔδωκεν ὁ ἱερεὺς τοῖς ἑκατοντάρχοις τοὺς σει-
ρομάστας, καὶ τοὺς τριαρούς τοῦ βασιλέως δαβὶδ τοὺς ἐν οἴκῳ
κυρίου. καὶ ἦσαν ἐν ταῖς χερσὶ τῶν χορρὲθ καὶ τῶν παρατρε-
χόντων, καὶ ἐποίησαν οἱ ἑκατόνταρχοι, καὶ οἱ παρατρέχοντες κα-
τὰ πάντα ὅσα ἐνετείλατο αὐτοῖς ὁ ἱερεύς. καὶ ἐξεκλησία-

σαν ὁ

σεν ὁ ἱερεὺς κυρίου πάντα τὸν λαὸν τῆς γῆς εἰς οἶκον τοῦ κυρίου, καὶ ἔστησαν οἱ παρατρέχοντες, ἀνὴρ καὶ τὸ σκεῦος αὐτοῦ ἐν τῇ χειρὶ αὐτοῦ ἀπὸ τῆς ὠμίας τοῦ οἴκου τῆς δεξιᾶς, ἕως τῆς ὠμίας τοῦ οἴκου τῆς εὐωνύμου τοῦ θυσιαστηρίου, καὶ τοῦ οἴκου ἐπὶ τὸν βασιλέα κύκλῳ. καὶ ἐξαπέστειλε τὸν υἱὸν τοῦ βασιλέως, καὶ ἔδωκαν ἐπ' αὐτὸν τὸ ἔζερ, καὶ τὸ μαρτύριον καὶ ἐβασίλευσεν αὐτὸν, καὶ ἔχρισαν αὐτόν. καὶ ἐκρότησαν τῇ χειρὶ, καὶ εἶπαν, ζήτω ὁ βασιλεὺς, καὶ ἤκουσε γοθολία τὴν φωνὴν τῶν παρατρεχόντων τοῦ λαοῦ καὶ εἰσῆλθε πρὸς τὸν λαὸν εἰς οἶκον κυρίου, καὶ εἶδε. καὶ ἰδοὺ ὁ βασιλεὺς εἱστήκει ἐπὶ τοῦ στύλου κατὰ τὸ κρίμα. καὶ οἱ ᾠδοὶ, καὶ αἱ σάλπιγγες πρὸς τὸν βασιλέα. καὶ πᾶς ὁ λαὸς τῆς γῆς χαίρων, καὶ σαλπίζων ἐν σάλπιγξι. καὶ διέῤῥηξε γοθολία τὰ ἱμάτια αὐτῆς, καὶ ἐβόησε. σύνδεσμος σύνδεσμος. καὶ ἐνετείλατο ἰωδαὲ ὁ ἱερεὺς τοῖς ἑκατοντάρχοις, καὶ τοῖς ἐπισκόποις τῆς δυνάμεως, καὶ εἶπε πρὸς αὐτούς. ἐξαγάγετε αὐτὴν ἔσωθεν τῶν σαδηρώθ. ὁ εἰσπορευόμενος ὀπίσω αὐτῆς θανάτῳ θανατωθήσεται ἐν ῥομφαίᾳ, ὅτι εἶπεν ὁ ἱερεὺς, καὶ μὴ ἀποθάνῃ ἐν οἴκῳ κυρίου. καὶ ἐπέθηκαν αὐτῇ χεῖρας. καὶ εἰσῆλθεν μετὰ τῶν εὐνούχων ὁδὸν εἰσόδου τῶν ἵππων οἴκου τοῦ βασιλέως, καὶ ἀπέθανεν ἐκεῖ, καὶ διέθετο ἰωδαὲ διαθήκην ἀνὰ μέσον κυρίου, καὶ ἀνὰ μέσον τοῦ βασιλέως, καὶ ἀνὰ μέσον τοῦ λαοῦ τοῦ εἶναι εἰς λαὸν τῷ κυρίῳ. καὶ εἰσῆλθε πᾶς ὁ λαὸς τῆς γῆς εἰς οἶκον τοῦ βάαλ, καὶ κατέσπασαν αὐτὸν, καὶ τὰ θυσιαστήρια αὐτοῦ, καὶ τὰς εἰκόνας αὐτοῦ συνέτριψαν ἀγαθῶς. καὶ τὸν ματθὰν τὸν ἱερέα τοῦ βάαλ ἀπέκτειναν κατὰ πρόσωπον τῶν θυσιαστηρίων. καὶ ἔθηκεν ὁ ἱερεὺς ἐπισκόπους. εἰς τὸν οἶκον κυρίου. καὶ ἔλαβε τοὺς ἑκατοντάρχους, καὶ τὸν χορρὶμ, καὶ τὸν ῥασὶμ, καὶ πάντα τὸν λαὸν τῆς γῆς, καὶ κατήγαγε τὸν βασιλέα ἐξ οἴκου κυρίου καὶ εἰσῆλθον ὁδὸν πύλης τῶν παρατρεχόντων οἴκου τοῦ βασιλέως. καὶ ἐκάθισαν αὐτὸν ἐπὶ θρόνου τῶν βασιλέων

καὶ ἐχάρη πᾶς ὁ λαὸς τῆς γῆς, καὶ ἡ πόλις ἡσύχασε, καὶ τὴν γοθολίαν ἐθανάτωσαν ἐν ῥομφαίᾳ. ἐν οἴκῳ τοῦ βασιλέως. υἱὸς ἑπτὰ ἐτῶν ἰωὰς ἐν τῷ βασιλεύειν αὐτόν.

Κεφάλαιον ιβʹ. 12.

x Ἐν ἔτει ἑβδόμῳ τοῦ ἰηοῦ, ἐβασίλευσεν ἰωάς. καὶ τεσσαράκοντα ἔτη ἐβασίλευσεν ἐν ἱερουσαλήμ. καὶ ὄνομα τῆς μητρὸς αὐτοῦ σαβιὰ ἐκ τῆς βηρσαβεέ, καὶ ἐποίησεν ἰωὰς τὸ εὐθὲς ἐνώπιον κυρίου πάσας τὰς ἡμέρας ἃς ἐφώτισεν αὐτὸν ἰωδαὲ ὁ ἱερεύς. πλὴν τῶν ὑψηλῶν, οὐ μετεστάθησαν. καὶ ἐκεῖ ἔτι ὁ λαὸς ἐθυσίαζε, καὶ ἐθυμίων ἐν τοῖς ὑψηλοῖς. καὶ εἶπεν ἰωὰς πρὸς τοὺς ἱερεῖς. πᾶν τὸ ἀργύριον τῶν ἁγίων τὸ εἰσοδιαζόμενον ἐν τῷ οἴκῳ κυρίου. ἀργύριον συντιμήσεως ἀνὴρ ἀργύριον λαβὼν συντιμήσεως πᾶν ἀργύριον ὃ ἐὰν ἀναβῇ ἐπὶ καρδίαν ἀνδρὸς ἐνεγκεῖν ἐν οἴκῳ κυρίου. λαβέτωσαν ἑαυτοῖς οἱ ἱερεῖς ἀνὴρ ἀπὸ τῆς πράσεως αὐτῶν. καὶ αὐτοὶ κρατήσουσι τὸ βεδὲκ τοῦ οἴκου. εἰς πάντα οὗ ἐὰν εὑρεθῇ ἐκεῖ βεδέκ. καὶ ἐγενήθη ἐν τῷ εἰκοστῷ, καὶ τρίτῳ ἔτει τοῦ βασιλέως ἰωὰς, οὐκ ἐκραταίωσαν οἱ ἱερεῖς τὸ βεδὲκ τοῦ οἴκου καὶ ἐκάλεσεν ὁ βασιλεὺς ἰωδαὲ τὸν ἱερέα, καὶ τοὺς ἱερεῖς, καὶ εἶπε πρὸς αὐτούς. τί ὅτι οὐκ ἐκραταιοῦτε τὸ βεδὲκ τοῦ οἴκου. καὶ νῦν μὴ λάβητε ἀργύριον ἀπὸ τῶν πράσεων ὑμῶν. ὅτι εἰς τὸ βεδὲκ τοῦ οἴκου δώσετε αὐτόν. καὶ συνεφώνησαν οἱ ἱερεῖς τοῦ μὴ λαβεῖν ἀργύριον παρὰ τοῦ λαοῦ, καὶ τοῦ ἐνισχῦσαι τὸ βεδὲκ τοῦ οἴκου. καὶ ἔλαβεν ἰωδαὲ ὁ ἱερεὺς κιβωτὸν μίαν, καὶ ἔτρησε τρώγλην ἐπὶ τῆς σανίδος αὐτῆς, καὶ ἔδωκεν αὐτὴν παρὰ ἀμμαζεβὶ ἐν τῷ οἴκῳ ἀνδρὸς οἴκου κυρίου, καὶ ἔδωκαν οἱ ἱερεῖς οἱ φυλάσσοντες τὸν σταθμὸν πᾶν τὸ ἀργύριον τὸ εὑρεθὲν ἐν οἴκῳ κυρίου. καὶ ἐγένετο, ὡς εἶδον, ὅτι πολὺ τὸ ἀργύριον ἐν τῇ κιβωτῷ, καὶ ἀνέβη ὁ γραμματεὺς τοῦ βασιλέως, καὶ ὁ ἱερεὺς ὁ μέγας, καὶ οἱ ἀργυροκόποι, καὶ ἔσφιγξαν καὶ ἠρίθμησαν τὸ ἀργύριον τὸ εὑρεθὲν ἐν οἴκῳ κυρίου. καὶ ἔδωκαν

τὸ ἀργύριον τὸ ἑτοιμασθὲν ἐπὶ χεῖρας, ποιούντων τὰ ἔργα τῶν
ἐπισκοπῶν οἴκου κυρίου. καὶ ἐξέδωσαν τοῖς τέκτοσι τῶν ξύλων,
καὶ τοῖς οἰκοδόμοις τοῖς ποιοῦσιν ἐν οἴκῳ κυρίου. καὶ τοῖς τειχι-
σταῖς, καὶ τοῖς τεχνίταις καὶ τοῖς λατόμοις τῶν λίθων τοῦ κτήσα-
σθαι ξύλα, καὶ λίθους λατομητοὺς τοῦ κατασχεῖν τὸ βεδὲκ οἴκου
κυρίου, εἰς πάντα ὅσα ἐξοδιάσθη ἐπὶ τὸν οἶκον τοῦ κραταιῶσαι.
πλὴν οὐ ποιηθήσεται τῷ οἴκῳ κυρίου θύραι ἀργυραῖ. ἧλοι. φιά-
λαι, καὶ σάλπιγγες. πᾶν σκεῦος χρυσοῦν, καὶ σκεῦος ἀργυροῦν ἐκ
τοῦ ἀργυρίου τοῦ εἰσενεχθέντος ἐν οἴκῳ κυρίου. ὅτι τοῖς ποι-
οῦσι τὰ ἔργα δώσουσιν αὐτό. καὶ ἐκραταίωσαν ἐν αὐτῷ, τὸν
οἶκον κυρίου. καὶ οὐκ ἐλογίζοντο τοὺς ἄνδρας οἷς ἐδίδουν τὸ
ἀργύριον ἐπὶ χεῖρας αὐτῶν δοῦναι τοῖς ποιοῦσι τὰ ἔργα. ὅτι
ἐν πίστει αὐτῶν ποιοῦσιν. ἀργύριον περὶ ἁμαρτίας, καὶ ἀργύ-
ριον περὶ πλημμελείας. ὅτι εἰσηνέχθη ἐν οἴκῳ κυρίου τοῖς ἱε-
ρεῦσιν. ἐγένετο τότε ἀνέβη ἀζαὴλ. βασιλεὺς συρίας, καὶ ἐπο-
λέμησεν ἐπὶ γέθ. καὶ προκατελάβετο αὐτὴν ἀζαὴλ, καὶ ἐπά-
ταξεν αὐτήν. καὶ ἔταξεν ἀζαὴλ τὸ πρόσωπον αὐτοῦ ἀναβῆναι
ἐπὶ ἱερουσαλήμ. καὶ ἔλαβεν ἰωὰς βασιλεὺς, ἰούδα πάντα τὰ
ἅγια ὅσα ἡγίασεν ἰωσαφὰτ, καὶ ἰωρὰμ, καὶ ὀχοζίας οἱ πατέ-
ρες αὐτοῦ, καὶ βασιλεῖς ἰούδα καὶ τὰ ἅγια αὐτοῦ καὶ πᾶν τὸ χρυ-
σίον τὸ εὑρεθὲν ἐν θησαυροῖς οἴκου κυρίου καὶ οἴκου τοῦ βασι-
λέως, καὶ ἀπέστειλε τῷ ἀζαὴλ βασιλεῖ συρίας. καὶ τὰ λοιπὰ τῶν
λόγων ἰωὰς, καὶ πάντα ὅσα ἐποίησεν οὐκ ἰδοὺ ταῦτα γεγραμ-
μένα ἐπὶ βιβλίῳ λόγων τῶν ἡμερῶν τοῖς βασιλεῦσιν ἰούδα.
καὶ ἀνέστησαν οἱ δοῦλοι αὐτοῦ, καὶ ἔδησαν πάντα σύνδεσμον,
καὶ ἐπάταξαν τὸν ἰωὰς ἐν οἴκῳ μααλὼν τὸν ἐν σααλὰ, καὶ ἰεζί-
χαρ υἱὸς ἰεμουὰθ, καὶ ἰεζεβοὺθ ὁ υἱὸς αὐτοῦ σωμὴρ οἱ δοῦλοι
αὐτοῦ ἐπάταξαν αὐτὸν καὶ ἀπέθανε. καὶ ἔθαψαν αὐτὸν με-
τὰ τῶν πατέρων αὐτοῦ ἐν πόλει δαβίδ. καὶ ἐβασίλευσεν ἀμα-
σίας υἱὸς αὐτοῦ ἀντ' αὐτοῦ.

Κεφ. ιγ. 13.

Ν ἔτει εἰκοστῷ, καὶ τρίτῳ ἰωὰς υἱοῦ ὀχοζίου βασιλέως
ἰούδα. ἐβασίλευσεν ἰωάχαζ υἱὸς ἰηοῦ ἐν σαμαρείᾳ ἑ
πτακαίδεκα ἔτη. καὶ ἐποίησε τὸ πονηρὸν ἐν ὀφθαλμοῖς
κυρίου, καὶ ἐπορεύθη ὀπίσω ἁμαρτιῶν ἱεροβοὰμ υἱοῦ ναβὰτ ὃς
ἐξήμαρτε ἰσραήλ. οὐκ ἀπέστη ἀπ' αὐτῶν. καὶ ὠργίσθη θυμῷ κύρι
ος ἐν τῷ ἰσραήλ. καὶ ἔδωκεν αὐτοὺς ἐν χειρὶ ἀζαὴλ βασιλέως συ
ρίας καὶ ἐν χειρὶ υἱοῦ ἄδερ υἱοῦ ἀζαὴλ πάσας τὰς ἡμέρας. καὶ ἐ
δεήθη ἰωάχαζ τοῦ προσώπου κυρίου καὶ ἐπήκουσεν αὐτοῦ κύ
ριος, ὅτι εἶδε τὴν θλίψιν ἰσραήλ, ὅτι ἔθλιψεν αὐτοὺς, βασιλεὺς
συρίας, καὶ ἔδωκε κύριος, σωτηρίαν τῷ ἰσραήλ. καὶ ἐξῆλθον
ὑπὸ κάτωθεν χειρὸς συρίας. καὶ ἐκάθισαν οἱ υἱοὶ ἰσραὴλ ἐν
τοῖς σκηνώμασιν αὐτῶν καθὼς ἐχθὲς, καὶ τρίτης· πλὴν οὐκ ἀ
πέστησαν ἀπὸ ἁμαρτιῶν οἴκου ἱεροβοὰμ υἱοῦ ναβὰτ, ὃς ἐξήμαρ
τε τὸν ἰσραὴλ, ἐν αὐταῖς ἐπορεύθησαν. καί γε τὸ ἄλσος ἐστά
θη ἐν σαμαρείᾳ. ὅτι οὐχ ὑπελείφθη τῷ ἰωάχαζ λαός. ἀλλ' ἢ
πεντήκοντα ἱππεῖς. καὶ δέκα ἅρματα, καὶ δέκα χιλιάδες πε
ζῶν ὅτι ἀπώλεσεν αὐτοὺς βασιλεὺς συρίας καὶ ἔθεντο αὐτοὺς, ὡς
χοῦν εἰς καταπάτησιν. καὶ τὰ λοιπὰ τῶν λόγων ἰωάχαζ, καὶ πάν
τα ὅσα ἐποίησε, καὶ αἱ δυναστεῖαι αὐτοῦ, οὐχὶ ταῦτα γεγραμ
μένα ἐπὶ βιβλίῳ λόγων τῶν ἡμερῶν τοῖς βασιλεῦσιν ἰσρα
ήλ. καὶ ἐκοιμήθη ἰωάχαζ μετὰ τῶν πατέρων αὐτοῦ καὶ ἔθαψαν
αὐτὸν μετὰ πατέρων αὐτοῦ ἐν σαμαρείᾳ. καὶ ἐβασίλευσεν ἰω
ὰς υἱὸς αὐτοῦ ἀντ' αὐτοῦ, ἐν τῷ τριακοστῷ, καὶ ἐννάτῳ τῷ ἰωὰς βα
σιλεῖ ἰούδα, ἐβασίλευσεν ἰωὰς υἱὸς ἰωάχαζ ἐπὶ ἰσραήλ, ἐν σα
μαρείᾳ ἑκκαίδεκα ἔτη. καὶ ἐποίησε τὸ πονηρὸν ἐν ὀφθαλμοῖς κυ
ρίου. οὐκ ἀπέστη ἀπὸ πασῶν ἁμαρτιῶν ἱεροβοὰμ υἱοῦ ναβὰτ ὃς
ἐξήμαρτε τὸν ἰσραήλ. ἐν αὐταῖς ἐπορεύθη καὶ τὰ λοιπὰ τῶν
λόγων ἰωὰς, καὶ πάντα ὅσα ἐποίησε καὶ αἱ δυναστεῖαι αὐ
τοῦ ἃς ἐποίησε μετὰ ἀμεσσίου βασιλέως ἰούδα. οὐχὶ ταῦτα

γεγραμμένα ἐπὶ βιβλίῳ λόγων τῶν ἡμερῶν τοῖς βασιλεῦσιν ἰσραήλ. καὶ ἐκοιμήθη ἰωὰς μετὰ τῶν πατέρων αὐτοῦ. καὶ ἱεροβοὰμ ἐκάθισεν ἐπὶ τοῦ θρόνου αὐτοῦ καὶ ἐτάφη ἐν σαμαρείᾳ μετὰ τῶν υἱῶν ἰσραήλ. καὶ ἐλισσαιὲ ἠῤῥώστησε τὴν ἀῤῥωστίαν αὐτοῦ. δι' ἣν καὶ ἀπέθανε. καὶ κατέβη πρὸς αὐτὸν ἰωὰς βασιλεὺς ἰσραὴλ καὶ ἔκλαυσεν ἐπὶ πρόσωπον αὐτοῦ καὶ εἶπεν πάτερ πάτερ ἅρμα ἰσραὴλ, καὶ ἱππεὺς αὐτοῦ. καὶ εἶπεν αὐτῷ ἐλισσαιέ. λάβε τόξον καὶ βέλη. καὶ ἔλαβε πρὸς αὐτὸν τόξον καὶ βέλη. καὶ εἶπε τῷ βασιλεῖ, ἐπιβίβασον τὴν χεῖρά σου ἐπὶ τὸ τόξον. καὶ ἐπεβίβασεν τὴν χεῖρα αὐτοῦ ἰωὰς τὴν ἐπὶ τὸ τόξον. καὶ ἐπέθηκεν ἐλισσαιὲ τὰς χεῖρας αὐτοῦ ἐπὶ τὰς χεῖρας τοῦ βασιλέως καὶ εἶπεν. ἄνοιξον τὴν θυρίδα κατ' ἀνατολάς. καὶ ἤνοιξε. καὶ εἶπεν ἐλισσαιὲ τόξευσον καὶ ἐτόξευσε. καὶ εἶπεν ἐλισσαιέ. βέλος σωτηρίας τῷ κυρίῳ. καὶ βέλος σωτηρίας ἐν συρίᾳ. καὶ πατάξεις τὴν συρίαν ἐν ἀφὲκ ἕως συντελείας. καὶ εἶπεν αὐτῷ ἐλισσαιέ. λάβε τόξον. καὶ ἔλαβε. καὶ εἶπε τῷ βασιλεῖ ἰσραήλ. πάταξον εἰς τὴν γῆν. καὶ ἐπάταξεν ὁ βασιλεὺς τρὶς καὶ ἔστη. καὶ ἐλυπήθη ἐπ' αὐτῷ ὁ ἄνθρωπος τοῦ θεοῦ καὶ εἶπεν. εἰ ἐπάταξας πεντάκις, ἢ ἑξάκις, τότε ἂν ἐπάταξας τὴν συρίαν ἕως συντελείας. καὶ νῦν τρὶς πατάξεις τὴν συρίαν. καὶ ἀπέθανεν ἐλισσαιὲ, καὶ ἔθαψαν αὐτόν. καὶ μονόζωνοι μωὰβ ἦλθον ἐν τῇ γῇ, ἐλθόντος τοῦ ἐνιαυτοῦ. καὶ ἐγένετο αὐτῶν θαπτόντων τὸν ἄνδρα, καὶ ἰδοὺ εἶδον τὸν μονόζωνον. καὶ ἔῤῥιψαν τὸν ἄνδρα ἐν τῷ τάφῳ ἐλισσαιέ. καὶ ἐπορεύθη ὁ ἄνθρωπος καὶ ἥψατο τῶν ὀστέων ἐλισσαιὲ, καὶ ἔζησε καὶ ἀνέστη ἐπὶ τοὺς πόδας αὐτοῦ. καὶ ἀζαὴλ ἐξέθλιψε τὸν ἰσραὴλ πάσας τὰς ἡμέρας ἰωάχαζ. καὶ ἠλέησε κύριος αὐτοὺς καὶ ᾠκτείρησεν αὐτοὺς, καὶ ἐπέβλεψε πρὸς αὐτοὺς διὰ τὴν διαθήκην αὐτοῦ τὴν μετὰ ἀβραὰμ, καὶ ἰσαὰκ, καὶ ἰακώβ. καὶ οὐκ ἠθέλησε κύριος διαφθεῖραι αὐτούς. καὶ οὐκ ἀπέῤῥιψεν αὐτοὺς ἀπὸ προσώπου αὐτοῦ. καὶ

πέθανεν ἀζαὴλ βασιλεὺς συρίας, καὶ ἐβασίλευσεν υἱὸς ἀδὲρ υἱὸς αὐτοῦ ἀντ' αὐτοῦ. καὶ ἐπέστρεψεν ἰωὰς υἱὸς ἰωάχαζ καὶ ἔλαβε τὰς πόλεις ἐκ χειρὸς ἀδὲρ υἱοῦ ἀζαὴλ ἃς ἔλαβεν ἐκ χειρὸς ἰωάχαζ τοῦ πατρὸς αὐτοῦ ἐν τῷ πολέμῳ. τρὶς ἐπάταξεν αὐτὸν ἰωὰς, καὶ ἀπέστρεψε τὰς πόλεις ἰσραήλ.

Κεφάλαιον ιδ. 14.

Ἐν ἔτει δευτέρῳ ἰωὰς υἱῷ ἰωάχαζ βασιλεῖ ἰσραὴλ καὶ ἐβασίλευσεν ἀμεσσίας υἱὸς ἰωὰς βασιλεὺς ἰούδα. υἱὸς εἴκοσι καὶ πέντε ἐτῶν ἦν ἐν τῷ βασιλεύειν αὐτὸν, καὶ εἴκοσι καὶ ἐννέα ἔτη ἐβασίλευσεν ἐν ἱερουσαλήμ. καὶ ὄνομα τῇ μητρὶ αὐτοῦ ἰωαδὶν ἐξ ἱερουσαλήμ. καὶ ἐποίησε τὸ εὐθὲς ἐν ὀφθαλμοῖς κυρίου. πλὴν οὐχ ὡς δαβὶδ ὁ πατὴρ αὐτοῦ κατὰ πάντα ὅσα ἐποίησεν ἰωὰς ὁ πατὴρ αὐτοῦ ἐποίησεν πλὴν τὰ ὑψηλὰ οὐκ ἐξῆρεν, ἔτι ὁ λαὸς ἐθυσίαζε, καὶ ἐθυμίων ἐν τοῖς ὑψηλοῖς. καὶ ἐγένετο ὅτε κατίσχυσεν ἡ βασιλεία ἐν χειρὶ αὐτοῦ, καὶ ἐπάταξε τοὺς δούλους αὐτοῦ πατάξαντας τὸν πατέρα αὐτοῦ. καὶ τοὺς υἱοὺς τῶν παταξάντων οὐκ ἐθανάτωσε. καθὼς γέγραπται ἐν βιβλίῳ νόμου μωϋσέως. ὡς ἐνετείλατο κύριος λέγων. οὐκ ἀποθανοῦνται πατέρες ὑπὲρ υἱῶν. καὶ υἱοὶ οὐκ ἀποθανοῦνται ὑπὲρ πατέρων. ὅτι ἀλλ' ἢ ἕκαστος ἐν ταῖς ἁμαρτίαις αὐτοῦ ἀποθανεῖται. αὐτὸς ἐπάταξε τὸν ἐδὼμ ἐν γέμελα δέκα χιλιάδας. καὶ συνέλαβε τὴν πέτραν ἐν τῷ πολέμῳ. καὶ ἐκάλεσε τὸ ὄνομα αὐτῆς ἰεθοὴλ ἕως τῆς ἡμέρας ταύτης. τότε ἀπέστειλεν ἀμεσσίας ἀγγέλους πρὸς ἰωὰς υἱὸν ἰηοὺ βασιλέως ἰσραὴλ λέγων. δεῦτε ὀφθῶμεν προσώποις. καὶ ἀπέστειλεν ἰωὰς βασιλεὺς ἰσραὴλ πρὸς ἀμεσσίαν βασιλέα ἰούδα λέγων. ὁ ἄκαν ὁ ἐν τῷ λιβάνῳ, ἀπέστειλε πρὸς τὴν κέδρον τὴν ἐν τῷ λιβάνῳ λέγων, δὸς τὴν θυγατέρα σου τῷ υἱῷ μου εἰς γυναῖκα. καὶ διῆλθον τὰ θηρία τοῦ ἀγροῦ τὰ ἐν τῷ λιβάνῳ, καὶ συνεπάτησαν τὴν ἄκανα. τύπτων ἐπάταξας τὴν ἰδουμαίαν,

καὶ ἐπῆρέ σε ἡ καρδία σου. ἐνδοξάσθητι καθήμενος ἐν τῷ οἴ-
κῳ σου ἵνα τί ἐρίζεις ἐν κακίᾳ σου. καὶ πεσῇ σύ, καὶ ἰούδας μετὰ
σοῦ. καὶ οὐκ ἤκουσεν ἀμεσίας, καὶ ἀνέβη ἰωὰς βασιλεὺς ἰσραὴλ
καὶ ὤφθησαν προσώποις αὐτοὶ. καὶ ἀμεσίας ὁ βασιλεὺς ἰούδα
* ἐν βαιθσαμὺς τῆς ἰουδαίας. καὶ ἔπταισεν ἰούδας ἀπὸ προσώ- *
που ἰσραὴλ, καὶ ἔφυγεν ἀνὴρ εἰς τὸ σκήνωμα αὐτοῦ. καὶ τὸν ἀ-
μεσίαν υἱὸν ἰωὰς υἱοῦ ὀχοζίου βασιλέως ἰούδα, συνέλαβεν ἰω-
ὰς υἱὸς ἀχὰζ βασιλεὺς ἰσραὴλ ἐν βαιθσαμὺς, καὶ ἦλθεν εἰς ἱε-
ρουσαλὴμ, καὶ καθεῖλεν ἐν τῷ τείχει ἱερουσαλὴμ ἐν τῇ πύλῃ ἐ-
φραὶμ ἕως πύλης τῶν γωνιῶν τετρακοσίους πήχεις. καὶ ἔλαβε
τὸ χρυσίον, καὶ τὸ ἀργύριον, καὶ πάντα τὰ σκεύη τὰ εὑρεθέντα
ἐν οἴκῳ κυρίου καὶ ἐν θησαυροῖς οἴκου τοῦ βασιλέως. καὶ τοὺς υἱ-
οὺς τῶν συμμίξεων, καὶ ἀπέστρεψεν εἰς σαμάρειαν. καὶ τὰ λοιπὰ
τῶν λόγων ἰωὰς ὅσα ἐποίησεν ἐν δυναστείᾳ αὐτοῦ. ἃ ἐπολέμη-
σε μετὰ ἀμασίου βασιλέως ἰούδα. οὐχὶ ταῦτα γεγραμμένα
ἐπὶ βιβλίῳ λόγων τῶν ἡμερῶν τοῖς βασιλεῦσιν ἰσραήλ; καὶ ἐκοιμή-
θη ἰωὰς μετὰ τῶν πατέρων αὐτοῦ. καὶ ἐτάφη ἐν σαμαρείᾳ μετὰ
τῶν βασιλέων ἰσραήλ. καὶ ἐβασίλευσεν ἱεροβοὰμ υἱὸς αὐτοῦ ἀντ'
αὐτοῦ καὶ ἔζησεν ἀμασίας υἱὸς ἰωὰς βασιλεὺς ἰούδα μετὰ τὸ ἀπο-
θανεῖν ἰωὰς υἱὸν ἰωάχαζ βασιλέα ἰσραήλ, πεντεκαίδεκα ἔτη. καὶ
τὰ λοιπὰ τῶν λόγων ἀμασίου καὶ πάντα ὅσα ἐποίησεν. οὐ-
χὶ ταῦτα γεγραμμένα ἐπὶ βιβλίῳ λόγων τῶν ἡμερῶν τοῖς βα-
σιλεῦσιν ἰούδα. καὶ συνεστράφησαν ἐπ' αὐτὸν σύστρεμμα ἐν
ἱερουσαλὴμ, καὶ ἔφυγεν εἰς λαχίς. καὶ ἀπέστειλαν ὀπίσω αὐ-
τοῦ εἰς λαχὶς, καὶ ἐθανάτωσαν αὐτὸν ἐκεῖ, καὶ ἦραν αὐτὸν ἐφ'
ἵππου. καὶ ἐτάφη ἐν ἱερουσαλὴμ μετὰ τῶν πατέρων αὐτοῦ
ἐν πόλει δαβίδ. καὶ ἔλαβε πᾶς ὁ λαὸς ἰούδα τὸν ἀζαρίαν,
καὶ αὐτὸς υἱὸς ἑκκαίδεκα ἐτῶν, καὶ ἐβασίλευσαν αὐτὸν
ἀντὶ τοῦ πατρὸς αὐτοῦ ἀμασίου. αὐτὸς ᾠκοδόμησε τὴν αἰλὼθ,
καὶ ἀπέστρεψεν αὐτὴν τῷ ἰούδα. μετὰ τὸ κοιμηθῆναι τὸν βασι-

λία μετὰ τῶν πατέρων αὐτοῦ, ἐν ἔτει πεντεκαιδεκάτῳ τοῦ
ἀμεσσίου υἱοῦ ἰωὰς βασιλέως ἰούδα, ἐβασίλευσεν ἱεροβοὰμ
υἱὸς ἰωὰς ἐπὶ ἰσραὴλ ἐν σαμαρείᾳ τεσσαράκοντα καὶ ἓν ἔτος.
καὶ ἐποίησε τὸ πονηρὸν ἐνώπιον κυρίου. οὐκ ἀπέστη ἀπὸ πα-
σῶν ἁμαρτιῶν ἱεροβοὰμ υἱοῦ ναβάτ. ὃς ἐξήμαρτε τὸν ἰσραήλ.
αὐτὸς ἀπέστησε τὸ ὅριον ἰσραήλ. ἀπὸ εἰσόδου ἡμὰθ ἕως τῆς θα-
λάσσης τῆς ἀραβά. κατὰ τὸ ῥῆμα κυρίου θεοῦ ἰσραὴλ ὃ ἐλάλη-
σεν ἐν χειρὶ δούλου αὐτοῦ ἰωνὰ υἱοῦ ἀμαθὶ τοῦ προφήτου τοῦ
ἐκ γεθαχχόφερ. ὅτι εἶδε κύριος τὴν ταπείνωσιν ἰσραὴλ πι-
κρὰν σφόδρα. καὶ ὀλιγοστοὺς συνεχομένους, καὶ ἐσπανισμένους
καὶ ἐγκαταλελειμμένους, καὶ οὐκ ἦν ὁ βοηθῶν ἰσραήλ. καὶ οὐκ ἐλά-
λησε κύριος ἐξαλεῖψαι τὸ σπέρμα τοῦ ἰσραὴλ ὑποκάτωθεν τοῦ
οὐρανοῦ. καὶ ἔσωσεν αὐτοὺς διὰ χειρὸς ἱεροβοὰμ υἱοῦ ἰωάς.
καὶ τὰ λοιπὰ τῶν λόγων ἱεροβοὰμ, καὶ πάντα ὅσα ἐποίησε
καὶ αἱ δυναστεῖαι αὐτοῦ ὅσα ἐπολέμησε καὶ ὅσα ἐπέστρεψε
τὴν δαμασκὸν, καὶ τὴν αἱμὰθ τῷ ἰούδα ἐν ἰσραήλ. οὐχὶ
ταῦτα γεγραμμένα ἐπὶ τῷ βιβλίῳ λόγων τῶν ἡμερῶν τοῖς
βασιλεῦσιν ἰσραήλ; καὶ ἐκοιμήθη ἱεροβοὰμ μετὰ τῶν πατέ-
ρων αὐτοῦ μετὰ βασιλέων ἰσραήλ, καὶ ἐβασίλευσεν ἀζαρίας
* υἱὸς ἀμεσσίου ἀντὶ τοῦ πατρὸς αὐτοῦ. * Ἐν ἔτει εἰκοστῷ καὶ ἑ-
βδόμῳ τῷ ἱεροβοὰμ βασιλεῖ ἰσραὴλ ἐβασίλευσεν ἀζαρίας
υἱὸς ἀμεσσίου βασιλέως ἰούδα. υἱὸς ἑξκαίδεκα ἐτῶν ἦν ἐν τῷ
βασιλεύειν αὐτὸν, καὶ πεντήκοντα δύο ἔτη ἐβασίλευσεν ἐν
* ἱερουσαλὴμ * καὶ ὄνομα τῇ μητρὶ αὐτοῦ ἰεχελία ἐξ ἱερουσαλήμ
καὶ ἐποίησε τὸ εὐθὲς ἀγαθὸν ἐν ὀφθαλμοῖς κυρίου κατὰ πάν-
τα ὅσα ἐποίησεν ἀμεσσίας ὁ πατὴρ αὐτοῦ. πλὴν τῶν ὑψηλῶν
οὐκ ἐξῆρεν. ἔτι ὁ λαὸς ἐθυσίαζε. καὶ ἐθυμία ἐν τοῖς ὑψηλοῖς.
καὶ ἥψατο κύριος τοῦ βασιλέως, καὶ ἦλθε λελεπρωμένος ἕ-
ως ἡμέρας θανάτου αὐτοῦ. καὶ ἐβασίλευσεν ἐν οἴκῳ ἀπφουσὼθ
καὶ ἰωαθὰμ, υἱὸς τοῦ βασιλέως ἐπὶ τῷ οἴκῳ κρίνων τὸν λαὸν

τῆς γῆς. καὶ τὰ λοιπὰ τῶν λόγων ἀζαρίου, καὶ πάντα ὅσα ἐ-
ποίησεν, οὐχὶ ταῦτα γεγραμμένα ἐπὶ βιβλίῳ λόγων τῶν ἡμε-
ρῶν τοῖς βασιλεῦσιν ἰούδα. καὶ ἐκοιμήθη ἀζαρίας μετὰ τῶν
πατέρων αὐτοῦ, καὶ ἔθαψαν αὐτὸν μετὰ τῶν πατέρων αὐτοῦ
ἐν πόλει δαβίδ· καὶ ἐβασίλευσεν ἰωάθαμ υἱὸς αὐτοῦ ἀντ' αὐ-
τοῦ.

## Κεφάλαιον ιε. 15.

Ν ἔτει εἰκοστῷ, καὶ ὀγδόῳ τοῦ ἀζαρίου βασιλέως ἰού-
ξ δα ἐβασίλευσεν ἀζαρίας υἱὸς ἱεροβοὰμ ἐπὶ ἰσρα-
ὴλ. ἐν σαμαρείᾳ ἑξάμηνον καὶ ἐποίησε τὸ πονηρὸν
ἐν ὀφθαλμοῖς κυρίου καθὰ ἐποίησαν οἱ πατέρες αὐτοῦ. οὐκ ἀ-
πέστη ἀπὸ πασῶν τῶν ἁμαρτιῶν ἱεροβοὰμ υἱοῦ ναβὰτ ὃς ἐξήμαρτε
τὸν ἰσραὴλ, καὶ συνεστράφησαν ἐπ' αὐτὸν σελλοὺμ υἱὸς ἰάβεις καὶ
κεβδαὰμ καὶ σελλοὺμ ὁ πατὴρ αὐτοῦ, καὶ ἐπάταξαν αὐτὸν καὶ
ἐθανάτωσαν αὐτὸν, καὶ σελλοὺμ ἐβασίλευσεν ἀντ' αὐτοῦ, καὶ
τὰ λοιπὰ τῶν λόγων ἀζαρίου ἰδού ἐστι ταῦτα γεγραμμένα ἐπὶ βι-
βλίῳ λόγων τῶν ἡμερῶν τοῖς βασιλεῦσιν ἰσραὴλ, ὁ λόγος
κυρίου ὃν ἐλάλησε πρὸς ἰηοὺ λέγων, υἱοὶ τέταρτοι καθήσον-
ταί σοι ἐπὶ θρόνου ἰσραὴλ καὶ ἐγένετο οὕτως. καὶ σελλοὺμ υἱὸς
ἰάβεις ἐβασίλευσεν ἐν ἰσραὴλ ἐν ἔτει τριακοστῷ καὶ ἐννάτῳ
τοῦ ἀζαρίου βασιλέως ἰούδα ἐβασίλευσε σελαμοὺμ μῆνα ἡμε-
ρῶν ἐν σαμαρείᾳ, καὶ ἀνέβη μαναὰμ υἱὸς γαδδὶ ἐκ θερσιλὰ, καὶ
ἦλθεν εἰς σαμάρειαν, καὶ ἐπάταξε τὸν σελλοὺμ υἱὸν ἰάβεις ἐν σαμα-
ρείᾳ, καὶ ἐθανάτωσεν αὐτὸν καὶ τὰ λοιπὰ τῶν λόγων σελλοὺμ.
καὶ ἡ συστροφὴ αὐτοῦ ἣν συνεστράφη ἰδού εἰσι γεγραμμένα ἐπὶ
βιβλίῳ λόγων τῶν ἡμερῶν τοῖς βασιλεῦσιν ἰσραήλ. τότε ἐ-
πάταξε μαναὴλ τὴν θερσὰ, καὶ πάντα τὰ ἐν αὐτῇ, καὶ τὰ ὅ-
ρια αὐτῆς ἀπὸ θερσιλὰ, ὅτι οὐκ ἤνοιξαν αὐτῷ, καὶ ἐπάταξεν
αὐτήν. καὶ πάντας τοὺς ἐν αὐτῇ, καὶ τὰς ἐν γαστρὶ ἐχούσας ἀνέῤῥη-
ξε. καὶ ἐν ἔτει τριακοστῷ καὶ ἐννάτῳ τοῦ ἀζαρίᾳ βασιλεῖ ἰούδα. καὶ
ἐβασίλευσε μαναὴμ υἱὸς γαδδὶ ἐπὶ ἰσραὴλ ἐν σαμαρείᾳ δέκα.

κα ἔτη καὶ ἐποίησε τὸ πονηρὸν ἐν ὀφθαλμοῖς κυρίου, οὐκ ἀπέστη
ἀπὸ πασῶν ἁμαρτιῶν ἱεροβοὰμ υἱοῦ ναβὰτ ὃς ἐξήμαρτε τὸν ἰ-
σραήλ. Ἐν ταῖς ἡμέραις αὐτοῦ, ἀνέβη φουλὰ βασιλεὺς ἀσσυ-
ρίων ἐπὶ τὴν γῆν καὶ μαναὴμ ἔδωκε τῷ φουλὰ χίλια τάλαντα
ἀργυρίου εἶναι τὴν χεῖρα αὐτοῦ μετ' αὐτοῦ καὶ ἐξήνεγκε μανα-
ὴμ τὸ ἀργύριον ἐπὶ τὸν ἰσραὴλ ἐπὶ πάντα δυνατὸν ἰσχύϊ δοῦναι
τῷ βασιλεῖ τῶν ἀσσυρίων πεντήκοντα σίκλους τῷ ἀνδρὶ τῷ
ἑνὶ καὶ ἀπέστρεψε βασιλεὺς ἀσσυρίων, καὶ οὐκ ἔστη ἐκεῖ ἐν τῇ γῇ.
καὶ τὰ λοιπὰ τῶν λόγων μαναὴμ, καὶ πάντα ὅσα ἐποίησεν οὐ-
χὶ ταῦτα γεγραμμένα ἐπὶ βιβλίῳ λόγων τῶν ἡμερῶν τοῖς βα-
σιλεῦσιν ἰσραήλ. καὶ ἐκοιμήθη μαναὴμ μετὰ τῶν πατέρων
αὐτοῦ καὶ ἐβασίλευσε φακεΐας υἱὸς αὐτοῦ ἀντ' αὐτοῦ. ἐν ἔτει
πεντηκοστῷ τοῦ ἀζαρίου βασιλέως ἰούδα, ἐβασίλευσε φακεΐας
υἱὸς μαναὴμ ἐπὶ ἰσραὴλ ἐν σαμαρείᾳ δέκα δύο ἔτη, καὶ ἐποί-
ησε τὸ πονηρὸν ἐν ὀφθαλμοῖς κυρίου. οὐκ ἀπέστη ἀπὸ ἁμαρτιῶν
ἱεροβοὰμ υἱοῦ ναβὰτ ὃς ἐξήμαρτε ἰσραήλ. καὶ συνεστράφη ἐπ' αὐ-
τὸν φακεὲ υἱὸς ῥομελίου ὁ τριστάτης αὐτοῦ καὶ ἐπάταξεν αὐτὸν ἐν
σαμαρείᾳ ἐναντίον οἴκου βασιλέως μετὰ τοῦ ἀργὸβ, καὶ μετὰ
τοῦ ἀρίφ. καὶ μετ' αὐτοῦ πεντήκοντα ἄνδρες ἀπὸ τῶν γαλαδι-
τῶν. καὶ ἐθανάτωσεν αὐτόν. καὶ ἐβασίλευσεν ἀντ' αὐτοῦ. καὶ
τὰ λοιπὰ τῶν λόγων φακεΐου, καὶ πάντα ὅσα ἐποίησεν ἰδού
εἰσι γεγραμμένα ἐπὶ βιβλίῳ λόγων τῶν ἡμερῶν τοῖς βασιλεῦ-
σιν ἰσραήλ. ἐν ἔτει πεντηκοστῷ καὶ δευτέρῳ τοῦ ἀζαρίου βασι-
λέως ἰούδα ἐβασίλευσε φακεὲ υἱὸς ῥομελίου ἐπὶ ἰσραὴλ ἐν σα-
μαρείᾳ, εἴκοσιν ἔτη, καὶ ἐποίησε τὸ πονηρὸν ἐν ὀφθαλμοῖς κυρίου
οὐκ ἀπέστη ἀπὸ πασῶν ἁμαρτιῶν ἱεροβοὰμ υἱοῦ ναβὰτ ὃς ἐξήμαρ-
τε τὸν ἰσραήλ ἐν ταῖς ἡμέραις φακεὲ βασιλέως ἰσραὴλ ἦλθε θα-
γλὰ φαλλασὰρ βασιλεὺς ἀσσυρίων καὶ ἔλαβε τὴν αἴα καὶ τὴν ἀ-
βελβαιθὰ μααχὰ, καὶ τὴν ἀὼχ καὶ τὴν κενὲζ καὶ τὴν ἀσώρ, καὶ τὴν
γαλαὰδ καὶ τὴν γαλιλαίαν πᾶσαν γῆν νεφθαλεὶμ καὶ ἀπῴκισεν αὐ-

λεὺς ἀσσυρίους. καὶ συνέστρεψε σύστρεμμα ὠσηὲ υἱὸς ἠλὰ ἐπὶ φα-
κεὲ υἱὸν ῥομελίου, καὶ ἐπάταξεν αὐτὸν, καὶ ἐθανάτωσεν αὐτὸν,
καὶ ἐβασίλευσεν ἀντ' αὐτοῦ. Ἐν ἔτει εἰκοστῷ ἰωάθαμ υἱοῦ ὀ-
ζίου. καὶ τὰ λοιπὰ τῶν λόγων φακεὲ καὶ πάντα ὅσα ἐποίη-
σεν. ἰδοὺ ταῦτα γεγραμμένα ἐπὶ βιβλίῳ λόγων τῶν ἡμερῶν τοῖς
βασιλεῦσιν ἰσραήλ. Κεφ. ις. 16.

Ν ἔτει δευτέρῳ φακεὲ υἱοῦ ῥομελίου βασιλέως ἰσραὴλ
ε ἐβασίλευσεν ἰωάθαμ υἱὸς ὀζίου βασιλέως ἰούδα.
υἱὸς εἴκοσι καὶ πέντε ἐτῶν ἦν ἐν τῷ βασιλεύειν αὐτόν. καὶ
ἑξκαίδεκα ἔτη ἐβασίλευσεν ἐν ἱερουσαλήμ, καὶ ὄνομα τῆς μητρὸς
αὐτοῦ ἱερουσὰ θυγάτηρ σαδώκ. καὶ ἐποίησε τὸ εὐθὲς ἐν ὀφθαλμοῖς
κυρίου κατὰ πάντα ὅσα ἐποίησεν ἀζαρίας ὁ πατὴρ αὐτοῦ. πλὴν
τὰ ὑψηλὰ οὐκ ἐξῆρεν ἔτι ὁ λαὸς ἐθυσίαζε, καὶ ἐθυμίων ἐν τοῖς
ὑψηλοῖς. αὐτὸς ᾠκοδόμησε τὴν πόλιν οἴκου κυρίου τὴν ἐπάνω.
καὶ τὰ λοιπὰ τῶν λόγων ἰωάθαμ, καὶ πάντα ὅσα ἐποίησεν, οὐ-
χὶ ταῦτα γεγραμμένα ἐπὶ βιβλίῳ λόγων τῶν ἡμερῶν τοῖς βα-
σιλεῦσιν ἰούδα. ἐν ταῖς ἡμέραις ἐκείναις ἤρξατο κύριος ἐξαπο-
στέλλειν ἐν ἰούδα, τὸν ῥαασὼν βασιλέα συρίας. καὶ τὸν φακεὲ υἱ-
ὸν ῥομελίου. καὶ ἐκοιμήθη ἰωάθαμ μετὰ τῶν πατέρων αὐτοῦ καὶ
ἐτάφη ἐν πόλει δαβὶδ τοῦ πατρὸς αὐτοῦ. καὶ ἐβασίλευσεν ἀχαζ υἱ-
ὸς αὐτοῦ ἀντ' αὐτοῦ. ἐν ἔτει ἑπτακαιδεκάτῳ φακεὲ υἱοῦ ῥομελίου
ἐβασίλευσεν ἀχαζ υἱὸς ἰωάθαμ βασιλέως ἰούδα. υἱὸς εἴκοσι ἐ-
τῶν ἦν ἀχαζ ἐν τῷ βασιλεύειν αὐτόν. καὶ ἑξκαίδεκα ἔτη ἐβασί-
λευσεν ἐν ἱερουσαλήμ. καὶ οὐκ ἐποίησε τὸ εὐθὲς ἐν ὀφθαλμοῖς κυρί-
ου θεοῦ αὐτοῦ πιστῶς, ὡς δαβὶδ ὁ πατὴρ αὐτοῦ. καὶ ἐπορεύθη ἐν
ὁδῷ ἱεροβοὰμ υἱοῦ ναβὰτ βασιλέων ἰσραήλ, καί γε τὸν υἱὸν αὐ-
τοῦ, διῆγεν ἐν πυρὶ κατὰ τὰ βδελύγματα τῶν ἐθνῶν ὧν ἐξῆρε κύρι-
ος ἀπὸ προσώπου υἱῶν ἰσραήλ. καὶ ἐθυσίαζε, καὶ ἐθυμία ἐν τοῖς ὑ-
ψηλοῖς. καὶ ἐπὶ τῶν βουνῶν. καὶ ὑπὸ κάτω παντὸς ξύλου ἀλσώ-
δους. τότε ἀνέβη ῥαασὼν βασιλεὺς συρίας, καὶ φακεὲ υἱὸς

ρομελίου βασιλεὺς ἰσραὴλ εἰς ἱερουσαλὴμ ἐπὶ πόλεμον. καὶ ἐπο-
λιόρκουν ἐπὶ ἀχάζ. καὶ οὐκ ἠδύναντο πολεμεῖν. Ἐν τῷ καιρῷ
ἐκείνῳ, ἐπέστρεψε ῥαασὼν βασιλεὺς συρίας τὴν αἰλὰμ τῇ συ-
ρίᾳ, καὶ ἐξέβαλε τοὺς ἰουδαίους ἐξ ἐλάθ. καὶ ἰδουμαῖοι, ἦλθον
εἰς αἰλάθ, καὶ κατῴκησαν ἐκεῖ ἕως τῆς ἡμέρας ταύτης. καὶ ἀπέ-
στειλεν ἀχὰζ ἀγγέλους πρὸς θαιγλαφαλλασὰρ βασιλέα ἀσσυ-
ρίων λέγων. δοῦλός σου καὶ υἱός σου ἐγώ. ἀνάβηθι καὶ σῶσόν
με ἐκ χειρὸς βασιλέως συρίας, καὶ ἐκ χειρὸς βασιλέως ἰσραὴλ,
τῶν ἐπανισταμένων ἐπ' ἐμέ. καὶ ἔλαβεν ἀχὰζ τὸ ἀργύριον καὶ τὸ
χρυσίον τὸ εὑρεθὲν ἐν θησαυροῖς οἴκου κυρίου καὶ ἐν τοῖς θησαυ-
ροῖς οἴκου τοῦ βασιλέως. καὶ ἀπέστειλε τῷ βασιλεῖ δῶρα. καὶ ἤ-
κουσεν αὐτοῦ βασιλεὺς ἀσσυρίων. καὶ ἀνέβη βασιλεὺς ἀσσυρίων
εἰς δαμασκὸν, καὶ συνέλαβεν αὐτήν. καὶ ἀπῴκισεν αὐτήν. καὶ
τὸν ῥαασὼν βασιλέα ἐθανάτωσε. καὶ ἐπορεύθη βασιλεὺς ἀχὰζ
εἰς δαμασκὸν εἰς ἀπάντησιν τοῦ θαιγλαφαλλᾶσαρ βασιλεῖ ἀσ-
συρίων εἰς δαμασκόν. καὶ εἶδε τὸ θυσιαστήριον ἐν δαμασκῷ καὶ
ἀπέστειλεν ὁ βασιλεὺς ἀχὰζ πρὸς οὐρίαν τὸν ἱερέα τὸ ὁμοίωμα
τοῦ θυσιαστηρίου, καὶ τὸν ῥυθμὸν αὐτοῦ, καὶ πᾶσαν ποίησιν αὐτοῦ.
καὶ ᾠκοδόμησεν οὐρίας ὁ ἱερεὺς τὸ θυσιαστήριον κατὰ πάντα
ὅσα ἀπέστειλεν ὁ βασιλεὺς ἀχὰζ ἐκ δαμασκοῦ. καὶ εἶδεν ὁ βα-
σιλεὺς τὸ θυσιαστήριον καὶ ἀνέβη ἐπ' αὐτὸ καὶ ἐθυμίασε τὴν ὁλο-
καύτωσιν αὐτοῦ, καὶ τὴν θυσίαν αὐτοῦ. καὶ τὴν σπονδὴν αὐτοῦ.
καὶ προσέχεε τὸ αἷμα τῶν εἰρηνικῶν τῶν αὐτοῦ ἐπὶ τὸ θυσιαστή-
ριον τὸ χαλκοῦν τὸ ἀπέναντι κυρίου. καὶ προσήγαγε ἀπὸ προσώ-
που οἴκου κυρίου. καὶ ἀπὸ τοῦ ἀνὰ μέσον τοῦ θυσιαστηρίου. καὶ ἀ-
πὸ τοῦ ἀνὰ μέσον τοῦ οἴκου κυρίου. καὶ ἔδειξεν αὐτὸ ἐπὶ μηρὸν
τοῦ θυσιαστηρίου κατὰ βοῤῥᾶν. καὶ ἐνετείλατο ὁ βασιλεὺς ἀχὰζ
τῷ οὐρίᾳ τῷ ἱερεῖ λέγων. ἐπὶ τὸ θυσιαστήριον τὸ μέγα πρόσφε-
ρε τὴν ὁλοκαύτωσιν τὴν πρωϊνήν. καὶ τὴν θυσίαν τὴν ἑσπερι-
νήν. καὶ τὴν ὁλοκαύτωσιν τοῦ βασιλέως. καὶ τὴν θυσίαν αὐτοῦ καὶ-

τὴν ὁλοκαύτωσιν παντὸς τοῦ λαοῦ. καὶ τὴν θυσίαν αὐτῶν καὶ τὴν σπονδὴν αὐτῶν. καὶ πᾶν αἷμα ὁλοκαυτώσεως. καὶ πᾶν αἷμα θυσίας ἐπ᾽ αὐτῷ ἐκχεεῖς. καὶ τὸ θυσιαστήριον τὸ χαλκοῦν ἔσται μοι εἰς τὸ πρωΐ. καὶ ἐποίησεν οὐρίας ὁ ἱερεὺς κατὰ πάντα ὅσα ἐνετείλατο αὐτῷ ἄχαζ. καὶ συνέκοψεν ὁ βασιλεὺς ἄχαζ τὰ συγκλείσματα τῶν μεχωνὼθ, καὶ μετῆρεν ἀπ᾽ αὐτῶν τὸν λουτῆρα. καὶ τὴν θάλασσαν καθεῖλεν ἀπὸ τῶν βοῶν τῶν χαλκῶν τῶν ὑπὸ κάτω αὐτῆς, καὶ ἔδωκεν αὐτὴν ἐπὶ βάσιν λιθίνην. καὶ τὸ θεμέλιον τῆς καθέδρας ᾠκοδόμησεν ἐν οἴκῳ κυρίου. καὶ τὴν εἴσοδον τοῦ βασιλέως τὴν ἔξω ἐπέστρεψεν ἐν οἴκῳ κυρίου ἀπὸ προσώπου βασιλέως ἀσσυρίων. καὶ τὰ λοιπὰ τῶν λόγων ἄχαζ ὅσα ἐποίησεν, οὐχὶ ταῦτα γεγραμμένα ἐπὶ βιβλίῳ λόγων τῶν ἡμερῶν τοῖς βασιλεῦσιν ἰούδα. καὶ ἐκοιμήθη ἄχαζ μετὰ τῶν πατέρων αὐτοῦ καὶ ἐτάφη ἐν πόλει δαβίδ. καὶ ἐβασίλευσεν ἐζεκίας υἱὸς αὐτοῦ ἀντ᾽ αὐτοῦ.

Κεφάλαιον. ιζ΄. 17.

Ν ἔτει δωδεκάτῳ τοῦ ἄχαζ βασιλέως ἰούδα, ἐβασίλευσεν ὡσηὲ ἠλὰ ἐν σαμαρείᾳ ἐπὶ ἰσραὴλ ἐννέα ἔτη. καὶ ἐποίησε τὸ πονηρὸν ἐν ὀφθαλμοῖς κυρίου. πλὴν οὐχ ὡς οἱ βασιλεῖς ἰσραήλ. οἳ ἦσαν ἔμπροσθεν αὐτοῦ. ἐπ᾽ αὐτὸν ἀνέβη σαλαμανάσαρ βασιλεὺς ἀσσυρίων. καὶ ἐγενήθη αὐτῷ ὡσηὲ δοῦλος. καὶ ἐπέστρεψεν αὐτῷ μαναάδ. καὶ εὗρεν ὁ βασιλεὺς ἀσσυρίων ἐν τῷ ὡσηὲ ἀδικίαν. ὅτι ἀπέστειλεν ἀγγέλους πρὸς σηγὼρ βασιλέα αἰγύπτου. καὶ οὐκ ἤνεγκεν μαναὰ τῷ βασιλεῖ ἀσσυρίων ἐν τῷ ἐνιαυτῷ ἐκείνῳ, καὶ ἐπολιόρκησεν αὐτὸν ὁ βασιλεὺς ἀσσυρίων, καὶ ἔδησεν αὐτὸν ἐν οἴκῳ φυλακῆς. καὶ ἀνέβη ὁ βασιλεὺς ἀσσυρίων ἐν τῇ γῇ, καὶ ἀνέβη εἰς σαμάρειαν, καὶ ἐπολιόρκησεν αὐτὴν τρία ἔτη. ἐν ἔτει ἐννάτῳ ὡσηὲ συνέλαβε βασιλεὺς ἀσσυρίων τὴν σαμάρειαν, καὶ ἀπῴκισεν ἰσραὴλ εἰς ἀσσυρίους καὶ κατῴκισεν αὐτοὺς ἐν ἀλαὲ, καὶ ἐν ἀβὼρ ποτα-

μοῖς γωζὰν, καὶ ὄρη μήδων. καὶ ἐγένετο, ὅτι ἥμαρτον οἱ υἱοὶ ἰσρα-
ὴλ τῷ κυρίῳ θεῷ αὐτῶν, τῷ ἀναγαγόντι αὐτοὺς ἐκ γῆς αἰγύ-
πτου ὑπὸ κάτωθεν χειρὸς φαραὼ βασιλέως αἰγύπτου. καὶ ἐφο-
βήθησαν θεοὺς ἑτέρους. καὶ ἐπορεύθησαν ἐν τοῖς δικαιώμασι τῶν
ἐθνῶν ὧν ἐξῆρε κύριος ἀπὸ προσώπου υἱῶν ἰσραὴλ, καὶ οἱ βα-
σιλεῖς ἰσραὴλ ὅσοι ἐποίησαν. καὶ ὅσοι ἠμφιάσαντο οἱ υἱοὶ ἰσρα-
ὴλ λόγους. οὐχ οὕτως κατὰ κυρίου θεοῦ αὐτῶν. καὶ ᾠκοδόμησαν
ἑαυτοῖς ὑψηλὰ ἐν πάσαις ταῖς πόλεσιν αὐτῶν, ἀπὸ πύργου φυ-
λασσόντων, ἕως πόλεως ὀχυρᾶς καὶ ἐστήλωσαν ἑαυτοῖς στήλας, καὶ
ἄλση ἐπὶ παντὶ βουνῷ ὑψηλῷ, καὶ ὑποκάτω παντὸς ξύλου ἀλ-
σώδους. καὶ ἐθυμίασαν ἐκεῖ ἐν πᾶσιν ὑψηλοῖς. καθὼς τὰ ἔθνη
ἀπῴκισε κύριος ἀπὸ προσώπου αὐτῶν. καὶ ἐποίησαν κοινω-
νούς. καὶ ἐχάραξαν τοῦ παροργίσαι τὸν κύριον. καὶ ἐλάτρευσαν
τοῖς εἰδώλοις οἷς εἶπεν κύριος αὐτοῖς. οὐ ποιῆσαι τὸ ῥῆμα τοῦτο
τῷ κυρίῳ. καὶ διεμαρτύρατο κύριος ἐν τῷ ἰσραὴλ, καὶ ἐν τῷ ἰού-
δα, καὶ ἐν χειρὶ πάντων τῶν προφητῶν αὐτοῦ παντὸς ὁρῶντος λέ-
γων, ἀποστράφητε ἀπὸ τῶν ὁδῶν ὑμῶν τῶν πονηρῶν καὶ φυλά-
ξατε τὰς ἐντολάς μου, καὶ τὰ δικαιώματά μου, καὶ πάντα τὸν
νόμον ὃν ἐνετειλάμην τοῖς πατράσιν ὑμῶν. ὅσα ἀπέστειλα αὐ-
τοῖς ἐν χειρὶ τῶν δούλων μου τῶν προφητῶν, καὶ οὐκ ἤκουσαν.
καὶ ἐσκλήρυναν τὸν νῶτον αὐτῶν ὑπὲρ τὸν νῶτον τῶν πατέ-
ρων αὐτῶν. καὶ τὰ μαρτύρια αὐτοῦ ὅσα διεμαρτύρατο αὐ-
τοῖς οὐκ ἐφύλαξαν. καὶ ἐπορεύθησαν ὀπίσω τῶν ματαίων. καὶ
ἐματαιώθησαν ὀπίσω ἐθνῶν τῶν περικύκλῳ αὐτῶν, ὧν ἐνετεί-
λατο κύριος αὐτοῖς τοῦ μὴ ποιῆσαι κατὰ ταῦτα. ἐγκατέλι-
πον τὰς ἐντολὰς κυρίου θεοῦ αὐτῶν, καὶ ἐποίησαν ἑαυτοῖς χώ-
νευμα δύο δαμάλεις. καὶ ἐποίησαν ἄλση. καὶ προσεκύνησαν
πάσῃ τῇ δυνάμει τοῦ οὐρανοῦ, καὶ ἐλάτρευσαν τῷ βάαλ καὶ
διῆγον τοὺς υἱοὺς αὐτῶν, καὶ τὰς θυγατέρας αὐτῶν ἐν πυρί. καὶ
ἐμαντεύοντο μαντείας, καὶ οἰωνίζοντο, καὶ ἐπράθησαν τοῦ ποιῆ-

σαι τὸ πονηρὸν ἐν ὀφθαλμοῖς κυρίου παροργίσαι αὐτόν. καὶ ἐθυμώθη κύριος σφόδρα ἐν τῷ ἰσραήλ. καὶ ἀπέστησεν αὐτοὺς ἀπὸ προσώπου αὐτοῦ. καὶ οὐχ ὑπελείφθη πλὴν φυλὴ ἰούδα μονωτάτη. καί γε ἰούδας οὐκ ἐφύλαξε τὰς ἐντολὰς κυρίου τοῦ θεοῦ αὐτοῦ. καὶ ἐπορεύθησαν ἐν τοῖς δικαιώμασιν ἰσραὴλ οἷς ἐποίησαν, καὶ ἀπώσαντο τὸν κύριον. καὶ ἐθυμώθη κύριος ἐν παντὶ σπέρματι ἰσραήλ. καὶ ἐσάλευσεν αὐτούς. καὶ ἔδωκεν αὐτοὺς ἐν χειρὶ διαρπαζόντων αὐτούς. ἕως οὗ ἀπέρριψεν αὐτοὺς ἀπὸ προσώπου αὐτοῦ. ὅτι πλὴν ἰσραὴλ ἐπάνωθεν οἴκου δαβίδ, ἐβασίλευσε τὸν ἱεροβοὰμ υἱὸν ναβάτ. καὶ ἐξῶσεν ἱεροβοὰμ τὸν ἰσραὴλ ἐξόπισθε κυρίου. καὶ ἐξήμαρτεν αὐτούς, ἁμαρτίαν μεγάλην. καὶ ἐπορεύθησαν οἱ υἱοὶ ἰσραὴλ ἐν πάσῃ ἁμαρτίᾳ ἱεροβοὰμ ᾗ ἐποίησεν. οὐκ ἀπέστησαν ἀπ' αὐτῆς, ἕως οὗ μετέστησε κύριος τὸν ἰσραὴλ ἀπὸ προσώπου αὐτοῦ. καθὼς ἐλάλησε κύριος ἐν χειρὶ πάντων τῶν δούλων αὐτοῦ τῶν προφητῶν. καὶ ἀπῳκίσθη ἰσραὴλ ἐπάνωθεν τῆς γῆς αὐτοῦ εἰς ἀσσυρίους ἕως τῆς ἡμέρας ταύτης. καὶ ἤγαγε βασιλεὺς ἀσσυρίων ἐκ βαβυλῶνος τὸν ἐκ χουθὰ, καὶ ἀπὸ αἰὰ, καὶ ἀπὸ αἰμὰθ, καὶ σαφαρουαὶμ, καὶ κατῳκίσθησαν ἐν ταῖς πόλεσι σαμαρείας ἀντὶ τῶν υἱῶν ἰσραήλ. καὶ ἐκληρονόμησαν τὴν σαμάρειαν καὶ κατῳκίσθησαν ἐν ταῖς πόλεσιν αὐτῆς. καὶ ἐγένετο ἐν ἀρχῇ τῆς καθέδρας αὐτῶν, οὐκ ἐφοβήθησαν τὸν κύριον. καὶ ἀπέστειλε κύριος ἐν αὐτοῖς τοὺς λέοντας. καὶ ἦσαν ἀποκτείνοντες ἐν αὐτοῖς. καὶ εἶπαν τῷ βασιλεῖ ἀσσυρίων λέγοντες. τὰ ἔθνη ἃ ἀπῴκισας καὶ ἀντεκάθισας, ἐν ταῖς πόλεσι σαμαρείας, οὐκ ἔγνωσαν τὸ κρίμα τοῦ θεοῦ τῆς γῆς. καὶ ἀπέστειλεν εἰς αὐτοὺς τοὺς λέοντας. καὶ ἰδού εἰσι θανατοῦντες αὐτούς. καθότι οὐκ οἴδασι τὸ κρίμα τοῦ θεοῦ τῆς γῆς. καὶ ἐνετείλατο ὁ βασιλεὺς ἀσσυρίων λέγων. ἀπαγάγετε ἐκεῖθεν, καὶ πορευέσθωσαν, καὶ κατοικείτωσαν ἐκεῖ. καὶ φωτιοῦσιν αὐτοὺς τὸ κρίμα τοῦ θεοῦ τῆς γῆς. καὶ ἤγαγον ἕνα τῶν ἱερέων ὧν ἀπήγαγον ἀπὸ

σαμαρείας, καὶ ἐκάθισεν ἐν βαιθήλ. καὶ ἦν φωτίζων ὁ ἱερεὺς αὐ-
τοὺς ὅπως φοβηθῶσι τὸν κύριον. καὶ ἦσαν ποιοῦντες ἔθνη θεοὺς αὐ-
τῶν, καὶ ἔθηκαν ἐν οἴκῳ τῶν ὑψηλῶν ὧν ἐποίησαν οἱ σαμαρεῖται
ἔθνη ἐν ταῖς πόλεσιν αὐτῶν ἐν αἷς κατῴκουν. καὶ οἱ ἄνδρες βα-
βυλῶνος, ἐποίησαν τὴν σωκχὼθ βενίθ. καὶ οἱ ἄνδρες χοὺθ, ἐ-
ποίησαν τὴν γιγὲλ. καὶ οἱ ἄνδρες αἱμὰθ ἐποίησαν τὴν ἀσι-
μάθ. καὶ οἱ εὐαῖοι ἐποίησαν τὴν ἀβλαζὲρ καὶ τὴν θαρὰχ, καὶ ὁ
σεπφουρεὶμ ἡνίκα κατέκαιον τοὺς υἱοὺς αὐτῶν ἐν πυρὶ τῷ ἀν-
δραμέλεχ καὶ ἀνημελὲχ θεοῖς σεφαρουαίμ. καὶ ἦσαν φοβούμενοι
τὸν κύριον. καὶ κατῴκισαν τὰ βδελύγματα αὐτῶν ἐν τοῖς οἴκοις
τῶν ὑψηλῶν ἃ ἐποίησαν ἐν σαμαρείᾳ ἔθνος ἔθνος ἐν πόλει. ἐν
ᾗ κατῴκουν ἐν αὐτῇ, καὶ ἦσαν φοβούμενοι τὸν κύριον. καὶ ἐποίη-
σαν ἑαυτοῖς ἱερεῖς τῶν ὑψηλῶν. καὶ ἐποίησαν ἑαυτοῖς ἐν οἴκῳ
τῶν ὑψηλῶν, καὶ τὸν κύριον ἐφοβοῦντο, καὶ τοῖς εἰδώλοις ἐλάτρευον
κατὰ τὸ κρίμα τῶν ἐθνῶν ὅθεν ἀπῴκισαν αὐτοὺς ἐκεῖθεν ἕως τῆς
ἡμέρας ταύτης αὐτοὶ ἐποίουν κατὰ τὸ κρίμα αὐτῶν αὐτοὶ φο-
βοῦνται, καὶ αὐτοὶ ποιοῦσι κατὰ τὰ δικαιώματα αὐτῶν καὶ κατὰ
τὴν κρίσιν αὐτῶν. καὶ κατὰ τὸν νόμον καὶ κατὰ τὴν ἐντολὴν ἣν
ἐνετείλατο κύριος τοῖς υἱοῖς ἰακὼβ οὗ ἔθηκε τὸ ὄνομα αὐτοῦ ἰ-
σραήλ. καὶ διέθετο κύριος μετ' αὐτῶν διαθήκην, καὶ ἐνετείλα-
το αὐτοῖς λέγων. οὐ φοβηθήσεσθε θεοὺς ἑτέρους. καὶ οὐ προσκυ-
νήσετε αὐτοῖς καὶ οὐ λατρεύσετε αὐτοῖς, καὶ οὐ θυσιάσετε αὐ-
τοῖς. ὅτι ἀλλ' ἢ τῷ κυρίῳ ὃς ἀνήγαγεν ὑμᾶς ἐκ γῆς αἰγύπτου
ἐν ἰσχύι μεγάλῃ, καὶ ἐν βραχίονι ὑψηλῷ. αὐτὸν φοβηθήσεσθε. καὶ
αὐτῷ προσκυνήσετε, καὶ αὐτῷ θυσιάσετε. καὶ τὰ δικαιώματα
αὐτοῦ, καὶ τὰ κρίματα αὐτοῦ καὶ τὸν νόμον αὐτοῦ, καὶ τὰς ἐντολὰς,
ἃς ἔγραψεν ὑμῖν φυλάσσεσθε ποιεῖν πάσας τὰς ἡμέρας. καὶ οὐ
φοβηθήσεσθε θεοὺς ἑτέρους. καὶ τὴν διαθήκην ἣν διέθετο μεθ'
ὑμῶν, οὐκ ἐπιλησθήσεσθε, καὶ οὐ φοβηθήσεσθε θεοὺς ἑτέρους. ὅτι
ἀλλ' ἢ τὸν κύριον θεὸν ὑμῶν φοβηθήσεσθε, καὶ αὐτὸς ἐξελεῖται ὑ-

μᾶς ἐκ πάντων τῶν ἐχθρῶν ὑμῶν. καὶ οὐκ ἀκούσεσθε ἐπὶ τῷ
κρίματι αὐτῶν ὃ αὐτοὶ ποιοῦσι. καὶ ἦσαν τὰ ἔθνη ταῦτα φο-
βούμενοι τὸν κύριον. καὶ τοῖς γλυπτοῖς αὐτῶν ἦσαν δουλεύοντες
καί γε υἱοὶ καί γε υἱοὶ τῶν υἱῶν αὐτῶν. καθὰ ἐποίησαν οἱ πατέ-
ρες αὐτῶν οὕτως ποιοῦσιν ἕως τῆς ἡμέρας ταύτης.

## Κεφάλαιον ιή. 18.

Αἰ ἐγένετο ἐν ἔτει τρίτῳ ὠσηὲ υἱῷ ἠλὰ βασιλέως ἰσ-
κ ραήλ, ἐβασίλευσεν ἐζεκίας υἱὸς ἄχαζ βασιλέως ἰου-
δα, υἱὸς εἴκοσι, καὶ πέντε ἐτῶν ἦν ἐν τῷ βασιλεύειν αὐ-
τόν. καὶ εἴκοσι καὶ ἐννέα ἔτη ἐβασίλευσεν ἐν ἱερουσαλήμ. καὶ ὄ-
νομα τῇ μητρὶ αὐτοῦ ἀβούθα θυγάτηρ ζαχαρίου. καὶ ἐποίησε τὸ
εὐθὲς ἐν ὀφθαλμοῖς κυρίου. κατὰ πάντα ὅσα ἐποίησε δαβὶδ ὁ
πατὴρ αὐτοῦ, καὶ αὐτὸς ἐξῆρε τὰ ὑψηλά, καὶ συνέτριψε πάσας
τὰς στήλας. καὶ ἐξωλόθρευσε τὰ ἄλση. καὶ τὸν ὄφιν τὸν χαλκοῦν
ὃν ἐποίησε μωϋσῆς. ὅτι ἕως τῶν ἡμερῶν ἐκείνων ἦσαν οἱ υἱοὶ ἰ-
σραὴλ θυμιῶντες αὐτῷ. καὶ ἐκάλεσε αὐτὸν νεεσθάν. ἐν κυρίῳ
θεῷ ἰσραὴλ ἤλπισε. καὶ μετ' αὐτὸν οὐκ ἐγενήθη ὅμοιος αὐτῷ
ἐν βασιλεῦσιν ἰούδα. καὶ ἐν τοῖς γενομένοις ἔμπροσθεν αὐτοῦ
καὶ ἐκολλήθη τῷ κυρίῳ, οὐκ ἀπέστη ὄπισθεν αὐτοῦ. καὶ ἐφύλα-
ξε τὰς ἐντολὰς αὐτοῦ, ὅσας ἐνετείλατο μωϋσῆς. καὶ ἦν κύριος μετ'
αὐτοῦ. ἐν πᾶσιν οἷς ἐποίει συνῆκε. καὶ ἠθέτησαν ἐν τῷ βασι-
λεῖ ἀσσυρίων, καὶ οὐκ ἐδούλευσεν αὐτῷ. αὐτὸς ἐπάταξε τοὺς
ἀλλοφύλους ἕως γάζης. καὶ ἕως ὁρίου αὐτῆς. ἀπὸ πύργου φυλασ-
σόντων, καὶ ἕως πόλεως ὀχυρᾶς. καὶ ἐγένετο ἐν τῷ ἔτει τῷ τε-
τάρτῳ βασιλεῖ ἐζεκίᾳ, αὐτὸς ἐνιαυτὸς ὁ ἕβδομος τῷ ὠσηὲ υἱῷ
ἠλὰ βασιλεῖ ἰσραήλ, ἀνέβη σαλαμανασὰρ βασιλεὺς ἀσσυρίων
ἐπὶ σαμάρειαν, καὶ ἐπολιόρκει αὐτήν, καὶ κατελάβετο αὐτὴν ἀ-
πὸ τέλους τριῶν ἐτῶν, ἐν ἔτει ἕκτῳ ἐζεκίου. οὗτος ἐνιαυτὸς ἔννατος
τῷ ὠσηὲ βασιλεῖ ἰσραήλ. καὶ συνελήφθη σαμάρεια, καὶ ἀπώκι-
σεν βασιλεὺς ἀσσυρίων τὴν σαμάρειαν εἰς ἀσσυρίους. καὶ ἔθη-

καὶ αὐτοὺς ἐν ἀλαὲ καὶ ἐν ἀβὼρ ποταμῷ γωζὰν, καὶ ὄρη μήδων·
ἀνθ᾽ ὧν ὅτι οὐκ ἤκουσαν τῆς φωνῆς κυρίου θεοῦ αὐτῶν· καὶ παρέβησαν
τὴν διαθήκην αὐτοῦ πάντα ὅσα ἐνετείλατο μωϋσῆς ὁ δοῦλος κυ-
ρίου, καὶ οὐκ ἤκουσαν καὶ οὐκ ἐποίησαν. καὶ τῷ τεσσαρεσκαι-
δεκάτῳ ἔτει τοῦ βασιλέως ἐζεκίου, ἀνέβη σενναχηρεὶμ βασι-
λεὺς ἀσσυρίων ἐπὶ τὰς πόλεις ἰούδα τὰς ὀχυρὰς, καὶ συνέλα-
βεν αὐτάς. καὶ ἀπέστειλεν ἐζεκίας βασιλεὺς ἰούδα ἀγγέλους πρὸς
βασιλέα ἀσσυρίων εἰς λαχεὶς λέγων ἡμάρτηκα ἀποστράφηθι ἀ-
π᾽ ἐμοῦ. ὃ ἐὰν ἐπιθῇς ἐπ᾽ ἐμὲ βαστάσω. καὶ ἐπέθηκε ὁ βασιλεὺς
ἀσσυρίων ἐπὶ ἐζεκίαν βασιλέα ἰούδα τριακόσια τάλαντα ἀργυ-
ρίου. καὶ τριάκοντα τάλαντα χρυσίου. καὶ ἔδωκεν ἐζεκίας πᾶν
τὸ ἀργύριον τὸ εὑρεθὲν ἐν οἴκῳ κυρίου. καὶ ἐν θησαυροῖς οἴκου βα-
σιλέως. ἐν τῷ καιρῷ ἐκείνῳ, συνέκοψεν ἐζεκίας βασιλεὺς ἰού-
δα τὰς θύρας ναοῦ κυρίου, καὶ τὰ ἐστηρισμένα ἃ ἐχρύσωσεν ἐζε-
κίας ὁ βασιλεὺς ἰούδα. καὶ ἔδωκεν αὐτὰ βασιλεῖ ἀσσυρίων.
καὶ ἀπέστειλε βασιλεὺς ἀσσυρίων, τὸν θαρθὰν καὶ τὸν ῥαβοσὰν
καὶ τὸν ῥαψάκην ἐκ λαχεὶς εἰς ἱερουσαλὴμ πρὸς τὸν βασιλέα ἐ-
ζεκίαν ἐν δυνάμει βαρείᾳ σφόδρα. καὶ ἀνέβησαν, καὶ ἦλθον εἰς ἱ-
ερουσαλὴμ καὶ ἔστησαν ἐν τῷ ὑδραγωγῷ τῆς κολυμβήθρας τῆς
ἄνω ἥ ἐστιν ἐν τῇ ὁδῷ τοῦ ἀγροῦ τοῦ γναφέως. καὶ ἐβόησαν πρὸς ἐζεκί-
αν. καὶ ἐξῆλθον πρὸς αὐτὸν ἐλιακεὶμ τοῦ χελκίου ὁ οἰκονόμος
καὶ σωμνᾶς ὁ γραμματεὺς καὶ ἰωὰς ὁ υἱὸς σαφὰτ ὁ ἀναμιμνή-
σκων. καὶ εἶπε πρὸς αὐτοὺς ῥαψάκης. εἴπατε δὴ πρὸς ἐζεκίαν.
τάδε λέγει ὁ βασιλεύς. ὁ μέγας βασιλεὺς ἀσσυρίων. τίς ἡ πε-
ποίθησις αὕτη ἣν πέποιθας. εἶπας πλὴν λόγοι χειλέων βουλὴ
καὶ δύναμις εἰς πόλεμον. νῦν οὖν τίνι πεποιθὼς ἠθέτησας
εἰς ἐμέ. νῦν ἰδοὺ πέποιθας σαυτῷ ἐπὶ τὴν ῥάβδον τὴν κα-
λαμίνην τὴν τεθλασμένην ταύτην ἐπ᾽ αἴγυπτον. ὃς ἂν ἐπιστη-
ριχθῇ ἀνὴρ ἐπ᾽ αὐτήν. καὶ εἰσελεύσεται εἰς τὴν χεῖρα αὐτοῦ.
καὶ τρήσει αὐτήν. οὕτως φαραὼ βασιλεὺς αἰγύπτου, πᾶσι τοῖς

πεποιθόσιν ἐπ' αὐτόν, καὶ ὅτι εἶπας πρός με, ἐπὶ κύριον τὸν θεὸν πεποίθαμεν. οὐχὶ αὐτὸς οὗτος ἀπέστησεν ἐζεκίας τὰ ὑψηλὰ αὐτοῦ καὶ θυσιαστήρια αὐτοῦ. καὶ εἶπε τῷ ἰούδα, καὶ τῇ ἱερουσαλήμ, ἐνώπιον τοῦ θυσιαστηρίου τούτου προσκυνήσετε ἐν ἱηλ. καὶ νῦν μίχθητε δὴ τῷ κυρίῳ μου τῷ βασιλεῖ ἀσσυρίων. καὶ δώσω σοι δισχιλίους ἵππους. εἰ δυνήσῃ δοῦναι αὐτῷ ἐπιβάτας ἐπ' αὐτούς. καὶ πῶς ἀποστρέψεις τὸ πρόσωπον τοπάρχου ἑνὸς τῶν δούλων τοῦ κυρίου μου τῶν ἐλαχίστων, καὶ ἤλπισας σαυτῷ εἰς αἴγυπτον, εἰς ἅρμα καὶ ἱππεῖς. νῦν οὖν μὴ ἄνευ κυρίου ἀνέβημεν ἐπὶ τὸν τόπον τοῦτον τοῦ διαφθεῖραι αὐτόν, κύριος εἶπε πρός με. ἀνάβηθι ἐπὶ τὴν γῆν ταύτην, καὶ διάφθειρον αὐτήν. καὶ εἶπεν ἐλιακὶμ υἱὸς χελκίου, καὶ σομνᾶς καὶ ἰωὰς πρὸς ῥαψάκην· λάλησον δὴ πρὸς τοὺς παῖδάς σου συριστί, ὅτι ἀκούομεν ἡμεῖς. καὶ οὐ λαλήσεις πρὸς ἡμᾶς ἰουδαϊστί, καὶ ἵνα τί λαλεῖς ἐν τοῖς ὠσὶ τοῦ λαοῦ τοῦ ἐπὶ τοῦ τείχους, καὶ εἶπε πρὸς αὐτοὺς ῥαψάκης. μὴ πρὸς τὸν κύριόν σου καὶ πρὸς σὲ ἀπέστειλέ με ὁ κύριός μου λαλῆσαι τοὺς λόγους τούτους, οὐχὶ ἐπὶ τοὺς ἄνδρας τοὺς καθημένους ἐπὶ τοῦ τείχους τοῦ φαγεῖν τὴν κόπρον αὐτῶν, καὶ πιεῖν τὸ οὖρον αὐτῶν μεθ' ὑμῶν ἅμα. καὶ ἔστη ῥαψάκης, καὶ ἐβόησε φωνῇ μεγάλῃ ἰουδαϊστί, καὶ ἐλάλησε. καὶ εἶπεν. ἀκούσατε τοὺς λόγους τοῦ μεγάλου βασιλέως ἀσσυρίων. τάδε λέγει ὁ βασιλεύς. μὴ ἐπαιρέτω ὑμᾶς ἐζεκίας. ὅτι οὐ μὴ δυνήσηται ὑμᾶς ἐξελέσθαι ἐκ χειρός μου. καὶ μὴ ἐπελπιζέτω ὑμᾶς ἐζεκίας ἐπὶ κύριον λέγων, ἐξαιρούμενος ἐξελεῖται ὑμᾶς κύριος, οὐ μὴ παραδοθῇ ἡ πόλις αὕτη ἐν χειρὶ βασιλέως ἀσσυρίων. μὴ ἀκούετε ἐζεκίου. ὅτι τάδε λέγει ὁ βασιλεὺς ἀσσυρίων. ποιήσατε μετ' ἐμοῦ εὐλογίαν καὶ ἐξέλθετε πρός με. καὶ πίεται ἀνὴρ τὴν ἄμπελον αὐτοῦ. καὶ ἀνὴρ τὴν συκῆν αὐτοῦ φάγεται. καὶ πίεται ὕδωρ τοῦ λάκκου αὐτοῦ, ἕως ἔλθω καὶ λάβω ὑμᾶς εἰς γῆν, ὡς ἡ γῆ ὑμῶν, γῆ, σίτου, καὶ οἴνου καὶ ἄρτου καὶ ἀμπελώνων. γῆ ἐλαίας ἐλαίου καὶ μέλιτος. καὶ ζήσετε καὶ οὐ μὴ ἀποθάνητε. καὶ μὴ ἀκούετε ἐζε-

κίου, ὅτι ἀπατᾷ ὑμᾶς λέγων, κύριος ῥύσεται ὑμᾶς. μὴ ῥυόμε-
νοι ἐῤῥύσαντο οἱ θεοὶ τῶν ἐθνῶν ἕκαστος τὴν ἑαυτοῦ χώραν ἐκ χει-
ρὸς βασιλέως ἀσσυρίων; ποῦ ἐστιν ὁ θεὸς αἰμάθ. καὶ ἀρφάδ. ποῦ
ἐστιν ὁ θεὸς σεπφαρουαὶμ ἀνὰ καὶ ἀβά. μήτι ἐξείλαντο σαμάρει-
αν ἐκ χειρός μου τίς ἐν πᾶσι τοῖς θεοῖς τῶν γαιῶν οἳ ἐξεῖλον τὰς
γᾶς αὐτῶν ἐκ χειρός μου. ὅτι ἐξελεῖται κύριος τὴν ἱερουσαλὴμ ἐκ
χειρός μου. καὶ ἐκώφευσαν καὶ οὐκ ἀπεκρίθησαν αὐτῷ λόγον.
ὅτι ἐντολὴ τοῦ βασιλέως λέγων οὐκ ἀποκριθήσεσθε αὐτῷ.

Κεφ. ιθ΄. 19.

αὶ εἰσῆλθεν ἐλιακεὶμ υἱὸς χελκίου ὁ οἰκονόμος. καὶ
κ σομνᾶς ὁ γραμματεύς. καὶ ἰωὰς υἱὸς ἰωσαφὰτ ὁ ἀνα-
μιμνήσκων πρὸς ἐζεκίαν, διεῤῥηχότες τὰ ἱμάτια καὶ
ἀνήγγειλαν αὐτῷ τοὺς λόγους ῥαψάκου, καὶ ἐγένετο ὡς ἤκου-
σεν ὁ βασιλεὺς ἐζεκίας, καὶ διέῤῥηξε τὰ ἱμάτια αὐτοῦ. καὶ πε-
ριεβάλετο σάκκον. καὶ εἰσῆλθεν εἰς οἶκον κυρίου. καὶ ἀπέστειλεν
ἐλιακεὶμ τὸν οἰκονόμον, καὶ σομνᾶν τὸν γραμματέα, καὶ τοὺς
πρεσβυτέρους τῶν ἱερέων περιβεβλημένους σάκκους πρὸς ἠ-
σαΐαν υἱὸν ἀμμὼς τὸν προφήτην, καὶ εἶπον πρὸς αὐτόν. τάδε
λέγει ἐζεκίας. ἡμέρα θλίψεως, καὶ ἐλεγμοῦ, καὶ παροργισμοῦ
ἡ ἡμέρα αὕτη. ὅτι ἦλθον υἱοὶ ἕως ὠδίνων. καὶ ἰσχὺς οὐκ ἔστι τῇ
τικτούσῃ. ὅπως εἰσακούσεται κύριος ὁ θεός σου πάντας τοὺς λό-
γους ῥαψάκου ὃν ἀπέστειλεν αὐτὸν βασιλεὺς ἀσσυρίων ὁ κύριος
αὐτοῦ ὀνειδίζειν θεὸν ζῶντα καὶ βλασφημεῖν ἐν λόγοις οἷς ἤκου-
σε κύριος ὁ θεός σου. καὶ λήψῃ προσευχὴν περὶ τοῦ λείμμα-
τος τοῦ εὑρισκομένου, καὶ ἦλθον οἱ παῖδες τοῦ βασιλέως ἐζεκίου
πρὸς ἠσαΐαν, καὶ εἶπεν αὐτοῖς ἠσαΐας τάδε ἐρεῖτε πρὸς τὸν
κύριον ὑμῶν. τάδε λέγει κύριος. μὴ φοβηθῇς ἀπὸ προσώπου
τῶν λόγων ὧν ἤκουσας ὧν ἐβλασφήμησαν τὰ παιδάρια βασι-
λέως ἀσσυρίων. ἰδοὺ ἐγὼ δίδωμι ἐν αὐτῷ πνεῦμα καὶ ἀ-
κούσεται ἀγγελίαν καὶ ἀποστραφήσεται εἰς τὴν γῆν αὐτοῦ. καὶ κατα-

βαλῶ αὐτὸν ἐν ῥομφαίᾳ ἐν τῇ γῇ αὐτοῦ. καὶ ἀπέστρεψε ῥαψάκης, καὶ
εὗρε τὸν βασιλέα ἀσσυρίων πολεμοῦντα ἐπὶ λοβνά, ὅτι ἤκουσεν
ὅτι ἀπῆρεν ἐκ λάχεις. καὶ ἤκουσε περὶ θαρακὰ βασιλέως αἰ-
θιόπων λέγων. ἰδοὺ ἐξῆλθε πολεμεῖν μετὰ σοῦ, καὶ ἐπέστρεψε
καὶ ἀπέστειλεν ἀγγέλους, πρὸς ἐζεκίαν λέγων, οὕτως ἐρεῖτε
ἐζεκίᾳ βασιλεῖ τῆς ἰουδαίας. μὴ ἐπαιρέτω σε ὁ θεός σου ἐφ᾽ ᾧ
σὺ πέποιθας ἐπ᾽ αὐτῷ. λέγων, οὐ μὴ παραδοθῇ ἱερουσαλὴμ
εἰς χεῖρας βασιλέως ἀσσυρίων. ἰδοὺ σὺ ἤκουσας πάντα ὅσα ἐ-
ποίησαν βασιλεῖς ἀσσυρίων πάσαις ταῖς γαίαις τοῦ ἀναθεματί-
σαι αὐτάς. καὶ σὺ ῥυσθήσῃ; μὴ ἐξαιρούμενοι ἐξείλαντο αὐτοὺς
οἱ θεοὶ τῶν ἐθνῶν, οὓς διέφθειραν οἱ πατέρες μου, τήν τε γῶ-
ζάν, καὶ τὴν χαῤῥάν, καὶ τὴν φαρές. καὶ υἱοὺς ἀδὲμ τοὺς ἐν θαλα-
σαρίμ; ποῦ ἐστιν ὁ βασιλεὺς αἱμάθ, καὶ ὁ βασιλεὺς ἀρφάδ, καὶ
ποῦ ἐστιν ὁ βασιλεὺς τῆς πόλεως σαφαρουεὶμ ἀνὰ καὶ ἀβά. καὶ
ἔλαβεν ἐζεκίας τὰ βιβλία ἐκ χειρὸς τῶν ἀγγέλων, καὶ ἀνέγνω
αὐτά. καὶ ἀνέβη εἰς οἶκον κυρίου. καὶ ἀνέπτυξεν αὐτὰ ἐζεκίας
ἐναντίον κυρίου καὶ εἶπεν. κύριε ὁ θεὸς ἰσραήλ. ὁ καθήμενος
ἐπὶ τῶν χερουβὶμ, σὺ εἶ ὁ θεὸς μόνος ἐν πάσαις ταῖς βασιλεί-
αις τῆς γῆς. σὺ ἐποίησας τὸν οὐρανὸν καὶ τὴν γῆν. κλῖνον κύριε
τὸ οὖς σου καὶ ἄκουσόν μου. ἄνοιξον κύριε τοὺς ὀφθαλμούς σου,
καὶ ἴδε καὶ ἄκουσον τοὺς λόγους σενναχηρεὶμ οὓς ἀπέστειλεν ὀ-
νειδίζειν θεὸν ζῶντα. ὅτι ἐν ἀληθείᾳ κύριε ἠρήμωσαν βασιλεῖς
ἀσσυρίων τὰ ἔθνη, καὶ ἔδωκαν τοὺς θεοὺς αὐτῶν εἰς τὸ πῦρ. ὅτι
οὐ θεοί εἰσιν, ἀλλ᾽ ἢ ἔργα χειρῶν ἀνθρώπων. ξύλα καὶ λίθοι καὶ
ἀπώλεσαν αὐτούς. καὶ νῦν κύριε ὁ θεὸς ἡμῶν, σῶσον ἡμᾶς ἐκ
χειρὸς αὐτοῦ. καὶ γνώσονται πᾶσαι αἱ βασιλεῖαι τῆς γῆς. ὅτι
σὺ εἶ κύριος ὁ θεὸς μόνος. καὶ ἀπέστειλεν ἡσαΐας υἱὸς ἀμὼς
πρὸς ἐζεκίαν λέγων, τάδε λέγει κύριος ὁ θεὸς τῶν δυνάμε-
ων ὁ θεὸς ἰσραήλ. ἤκουσα ἃ προσηύξω πρός με περὶ σενναχηρεὶμ βα-
σιλέως ἀσσυρίων. οὗτος ὁ λόγος ὃν ἐλάλησε κύριος περὶ αὐτοῦ, ἐ-

ξουδένωσέ σε καὶ ἐξεμυκτήρισέ σε παρθένος θυγάτηρ σιών. ἐπὶ σοὶ κεφαλὴν αὐτῆς ἐκίνησε θυγάτηρ ἱερουσαλήμ. τίνα ὠνείδισας καὶ τίνα ἐβλασφήμησας. καὶ ἐπὶ τίνα ὕψωσας φωνὴν καὶ ἦρας εἰς ὕψος τοὺς ὀφθαλμούς σου. εἰς τὸν ἅγιον τοῦ ἰσραήλ; ἐν χειρὶ ἀγγέλων σου ὠνείδισας κύριον καὶ εἶπας. ἐν τῷ πλήθει τῶν ἁρμάτων μου, ἐγὼ ἀναβήσομαι εἰς ὕψος ὀρέων μέρος τοῦ λιβάνου. καὶ ἔκοψα τὸ μέγεθος τῆς κέδρου αὐτοῦ. καὶ τὰ ἐκλεκτὰ κυπαρίσσων αὐτοῦ. καὶ ἦλθον εἰς μέρος τοῦ τέλους αὐτοῦ δρυμοῦ καρμήλου αὐτοῦ. ἐγὼ ἐφύλαξα καὶ ἔπιον ὕδατα ἀλλότρια. καὶ ἐξηρήμωσα τῷ ἴχνει τοῦ ποδός μου πάντας τοὺς ποταμοὺς περιοχῆς. μὴ οὐκ ἤκουσας εἰς ἀπομακρόθεν αὐτὴν ἐποίησα. εἰς ἀπὸ ἡμερῶν ἀρχῆθεν ἔπλασα αὐτὴν καὶ ἤγαγον αὐτήν. καὶ ἐγενήθη εἰς ἐπάρσεις ἀποικεσιῶν μαχίμων πόλεις ὀχυράς. καὶ οἱ ἐνοικοῦντες ἐν αὐταῖς ἠσθένησαν τῇ χειρὶ ἔπτηξαν καὶ κατῃσχύνθησαν. ἐγένοντο χόρτος ἀγροῦ, ἢ χλωρὰ βοτάνη χλόη δωμάτων. καὶ πατήματα ἀπέναντι ἑστηκότος. καὶ τὴν καθέδραν σου καὶ τὴν ἔξοδόν σου ἔγνων. καὶ τὸν θυμόν σου διὰ τὸ ὀργισθῆναί σε ἐπ' ἐμέ. καὶ τὸ στρῆνός σου ἀνέβη ἐν τοῖς ὠσί μου. καὶ θήσω τὰ ἄγκιστρά μου ἐν τοῖς μυκτῆρσί σου, καὶ χαλινὸν ἐν τοῖς χείλεσί σου. καὶ ἀποστρέψω σε ἐν τῇ ὁδῷ ᾗ ἦλθες ἐν αὐτῇ. καὶ τοῦτό σοι τὸ σημεῖον. φαγῇ τοῦτον τὸν ἐνιαυτὸν, αὐτόματα. καὶ τῷ ἔτει τῷ δευτέρῳ, τὰ ἀνατέλλοντα. καὶ τῷ ἔτει τῷ τρίτῳ σπορὰ καὶ ἄμητος καὶ φυτεία ἀμπελώνων. καὶ φάγεσθε τὸν καρπὸν αὐτῶν. καὶ προσθήσει τὸ διασεσωσμένον οἴκου οἴκου ἰουδα τὸ ὑπολειφθὲν ῥίζαν κάτω. καὶ ποιήσει καρπὸν ἄνω. ὅτι ἐξ ἱερουσαλὴμ ἐξελεύσεται κατάλειμμα καὶ ἀνασωζόμενος ἐξ ὄρους σιών. ὁ ζῆλος κυρίου τῶν δυνάμεων ποιήσει τοῦτο. οὐχ οὕτως. τάδε λέγει κύριος πρὸς βασιλέα ἀσσυρίων. οὐκ εἰσελεύσεται εἰς τὴν πόλιν ταύτην λέγει κύριος. καὶ οὐ τοξεύσει ἐκεῖ βέλος. καὶ οὐ προφθάσει ἐπ' αὐτὴν, θυρεός. καὶ οὐ μὴ ἐκχέῃ ἐπ'

αὐτὴν πρόσχωμα. τῇ ὁδῷ ᾗ ἦλθεν ἐν αὐτῇ, ἀποστραφήσεται, καὶ
εἰς τὴν πόλιν ταύτην οὐκ εἰσελεύσεται λέγει κύριος. καὶ ὑπερα-
σπιῶ ὑπὲρ τῆς πόλεως ταύτης τοῦ σῶσαι αὐτὴν δι' ἐμὲ, καὶ διὰ
δαβὶδ τὸν δοῦλόν μου. καὶ ἐγένετο ἕως νυκτὸς. καὶ ἐξῆλθεν ἄγ-
γελος κυρίου καὶ ἐπάταξεν ἐν τῇ παρεμβολῇ τῶν ἀσσυρίων,
ἑκατὸν ὀγδοηκονταπέντε χιλιάδας. καὶ ὤρθρισαν τοπρωΐ. καὶ
ἰδοὺ πάντες σώματα νεκρά. καὶ ἀπῆρε καὶ ἀπέστρεψε. καὶ ἐ-
πορεύθη σενναχηρεὶμ βασιλεὺς ἀσσυρίων καὶ ᾤκησεν ἐν νινευῇ.
καὶ ἐγένετο αὐτοῦ προσκυνοῦντος ἐν οἴκῳ μεσεράχ τοῦ θεοῦ αὐτοῦ
καὶ ἀδραμέλεχ καὶ σαρασὰρ υἱὸς αὐτοῦ, ἐπάταξαν αὐτὸν ἐν μα-
χαίρᾳ. καὶ ἐσώθησαν εἰς γῆν ἀραρὰτ. καὶ ἐβασίλευσεν ἀσορ-
δὰν υἱὸς αὐτοῦ ἀντ' αὐτοῦ.

Κεφάλαι. κ' 20.

Ἐν ταῖς ἡμέραις ἐκείναις ἠῤῥώστησεν ἐζεκίας εἰς θά-
ξ νατον. καὶ εἰσῆλθε πρὸς αὐτὸν ἠσαΐας υἱὸς ἀμὼς ὁ
προφήτης, καὶ εἶπε πρὸς αὐτὸν, τάδε λέγει κύριος ἔντει-
λαι τῷ οἴκῳ σου. ὅτι ἀποθνήσκεις σὺ καὶ οὐ ζήσῃ. καὶ ἀπέστρεψεν
ἐζεκίας τὸ πρόσωπον αὐτοῦ πρὸς τὸν τοῖχον. καὶ ηὔξατο πρὸς κύριον
λέγων, κύριε μνήσθητί μου δὴ ὅσα περιεπάτησα ἐνώπιόν σου ἐν ἀ-
ληθείᾳ καὶ ἐν καρδίᾳ πλήρει καὶ τὸ ἀγαθὸν ἐν ὀφθαλμοῖς σου
ἐποίησα. καὶ ἔκλαυσεν ἐζεκίας κλαυθμῷ μεγάλῳ. καὶ ἦν ἠσα-
ΐας ἐν τῇ αὐλῇ τῇ μέσῃ. καὶ ῥῆμα κυρίου ἐγένετο πρὸς αὐτὸν λέ-
γων. ἐπίστρεψον καὶ ἐρεῖς πρὸς ἐζεκίαν τὸν ἡγούμενον τοῦ λαοῦ μου
τάδε λέγει κύριος ὁ θεὸς δαβὶδ τοῦ πατρός σου ἤκουσα τῆς
προσευχῆς σου καὶ εἶδον τὰ δάκρυά σου. ἰδοὺ ἐγὼ ἰάσο-
μαί σε. καὶ ἐν τῇ ἡμέρᾳ τῇ τρίτῃ, καὶ ἀναβήσῃ εἰς οἶκον κυρίου.
καὶ προσθήσω ἐπὶ τὰ ἔτη σου πεντεκαίδεκα ἔτη. καὶ ἐκ χειρὸς
βασιλέως ἀσσυρίων σώσω σε καὶ τὴν πόλιν ταύτην, καὶ ὑπερ-
ασπιῶ ὑπὲρ τῆς πόλεως ταύτης δι' ἐμὲ καὶ διὰ δαβὶδ τὸν δοῦ-
λόν μου. καὶ εἶπε. λαβέτωσαν παλάθην σύκων καὶ ἐπιθέτω-
σαν ἐπὶ τὸ ἕλκος καὶ ὑγιάσει. καὶ εἶπεν ἐζεκίας πρὸς ἠσαΐαν. τί τὸ

σημεῖον ὅτι ἰάσεταί με κύριος καὶ ἀναβήσομαι εἰς οἶκον κυρίου τῇ ἡμέρᾳ τῇ τρίτῃ. καὶ εἶπεν ἠσαΐας· τοῦτο τὸ σημεῖον παρὰ κυρίου ὅτι ποιήσει κύριος τὸν λόγον ὃν ἐλάλησε. πορεύσεται ἡ σκιὰ δέκα ἀναβαθμοὺς ἐὰν ἐπιστραφῇ δέκα ἀναβαθμούς. καὶ εἶπεν ἐζεκίας. κοῦφον τὴν σκιὰν κλῖναι δέκα ἀναβαθμούς. οὐχὶ ἀλλ᾽ ἐπιστραφήτω ἡ σκιὰ δέκα ἀναβαθμοὺς εἰς τὰ ὀπίσω. καὶ ἐβόησεν ἠσαΐας ὁ προφήτης πρὸς κύριον. καὶ ἐπέστρεψεν ἡ σκιὰ ἐν τοῖς ἀναβαθμοῖς εἰς τὰ ὀπίσω δέκα ἀναβαθμούς. ἐν τῷ καιρῷ ἐκείνῳ ἀπέστειλε μαρωδὰχ βαλαδὰν υἱὸς βαλαδὰν βασιλεὺς βαβυλῶνος βιβλία καὶ μαναὰ πρὸς ἐζεκίαν. ὅτι ἤκουσεν, ὅτι ἠῤῥώστησεν ἐζεκίας. καὶ ἐχάρη ἐπ᾽ αὐτοῖς ἐζεκίας. καὶ ἔδειξεν αὐτοῖς ὅλον τὸν οἶκον τοῦ νεχωθὰ τὸ ἀργύριον καὶ τὸ χρυσίον. τὰ ἀρώματα καὶ τὸ ἔλαιον τὸ ἀγαθόν. καὶ τὸν οἶκον τῶν σκευῶν. καὶ ὅσα εὑρέθη ἐν τοῖς θησαυροῖς αὐτοῦ. οὐκ ἦν τόπος ὃν οὐκ ἔδειξεν αὐτοῖς ἐζεκίας ἐν τῷ οἴκῳ αὐτοῦ καὶ ἐν πάσῃ τῇ ἐξουσίᾳ αὐτοῦ. καὶ εἰσῆλθεν ἠσαΐας ὁ προφήτης, πρὸς τὸν βασιλέα ἐζεκίαν καὶ εἶπε πρὸς αὐτόν. τί ἐλάλησαν οἱ ἄνδρες οὗτοι καὶ πόθεν ἥκασι πρὸς σέ. καὶ εἶπεν ἐζεκίας ἐκ γῆς πόῤῥωθεν ἥκασι πρός με ἐκ βαβυλῶνος. καὶ εἶπε. τί εἶδον ἐν τῷ οἴκῳ σου. καὶ εἶπεν ἐζεκίας πάντα ὅσα ἐν τῷ οἴκῳ μου εἶδον· οὐκ ἦν ἐν τῷ οἴκῳ μου ὃ οὐκ ἔδειξα αὐτοῖς. ἀλλὰ καὶ τὰ ἐν τοῖς θησαυροῖς μου εἶδον. καὶ εἶπεν ἠσαΐας πρὸς ἐζεκίαν. ἄκουσον τὸν λόγον κυρίου. ἰδοὺ ἡμέραι ἔρχονται φησὶ κύριος, καὶ ληφθήσεται πάντα τὰ ἐν τῷ οἴκῳ σου, καὶ ὅσα ἐθησαύρισαν οἱ πατέρες σου ἕως τῆς ἡμέρας ταύτης. εἰς βαβυλῶνα εἰσελεύσεται, καὶ οὐχ ὑπολειφθήσεται ῥῆμα ὃ εἶπε κύριος. καὶ οἱ υἱοί σου οἳ ἐξελεύσονται ἐκ σοῦ οὓς γεννήσεις ληφθήσονται. καὶ ἔσονται εὐνοῦχοι ἐν τῷ οἴκῳ τοῦ βασιλέως βαβυλῶνος. καὶ εἶπεν ἐζεκίας πρὸς ἠσαΐαν, ἀγαθὸς ὁ λόγος κυρίου ὃν ἐλάλησεν ἔστω εἰρήνη ἐν ταῖς ἡμέραις μου. καὶ τὰ λοιπὰ τῶν λόγων ἐζεκίου καὶ πᾶσα ἡ δυναστεία αὐτοῦ. καὶ ὅσα ἐποίησε τὴν κρίνην καὶ τὸν ὑδραγωγὸν καὶ

εἰσήγαγε τὸ ὕδωρ εἰς τὴν πόλιν, οὐκ ἰδοὺ ταῦτα γεγραμμένα ἐπὶ βιβλίῳ λόγων τῶν ἡμερῶν τοῖς βασιλεῦσιν ἰούδα. καὶ ἐκοιμήθη ἐζεκίας μετὰ τῶν πατέρων αὐτοῦ καὶ ἐτάφη ἐν πόλει δαβίδ. καὶ ἐβασίλευσε μανασσῆς υἱὸς αὐτοῦ ἀντ᾽ αὐτοῦ.

Κεφάλαιον κά. 21.

Ὀς δώδεκα ἐτῶν μανασσῆς ἐν τῷ βασιλεύειν αὐτὸν
ἡ καὶ πεντήκοντα καὶ πέντε ἔτη ἐβασίλευσεν ἐν ἱερουσαλήμ. καὶ ὄνομα τῇ μητρὶ αὐτοῦ ὀφοβία. καὶ ἐποίησε τὸ πονηρὸν ἐν ὀφθαλμοῖς κυρίου. καὶ ἐπορεύθη κατὰ τὰ βδελύγματα τῶν ἐθνῶν ὧν ἐξῆρε κύριος ἀπὸ προσώπου τῶν υἱῶν ἰσραήλ. καὶ ἐπέστρεψε καὶ ᾠκοδόμησε τὰ ὑψηλὰ ἃ κατέσπασεν ἐζεκίας ὁ πατὴρ αὐτοῦ. καὶ ἀνέστησε θυσιαστήρια τῇ βάαλ. καὶ ἐποίησε τὰ ἄλση, καθὼς ἐποίησεν ἀχαὰβ βασιλεὺς ἰσραήλ. καὶ προσεκύνησε πάσῃ τῇ δυνάμει τοῦ οὐρανοῦ. καὶ ἐδούλευσεν αὐτοῖς. καὶ ᾠκοδόμησε θυσιαστήριον ἐν οἴκῳ κυρίου ὡς εἶπε κύριος. ἐν ἱερουσαλὴμ θήσω τὸ ὄνομά μου. καὶ ᾠκοδόμησε θυσιαστήριον πάσῃ τῇ δυνάμει τοῦ οὐρανοῦ ἐν ταῖς δυσὶν αὐλαῖς οἴκου κυρίου. καὶ διῆγε τοὺς υἱοὺς αὐτοῦ ἐν πυρί. καὶ ἐκληδονίζετο καὶ οἰωνίζετο. καὶ ἐποίησε θελητήν. καὶ γνώστας ἐπλήθυνε τοῦ ποιῆσαι τὸ πονηρὸν ἐν ὀφθαλμοῖς κυρίου παροργίσαι αὐτόν. καὶ ἔθηκε τὸ γλυπτὸν τοῦ ἄλσους ἐν τῷ οἴκῳ ᾧ εἶπε κύριος πρὸς δαβὶδ καὶ πρὸς σολομῶντα τὸν υἱὸν αὐτοῦ. ἐν τῷ οἴκῳ τούτῳ καὶ ἐν ἱερουσαλὴμ ἣν ἐξελεξάμην ἐκ πασῶν φυλῶν τοῦ ἰσραήλ. καὶ θήσω τὸ ὄνομά μου ἐκεῖ εἰς τὸν αἰῶνα. καὶ οὐ προσθήσω τοῦ σαλεῦσαι τὸν πόδα ἰσραὴλ ἀπὸ τῆς γῆς ἧς ἔδωκα τοῖς πατράσιν αὐτῶν. οἵτινες φυλάξουσι πάντα ὅσα ἐνετειλάμην κατὰ πᾶσαν τὴν ἐντολὴν ἣν ἐνετείλατο αὐτοῖς ὁ δοῦλός μου μωϋσῆς. καὶ οὐκ ἤκουσαν καὶ ἐπλάνησεν αὐτοὺς μανασσῆς τοῦ ποιῆσαι τὸ πονηρὸν ἐν ὀφθαλμοῖς κυρίου, ὑπὲρ τὰ ἔθνη ἃ ἠφάνισε κύριος ἐκ προσώπου υἱῶν ἰσραήλ. καὶ ἐλάλησε κύριος ἐν χειρὶ τῶν δούλων αὐτοῦ

τῶν προφητῶν λέγων. ἀνθ' ὧν ὅσα ἐποίησε μανασσῆς βασιλεὺς
ἰούδα τὰ βδελύγματα ταῦτα τὰ πονηρὰ ἀπὸ πάντων ὧν ἐποί
ησεν ὁ ἀμοῤῥαῖος ὁ ἔμπροσθεν, καὶ ἐξήγαγε καί γε τὸν ἰούδαν
ἐν τοῖς εἰδώλοις αὐτῶν. οὐχ οὕτως. τάδε λέγει κύριος ὁ θεὸς
ἰσραήλ. ἰδοὺ ἐγὼ φέρω κακὰ ἐπὶ ἱερουσαλὴμ καὶ ἰούδαν. ὥστε
παντὸς ἀκούοντος, ἠχήσει ἀμφότερα τὰ ὦτα αὐτοῦ. καὶ ἐκτε
νῶ ἐπὶ ἱερουσαλὴμ τὸ μέτρον σαμαρείας καὶ τὸ στάθμιον οἴκου ἀχα
άβ. καὶ ἀπαλείψω τὴν ἱερουσαλὴμ καθὼς ἀπαλείφεται ὁ ἀλά
βαστρος ὁ ἀπαλειφόμενος καὶ καταστρέφεται ἀπὸ προσώπου
αὐτοῦ, καὶ ἀπώσομαι τὸ ὑπόλειμμα τῆς κληρονομίας μου, καὶ
παραδώσω αὐτοὺς εἰς χεῖρας ἐχθρῶν αὐτῶν. καὶ ἔσονται
εἰς διαρπαγὴν καὶ εἰς προνομὴν πᾶσι τοῖς ἐχθροῖς αὐτῶν.
ἀνθ' ὧν ὅτι ἐποίησαν τὸ πονηρὸν ἐν ὀφθαλμοῖς μου. καὶ ἦσαν
παροργίζοντές με ἀπὸ τῆς ἡμέρας ἧς ἐξήγαγον τοὺς πατέρας
αὐτῶν ἐξ αἰγύπτου καὶ ἕως τῆς ἡμέρας ταύτης. καί γε αἷμα ἀθῶ
ον ἐξέχεε μανασσῆς πολὺ σφόδρα, ἕως οὗ ἔπλησε τὴν ἱερουσα
λὴμ στόμα εἰς στόμα πλὴν τῶν ἁμαρτιῶν αὐτοῦ ὧν ἐξήμαρτε τὸν
ἰούδα τοῦ ποιῆσαι τὸ πονηρὸν ἐν ὀφθαλμοῖς κυρίου. καὶ τὰ λοι
πὰ τῶν λόγων μανασσῆ καὶ πάντα ὅσα ἐποίησε καὶ ἡ ἁμαρ
τία αὐτοῦ ἣν ἥμαρτεν, οὐχὶ ταῦτα γεγραμμένα ἐπὶ βιβλίῳ λό
γων τῶν ἡμερῶν τοῖς βασιλεῦσιν ἰούδα. καὶ ἐκοιμήθη μανασ
σῆς μετὰ τῶν πατέρων αὐτοῦ καὶ ἐτάφη ἐν τῷ κήπῳ τοῦ οἴ
κου αὐτοῦ, ἐν κήπῳ ὀζά, καὶ ἐβασίλευσεν ἀμὼς υἱὸς αὐτοῦ ἀντ'
αὐτοῦ. υἱὸς εἴκοσι καὶ δύο ἐτῶν ἀμὼς ἐν τῷ βασιλεύειν αὐτὸν
καὶ δύο ἔτη ἐβασίλευσεν ἐν ἱερουσαλὴμ, καὶ ὄνομα τῇ μητρὶ
αὐτοῦ μεσολλὰμ θυγάτηρ ἀροῦς ἐξ ἰτεβαά. καὶ ἐποίησε τὸ πο
νηρὸν ἐν ὀφθαλμοῖς κυρίου καθὼς ἐποίησε μανασσῆς ὁ πατὴρ
αὐτοῦ. καὶ ἐπορεύθη ἐν πάσῃ ὁδῷ, ᾗ ἐπορεύθη ὁ πατὴρ αὐτοῦ.
καὶ ἐλάτρευσε τοῖς εἰδώλοις οἷς ἐλάτρευσεν ὁ πατὴρ αὐτοῦ καὶ
προσεκύνησεν αὐτοῖς. καὶ ἐγκατέλιπε τὸν κύριον θεὸν τῶν πατέρων

αὐτοῦ, καὶ οὐκ ἐπορεύθη ἐν ὁδῷ κυρίου. καὶ συνεστράφησαν οἱ παῖδες ἀμὼς πρὸς αὐτὸν καὶ ἐθανάτωσαν τὸν βασιλέα ἐν τῷ οἴκῳ αὐτοῦ. καὶ ἐπάταξε πᾶς ὁ λαὸς τῆς γῆς, τοὺς συστραφέντας ἐπὶ τὸν βασιλέα ἀμώς. καὶ ἐβασίλευσεν ὁ λαὸς τῆς γῆς τὸν ἰωσίαν υἱὸν αὐτοῦ ἀντ' αὐτοῦ. καὶ τὰ λοιπὰ τῶν λόγων ἀμὼς ὅσα ἐποίησεν, οὐκ ἰδοὺ ταῦτα γεγραμμένα ἐπὶ βιβλίῳ λόγων τῶν ἡμερῶν τοῖς βασιλεῦσιν ἰούδα; καὶ ἔθαψαν αὐτὸν ἐν τῷ τάφῳ αὐτοῦ ἐν τῷ κήπῳ ὀζᾶ. καὶ ἐβασίλευσεν ἰωσίας υἱὸς αὐτοῦ ἀντ' αὐτοῦ. υἱὸς ὀκτὼ ἐτῶν ἰωσίας ἐν τῷ βασιλεύειν αὐτόν. καὶ τριάκοντα καὶ ἓν ἔτος ἐβασίλευσεν ἐν ἱερουσαλήμ. καὶ ὄνομα τῇ μητρὶ αὐτοῦ ἰεδδία θυγάτηρ ἐδιΐα ἐκ βασουρώθ. καὶ ἐποίησε τὸ εὐθὲς ἐν ὀφθαλμοῖς κυρίου. καὶ ἐπορεύθη ἐν πάσῃ ὁδῷ δαβὶδ τοῦ πατρὸς αὐτοῦ. οὐκ ἀπέστη δεξιὰ οὐδὲ ἀριστερά.

## Κεφάλαιον. κβ'. 22.

κ Καὶ ἐγενήθη ἐν τῷ ὀκτωκαιδεκάτῳ ἔτει τῷ βασιλεῖ ἰωσίᾳ ἐν τῷ μηνὶ τῷ ἑβδόμῳ, ἀπέστειλεν ὁ βασιλεύς, τὸν σαπφὰν υἱὸν ἐσελίου υἱὸν μοασολὰμ τὸν γραμματέα οἴκου κυρίου λέγων. ἀνάβηθι πρὸς χελκίαν τὸν ἱερέα τὸν μέγαν, καὶ σφράγισον τὸ ἀργύριον τὸ εἰσενεχθὲν εἰς οἶκον κυρίου ὃ εἰσήγαγον οἱ φυλάσσοντες τὸν σταθμὸν παρὰ τοῦ λαοῦ καὶ δότωσαν αὐτὸ ἐπὶ χεῖρα ποιούντων τὰ ἔργα τῶν καθεστηκότων ἐν οἴκῳ κυρίου. καὶ ἔδωκαν αὐτὸ τοῖς ποιοῦσι τὰ ἔργα ἐν οἴκῳ κυρίου τοῦ κατισχῦσαι τὸ βεδὲκ τοῦ οἴκου τοῖς τέκτοσι καὶ τοῖς οἰκοδόμοις καὶ τοῖς τεχισταῖς καὶ τοῦ κτήσασθαι ξύλα καὶ λίθους λατομητοὺς τοῦ κραταιῶσαι τὸ βεδὲκ τοῦ οἴκου πλὴν οὐκ ἐξελογίζοντο αὐτοὺς τὸ ἀργύριον τὸ διδόμενον αὐτοῖς. ὅτι ἐν πίστει αὐτοὶ ποιοῦσι. καὶ εἶπε χελκίας ὁ ἱερεὺς ὁ μέγας πρὸς σαπφὰν τὸν γραμματέα βιβλίον τοῦ νόμου εὗρον ἐν οἴκῳ κυρίου. καὶ ἔδωκε χελκίας τῷ σαπφὰν τὸ βιβλίον καὶ ἀνέγνω αὐτό, καὶ εἰσήνεγκε πρὸς τὸν βασιλέα ἰωσίαν. καὶ ἐπέστρεψε τῷ βασιλεῖ λόγον καὶ εἶ-

που. ἐχώνευσαν οἱ δοῦλοί σου τὸ ἀργύριον τὸ εὑρεθὲν ἐν οἴκῳ κυρίου. καὶ ἔδωκαν αὐτὸ ἐπὶ χεῖρα ποιούντων τὰ ἔργα τῶν καθεσταμένων ἐν οἴκῳ κυρίου. καὶ εἶπε σαπφὰν ὁ γραμματεὺς πρὸς τὸν βασιλέα λέγων βιβλίον νόμου ἔδωκέ μοι χελκίας ὁ ἱερεὺς καὶ ἀνέγνω αὐτὸ σαπφὰν ἐνώπιον τοῦ βασιλέως καὶ ἐγένετο ὡς ἤκουσεν ὁ βασιλεὺς τοὺς λόγους τοῦ βιβλίου τοῦ νόμου καὶ διέρρηξε τὰ ἱμάτια αὐτοῦ. καὶ ἐνετείλατο ὁ βασιλεὺς τῷ χελκίᾳ τῷ ἱερεῖ καὶ τῷ ἀχικὰμ υἱῷ σαπφὰν καὶ τῷ ἀχοβὼρ υἱῷ μιχαίου, καὶ τῷ σαπφὰν τῷ γραμματεῖ. καὶ τῷ ἀσαΐᾳ δούλῳ τοῦ βασιλέως λέγων δεῦτε ἐκζητήσατε τὸν κύριον περὶ ἐμοῦ καὶ περὶ παντὸς τοῦ λαοῦ μου καὶ περὶ παντὸς τοῦ ἰούδα περὶ τῶν λόγων τοῦ βιβλίου τοῦ εὑρεθέντος τούτου ὅτι μεγάλη ἡ ὀργὴ κυρίου ἐκκεκαυμένα ἐν ἡμῖν. ὑπὲρ οὗ οὐκ ἤκουσαν οἱ πατέρες ἡμῶν τῶν λόγων τοῦ βιβλίου τούτου τοῦ ποιεῖν κατὰ πάντα τὰ γεγραμμένα καθ' ἡμῶν. καὶ ἐπορεύθη χελκίας ὁ ἱερεὺς καὶ ἀχικὰμ καὶ ἀχόβαρ καὶ σαπφὰν καὶ ἀσαΐας πρὸς ὄλδαν τὴν προφῆτιν γυναῖκα σελλὴμ υἱοῦ θεκουὲ υἱοῦ ἀρασοῦ ἱματιοφύλακος καὶ αὐτὴ κατῴκει ἐν ἱηλὴμ ἐν τῇ μασεννᾶ καὶ ἐλάλησαν πρὸς αὐτὴν κατὰ ταῦτα. καὶ εἶπεν αὐτοῖς τάδε λέγει κύριος ὁ θεὸς ἰσραὴλ εἴπατε τῷ ἀνδρὶ τῷ ἀποστείλαντι ὑμᾶς πρός με, τάδε λέγει κύριος, ἰδοὺ ἐγὼ ἐπάγω κακὰ ἐπὶ τὸν τόπον τοῦτον καὶ ἐπὶ τοὺς ἐνοικοῦντας αὐτὸν ἅπαντας τοὺς λόγους τοῦ βιβλίου οὓς ἀνέγνω ὁ βασιλεὺς ἰούδα ἀνθ' ὧν ἐγκατέλιπόν με καὶ ἐθυμίων θεοῖς ἑτέροις. ὅπως παροργίσωσί με ἐν τοῖς ἔργοις τῶν χειρῶν αὐτῶν καὶ ἐκκαυθήσεται ὁ θυμός μου ἐν τῷ τόπῳ τούτῳ καὶ οὐ σβεσθήσεται καὶ πρὸς βασιλέα ἰούδα τὸν ἀποστείλαντα ὑμᾶς ἐκζητῆσαι τὸν κύριον τάδε ἐρεῖτε πρὸς αὐτόν. τάδε λέγει κύριος ὁ θεὸς ἰσραήλ. οἱ λόγοι οὓς ἤκουσας ἀνθ' ὧν ὅτι ἡπαλύνθη ἡ καρδία σου καὶ ἐνετράπης ἀπὸ προσώπου ὡς ἤκουσας ὅσα ἐλάλησα ἐπὶ τὸν τόπον τοῦτον καὶ ἐπὶ τοὺς ἐνοικοῦντας αὐτὸν τοῦ εἶναι εἰς ἀφανισμὸν καὶ εἰς

κατάραν καὶ διέῤῥηξας τὰ ἱμάτιά σου καὶ ἔκλαυσας ἐνώπιόν
μου καί γε ἐγὼ ἤκουσα λέγει κύριος. οὐχ οὕτως ἐγὼ προσίθη-
μί σε πρὸς τοὺς πατέρας σου. καὶ συναχθήσῃ εἰς τὸν τάφον σου
ἐν εἰρήνῃ καὶ οὐκ ὀφθήσεται ἐν τοῖς ὀφθαλμοῖς σου ἐν πᾶσι τοῖς κα-
κοῖς οἷς ἐγώ εἰμι ἐπάγω ἐπὶ τὸν τόπον τοῦτον καὶ ἐπὶ τοὺς κατοι-
κοῦντας αὐτόν. καὶ ἐπέστρεψαν τῷ βασιλεῖ τὸ ῥῆμα καὶ ἀπέστει-
λεν ὁ βασιλεὺς καὶ συνήγαγε πρὸς αὐτὸν πάντας τοὺς πρεσβυ-
τέρους ἰούδα καὶ ἱερουσαλήμ. καὶ ἀνέβη ὁ βασιλεὺς εἰς οἶκον κυ-
ρίου καὶ πᾶς ἀνὴρ ἰούδα καὶ πάντες οἱ κατοικοῦντες ἐν ἱερουσα-
λὴμ μετ' αὐτοῦ. καὶ οἱ ἱερεῖς καὶ οἱ προφῆται καὶ πᾶς ὁ λαὸς ἀπὸ
μικροῦ καὶ ἕως μεγάλου καὶ ἀνέγνω ἐν ὠσὶν αὐτῶν πάντας τοὺς
λόγους τοῦ βιβλίου τῆς διαθήκης τοῦ εὑρεθέντος ἐν οἴκῳ κυρίου.
καὶ ἀνέστη ὁ βασιλεὺς πρὸς τὸν στύλον καὶ διέθετο διαθήκην ἐνώ-
πιον κυρίου τοῦ πορεύεσθαι ὀπίσω κυρίου, καὶ τοῦ φυλάσσειν τὰς
ἐντολὰς αὐτοῦ καὶ τὰ μαρτύρια αὐτοῦ καὶ τὰ δικαιώματα αὐτοῦ
ἐν πάσῃ καρδίᾳ καὶ ἐν πάσῃ ψυχῇ τοῦ ἀναστῆσαι τοὺς λόγους
τῆς διαθήκης ταύτης. τὰ γεγραμμένα ἐπὶ τὸ βιβλίον τοῦτο. καὶ
ἔστη πᾶς ὁ λαὸς ἐν τῇ διαθήκῃ. καὶ ἐνετείλατο ὁ βασιλεὺς τῷ
χελκίᾳ τῷ ἱερεῖ τῷ μεγάλῳ καὶ τοῖς ἱερεῦσι τῆς δευτερώσεως καὶ
τοῖς φυλάσσουσι τὸν σταθμόν. τοῦ ἐξαγαγεῖν ἐκ τοῦ ναοῦ κυρίου πάν-
τα τὰ σκεύη τὰ πεποιημένα τῷ βάαλ καὶ ἄλσει. καὶ πάσῃ τῇ
δυνάμει τοῦ οὐρανοῦ. καὶ κατέκαυσεν αὐτὰ ἔξω ἱερουσαλὴμ ἐν
σαδημὼθ κέδρων καὶ ἔβαλε τὸν χοῦν αὐτῶν εἰς βαιθήλ καὶ κατέ-
καυσε τοὺς χωμαρὶμ οὓς ἔδωκαν βασιλεῖς ἰούδα καὶ ἐθυμίων ἐν
ταῖς ὑψηλοῖς καὶ ἐν ταῖς πόλεσιν ἰούδα καὶ ἐν τοῖς περικύκλῳ ἱε-
ρουσαλὴμ καὶ τοὺς θυμιῶντας, καὶ τῷ ἡλίῳ. καὶ τῇ σελήνῃ καὶ
τοῖς μαζουρὼθ καὶ πάσῃ τῇ δυνάμει τοῦ οὐρανοῦ. καὶ ἐξήνεγκε τὸ
ἄλσος ἐξ οἴκου κυρίου ἔξωθεν ἱερουσαλὴμ εἰς τὸν χειμάῤῥουν
κέδρων καὶ κατέκαυσεν αὐτὸν ἐν τῷ χειμάῤῥῳ κέδρων. καὶ ἐλέ-
πτυνεν εἰς χοῦν. καὶ ἔῤῥιψε τὸν χοῦν αὐτοῦ, εἰς τὸν τάφον τῶν υἱῶν

τοῦ λαοῦ. καὶ καθεῖλε τὸν οἶκον τῶν καδησὶμ τῶν ἐν τῷ οἴκῳ κυ-
ρίου οὗ αἱ γυναῖκες ὕφαινον ἐκεῖ χεττιείμ τῷ ἄλσει. καὶ ἀνήνε-
γκεν πάντας τοὺς ἱερεῖς ἐκ πόλεων ἰούδα καὶ ἐμίανε τὰ ὑψηλὰ
οὗ ἐθυμίασαν ἐκεῖ οἱ ἱερεῖς. ἀπὸ δὰν καὶ ἕως βηρσαβεέ. καὶ κα-
θεῖλε τὸν οἶκον τῶν πυλῶν τῶν παρὰ τὴν θύραν τῆς πύλης ἰησοῦ
ἄρχοντος τῆς πύλης τῶν ἐξ ἀριστερῶν ἀνδρὸς ἐν τῇ πύλῃ τῆς
πόλεως. πλὴν οὐκ ἀνέβησαν οἱ ἱερεῖς τῶν ὑψηλῶν πρὸς τὸ θυ-
σιαστήριον κυρίου ἐν ἱερουσαλήμ, ὅτι εἰ μὴ φαγεῖν ἄζυμα ἐν
μέσῳ τῶν ἀδελφῶν αὐτῶν. καὶ ἐμίανε τὴν ταφὲθ τὴν ἐν φάραγ-
γι υἱοῦ ἐννὸμ. τοῦ διάγειν ἄνδρα τὸν υἱὸν αὐτοῦ, καὶ ἄνδρα τὴν θυ-
γατέρα αὐτοῦ. τῷ μολὸχ. ἐν πυρὶ καὶ κατέκαυσε τοὺς ἵππους οὓς
ἔδωκαν βασιλεῖς ἰούδα τῷ ἡλίῳ ἐν τῇ εἰσόδῳ τοῦ οἴκου εἰς τὸ
γαζοφυλάκιον ναθὰν βασιλέως τοῦ εὐνούχου ἐν φαρουρείμ. καὶ τὸ
ἅρμα τοῦ ἡλίου κατέκαυσεν ἐν πυρί. καὶ τὰ θυσιαστήρια τὰ ἐπὶ
τοῦ δώματος τοῦ ὑπερώου ἀχὰζ ἃ ἐποίησαν βασιλεῖς ἰούδα. καὶ
τὰ θυσιαστήρια ἃ ἐποίησε μανασσῆς ἐν ταῖς δυσὶν αὐλαῖς οἴ-
κου κυρίου, καθεῖλεν ὁ βασιλεὺς καὶ κατέσπασεν ἐκεῖθεν καὶ ἔρρι-
ψεν τὸν χοῦν αὐτῶν εἰς τὸν χειμάῤῥουν κέδρων. καὶ τὸν οἶκον τὸν
ἐπὶ πρόσωπον ἱερουσαλὴμ ἐκ δεξιῶν τοῦ ὄρους τοῦ μοσθὰθ ὃν ᾠ-
κοδόμησε σαλωμὼν βασιλεὺς ἰσραὴλ τῇ ἀσὰλ τῇ προσοχθί-
σματι σιδωνίων. καὶ τῷ χαμὼς προσοχθίσματι μωὰβ. καὶ τῷ
μολχὸλ βδελύγματι υἱῶν ἀμμὼν, ἐμίανεν ὁ βασιλεύς. καὶ συνέ-
τριψε τὰς στήλας. καὶ ἐξωλόθρευσε τὰ ἄλση. καὶ ἔπλησε τοὺς τό-
πους αὐτῶν ὀστέων ἀνθρώπων. καί γε τὸ θυσιαστήριον τὸ ἐν βαι-
θὴλ τὸ ὑψηλὸν ὃ ἐποίησεν ἱεροβοὰμ υἱὸς ναβὰτ ὃς ἐξήμαρτε
τὸν ἰσραὴλ. καί γε τὸ θυσιαστήριον ἐκεῖνο καὶ τὸ ὑψηλὸν κατέσπα-
σε καὶ συνέτριψε τοὺς λίθους αὐτοῦ καὶ ἐλέπτυνεν εἰς χοῦν. καὶ κα-
τέκαυσε τὸ ἄλσος. καὶ ἐξένευσεν ἰωσίας καὶ εἶδε τοὺς τάφους
τοὺς ὄντας ἐκεῖ ἐν τῇ πόλει. καὶ ἀπέστειλε καὶ ἔλαβε τὰ ὀστᾶ ἐκ
τῶν τάφων καὶ κατέκαυσεν ἐπὶ τὸ θυσιαστήριον καὶ ἐμίανεν αὐτό.

κατὰ τὸ ῥῆμα κυρίου ὃ ἐλάλησεν ὁ ἄνθρωπος τοῦ θεοῦ ἐν τῷ ἑστάναι ἱεροβοὰμ ἐν τῇ ἑορτῇ ἐπὶ τὸ θυσιαστήριον. καὶ ἐπιστρέψας ἦρε τοὺς ὀφθαλμοὺς αὐτοῦ, ἐπὶ τὸν τάφον τοῦ ἀνθρώπου τοῦ θεοῦ τοῦ λαλήσαντος τοὺς λόγους τούτους καὶ εἶπεν· τί τὸ σκόπελον ἐκεῖνο ὃ ἐγὼ ὁρῶ. καὶ εἶπον αὐτῷ οἱ ἄνδρες τῆς πόλεως. ὁ ἄνθρωπος τοῦ θεοῦ ἐστὶν ὁ ἐξεληλυθὼς ἐκ τοῦ ἰούδα, καὶ ἐπικαλεσάμενος τοὺς λόγους τούτους, οὓς ἐπεκαλέσατο ἐπὶ τοῦ θυσιαστηρίου βαιθήλ. καὶ εἶπεν· ἄφετε αὐτὸν ἀνὴρ μὴ κινησάτω τὰ ὀστᾶ αὐτοῦ, καὶ εὑρέθησαν τὰ ὀστᾶ αὐτοῦ, μετὰ τῶν ὀστῶν τοῦ προφήτου τοῦ ἥκοντος ἐκ σαμαρείας. καί γε εἰς πάντας τοὺς οἴκους τῶν ὑψηλῶν τοὺς ἐν ταῖς πόλεσι σαμαρείας. οὓς ἐποίησαν βασιλεῖς ἰσραὴλ παροργίζειν κύριον. ἀπέστησεν ἰωσίας καὶ ἐποίησεν αὐτοῖς πάντα τὰ ἔργα ἃ ἐποίησαν ἐν βαιθήλ. καὶ ἐθυσίασε πάντας τοὺς ἱερεῖς τῶν ὑψηλῶν τοὺς ὄντας ἐκεῖ ἐπὶ τῶν θυσιαστηρίων αὐτῶν, καὶ κατέκαυσε τὰ ὀστᾶ τῶν ἀνθρώπων ἐπ' αὐτά. καὶ ἐπεστράφη εἰς ἱερουσαλήμ. καὶ ἐνετείλατο ὁ βασιλεὺς παντὶ τῷ λαῷ λέγων. ποιήσατε τὸ πάσχα τῷ κυρίῳ θεῷ ὑμῶν, καθὼς γέγραπται ἐπὶ βιβλίου τῆς διαθήκης ταύτης. ὅτι οὐκ ἐγενήθη τὸ πάσχα τοῦτο ἀφ' ἡμερῶν τῶν κριτῶν οἳ ἔκρινον τὸν ἰσραὴλ καὶ πασῶν ἡμερῶν βασιλέων ἰσραὴλ καὶ βασιλέων ἰούδα. ὅτι ἀλλ' ἢ ἐν ὀκτωκαιδεκάτῳ ἔτει τοῦ βασιλέως ἰωσίου ἐγενήθη τὸ πάσχα τῷ κυρίῳ ἐν ἱερουσαλήμ. καί γε τοὺς θελητὰς καὶ τοὺς γνώστας καὶ τὰ θεραφὶν καὶ τὰ εἴδωλα, καὶ πάντα τὰ προσοχθίσματα γεγονότα τὰ ἐν τῇ γῇ ἰούδα καὶ ἐν ἱερουσαλὴμ ἐξῆρεν ὁ βασιλεὺς ἰωσίας, ἵνα στήσῃ τοὺς λόγους τοῦ νόμου τοὺς γεγραμμένους ἐπὶ τοῦ βιβλίου οὗ εὗρε χελκίας ὁ ἱερεὺς ἐν οἴκῳ κυρίου. Ὁμοίως οὐκ ἐγενήθη αὐτῷ ἔμπροσθεν αὐτοῦ βασιλεύς, ὃς ἐπέστρεψε πρὸς κύριον ἐν ὅλῃ καρδίᾳ αὐτοῦ καὶ ἐν ὅλῃ ψυχῇ αὐτοῦ. καὶ ἐν ὅλῃ ἰσχύι αὐτοῦ. κατὰ πάντα τὸν νόμον μωϋσέως. καὶ μετ' αὐτὸν οὐκ ἀνέστη ὅμοιος αὐτῷ, πλὴν οὐκ ἀπεστράφη κύριος ἀπὸ θυμοῦ ὀργῆς αὐτοῦ τῆς μεγάλης

λης οὗ ἐθυμώθη ὀργῇ αὐτοῦ ἐν τῷ ἰούδα ἐπὶ τοὺς παροργισμοὺς οὓς παρώργισεν αὐτὸν μανασσῆς. καὶ εἶπε κύριος. καί γε τὸν ἰούδαν ἀποστήσω ἀπὸ τοῦ προσώπου μου καθὼς ἀπέστησα τὸν ἰσραήλ. καὶ ἀπώσομαι τὴν πόλιν ταύτην ἣν ἐξελεξάμην τὴν ἱερουσαλήμ. καὶ τὸν οἶκον οὗ εἶπον ἔσται τὸ ὄνομά μου ἐκεῖ. καὶ τὰ λοιπὰ τῶν λόγων ἰωσίου καὶ πάντα ὅσα ἐποίησεν οὐχὶ ταῦτα γεγραμμένα ἐπὶ βιβλίῳ λόγων ἡμερῶν τοῖς βασιλεῦσιν ἰούδα.

## Κεφάλαιον κγ. 23.

Ἐν δὲ ταῖς αὐταῖς ἡμέραις ἀνέβη φαραὼ νεχαὼ βασιλεὺς αἰγύπτου, ἐπὶ βασιλέα ἀσσυρίων ἐπὶ ποταμὸν εὐφράτην. καὶ ἐπορεύθη ἰωσίας, εἰς ἀπάντησιν αὐτοῦ. καὶ ἐθανάτωσεν αὐτὸν νεχαὼ ἐν μαγεδδῷ ἐν τῷ ἰδεῖν αὐτόν. καὶ ἐπεβίβασαν αὐτὸν οἱ παῖδες αὐτοῦ νεκρὸν ἐν μαγεδδῷ. καὶ ἤγαγον αὐτὸν εἰς ἱερουσαλὴμ καὶ ἔθαψαν αὐτὸν ἐν τῷ τάφῳ αὐτοῦ ἐν πόλει δαβίδ καὶ ἔλαβεν ὁ λαὸς τῆς γῆς τὸν ἰωάχαζ υἱὸν ἰωσίου καὶ ἔχρισαν αὐτὸν, καὶ ἐβασίλευσαν αὐτὸν ἀντὶ τοῦ πατρὸς αὐτοῦ. υἱὸς εἴκοσι καὶ τριῶν ἐτῶν ἦν ἰωάχαζ ἐν τῷ βασιλεύειν αὐτόν. καὶ τρεῖς μῆνας ἐβασίλευσεν ἐν ἱερουσαλήμ. καὶ ὄνομα τῇ μητρὶ αὐτοῦ ἀμιτὰλ θυγάτηρ ἱερεμίου ἐκ λοβνά. καὶ ἐποίησε τὸ πονηρὸν ἐν ὀφθαλμοῖς κυρίου κατὰ πάντα ὅσα ἐποίησαν οἱ πατέρες αὐτοῦ. καὶ μετέστησεν αὐτὸν φαραὼ νεχαὼ ἐν ῥεβλαὰ ἐν γῇ αἱμὰθ τοῦ μὴ βασιλεύειν ἐν ἱερουσαλήμ. καὶ ἔδωκεν ζημίαν ἐπὶ τὴν γῆν ἑκατὸν τάλαντα ἀργυρίου, καὶ ἑκατὸν τάλαντα χρυσίου, καὶ ἐβασίλευσε φαραὼ νεχαὼ ἐπ' αὐτοὺς, τὸν ἐλιακὶμ υἱὸν ἰωσίου βασιλέως ἰούδα ἀντὶ ἰωσίου τοῦ πατρὸς αὐτοῦ. καὶ ἐπέστρεψε τὸ ὄνομα αὐτοῦ ἰωακείμ. καὶ τὸν ἰωάχαζ ἔλαβεν καὶ εἰσήνεγκεν εἰς αἴγυπτον καὶ ἀπέθανεν ἐκεῖ. καὶ τὸ ἀργύριον καὶ τὸ χρυσίον ἔδωκεν ἰωακεὶμ τῷ φαραώ. πλὴν ἐτιμογράφησε τὴν γῆν τοῦ δοῦναι τὸ ἀργύριον ἐπὶ στόματος φαραώ. ἀνὴρ κατὰ τὴν συντίμησιν αὐτοῦ ἔδωκε τὸ ἀργύριον καὶ τὸ χρυσίον παρὰ τοῦ λαοῦ

τῆς γῆς.

τῆς γῆς. τοῦ δοῦναι τῷ φαραὼ ἐχαώ. υἱὸς εἴκοσι καὶ πέντε ἐτῶν ἰωακεὶμ ἐν τῷ βασιλεύειν αὐτόν. καὶ ἕνδεκα ἔτη ἐβασίλευσεν ἐν ἱερουσαλήμ. καὶ ὄνομα τῇ μητρὶ αὐτοῦ ἰελδὰφ θυγάτηρ φαδαὶλ ἐκ ῥουμά. καὶ ἐποίησε τὸ πονηρὸν ἐν ὀφθαλμοῖς κυρίου κατὰ πάντα ὅσα ἐποίησαν οἱ πατέρες αὐτοῦ. ἐν ταῖς ἡμέραις αὐτοῦ ἀνέβη ναβουχοδονόσορ βασιλεὺς βαβυλῶνος καὶ ἐγενήθη αὐτῷ ἰωακεὶμ δοῦλος τρία ἔτη καὶ ἀπέστρεψε καὶ ἠθέτησεν ἐν αὐτῷ καὶ ἀπέστειλεν κύριος αὐτῷ τοὺς μονοζώνους τῶν χαλδαίων. καὶ τοὺς μονοζώνους συρίας καὶ τοὺς μονοζώνους μωάβ. καὶ τοὺς μονοζώνους υἱῶν ἀμμών. καὶ ἐξαπέστειλεν αὐτοὺς ἐν τῇ γῇ ἰούδα τοῦ κατισχῦσαι κατὰ τὸν λόγον κυρίου ὃν ἐλάλησεν ἐν χειρὶ τῶν δούλων αὐτοῦ τῶν προφητῶν. πλὴν ἐπὶ τὸν θυμὸν κυρίου ἦν ἐν τῷ ἰούδα ἀποστῆναι αὐτὸν ἀπὸ προσώπου αὐτοῦ. ἐν ἁμαρτίαις μανασσῆ κατὰ πάντα ὅσα ἐποίησε καί γε τὸ αἷμα ἀθῶον ἐξέχεε καὶ ἔπλησε τὴν ἱερουσαλὴμ αἵματος ἀθώου. καὶ οὐκ ἠθέλησε κύριος ἱλασθῆναι. καὶ τὰ λοιπὰ τῶν λόγων ἰωακεὶμ καὶ πάντα ὅσα ἐποίησεν οὐκ ἰδοὺ ταῦτα γεγραμμένα ἐπὶ βιβλίῳ λόγων τῶν ἡμερῶν τοῖς βασιλεῦσιν ἰούδα καὶ ἐκοιμήθη ἰωακεὶμ μετὰ τῶν πατέρων αὐτοῦ. καὶ ἐβασίλευσεν ἰεχονίας υἱὸς αὐτοῦ ἀντ᾽ αὐτοῦ. καὶ οὐ προσέθετο ἔτι βασιλεὺς αἰγύπτου ἐξελθεῖν ἐκ τῆς γῆς αὐτοῦ, ὅτι ἔλαβε βασιλεὺς βαβυλῶνος ἀπὸ τοῦ χειμάρρου αἰγύπτου ἕως τοῦ ποταμοῦ εὐφράτου, πάντα ὅσα ἦν τοῦ βασιλέως αἰγύπτου. υἱὸς ὀκτωκαίδεκα ἐτῶν ἰωακεὶμ ἐν τῷ βασιλεύειν αὐτόν. καὶ τρίμηνον ἐβασίλευσεν ἐν ἱερουσαλήμ, καὶ ὄνομα τῇ μητρὶ αὐτοῦ νέεσθα θυγάτηρ ἐλλανασθὰν ἐξ ἱερουσαλήμ. καὶ ἐποίησε τὸ πονηρὸν ἐν ὀφθαλμοῖς κυρίου κατὰ πάντα ὅσα ἐποίησεν ὁ πατὴρ αὐτοῦ. καὶ ἐν τῷ καιρῷ ἐκείνῳ ἀνέβη ναβουχοδονόσορ βασιλεὺς βαβυλῶνος εἰς ἱερουσαλήμ. καὶ ἦλθεν ἡ πόλις ἐν περιοχῇ. καὶ εἰσῆλθεν ναβουχοδονόσορ βασιλεὺς βαβυλῶνος εἰς πόλιν τὴν ἱερουσαλὴμ καὶ οἱ παῖδες αὐ-

τῆς ἐπολιόρκουν ἐπ' αὐτόν. καὶ ἐξῆλθεν ἰωακεὶμ βασιλεὺς ἰ-
ούδα ἐπὶ βασιλέα βαβυλῶνος, αὐτὸς καὶ οἱ παῖδες αὐτοῦ. καὶ
ἡ μήτηρ αὐτοῦ καὶ οἱ ἄρχοντες αὐτοῦ. καὶ οἱ εὐνοῦχοι αὐτοῦ. καὶ ἔλα-
βεν αὐτοὺς βασιλεὺς βαβυλῶνος ἐν τῷ ὀγδόῳ ἔτει τῆς βασιλείας
αὐτοῦ. καὶ ἐξήνεγκεν πάντας τοὺς θησαυροὺς ἐκεῖθεν τοὺς ἐν τῷ οἴ-
κῳ κυρίου καὶ τοὺς θησαυροὺς οἴκου τοῦ βασιλέως. καὶ συνέκοψε
πάντα τὰ σκεύη τὰ χρυσᾶ ἃ ἐποίησε σαλωμὼν ὁ βασιλεὺς ἰσ-
ραὴλ ἐν τῷ ναῷ κυρίου κατὰ τὸ ῥῆμα κυρίου, καὶ ἀπῴκισε τὴν ἱερουσα-
λὴμ καὶ πάντας τοὺς ἄρχοντας καὶ τοὺς δυνατοὺς ἰσχύι αἰχμα-
λωσίαν δέκα χιλιάδας, καὶ πάντα τέκτονα, καὶ τὸν συγκλεί-
οντα, καὶ οὐχ ὑπελείφθη πλὴν οἱ πτωχοὶ τῆς γῆς. καὶ ἀπῴκισε
τὸν ἰεχονίαν εἰς βαβυλῶνα. καὶ τὴν μητέρα τοῦ βασιλέως καὶ
τὰς γυναῖκας τοῦ βασιλέως καὶ τοὺς εὐνούχους αὐτοῦ. καὶ τοὺς
ἰσχυροὺς τῆς γῆς, ἀπήγαγεν εἰς ἀποικεσίαν ἐξ ἱερουσαλὴμ εἰς βα-
βυλῶνα. καὶ πάντας ἄνδρας τῆς δυνάμεως ἑπτακισχιλίους. καὶ τὸν
τέκτονα καὶ τὸν συγκλείοντα χιλίους. πάντες δυνατοὶ ποι-
οῦντες πόλεμον. καὶ ἤγαγεν αὐτοὺς βασιλεὺς βαβυλῶνος με-
τοικεσίαν εἰς βαβυλῶνα. καὶ ἐβασίλευσε βασιλεὺς βαβυλῶνος
τὸν βαθθανίαν υἱὸν αὐτοῦ ἀντ' αὐτοῦ. καὶ ἐπέθηκε τὸ ὄνομα αὐτοῦ
σεδεκίαν. υἱὸς εἴκοσι καὶ ἑνὸς ἐνιαυτῶν σεδεκίας ἐν τῷ βασι-
λεύειν αὐτόν. καὶ ἕνδεκα ἔτη ἐβασίλευσεν ἐν ἱερουσαλήμ. καὶ
ὄνομα τῇ μητρὶ αὐτοῦ ἀμιτᾶα θυγάτηρ ἱερεμίου ἀπὸ λοβνᾶ. καὶ
ἐποίησε τὸ πονηρὸν ἐν ὀφθαλμοῖς κυρίου κατὰ πάντα ὅσα ἐ-
ποίησεν ἰωακεὶμ, ὅτι ἐπὶ τὸν θυμὸν κυρίου ἦν ἐπὶ ἱερουσαλὴμ
καὶ ἐν τῷ ἰούδα. ἕως ἀπέρριψεν αὐτοὺς ἀπὸ προσώπου αὐτοῦ
καὶ ἠθέτησε σεδεκίας ἐν τῷ βασιλεῖ βαβυλῶνος.

## Κεφάλαιον κδ'. 24.

Αἱ ἐγένετο ἐν τῷ ἔτει ἐννάτῳ τῷ τῆς βασιλείας αὐ-
τοῦ, ἐν τῷ μηνὶ τῷ δωδεκάτῳ ἐν δεκάτῃ τοῦ μηνὸς
ἦλθε ναβουχοδονόσορ ὁ βασιλεὺς βαβυλῶνος. καὶ

πᾶσα ἡ δύναμις αὐτοῦ ἐπὶ ἱερουσαλήμ. καὶ παρενέβαλεν ἐπ᾽
αὐτήν. καὶ ᾠκοδόμησαν ἐπ᾽ αὐτήν, περίτειχος κύκλῳ καὶ ἦλ-
θεν ἡ πόλις ἐν περιοχῇ, ἕως τοῦ ἑνδεκάτου ἔτους τοῦ βασι-
λέως σεδεκίου ἐννάτῃ τοῦ μηνός. καὶ ἐνίσχυσεν ὁ λιμὸς ἐν
τῇ πόλει. καὶ οὐκ ἦσαν ἄρτοι τῷ λαῷ τῆς γῆς καὶ ἐῤῥάγη ἡ
πόλις καὶ πάντες οἱ ἄνδρες τοῦ πολέμου ἐξῆλθον νυκτὸς ὁδὸν
πύλης τῆς ἀνὰ μέσον τῶν τειχῶν, αὕτη ἐστὶ τοῦ κήπου τοῦ βασι-
λέως. καὶ οἱ χαλδαῖοι ἐπὶ τὴν πόλιν κύκλῳ, καὶ ἐπορεύθησαν ὁ-
δὸν τὴν ἄραβα. καὶ ἐδίωξεν ἡ δύναμις τῶν χαλδαίων, ὀπίσω
τοῦ βασιλέως. καὶ κατέλαβον αὐτὸν ἐν ἀραβὼθ ἰεριχώ. καὶ πᾶσα
ἡ δύναμις αὐτοῦ διεσπάρη ἐπάνωθεν αὐτοῦ. καὶ συνέλαβον
τὸν βασιλέα, καὶ ἤγαγον αὐτὸν πρὸς τὸν βασιλέα βαβυλῶνος
εἰς δεβλαθά καὶ ἐλάλησε μετ᾽ αὐτοῦ κρίσιν. καὶ τοὺς υἱοὺς σεδε-
κίου ἔσφαξε κατ᾽ ὀφθαλμοὺς αὐτοῦ καὶ τοὺς ὀφθαλμοὺς σεδεκίου
ἐξετύφλωσε. καὶ ἔδησεν αὐτὸν ἐν πέδαις. καὶ ἤγαγεν αὐτὸν εἰς βα-
βυλῶνα. ἐν τῷ μηνὶ τῷ πέμπτῳ ἑβδόμῃ τοῦ μηνός. αὐτὸς ἐνι-
αυτὸς ἐννεακαιδέκατος τῷ ναβουχοδονόσορ βασιλεῖ βαβυλῶνος
ἦλθε ναβουζαρδὰν ὁ ἀρχιμάγειρος ὁ ἑστὼς ἐνώπιον τοῦ βασιλέως
βαβυλῶνος εἰς ἱερουσαλήμ, καὶ ἐνέπρησε τὸν οἶκον κυρίου. καὶ τὸν
οἶκον τοῦ βασιλέως. καὶ πάντας τοὺς οἴκους ἱερουσαλήμ. καὶ πάντα
οἶκον μέγαν ἐνέπρησεν ὁ ἀρχιμάγειρος, καὶ τὸ τεῖχος ἱερουσα-
λήμ. κυκλόθεν κατέσπασεν ἡ δύναμις τῶν χαλδαίων καὶ τὸ
περισσὸν τοῦ λαοῦ καὶ τὸ καταλειφθὲν ἐν τῇ πόλει. καὶ τοὺς
ἐμπεπτωκότας οἳ ἐνέπεσον πρὸς τὸν βασιλέα βαβυλῶνος.
καὶ τὸ λοιπὸν τοῦ στηρίγματος μετῆρε ναβουζαρδὰν ὁ ἀρχιμάγει-
ρος. καὶ ἀπὸ τῶν πτωχῶν τῆς γῆς ὑπέλιπεν ὁ ἀρχιμάγειρος
εἰς ἀμπελουργοὺς καὶ εἰς γαβίν. καὶ τοὺς στύλους τοὺς χαλκοῦς
τοὺς ἐν οἴκῳ κυρίου. καὶ τὰς μεγωνὼθ καὶ θάλασσαν τὴν
χαλκῆν τὴν ἐν οἴκῳ κυρίου συνέτριψαν οἱ χαλδαῖοι. καὶ ἦ-
ραν τὸν χαλκὸν αὐτῶν εἰς βαβυλῶνα. καὶ τοὺς λέβητας καὶ

τὰ ἰαμὶν καὶ τὰς φιάλας καὶ τὰς θυΐσκας καὶ πάντα τὰ σκεύη
τὰ χαλκᾶ ἐν οἷς λειτουργοῦσιν ἐν αὐτοῖς ἔλαβε. καὶ τὰ πυρεῖα
καὶ τὰς φιάλας τὰς χρυσᾶς καὶ τὰς ἀργυρᾶς ἔλαβεν ὁ ἀρχι-
μάγειρος. στύλους δύο. καὶ τὴν θάλασσαν μίαν. καὶ τὰς μεχω-
νὼθ ἃς ἐποίησε σολομῶν τῷ οἴκῳ κυρίου. οὐκ ἦν σταθμὸς τοῦ χαλ-
κοῦ πάντων τῶν σκευῶν. ὀκτωκαίδεκα πήχεων τὸ ὕψος τοῦ στύλου
τοῦ ἑνός. καὶ τὸ χωθὰρ ἐπ' αὐτοῦ τὸ χαλκοῦν. καὶ τὸ ὕψος τοῦ χω-
θὰρ τριῶν πήχεων σαβαχάκ. καὶ ῥοαὶ ἐπὶ τοῦ χωθὰρ κύκλῳ τὰ
πάντα χαλκᾶ, καὶ κατὰ ταῦτα τῷ στύλῳ τῷ δευτέρῳ. καὶ ῥο-
αὶ ἑκατὸν ἐπὶ τοῦ σαβαχὰκ κύκλῳ. καὶ ἔλαβεν ὁ ἀρχιμάγει-
ρος τὸν σαραίαν τὸν ἱερέα τὸν πρῶτον. καὶ τὸν σοφονίαν υἱὸν
τῆς δευτερώσεως. καὶ τοὺς τρεῖς τοὺς φυλάσσοντας τὸν σταθμόν.
καὶ ἐκ τῆς πόλεως ἔλαβον εὐνοῦχον ἕνα, ὃς ἦν ἐπιστάτης ἐπὶ τῶν
ἀνδρῶν τῶν πολεμιστῶν καὶ πέντε ἄνδρας τῶν ὁρώντων καὶ τὸ
πρόσωπον τοῦ βασιλέως τοὺς εὑρεθέντας ἐν τῇ πόλει καὶ τὸν
γραμματέα τοῦ ἄρχοντος τῆς δυνάμεως τὸν ἐκτάσσοντα τὸν
λαὸν τῆς γῆς. καὶ ἑξήκοντα ἄνδρας τοῦ λαοῦ τῆς γῆς τοὺς εὑρε-
θέντας ἐν τῇ πόλει. καὶ ἔλαβεν αὐτοὺς ναβουζαρδὰν ὁ ἀρχιμά-
γειρος, καὶ ἤγαγεν αὐτοὺς πρὸς τὸν βασιλέα βαβυλῶνος εἰς
δεβλαθά. καὶ ἔπαισεν αὐτοὺς ὁ βασιλεὺς βαβυλῶνος. καὶ ἐθα-
νάτωσεν αὐτοὺς εἰς δεβλαθὰ ἐν γῇ αἱμάθ. καὶ ἀπῳκίσθη ἰούδας
ἐπάνωθεν τῆς γῆς αὐτοῦ. καὶ ὁ λαὸς ὁ καταλειφθεὶς ἐν γῇ ἰού-
δα οὓς κατέλιπε ναβουχοδονόσορ βασιλεὺς βαβυλῶνος. καὶ κα-
τέστησεν ἐπ' αὐτῶν τὸν γοδολίαν υἱὸν ἀχικὰμ υἱὸν σαφάν. καὶ
ἤκουσαν πάντες οἱ ἄρχοντες τῆς δυνάμεως αὐτοὶ καὶ οἱ ἄν-
δρες αὐτῶν, ὅτι κατέστησεν ὁ βασιλεὺς βαβυλῶνος τὸν γοδολί-
αν, καὶ ἦλθον πρὸς γοδολίαν εἰς μασσηφά. καὶ ἰσμαὴλ υἱὸς να-
θανίου. καὶ ἰωνὰν υἱὸς καρηὲ καὶ σαραίας υἱὸς θαναμὰθ ὁ νετω-
φαθίτης. καὶ ἰεζονίας υἱὸς τοῦ λαχαθί. αὐτοὶ καὶ οἱ ἄνδρες αὐ-
τῶν. καὶ ὤμοσε γοδολίας αὐτοῖς καὶ τοῖς ἀνδράσιν αὐτῶν.

καὶ εἶπεν αὐτοῖς, μὴ φοβεῖσθε πάροδον χαλδαίων· καθίσατε ἐν τῇ γῇ καὶ δουλεύσατε τῷ βασιλεῖ τῷ βαβυλῶνος καὶ καλῶς ἔσται ὑμῖν καὶ ἐγενήθη ἐν τῷ μηνὶ τῷ ἑβδόμῳ ἦλθεν ἰσμαὴλ υἱὸς ναθανίου υἱοῦ ἐλισαμὰ ἐκ τοῦ σπέρματος τῶν βασιλέων, καὶ δέκα ἄνδρες μετ' αὐτοῦ, καὶ ἐπάταξε τὸν γοδολίαν καὶ ἀπέθανε. καὶ τοὺς ἰουδαίους καὶ τοὺς χαλδαίους, οἳ ἦσαν μετ' αὐτοῦ ἐν μασσηφᾶ. καὶ ἀνέστη πᾶς ὁ λαὸς ἀπὸ μικροῦ ἕως μεγάλου καὶ οἱ ἄρχοντες τῆς δυνάμεως, καὶ εἰσῆλθον εἰς αἴγυπτον. ὅτι ἐφοβήθησαν ἀπὸ προσώπου τῶν χαλδαίων. καὶ ἐγενήθη ἐν τῷ τριακοστῷ καὶ ἑβδόμῳ ἔτει τῆς ἀποικεσίας τοῦ ἰωακὶμ βασιλέως ἰούδα ἐν τῷ δωδεκάτῳ μηνὶ, ἑβδόμῃ καὶ εἰκάδι τοῦ μηνὸς, ὕψωσεν εὐιαλμαρωδὰχ βασιλεὺς βαβυλῶνος ἐν τῷ ἐνιαυτῷ τῆς βασιλείας αὐτοῦ, τὴν κεφαλὴν ἰωακὶμ βασιλέως ἰούδα καὶ ἐξήγαγεν αὐτὸν ἐξ οἴκου φυλακῆς αὐτοῦ. καὶ ἐλάλησε μετ' αὐτοῦ ἀγαθά. καὶ ἔδωκε τὸν θρόνον αὐτοῦ, ἐπάνω τῶν θρόνων τῶν βασιλέων τῶν μετ' αὐτοῦ ἐν βαβυλῶνι. καὶ ἠλλοίωσε τὰ ἱμάτια τῆς φυλακῆς αὐτοῦ, καὶ ἤσθιεν ἄρτον διαπαντὸς ἐνώπιον αὐτοῦ πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτοῦ. καὶ ἡ ἑστιατορία αὐτοῦ ἑστιατορία διαπαντὸς ἐδόθη αὐτῷ ἐξ οἴκου τοῦ βασιλέως λόγον ἡμέρας ἐν ἡμέρᾳ αὐτοῦ, πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτοῦ.

Τέλος τῆς τῶν βασιλειῶν. δ.

# ΠΑΡΑΛΕΙΠΟΜΕΝΩΝ ΠΡΩΤΟΝ.

## Κεφάλαιον α. 1.

ἈΔὰμ· σὴθ· ἐνὼς· καϊνὰμ· μαλελεὴλ· ἰά
ρεδ· ἐνὼχ· μαθουσάλα· λάμεχ· νῶε·
σὴμ· χὰμ· ἰάφεθ. υἱοὶ ἰάφεθ, γάμερ
καὶ μαγὼγ· καὶ μαδαΐ· καὶ ἰωυὰν·
ἐλισὰ· καὶ θόβελ· καὶ μοσὸχ, καὶ θί
ρας· ὀκτώ· καὶ οἱ υἱοὶ γάμερ, ἀσχα
νὰζ, καὶ ῥιφὰθ, καὶ θοργαμὰ πάντες· καὶ υἱοὶ ἰωυὰν, ἐλισὰ καὶ θαρ
σεῖς· καὶ χεττιείμ· καὶ δωδανὶν τέσσαρες. υἱοὶ χὰμ, χοὺς· καὶ
μεσραΐμ· φούτ· καὶ χαναάν· τέσσαρες· καὶ υἱοὶ χοὺς, σαβὰ, καὶ
εὐϊλὰτ· καὶ σεβαθὰ· καὶ ῥεγμὸν· καὶ σεβεχαθὰ, πέντε· καὶ υἱ
οἱ ῥεγμὰ, σαβὰ, καὶ δαδὰν· καὶ χοὺς ἐγέννησε τὸν νεβρὼδ· οὗ
τος ἤρξατο τοῦ εἶναι γίγας κυνηγὸς ἐν τῇ γῇ· καὶ μεσραΐμ, ἐγέν
νησε τοὺς λουδιείμ καὶ τοὺς αἰνομιείμ· καὶ τοὺς λαβιείμ· καὶ τοὺς νε
φθωσιείμ· καὶ τοὺς φαθρωσείμ· καὶ τοὺς πετροσωνιείμ· καὶ τοὺς χα
σλωείμ· ὅθεν ἐξῆλθον ἐκεῖθεν φυλιστιείμ· καὶ τοὺς καφθοριείμ· καὶ
χαναὰν ἐγέννησε τὸν σιδῶνα τὸν πρωτότοκον αὐτοῦ· καὶ τὸν χετ
ταῖον· καὶ τὸν ἰεβουσαῖον· καὶ τὸν ἀμοῤῥαῖον· καὶ τὸν γεργε
σαῖον· καὶ τὸν εὐαῖον· καὶ τὸν ἀρουκαῖον· καὶ τὸν ἀσενναῖον· καὶ τὸν
ἀμαθί· καὶ υἱοὶ σὴμ αἰλὰμ· καὶ ἀσοὺρ καὶ ἀρφαξὰδ καὶ λοὺδ
καὶ ἀρὰμ· καὶ οὖζ· καὶ οὐλ· καὶ γεθὲρ· καὶ μόσοχ· καὶ ἀρφα
ξὰδ, καὶ λοὺδ, καὶ ἀρὰμ· καινὰ ἐγέννησεν τὸν καινὰν καὶ ἐγέννη
σε τὸν σαλᾶ· καὶ σαλὰ ἐγέννησε τὸν ἔβερ· καὶ τῷ ἔβερ ἐγεννήθησαν

δύο υἱοί. ὄνομα τῷ ἑνὶ φάλεκ. ὅτι ἐν ταῖς ἡμέραις αὐτοῦ, διε-
μερίσθη ἡ γῆ. καὶ ὄνομα τῷ ἀδελφῷ αὐτοῦ ἰεκτὰν, ἐγέννησε τὸν
ἐλμωδάδ. καὶ τὸν σαλὲφ καὶ τὸν ἀτερμὼθ καὶ τὸν ἰαδὲρ. καὶ τὸν
ἰδωρὰμ. καὶ τὸν οὐζάλ. καὶ τὸν δεκλά. καὶ τὸν γαμαὰλ καὶ τὸν ἀ-
βιμεήλ. καὶ τὸν σαβά. καὶ τὸν οὐφίρ. καὶ τὸν εὐιλάτ. καὶ τὸν ἰωάβ.
πάντες οὗτοι υἱοὶ ἰεκτάν. υἱοὶ σὴμ, ἀρφαξάδ. καϊνάν. σαλὰ
ἔβερ. φάλεκ. σεροὺχ. ναχὼρ, ἐάρα. ἄβραμ, αὐτὸς ἀβραάμ, υἱ-
οὶ ἀβραὰμ, ἰσαὰκ καὶ ἰσμαήλ. αὗται δὲ αἱ γενέσεις αὐτῶν πρω-
τότοκος ἰσμαήλ. ναβαιώθ. καὶ κηδάρ. καὶ αὐβδιήλ. καὶ μα-
βσάμ. καὶ μασμάμ. καὶ ἰδουμά. καὶ μασσά. καὶ ἀδάδ. καὶ θε-
μάν. καὶ ἰετούρ. καὶ ναφέσ. καὶ κεδμά. οὗτοί εἰσιν υἱοὶ ἰσμαήλ
δώδεκα. καὶ υἱοὶ χεττούρας τῆς παλλακῆς ἀβραάμ. καὶ ἔτεκεν
αὐτῷ τὸν ζεμβρὰμ, καὶ τὸν ἰεξάν. καὶ μαδάμ. καὶ μαδιάμ. καὶ
ἰεσβὸκ καὶ σουέ, ἕξ. καὶ υἱοὶ ἰεξὰν, σαβά. καὶ δαιδὰν, δύο. καὶ
υἱοὶ δαιδάν. ῥαγουὴλ καὶ ναβδεήλ. καὶ ἀσουελίμ. καὶ λατα-
σιείμ. καὶ λοωμεὶμ, πέντε, καὶ υἱοὶ μαδιὰμ, γεφάρ. καὶ ὀφὲρ καὶ
ἐνὼχ, καὶ ἀβιδάδ. καὶ ἐλδαάδ. πάντες οὗτοι υἱοὶ χεττούρας
καὶ ἐγέννησεν ἀβραὰμ τὸν ἰσαὰκ, καὶ ἰακώβ. υἱοὶ ἰωὰβ ἰσαὰκ ἐ-
λιφὰζ καὶ ῥαγουήλ. καὶ ἰεβούλ. καὶ ἰεγλώμ. καὶ κορέ. πάντες υἱ-
οὶ ἐλιφὰζ θαιμὰν, καὶ ἰωμάρ. σωφάρ. καὶ γοθάμ. καὶ κενὲζ, πέντε
θαμνὰ δὲ ἡ παλλακὴ ἐλιφὰζ, ἔτεκεν αὐτῷ τὸν ἀμαλὴκ καὶ υἱοὶ
ῥαγουὴλ ναχὲθ καὶ ζαμμέ. καὶ ζαρέ. καὶ μαζέ, τέσσαρες. καὶ υἱοὶ
σηείρ. λωτὰν καὶ σοβάν. καὶ σεβεγών. καὶ ἀνὰν καὶ δισιών. καὶ ἀ-
σάρ. καὶ ῥισών, ἑπτά. καὶ υἱοὶ λωτὰν χοῤῥί. καὶ ἡμάν. καὶ ἡ ἀδελφὴ
λωτάν. θαμνά. τρεῖς υἱοὶ σουβάν. ἀδουάρ. καὶ μαναλάθ. καὶ ὀβάλ
καὶ σωφί. καὶ ἰωνάν. πέντε. καὶ υἱοὶ σεβεγὼν, αἰά. καὶ ἀνὰν δύο
καὶ υἱοὶ ἀνάν. δησών. καὶ ἐλιβαμὰ θυγάτηρ ἀννὰν δύο. καὶ υἱοὶ
δησὼν, ἀμαδάμ. καὶ ἐσεβὰν καὶ ἰεθράν. καὶ χαῤῥάν. τέσσαρες.
καὶ υἱοὶ ἀσὰρ, βαλαάμ. καὶ ζαναάν. καὶ ἰακάν. τρεῖς. καὶ υἱοὶ δεγῶ-
ούς καὶ ἀρὰν, δύο. καὶ οὗτοι οἱ βασιλεῖς αὐτῶν οἱ βασι-

λευσάντων ἐν ἐδὼμ πρὸ τοῦ βασιλεῦσαι βασιλέα, ἐν τοῖς υἱοῖς ἰσραήλ. βαλὰκ υἱὸς σεπφώρ. καὶ ὄνομα μὲν τῇ πόλει αὐτοῦ δενναβά. καὶ ἀπέθανε βαλὰκ καὶ ἐβασίλευσεν ἀντ᾽ αὐτοῦ ἰωβὰβ υἱὸς ζαρὰ ἐκ βοσύρας. καὶ ἀπέθανεν ἰωβὰβ, καὶ ἐβασίλευσεν ἀντ᾽ αὐτοῦ ἀσὸμ ἐκ τῆς γῆς θαιμανῶν. καὶ ἀπέθανεν ἀσσὸμ, καὶ ἐβασίλευσεν ἀντ᾽ αὐτοῦ, ἀδὰδ, υἱὸς βαλδάδ. ὁ πατάξας τὴν μαδιὰμ ἐν τῷ ἀγρῷ μωάβ. καὶ ὄνομα τῇ πόλει αὐτοῦ ἐβίθ. καὶ ἀπέθανε βαλδὰδ, καὶ ἐβασίλευσεν ἀντ᾽ αὐτοῦ σαμαὰ ἐκ μασεκκὰ, καὶ ἀπέθανε σαμαὰ, καὶ ἐβασίλευσεν ἀντ᾽ αὐτοῦ σαοὺλ ἐκ ῥοβὼθ τῆς παρὰ ποταμὸν καὶ ἀπέθανε σαοὺλ, καὶ ἐβασίλευσεν ἀντ᾽ αὐτοῦ βαλαεννὼν υἱὸς ἀχοβώρ. καὶ ἀπέθανε βαλαεννὼν, καὶ ἐβασίλευσεν ἀντ᾽ αὐτοῦ ἀδὰδ βαράθ. καὶ ὄνομα τῇ πόλει αὐτοῦ φαοὺλ καὶ ὄνομα τῇ γυναικὶ αὐτοῦ μεταβεήλ. θυγάτηρ μεζαάλ. καὶ ἀπέθανεν ἀδάδ. καὶ ἐγένοντο ἡγεμόνες ἐδώμ. ἡγεμὼν θαιμὰν ἡγεμὼν ἀλουά. ἡγεμὼν ἰεθὲρ, ἡγεμὼν ἐλιβεμά. ἡγεμὼν ἠλᾶ ἡγεμὼν φινώ. ἡγεμὼν κενέζ. ἡγεμὼν θαιμάν. ἡγεμὼν βαμαιήλ. ἡγεμὼν γαμεσήλ. ἡγεμὼν ἀρεραμάν. οὗτοι ἡγεμόνες ἐδώμ.

Κεφάλαιον β. 2.

Υτοι δὲ υἱοὶ ἰσραήλ. ῥουβίν. συμεών. λευί. ἰούδας ἰσάχαρ. ζαβουλών. δάν. ἰωσήφ. βενιαμίν. νεφθαλείμ, γάδ. καὶ ἀσήρ. υἱοὶ ἰούδα, ἤρ. καὶ αὐνάν. καὶ σηλώμ. τρεῖς οὗτοι ἐτέχθησαν αὐτῷ ἐκ τῆς θυγατρὸς σαύρ. σανᾶς, τῆς χανανίτιδος. καὶ ἐγένετο ἢρ ὁ πρωτότοκος ἰούδα πονηρὸς ἐνώπιον κυρίου. καὶ ἐθανάτωσεν αὐτόν. καὶ θάμαρ ἡ νύμφη αὐτοῦ, ἔτεκεν αὐτῷ τὸν φαρὲς καὶ τὸν ζαρά. πάντες οὗτοι υἱοὶ ἰούδα πέντε. υἱοὶ φαρὲς, ἑσρώμ. καὶ ἀμουήλ. καὶ υἱοὶ ζαρὰ ζαμβρί. καὶ ἠθάμ. καὶ αἰθὰν καὶ καλχάδ. καὶ δαραλέ. πάντες οὗτοι πέντε. καὶ υἱοὶ χαρμὴ, ἀχάρ. ὁ ταράξας τὸν ἰσραὴλ ὃς ἠσυνθέτησεν εἰς τὸ ἀνάθεμα. καὶ υἱοὶ ἠθὰμ, ἀζαρίας. καὶ υἱοὶ ἑσρώμ, οἱ ἐγεννήθησαν αὐτῷ, ὁ ἱεραμεήλ. καὶ ὁ ἀράμ. καὶ ὁ ἀχα-

λωβί. καὶ ἀρὰμ ἐγέννησε τὸν ἀμιναδάβ. καὶ ἀμιναδὰβ ἐγέννησε τὸν
ναασσῶν ἄρχοντα οἴκου ἰούδα. καὶ ναασσὼν, ἐγέννησε τὸν σαλμών.
καὶ σαλμὼν ἐγέννησε τὸν βοόζ. καὶ βοὸζ ἐγεννήσε τὸν ὠβήδ. καὶ ὠβὴδ
ἐγέννησε τὸν ἰεσσαί, καὶ ἰεσσαὶ ἐγέννησε τὸν πρωτότοκον αὐτοῦ ἐλι
άβ. καὶ ἀμιναδὰβ ὁ δεύτερος. καὶ σαμαὰ ὁ τρίτος. καὶ ναθαναὴλ
ὁ τέταρτος, καὶ ῥεηλὰ ὁ πέμπτος, καὶ ἀσὰκ ὁ ἕκτος. καὶ
δαβὶδ ὁ ἕβδομος. καὶ αἱ ἀδελφαὶ αὐτῶν, σαρουία, καὶ ἀ-
βιγαία. καὶ υἱοὶ σαρουίας, ἀβεσσαὶ, καὶ ἰωὰβ, καὶ ἀσαήλ.
τρεῖς οὗτοι. καὶ ἀβιγαία ἔτεκε τὸν ἀμεσσαΐ. καὶ πάτηρ ἀμεσ
σαΐ, ἰέρεθ ὁ ἰσραηλίτης. καὶ ἀχαλωβὶ υἱὸς ἐσρὼμ ἔλαβε τὴν
ἀζουβᾶ γυναῖκα. καὶ τὴν ἱερειώθ. καὶ οὗτοι οἱ υἱοὶ αὐτῆς. ἰασ
σάρ. καὶ σουβὰβ. καὶ ἀβδώμ. καὶ ἀπέθανεν ἀβουζά. καὶ ἔλαβεν
ἑαυτῷ χαλὲβ τὴν ἐφρὰθ καὶ ἔτεκεν αὐτῷ τὸν οὔρ. καὶ οὖρ ἐγέν
νησε τὸν οὐρὶ, καὶ οὐρὶ ἐγέννησε τὸν βεσελεήλ. καὶ μετὰ ταῦτα εἰσῆλ
θεν ἐσδρὼν πρὸς τὴν θυγατέρα μαχὶρ πατρὸς γαλαάδ. καὶ
αὐτὸς ἔλαβεν αὐτήν. καὶ αὐτὸς ἑξηκονταπέντε ἐτῶν ἦν. καὶ ἔ
τεκεν αὐτῷ τὸν γεσούβ. καὶ γεσοὺβ, ἐγέννησε τὸν ἰαήρ. καὶ ἦ
σαν αὐτῷ, εἴκοσι καὶ τρεῖς πόλεις ἐν τῇ γαλαὰδ καὶ ἔλαβε
γεσοὺβ καὶ ἀρὰμ τὰς κώμας ἰαὴρ ἐξ αὐτῶν τὴν κανάθ. καὶ τὰς
κώμας αὐτῆς, ἑξήκοντα πόλεις, πᾶσαι αὗται τῶν υἱῶν μαχὶρ
πατρὸς γαλαάδ. καὶ μετὰ τὸ ἀποθανεῖν ἐσερὼν, ἦλθε χαλὲβ
ἐφραθά. καὶ ἡ γυνὴ ἐσερὼν ἀβιὰ καὶ ἔτεκεν αὐτῷ τὸν ἀσδὼμ
πατέρα θεκωὲ, καὶ ἦσαν υἱοὶ ἱεραμεὴλ πρωτοτόκου ἐσερὼν ὁ
πρωτότοκος ῥὰμ καὶ βαανὰ. καὶ ἀρὰμ καὶ ἀσὸμ ἀδελφὸς αὐ
τοῦ. καὶ ἦν γυνὴ ἑτέρα τῷ ἱεραμεὴλ καὶ ὄνομα αὐτῇ ἀταρά. αὕ
τη ἐστὶ μήτηρ οὐνοὺμ, καὶ ἦσαν υἱοὶ ἀρὰμ πρωτοτόκου ἱεραμε
ήλ. μαὰς καὶ ἰαβὶν. καὶ ἀκὸρ, καὶ ἦσαν υἱοὶ οὐνὰμ σαμμαὶ καὶ
ἰεδδαὲ, καὶ υἱοὶ σαμμαὶ ναβὰβ, καὶ ἀβισούρ. καὶ ὄνομα τῆς
γυναικὸς ἀβισοὺρ ἀβιγαία. καὶ ἔτεκεν αὐτῷ τὸν ὀζβὰν, καὶ τὸν
μοδδὶ, καὶ υἱοὶ ναδὰβ σαλὰδ καὶ ἀφφαὶν καὶ ἀπέθανε σα-

λὰδ οὐκ ἔχων τέκνα. καὶ υἱὸς ἀφφαὶν ἱεσεί. καὶ υἱὸς ἱεσεὶ σωσάν.
καὶ υἱοὶ σωσὰν δαδαὶ καὶ υἱοὶ δαδαὶ ἀχισαμμαί. καὶ ἱεθέρ. καὶ
ἰωνάθαν καὶ ἀπέθανεν ἱεθὲρ οὐκ ἔχων τέκνα. καὶ υἱοὶ ἰωνά-
θαν, φαλὲθ, καὶ ζαζὰ, οὗτοι ἦσαν υἱοὶ ἱεραμαὴλ, καὶ οὐκ ἦσαν τῷ σα-
σὰν υἱοί. ἀλλ᾽ ἢ θυγατέρες. καὶ τῷ σωσὰν παῖς ἦν αἰγύπτιος καὶ
ὄνομα αὐτῷ ἰβαάλ. καὶ ἔδωκεν ἀπισὰν τὴν θυγατέρα αὐτοῦ τῷ
ἰβαὰλ παιδὶ αὐτοῦ εἰς γυναῖκα. καὶ ἔτεκεν αὐτῷ τὸν ἐθθί. καὶ ἐθ-
θὶ ἐγέννησε τὸν ναθὰν καὶ ναθὰν ἐγέννησε τὸν ζαβαδ. καὶ ζαβὰδ
ἐγέννησε τὸν ὀφλαδ. καὶ ὀφλὰδ ἐγέννησε τὸν ἰωβήδ, καὶ ἰω-
βὴδ ἐγέννησε τὸν ἰοῦ, καὶ ἰοῦ ἐγέννησε τὸν ἀζαρίαν, καὶ ἀζαρίας
ἐγέννησε τὸν χελλής, καὶ χελλὴς ἐγέννησε τὸν ἐλεασά. καὶ ἐλεα-
σὰ ἐγέννησε τὸν σοσομαὶ, καὶ σοσομαὶ ἐγέννησε τὸν σαλούμ. καὶ
σαλοὺμ ἐγέννησε τὸν ἰεκεμίαν, καὶ ἰεκεμίας ἐγέννησε τὸν ἐλισα-
μά. οἱ υἱοὶ χαλὲβ ἀδελφοῦ ἱεραμεήλ, μασὰ ὁ πρωτότοκος
αὐτοῦ. οὗτος πατὴρ ζίφ, καὶ υἱοὶ μαρισὰ πατρὸς χεβρών. καὶ
υἱοὶ χεβρὼν κορὲ, καὶ θαφφοὺ, καὶ ῥεκὸμ καὶ σαμαά. καὶ σαμὰ
ἐγέννησε τὸν ῥαὲμ πατέρα ἱερκαὰν, καὶ ἱερκαὰν ἐγέννησε τὸν
σαμμαὶ, καὶ υἱὸς σαμμαὶ μαὼν, καὶ μαὼν πατὴρ βαιθσούρ.
καὶ γεφὰ ἡ παλλακὴ χαλὲβ ἐγέννησε τὸν ἀραὰμ καὶ τὸν μοσὰ
καὶ τὸν γαζὲρ, καὶ υἱοὶ ἀδδαί. ῥεγμὰ, καὶ ἰωαθὰμ, καὶ γηρ-
σὼμ, καὶ φαλὲτ, καὶ γαιφὰ, καὶ σεγὰφ καὶ ἡ παλλακὴ χα-
λὲβ μωχὰ ἐγέννησε τὸν σαβὲρ, καὶ τὸν θαρχανά. καὶ ἐγέν-
νησε σὲφ πατέρα μαδμηνὰ καὶ τὸν σαοὺλ πατέρα μαδεβη-
νὰ, καὶ πατὴρ ἀγεβδά. καὶ θυγάτηρ χαλὲβ ἀχσά. οὗτοι
ἦσαν υἱοὶ χαλὲβ υἱοὶ ὢρ πρωτοτόκου ἐφραθὰ σωβὰλ, καὶ πα-
τὴρ καριαθιαρὶμ, καὶ σολομὼν πατὴρ βηθλεέ. καὶ μαρὶ πα-
τὴρ βεθγεδὼμ, καὶ ἦσαν υἱοὶ τῷ σωβὰλ, πατρὶ καριαθιαρὶμ.
ἀραὰ, καὶ αἰσὶ καὶ ἀμμανὶθ, καὶ οὐ μασφαὲ, καὶ καριαθιαρὶμ, καὶ
μηφιθίμ. καὶ ἠσαμαθὶμ, καὶ ἰσαμαείμ. ἐκ τούτων ἐξῆλθον οἱ
σαραθαῖοι, καὶ οἱ ἐσθαωλαῖοι. καὶ υἱοὶ σαλαμὼ βηθλε-

ἐμ ὁ νετωφατὶ, καὶ ἀταρὼθ οἴκου ἰωὰβ, καὶ ἥμισυ τῆς μαναθη-
σαρὶ πατριαὶ γραμματέων κατοικοῦντων ἐν ἰάβες θαργαθιὶμ,
καὶ σωχαθιὶμ οὗτοι οἱ κιναῖοι οἱ ἐλθόντες ἐξ αἱμὰθ πατρὸς οἴ-
κου ῥηχάβ. Καὶ οὗτοι ἦσαν υἱοὶ δαβὶδ οἱ τεχθέντες αὐτῷ. ἐν
χεβρῶν ὁ πρωτότοκος ἀμνὼν τῇ ἀχινάαμ τῇ ἰσραηλίτιδι. ὁ
δεύτερος δαλουιὰ τῇ ἀβιγαίᾳ τῇ καρμηλίᾳ. ὁ τρίτος ἀβεσσα-
λὼμ. υἱὸς μωχὰ θυγατρὸς θολμαὶ βασιλέως γεσοῦρ. ὁ τέταρτος
ἀδωνίας υἱὸς ἀγγίθ. ὁ πέμπτος σαβατίας τῇ ἀβιτάλ. ὁ ἕκτος
ἰεθραὰμ τῇ αἰγλὰ γυναικὶ αὐτοῦ. ἓξ ἐγεννήθησαν αὐτῷ ἐν
χεβρῶν. καὶ ἐβασίλευσεν ἐκεῖ ἑπτὰ ἔτη, καὶ ἑξάμηνον. καὶ τριά-
κοντα, καὶ τρία ἔτη ἐβασίλευσεν ἐν ἱερουσαλήμ. καὶ οὗτοι ἐ-
τέχθησαν αὐτῷ ἐν ἱερουσαλήμ. σαμαὰ, καὶ σωβάβ. νάθαν,
καὶ σολομών. τέσσαρες τῇ βηρσαβεὲ θυγατρὶ ἀμιήλ. καὶ ἐβάρ.
καὶ ἐλισαμαὲ. καὶ ἐλιφαλέτ. καὶ ναγὴς, καὶ ναφέτ. καὶ ἰαφιὲ
καὶ ἐλισαμαὲ. καὶ ἐλιαδὰκ. καὶ ἐλιφαλέτ. ἐννέα πάντες υἱοὶ
δαβίδ. πλὴν τῶν υἱῶν τῶν παλλακῶν. καὶ θήμαρ ἀδελφὴ αὐ-
τῶν. υἱοὶ σολομῶν, ῥοβοάμ. ἀβιὰ υἱὸς αὐτοῦ. ἀσὰ υἱὸς αὐτοῦ.
ἰωσαφὰτ υἱὸς αὐτοῦ. ἰωρὰμ υἱὸς αὐτοῦ ὀχοζίας υἱὸς αὐτοῦ. ἀ-
μασίας υἱὸς αὐτοῦ. ὀζίας υἱὸς αὐτοῦ. ἰωαθὰμ υἱὸς αὐτοῦ. ἄ-
χαζ υἱὸς αὐτοῦ. ἐζεκίας υἱὸς αὐτοῦ. μανασσῆς υἱὸς αὐτοῦ. ἀμὼς
υἱὸς αὐτοῦ. ἰωσίας υἱὸς αὐτοῦ. καὶ υἱοὶ ἰωσία, ὁ πρωτότοκος
ἰωχανάν. ὁ δεύτερος ἰωακείμ. ὁ τρίτος σεδεκίας. ὁ τέταρτος
σελλούμ. καὶ υἱοὶ ἰωακὶμ ἰεχονίας υἱὸς αὐτοῦ. σεδεκίας υἱὸς
αὐτοῦ. καὶ υἱοὶ ἰεχονία, ἀσὴρ, σαλαθιὴλ υἱὸς αὐτοῦ. μελχιρὰμ,
καὶ φαδαίας καὶ ἀνεσὰρ. καὶ ἰεζεκία, καὶ ὡσαμὼ καὶ σαβα-
δίας καὶ υἱοὶ φαδαίας, ζοροβάβελ, καὶ σεμεΐ. καὶ υἱοὶ ζορο-
βάβελ. μοσολλὰμ καὶ ἀνανία. καὶ σαλλιμὶμ ἀδελφὴ αὐτῶν
καὶ ἀσουβὲ. καὶ ὀέλ. καὶ βαραχία. καὶ ἀσαδία. καὶ ἀσοβὲδ
πέντε. καὶ υἱοὶ ἀνανία, φαλτίας καὶ ἰεσίας ὁ υἱὸς αὐτοῦ. ῥαφὰ
υἱὸς αὐτοῦ. ὄρνα υἱὸς αὐτοῦ. ἀβδία υἱὸς αὐτοῦ σεχονίας υἱὸς

αὐτοῦ. καὶ υἱὸς σεχονίας σαμαιά. καὶ υἱοὶ σαμαιὰ λαττούς. καὶ ἰω-
ὴλ. καὶ βερρὶ καὶ νωαδὶ, καὶ σαφὰτ ἕξ. καὶ υἱοὶ νωαδιὰ ἐλιωναὶ ἐζε-
κία. καὶ ἐσδρικὰμ τρεῖς. καὶ υἱοὶ ἐλλωναὶ οὐαδιὰ, καὶ ἐλιασεβών.
καὶ φαλαιά. καὶ ἀκαοὺμ, καὶ ἰωνὰν, καὶ δαλαιὰ, καὶ ἀνὰν ἑπτά.

## Κεφάλαιον γ'. 3.

Αἱ υἱοὶ ἰούδα, φαρὲς, ἐσρὼμ καὶ χαρμὶ, καὶ ὢρ, καὶ
κ σουβὰλ καὶ σαδαΐας υἱὸς αὐτοῦ. καὶ σουβὰλ ἐγέννησε
τὸν ἰέθ. καὶ ἰὲθ ἐγέννησε τὸν ἀχιμαὶ καὶ τὸν λαάδ. αὗ-
ται δὲ αἱ γενέσεις τοῦ ἀραθί. καὶ οὗτοι υἱοὶ αἰτὰν ἰσραήλ. καὶ ἰε-
σμάν. καὶ ἰεβδάν. ὄνομα δὲ ἀδελφῆς αὐτῶν ἐσιά. δεσφών. καὶ
φανουὴλ πατὴρ γαδὼν, καὶ ἰεζὲρ πατὴρ ὡσά. οὗτοι υἱοὶ ὢρ
πρωτοτόκου ἐφραθᾶ πατρὸς βεθλεέμ. καὶ τῷ ἀσοὺρ πατρὶ θε-
κουὲ ἦσαν δύο γυναῖκες χαλλὰ καὶ μααρά. καὶ ἔτεκεν αὐτῷ
ἡ μααρὰ τὸν ἀχὰζ, καὶ τὸν θαιμάν. καὶ τὸν ἀασθήρ. ἅπαντες οὗτοι
υἱοὶ νοαρᾶς. καὶ υἱοὶ χαλαᾶ σερὲθ καὶ σαὸρ, καὶ ἐθανάμ. καὶ
κωὲ, ἐγέννησε τὸν ἐνὼβ καὶ τὸν σωσηβάλ. καὶ γενέσεις ἀδελ-
φοῦ ῥηχάβ. υἱοὶ ἰαρὶν, καὶ ἦν ἰαβὶς ἔνδοξος ὑπὲρ τοὺς ἀδελφοὺς
αὐτοῦ. καὶ ἡ μήτηρ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ ἰαβὴλ λέγουσα, ὅτι
ἔτεκον ἐν διαπτώσει, καὶ ἐπεκαλέσατο ἰαβὴλ τὸν θεὸν ἰσραὴλ
λέγων. ἐὰν εὐλογῶν εὐλογήσῃς με, καὶ πληθύνῃς τὰ ὅριά μου.
καὶ ἡ χεὶρ σου ᾖ μετ᾽ ἐμοῦ καὶ ποιήσῃς γνῶσιν τοῦ μὴ ταπει-
νῶσαί με. καὶ ἐπήγαγεν αὐτῷ ὁ θεὸς πάντα ὅσα ᾐτήσατο.
καὶ χαλὲβ πάτηρ ἀχα, ἐγέννησε τὸν μαχίρ. οὗτος πατὴρ ἀσα-
θών. καὶ ἀσαθὼν ἐγέννησε τὸν σαβεθφὰ, καὶ φεσσὴ, καὶ τὸν θανὰ
πατέρα πόλεως νάας ἀδελφοῦ σελὼμ τοῦ κενεζὶ, καὶ ἀχάζ. οὗ-
τοι ἄνδρες ῥηφά. καὶ υἱοὶ κενὲζ, γοθονιὴλ, καὶ σαραΐα. καὶ υἱοὶ
γοθονιὴλ, ἀθάθ. καὶ μαναθὶ ἐγέννησε τὸν γοφρά. καὶ σαραΐα ἐ-
γέννησε τὸν ἰωρὰμ πατέρα γησασαρὶμ, ὅτι τέκτονες ἦσαν. καὶ
υἱοὶ χαλὲβ υἱοῦ ἰεφοννὴρ ἠραλαὰ, καὶ ναάμ. καὶ υἱοὶ ἠλὰ κενέζ.
καὶ υἱοὶ ἀμελὴμ, ζὶφ καὶ ζεφᾶ. καὶ θηειὰ, καὶ ἐσερήλ. καὶ υἱοὶ ἐν-

ρὶ, ἰεθὲρ μωρὰδ, καὶ ὄφερ, καὶ ἰαμὼν, καὶ ἐγέννησεν ἰεθὲρ τὸν ἰα-
μαρῶν. καὶ τὸν σεμαὶ καὶ τὸν ἰεσβὰ πατέρα γεδὼρ, καὶ πατέρα
ἐσθαμών. καὶ ἡ γυνὴ αὐτοῦ, αὕτη αἰδία ἔτεκεν αὐτὸν τὸν ἰα-
ρὲδ πατέρα γεδδώρ. καὶ τὸν ἀβὲρ πατέρα σωχῶ, καὶ τὸν ἰε-
χθιὴλ πατέρα ζανὼ καὶ οὗτοι υἱοὶ βεθθιὰ θυγατρὸς φαραὼ, ἣν
ἔλαβε μωρήλ. καὶ υἱοὶ γυναικὸς τῆς ἰδουμαίας ἀδελφῆς χα-
ναὶμ, καὶ δαλιὰ πατὴρ καειλὰ καὶ σιμεὼν πατὴρ ἰωμὰμ, καὶ
οἱ υἱοὶ ναὶμ πατρὸς καειλὰ τοῦ γαρμὶ τοῦ καὶ ἐσθεμωὶ μαχαθὶ,
καὶ υἱοὶ σεμεὼν, ἀμνών. καὶ ῥαμνὼν υἱὸς ἀνὰν καὶ θιμνὼν, καὶ
υἱοὶ ἐσζωχάθ.

## Κεφάλαι. δ'. 4.

Αἱ υἱοὶ ζωχὰθ υἱοὶ ἐνλὼ υἱοῦ ἰούδα. ἢρ πατὴρ λη-
κ βὰκ, καὶ λααδὰδ. καὶ πατὴρ μαεισά. καὶ γένεσις οἰκε-
ων ἐβδαθάββους τοῦ οἴκῳ ἐσοβὰ, καὶ ἰωακείμ. καὶ ἄν-
δρες χωζηβὰ, καὶ ἰωὰς, καὶ σαραφοὶ κατῴκησαν ἐν μωάβ. καὶ ἐ-
πέστρεψεν αὐτοὺς ἀβεδλὴρ εἰς μαθουκιὶμ οὗτοι κεραμεῖς οἱ κα-
τοικοῦντες ἐν ἀταὶμ, καὶ γάδηρα μετὰ τοῦ βασιλέως. καὶ ἐν τῇ
βασιλείᾳ αὐτοῦ ἐνίσχυσαν καὶ κατῴκησαν ἐκεῖ. υἱοὶ συμεὼν, να-
μουὴλ, καὶ ἰαμὶν καὶ ἰαρὶβ. ζαρὲ καὶ σαούλ. σαλὲμ υἱὸς αὐτοῦ.
μασὰν υἱὸς αὐτοῦ. μασμὰ υἱὸς αὐτοῦ. σαβοὺδ υἱὸς αὐτοῦ. σαμὰδ
υἱὸς αὐτοῦ, ζακχοὺρ σεμεὶ υἱὸς αὐτοῦ. καὶ τοῦ σεμεὶ υἱοὶ ἑξκαί-
δεκα. καὶ θυγατέρες ἕξ. καὶ τοῖς ἀδελφοῖς αὐτῶν, οὐκ ἦσαν υἱοὶ
πολλοί. καὶ πᾶσαι αἱ πατριαὶ αὐτῶν οὐκ ἐπλεόνασαν, ὡς υἱοὶ
ἰούδα. καὶ κατῴκησαν ἐν βηρσαβεέ. καὶ σαβαδά. καὶ μοναδὰ.
καὶ ἐνεσερσουάλ. καὶ ἐν βαλαὰ, καὶ ἐν ἀσέμ. καὶ ἐν θωλαδ. καὶ
ἐν βαθουήλ. καὶ ἐν ἑρμᾶ. καὶ ἐν σεκελάγ. καὶ ἐν βεεχαρχαβὼθ.
καὶ ἡ μισυσεώσιν, καὶ οἶκου βαρουσεωρίμ. αὗται αἱ πόλεις αὐ-
τῶν, ἕως βασιλέως δαβίδ. καὶ ἔπαυλις αὐτῶν ἠτάμ. καὶ ἢν
ῥαμμὼν, καὶ θοχχάν. καὶ ἦσαν πόλεις πέντε. καὶ πᾶσαι αἱ ἐπαύ-
λεις αὐτῶν κύκλῳ τῶν πόλεων τούτων ἕως βάαλ. αὕτη ἡ κατά-
σχεσις αὐτῶν καὶ ὁ καταλογισμὸς αὐτῶν. καὶ μοσωβὰβ, καὶ ἀ-

μαλὴκ, καὶ ἰωσίας υἱὸς ἀμασία, καὶ ἰωὴλ. καὶ ἰοὺ υἱὸς ἀσαβιὰ
καὶ υἱὸς σαραιὰ υἱὸς ἀσιὴλ. καὶ ἐλιωναί. καὶ ἰακαβά. καὶ ἰεσουιά.
καὶ ἀσαίας καὶ ἰεδιὴλ, καὶ ἰσμαὴλ. καὶ βαναίας. καὶ ζουζὰ υἱὸς
σαφαὶ υἱοῦ ἀλὼμ υἱοῦ ἰεδιὰ υἱοῦ σεμβὶ υἱοῦ σαμαιοῦ, οὗτοι
οἱ διελθόντες ἐν ὀνόμασιν ἀρχόντων ἐν ταῖς γενέσεσιν αὐ-
τῶν. καὶ ἐν οἴκοις πατριῶν αὐτῶν ἐπληθύνθησαν εἰς πλῆθος,
καὶ ἐπορεύθησαν ἐκ τοῦ ἐλθεῖν ἱεραρὰ ἕως τῶν ἀνατολῶν, τῆς
γαὶ τοῦ ζητῆσαι νομὰς τοῖς κτήνεσιν αὐτῶν. καὶ εὗρον νομὰς πλείο-
νας καὶ ἀγαθάς. καὶ ἡ γῆ πλατεῖα ἐναντίον αὐτῶν καὶ εἰρήνη,
καὶ ἡσυχία. ὅτι ἐκ τῶν υἱῶν χὰμ τῶν κατοικούντων ἐκεῖ ἔμ-
προσθεν. καὶ ἦλθον οὗτοι οἱ γεγραμμένοι ἐπ' ὀνόματος ἐν ἡ-
μέραις ἐζεκίου βασιλέως ἰούδα, καὶ ἐπάταξαν τοὺς οἰκήτορας
αὐτῶν καὶ τοὺς μιναίους οὓς εὗρον ἐκεῖ. καὶ ἀνεθεμάτισαν αὐ-
τοὺς ἕως τῆς ἡμέρας ταύτης. καὶ ᾤκησαν ἀντ' αὐτῶν ὅτι νο-
μεὺς τοῖς κτήνεσιν αὐτῶν ἐκεῖ. καὶ ἐξ αὐτῶν ἀπὸ τῶν υἱῶν συμε-
ὼν ἐπορεύθησαν εἰς ὄρος σηὶρ ἄνδρες πεντακόσιοι, καὶ φαλ-
τίας καὶ νωαδίας. καὶ ῥαφαίας, καὶ ὀζιὴλ υἱοί εἰσιν ἄρχοντες αὐ-
τῶν, καὶ ἐπάταξαν τοὺς καταλοίπους τοὺς καταλειφθέντας τοῦ
ἀμαλήκ. καὶ κατῴκησαν ἐκεῖ, ἕως τῆς ἡμέρας ταύτης.

Κεφάλαιον ε. 5.

κ Αἱ υἱοὶ ῥουβὶν, πρωτοτόκου ἰσραήλ. ὅτι οὗτος ὁ πρω-
τότοκος. καὶ ἐν τῷ ἀναβῆναι αὐτὸν ἐπὶ τὴν κοίτην τοῦ
πατρὸς αὐτοῦ, ἔδωκε τὴν εὐλογίαν αὐτοῦ τῷ υἱῷ ἰωσὴφ ἰσρα-
ὴλ, καὶ οὐκ ἐγενεαλογήθη εἰς πρωτοτόκια, ὅτι ἰούδας δυνα-
τὸς ἰσχύι, καὶ ἐν τοῖς ἀδελφοῖς αὐτοῦ καὶ εἰς ἡγούμενον ἐξ αὐτοῦ
καὶ ἡ εὐλογία τοῦ ἰωσήφ. υἱοὶ ῥουβὶν πρωτοτόκου ἰσραὴλ ἐνὼχ.
καὶ φαλλοῦς. ἀσρὼμ καὶ χαρμί. υἱοὶ ἰωὴλ, σεμεῒ καὶ βαναίας
υἱὸς αὐτοῦ. καὶ υἱοὶ γὼγ υἱοῦ σεμεῒ υἱὸς αὐτοῦ μιχὰ υἱὸς αὐτοῦ.
ῥησὶν αὐτοῦ. βεηρὰ υἱὸς αὐτοῦ. ὃν μετῴκισε θαγλαφαλλασὰρ
βασιλεὺς ἀσσούρ. οὗτος ἄρχων τῶν ῥουβίν. καὶ οἱ ἀδελφοὶ αὐ-

τοῦ τῇ πατριᾷ αὐτοῦ ἐν τοῖς καταλοχισμοῖς αὐτῶν κατὰ γενέ-
σεις αὐτῶν· ὁ ἄρχων ἰωὴλ, καὶ ζαχαρία· καὶ βαλὲκ υἱὸς ἀζοὺζ
υἱὸς σαμὰ υἱὸς ἰωήλ. οὗτος κατῴκησεν ἐν ἀροὴρ καὶ ἐπὶ να-
βαῦ καὶ βεελμαὼν, καὶ πρὸς ἀνατολὰς κατῴκησεν ἕως ἐρχο-
μένων τῆς ἐρήμου, ἀπὸ τοῦ ποταμοῦ εὐφράτου. ὅτι κτήνη αὐ-
τῶν πολλὰ ἐν γῇ γαλαάδ. καὶ ἐν ἡμέραις σαοὺλ ἐποίησαν
πόλεμον πρὸς παροίκους. καὶ ἔπεσον ἐν χερσὶν αὐτῶν κατοι-
κοῦντες ἐν σκηναῖς αὐτῶν πάντες κατὰ ἀνατολὰς γαλαάδ. υἱοὶ
γὰδ κατέναντι αὐτῶν κατῴκησαν ἐν γῇ βασὰν ἕως σελχά. ἰω-
ὴλ ὁ πρωτότοκος καὶ σαφὰμ ὁ δεύτερος. καὶ ἰανὶ ὁ γραμματεὺς
βασάν. καὶ οἱ ἀδελφοὶ αὐτῶν, κατ' οἴκους πατριῶν αὐτῶν· μι-
χαὴλ μοσολλὰμ καὶ σοβὲε, καὶ ἰωρὰ καὶ ἰωχὰν. καὶ ὀβιὰ καὶ
ὠβήδ, ἑπτά. οὗτοι υἱοὶ ἀβιχαήλ. υἱοὶ ῥουβὶ ἰααδί. υἱοὶ γαλαάδ.
υἱοὶ μιχαήλ. υἱοὶ ἰεσαΐ. υἱοὶ ἰεδαΐ. υἱοῦ βοὺζ ἀδελφοῦ υἱοῦ ἀ-
βδιήλ. υἱοῦ γουνὶ ἄρχων οἴκου πατριῶν κατῴκουν ἐν γαλαὰδ
ἐν βασὰν, καὶ ἐν ταῖς κώμαις αὐτῶν καὶ πάντα τὰ περίχωρα
σαρώμ. ἕως ἐξόδου πάντων ὁ καταλοχισμὸς ἐν ἡμέραις ἰωα-
θὰμ βασιλέως ἰούδα, καὶ ἐν ἡμέραις ἱεροβοὰμ βασιλέως ἰσρα-
ήλ. υἱοὶ ῥουβίν· καὶ γὰδ καὶ ἥμισυ φυλῆς μανασσῆ ἐξ υἱῶν δυνά-
μεως ἄνδρες αἴροντες ἀσπίδας, καὶ μάχαιραν καὶ τείνοντες τό-
ξον καὶ δεδιδαγμένοι πόλεμον τεσσαράκοντα, καὶ τέσσαρες
χιλιάδες καὶ ἑπτακόσιοι, καὶ ἑξήκοντα ἓξ ἐκπορευόμενοι εἰς πα-
ράταξιν. καὶ ἐποίουν πόλεμον μετὰ τῶν ἀγαραίων. καὶ ἰ-
τοὺρ καὶ ναφύς. ναβδαβδιών. καὶ κατίσχυσαν ἐπ' αὐτῶν. καὶ
ἐδόθησαν εἰς χεῖρας αὐτῶν οἱ ἀγαραῖοι. καὶ πάντα τὰ σκη-
νώματα αὐτῶν, ὅτι πρὸς τὸν θεὸν ἐβόησαν ἐν τῷ πολέμῳ.
καὶ ἐπήκουσεν αὐτῶν, ὅτι ἤλπισαν ἐπ' αὐτόν. καὶ ἠχμαλώτευ-
σαν τὴν ἀποσκευὴν αὐτῶν· καμήλους πεντακισχιλίους. καὶ πρόβα-
τα διακοσίας πεντήκοντα χιλιάδας. ὄνους δισχιλίους, καὶ ψυχὰς
ἀνθρώπων ἑκατὸν χιλιάδας. ὅτι τραυματίαι πολλοὶ ἔπεσον, ὅτι πα-

ρὰ τοῦ θεοῦ ὁ πόλεμος. καὶ κατῴκησαν ἀντ' αὐτῶν ἕως τῆς μετοι-
κεσίας. καὶ οἱ ἥμισυ φυλῆς μανασσῆ, κατῴκησαν ἐν τῇ γῇ ἀπὸ
βασὰν ἕως βαὰλ ἑρμὼν, καὶ σανὶρ, καὶ ὄρος ἀερμών. καὶ αὐτοὶ ἐν
τῷ λιβάνῳ ἐπλεονάσθησαν. καὶ οὗτοι ἀρχηγοὶ οἴκων πατριῶν αὐ-
τῶν. γοφὲρ καὶ ἰεσὶ καὶ ἐλιὴλ καὶ ἱερεμίας, καὶ ἰωδουΐα. καὶ ἰε-
διήλ. ἄνδρες δυνατοὶ ἐν ἰσχύϊ. ἄνδρες ὀνομαστοί. ἄρχοντες κατ'
οἴκους πατριῶν αὐτῶν. καὶ ἠθέτησαν ἐν τῷ θεῷ τῶν πατέρων
αὐτῶν, καὶ ἐπόρνευσαν ὀπίσω τῶν θεῶν τῶν λαῶν τῆς γῆς, οὓς
ἐξῆρεν ὁ θεὸς ἀπὸ προσώπου αὐτῶν. καὶ ἐξήγειρεν ὁ θεὸς ἰ-
σραὴλ τὸ πνεῦμα φοὺλ βασιλέως ἀσσυρίων, καὶ τὸ πνεῦμα θε-
γλὰθ φαλασσὰρ βασιλέως ἀσσυρίων, καὶ μετῴκησαν τὸν ῥου-
βὴμ καὶ τὸν γὰδ, καὶ τὸ ἥμισυ φυλῆς μανασσῆ. καὶ εἰσήγαγον
αὐτοὺς εἰς ἀλλὰν, καὶ ἰωβὼρ. καὶ ἀρρὰν. καὶ τὸν ποταμὸν γωζὰν,
ἕως τῆς ἡμέρας ταύτης. Κεφ. ς'. 6.

Ιοὶ λευὶ γερσὼν καὰθ, καὶ μεραρί. καὶ υἱοὶ καὰθ. ἀμ-
υ βρὰμ. καὶ ἰσαάρ. χεβρὼν καὶ ὀζιήλ. καὶ υἱοὶ ἀμβρὰμ,
ἀαρὼν καὶ μωϋσῆς. καὶ μαριάμ. καὶ υἱοὶ ἀαρὼν, ναδάβ.
καὶ ἀβιούδ. ἐλεάζαρ καὶ ἰθάμαρ. καὶ ἐλεάζαρ, ἐγέννησε τὸν φι-
νεές. καὶ φινεὲς ἐγέννησε τὸν ἀβιούδ. καὶ ἀβιοὺδ ἐγέννησε τὸν
βοκχὲ, καὶ βοκχὲ ἐγέννησε τὸν ὀζί. καὶ ὀζὶ ἐγέννησε τὸν σαραί-
αν. καὶ σαραίας ἐγέννησε τὸν μαριώθ. καὶ μαριὼθ ἐγέννησε τὸν
ἀμάριαν. καὶ ἀμάριας ἐγέννησε τὸν ἀχιτώβ. καὶ ἀχιτὼβ ἐγέν-
νησε τὸν σαδώκ. καὶ σαδὼκ ἐγέννησε τὸν ἀχιμαάς. καὶ ἀχιμα-
άς ἐγέννησε τὸν ἀζαρίαν. καὶ ἀζαρίας ἐγέννησε τὸν ἰωνᾶν. καὶ ἰω-
νᾶς ἐγέννησε τὸν ἀζαρίαν. αὐτὸς ἐστὶν ἀζαρίας ὁ ἱερατεύσας ἐν
τῷ οἴκῳ ἐν ᾧ ᾠκοδόμησε σαλωμὼν ἐν ἱερουσαλήμ. καὶ ἐγέννη-
σε ἀζαρίας τὸν ἀμάριαν. καὶ ἀμαρίας ἐγέννησε τὸν ἀχιτώβ. καὶ
ἀχιτὼβ ἐγέννησε τὸν σαδώκ. καὶ σαδὼκ, ἐγέννησε τὸν σελλούμ.
καὶ σελλοὺμ ἐγέννησε τὸν ἐλκίαν. καὶ ἐλκίας ἐγέννησε τὸν ἀζα-
ρίαν. καὶ ἀζαρίας ἐγέννησε τὸν σαραίαν. καὶ σαραίας ἐγέννησε

τὸν ἰωσε-

τὸν ἰωσεδὲκ, καὶ ἰωσεδὲκ ἐπορεύθη ἐν τῷ ἀποικίζειν κύριον, τὸν ἰούδαν, καὶ τὴν ἱερουσαλὴμ ἐν χειρὶ ναβουχοδονόσορ εἰς βαβυλῶνα. υἱοὶ λευὶ, γεδσῶν, καὰθ. καὶ μεραρί. καὶ ταῦτα τὰ ὀνόματα τῶν υἱῶν γεδσών. λουβενὶ, καὶ σεμεΐ. καὶ υἱοὶ καὰθ, ἄμβραμ καὶ σαάρ. χεβρών. καὶ ὀζιήλ. καὶ υἱοὶ μεραρὶ, μοολί. καὶ ὁμουσί. αὗται αἱ συγγένειαι τοῦ λευὶ κατὰ πατριὰς αὐτῶν. τῷ γεδσὼν λοβαννὶ, υἱὸς αὐτοῦ. ἰὰθ υἱὸς αὐτοῦ. σεμμὰ υἱὸς αὐτοῦ. ἰωὰχ υἱὸς αὐτοῦ. ἀδδὼ υἱὸς αὐτοῦ. ζαρὰ υἱὸς αὐτοῦ. ἰεθρὶ υἱὸς αὐτοῦ. υἱοὶ καὰθ. ἰσαὰρ υἱὸς αὐτοῦ. ἀμιναδὰβ υἱὸς αὐτοῦ. κορὲ υἱὸς αὐτοῦ. ἀκσὴρ υἱὸς αὐτοῦ. ἐλκανὰ υἱὸς αὐτοῦ. ἀβισὰφ υἱὸς αὐτοῦ. ἀσὴρ υἱὸς αὐτοῦ. καὰθ υἱὸς αὐτοῦ. οὐρουὴλ υἱὸς αὐτοῦ. ὀζίας υἱὸς αὐτοῦ. σαοὺλ υἱὸς αὐτοῦ. καὶ υἱὸς ἐλκανὰ, ἀμασὶ υἱὸς αὐτοῦ. ἀμιὼθ υἱὸς αὐτοῦ. ἐλκανὰ υἱὸς αὐτοῦ σουφὶ, υἱὸς αὐτοῦ ναὰθ υἱὸς αὐτοῦ, ἐλιὰβ υἱὸς αὐτοῦ. ἱερεμιὴλ υἱὸς αὐτοῦ. ἐλκανὰ υἱὸς αὐτοῦ. σαμουὴλ υἱὸς αὐτοῦ. καὶ υἱοὶ σαμουὴλ ὁ πρωτότοκος αὐτοῦ ἰωβήλ. καὶ ὁ δεύτερος αὐτοῦ, ἀβιᾶ. υἱοὶ μεραρὶ, μοολί. υἱὸς αὐτοῦ. λοβεννὶ υἱὸς αὐτοῦ. σεμεῒ υἱὸς αὐτοῦ. ὀζίας υἱὸς αὐτοῦ. σαμμαὰ υἱὸς αὐτοῦ. ἀνανὶ υἱὸς αὐτοῦ, ἀσεὰ υἱὸς αὐτοῦ. Καὶ οὗτοι οὓς κατέστησε δαβὶδ, ἐπὶ χεῖρας ἀδόντων ἐν οἴκῳ κυρίου, ἐν τῇ καταπαύσει τῆς κιβωτοῦ ἐξ οὗ κατέπαυσεν. καὶ ἦσαν λειτουργοῦντες ἐναντίον ἀπέναντι τῆς σκηνῆς οἴκου τοῦ μαρτυρίου ἐν ᾠδῇ, ἕως τοῦ οἰκοδομῆσαι τὸν σολομῶντα τὸν οἶκον κυρίου ἐν ἱερουσαλὴμ, καὶ ἔστησαν κατὰ τὴν κρίσιν αὐτῶν, ἐπὶ τὰς λειτουργίας αὐτῶν. καὶ οὗτοι οἱ ἑστῶτες καὶ οἱ υἱοὶ αὐτῶν. ἀπὸ τῶν υἱῶν καὰθ, ἀμὼν ὁ ψαλτῳδὸς υἱὸς ἰωὴλ υἱοῦ σαμουήλ. υἱοῦ ἐλκανά. υἱοῦ ἱερεμεήλ. υἱοῦ ἐλιάβ. υἱοῦ ναάθ. υἱοῦ σουφί. υἱοῦ ἐλκανά. υἱοῦ ἀμιώθ. υἱοῦ ἀμασὶ, υἱοῦ ἰωήλ. υἱοῦ ἀζαρία υἱοῦ σαφανία. υἱοῦ μααλθ. υἱοῦ ἀσσέρ. υἱοῦ ἀβιασάφ. υἱοῦ ἐλκανά, υἱοῦ ἀσήρ. υἱοῦ κορέ. υἱοῦ ἀμιναδάβ. υἱοῦ ἀσάρ. υἱοῦ καάθ. υἱοῦ λευί. υἱοῦ ἰσραήλ. υἱοῦ θαὰθ, καὶ ὁ ἀδελφὸς αὐτοῦ, ἀσὰφ ὁ ἑστὼς ἐκ δεξιῶν αὐτοῦ. ἀσὰφ υἱὸς

παραχία υἱοῦ σαμαὰ. υἱοῦ μιχαὴλ. υἱοῦ μασὴλ. υἱοῦ μελχία.
υἱοῦ ἠθανία. υἱοῦ ζαρχί. υἱοῦ ἀδαὴλ. υἱοῦ ἠθὰμ. υἱοῦ ζεμμά. υἱοῦ
σεμεί. υἱοῦ ἰαὰθ. υἱοῦ γεδσών. υἱοῦ λευί. καὶ υἱοὶ μεραρὶ οἱ ἀ-
δελφοὶ αὐτῶν ἐπὶ τὰ ἀριστερά. αἰθὰμ υἱὸς χουσί. υἱοῦ ἀβδίου. υἱ-
οῦ μαλώχ. υἱοῦ σαβιά. υἱοῦ ἀμασία υἱοῦ χελκία. υἱοῦ ἀμασία
υἱοῦ βανί. υἱοῦ σεμμήρ, υἱοῦ μοολί. υἱοῦ μουσί. υἱοῦ μεραρί. υἱοῦ
λευί. καὶ οἱ ἀδελφοὶ αὐτῶν κατ᾽ οἴκους πατριῶν αὐτῶν δεδο-
μένοι οἱ λευῖται εἰς πᾶσαν δουλείαν λειτουργίας σκηνῆς οἴκου
τοῦ θεοῦ καὶ ἀαρὼν καὶ οἱ υἱοὶ αὐτοῦ. θυμιῶντες ἐπὶ τὸ θυσιαστή-
ριον τῶν ὁλοκαυτωμάτων, καὶ ἐπὶ τὸ θυσιαστήριον τοῦ θυμιάματος
εἰς πᾶσαν ἐργασίαν ἁγίαν τῶν ἁγίων. καὶ ἐξιλάσκεσθαι περὶ
ἰσραήλ. κατὰ πάντα ὅσα ἐνετείλατο μωϋσῆς ὁ δοῦλος τοῦ θε-
οῦ. καὶ οὗτοι οἱ υἱοὶ ἀαρών. ἐλεάζαρ υἱὸς αὐτοῦ. φινεὲς υἱὸς αὐ-
τοῦ. ἀβιούλ υἱὸς αὐτοῦ. ὀζὶ υἱὸς αὐτοῦ. σαραΐας υἱὸς αὐτοῦ. μαρι-
ὼθ υἱὸς αὐτοῦ. ἀμαριά υἱὸς αὐτοῦ. ἀχιτὼβ υἱὸς αὐτοῦ. σαδὼκ υἱ-
ὸς αὐτοῦ. ἀχιμαὰς υἱὸς αὐτοῦ. καὶ αὗται αἱ κατοικίαι αὐτῶν ἐν
ταῖς κώμαις αὐτῶν. καὶ ἐν τοῖς ὁρίοις αὐτῶν τοῖς υἱοῖς ἀαρὼν
τῇ συγγενείᾳ τοῦ καάθ. ὅτι αὐτοῖς ἐγένοντο οἱ κλῆροι. καὶ ἔδω-
καν αὐτοῖς τὴν χεβρὼν ἐν γῇ ἰούδα, καὶ τὰ περιπόλια αὐτῆς κύ-
κλῳ αὐτῆς τοὺς δὲ ἀγροὺς τῆς πόλεως καὶ τὰς ἐπαύλεις αὐτῆς
ἔδωκαν τῷ χάλεβ υἱῷ ἰεφοννί. καὶ τοῖς υἱοῖς ἀαρὼν ἔδωκαν
τὰς πόλεις τῶν φυγαδευτηρίων τὴν χεβρὼν, καὶ τὰ περιπό-
λια αὐτῆς. καὶ τὴν λοβνὰ καὶ τὰ περιπόλια αὐτῆς, καὶ ἀλὼμ
καὶ τὰ περιπόλια αὐτῆς. καὶ τὴν κελὼμ, καὶ τὰ περιπόλια
αὐτῆς, καὶ τὴν ἀσὰν, καὶ τὰ περιπόλια αὐτῆς, καὶ τὴν βαιθ-
σαμὼς καὶ τὰ περιπόλια αὐτῆς, καὶ τὴν βεθσοὺρ καὶ τὰ περιπό-
λια αὐτῆς, καὶ τὴν βεθσοὺρ καὶ τὰ περιπόλια αὐτῆς. καὶ ἀπὸ
τῆς φυλῆς βενιαμὶν, τὴν γαβαὼν, καὶ τὰ περιπόλια αὐτῆς, καὶ
τὴν ἀναθὼθ καὶ τὰ περιπόλια αὐτῆς. καὶ τὴν ἀλαμβαὶ καὶ τὰ
περιπόλια αὐτῆς, καὶ τὴν ἀναθὼθ, καὶ τὰ περιπόλια αὐτῆς πᾶ-

σαι αἱ πόλεις αὐτῶν τρισκαίδεκα πόλεις ἐν ταῖς συγγενείαις αὐτῶν, καὶ τοῖς υἱοῖς κααθ τοῖς καταλελειμμένοις ἀπὸ τῆς συγγενείας τῆς φυλῆς, ἀπὸ τοῦ ἡμίσους τῆς φυλῆς μανασσῆ, κλήρῳ πόλεις δέκα. καὶ τοῖς υἱοῖς γεδσῶν κατὰ συγγενείας αὐτῶν, ἐκ φυλῆς ἀσὴρ, καὶ ἀπὸ φυλῆς νεφθαλεὶμ, καὶ ἐκ φυλῆς μανασσῆ ἐν τῇ βασὰν, πόλεις δεκατρεῖς. καὶ τοῖς υἱοῖς μεραρὶ κατὰ συγγενείας αὐτῶν, ἐκ φυλῆς ῥουβὴν, καὶ ἐκ φυλῆς γὰδ, καὶ ἐκ φυλῆς ζαβουλών. ἐν κλήρῳ πόλεις δέκα. καὶ δύο. καὶ ἔδωκαν οἱ υἱοὶ ἰσραὴλ τοῖς λευίταις τὰς πόλεις. καὶ τὰ περιπόλια αὐτῶν. καὶ ἔδωκαν αὐτὰς ἐν κλήρῳ ἐκ φυλῆς υἱῶν ἰούδα. καὶ ἐκ φυλῆς υἱῶν βενιαμὶν τὰς πόλεις ταύτας ἃς καλέσουσιν αὐτὰς ἐν ὀνόμασι. καὶ τοῖς ἀπὸ τῶν δήμων υἱῶν κααθ, ἐγένοντο πόλεις τῶν ὁρίων αὐτῶν, ἐκ φυλῆς ἐφραίμ. καὶ ἔδωκεν αὐτοῖς τὰς πόλεις τοῦ φυγαδευτηρίου, τὴν συχὲμ, καὶ τὰ περιπόλια αὐτῆς, ἐν ὄρει ἐφραίμ. καὶ τὴν γάζερ, καὶ τὰ περιπόλια αὐτῆς, καὶ τὴν ἰεκμαὰν, καὶ τὰ περιπόλια αὐτῆς, καὶ τὴν βαιθωρὼν, καὶ τὰ περιπόλια αὐτῆς, καὶ τὴν ἐλὼμ, καὶ τὰ περιπόλια αὐτῆς, καὶ τὴν γεθρεμὼν, καὶ τὰ περιπόλια αὐτῆς, καὶ ἀπὸ τοῦ ἡμίσους φυλῆς μανασσῆ, τὴν ἐνὴρ καὶ τὰ περιπόλια αὐτῆς, καὶ τὴν ἰεβλαὰμ, καὶ τὰ περιπόλια αὐτῆς, τῇ συγγενείᾳ τῶν υἱῶν κααθ τοῖς καταλελειμμένοις τοῖς υἱοῖς γεθσῶν ἀπὸ συγγενείας τοῦ ἡμίσους φυλῆς μανασσῆ, τὴν γαυλὼν ἐκ τῆς βασὰν καὶ τὰ περιπόλια αὐτῆς, καὶ τὴν ἀσταρὼθ καὶ τὰ περιπόλια αὐτῆς, καὶ ἀπὸ φυλῆς ἰσάχαρ, τὴν κέδες καὶ τὰ περιπόλια αὐτῆς, καὶ τὴν νάδαρ καὶ τὰ περιπόλια αὐτῆς, καὶ τὴν ῥαμὼθ, καὶ τὰ περιπόλια αὐτῆς, καὶ τὴν αἰνὰν καὶ τὰ περιπόλια αὐτῆς. καὶ ἀπὸ φυλῆς ἀσὴρ τὴν μασιὰ, καὶ τὰ περιπόλια αὐτῆς. καὶ τὴν ῥαβὼθ, καὶ τὰ περιπόλια αὐτῆς. καὶ τὴν ἀκωὰκ, καὶ τὰ περιπόλια αὐτῆς καὶ τὴν ῥοὼβ καὶ τὰ περιπόλια αὐτῆς καὶ ἀπὸ φυλῆς νεφθαλεὶμ τὴν κάδης ἐν τῇ γαλιλαίᾳ, καὶ τὰ περι-

πόλια αὐτῆς· καὶ τὴν χαμμὼθ, καὶ τὰ περιπόλια αὐτῆς· καὶ τὴν
καριαθαὶμ, καὶ τὰ περιπόλια αὐτῆς· καὶ τοῖς υἱοῖς μεραρὶ τοῖς
καταλοίποις ἀπὸ φυλῆς ζαβουλὼν τὴν ῥεμμὼν, καὶ τὰ περιπό-
λια αὐτῆς· καὶ τὴν κάδης καὶ τὴν ῥεμμὼν καὶ τὰ περιπόλια αὐτῆς
καὶ ἐκ τοῦ πέραν τοῦ ἰορδάνου ἱεριχὼ κατὰ ἀνατολὰς τοῦ ἰορ-
δάνου ἐκ φυλῆς ῥουβὴμ, τὴν βοσὸρ ἐν τῇ ἐρήμῳ, καὶ τὰ περιπό-
λια αὐτῆς· καὶ τὴν ἰασὰ, καὶ τὰ περιπόλια αὐτῆς· καὶ τὴν καδη-
μὼθ, καὶ τὰ περιπόλια αὐτῆς· καὶ τὴν μωφαάθ· καὶ τὰ περιπό-
λια αὐτῆς· καὶ ἐκ φυλῆς γὰδ, τὴν ῥαμὰθ ἐν γαλαὰδ, καὶ τὰ πε-
ριπόλια αὐτῆς· καὶ τὴν ναὶμ καὶ τὰ περιπόλια αὐτῆς· καὶ τὴν
ἐσεβὼν καὶ τὰ περιπόλια αὐτῆς· καὶ τὴν ἰαζὴρ, καὶ τὰ περιπό-
λια αὐτῆς·

Κεφ. ζ. 7.

Αἱ οὗτοι υἱοὶ ἰσάχαρ· θωλαὶ· καὶ φουά· ἰασοὺβ· καὶ
κ σομβρὰν· τέσσαρες, καὶ υἱοὶ θωλὰ, ὀζὶ καὶ ῥαφαΐ-
ας καὶ ἰαρουὴλ· καὶ ἀμὶν καὶ ἰαφθὰν· καὶ σαμου-
ὴλ· ἄρχοντες κατ' οἶκον πατριῶν αὐτῶν. τῷ θολᾶ ἰσχυροὶ δυ-
νάμει κατὰ γενέσεις αὐτῶν· ὁ ἀριθμὸς αὐτῶν ἐν ἡμέραις δα-
βὶδ εἴκοσι καὶ δύο χιλιάδες καὶ ἑξακόσιοι· καὶ υἱοὶ ὀζὶ καὶ
οἱ υἱοὶ ἰεζρί· μιχαὴλ, καὶ ἀβδίας· καὶ ἰωὴλ· καὶ ἰωσίας· πέν-
τε ἄρχοντες πάντες καὶ μετ' αὐτῶν κατὰ γενέσεις αὐτῶν·
κατ' οἴκους πατριῶν αὐτῶν, μονόζωνοι, δυνάμει παρατά-
ξασθαι εἰς πόλεμον· τριάκοντα καὶ ἓξ χιλιάδες, ὅτι ἐπλήθυ-
ναν γυναῖκες καὶ υἱούς· καὶ οἱ ἀδελφοὶ τῶν εἰς πάσας συγγε-
νείας ἰσάχαρ· δυνατοὶ δυνάμει, ὀγδοήκοντα καὶ ἑπτὰ χιλι-
άδες ἡ γενεαλογία αὐτῶν· υἱοὶ δὲ, βελαὲ· καὶ χωβὼρ, καὶ ἰεδιὴλ
τρεῖς καὶ υἱοὶ βελαὲ, ἐσεβὼν καὶ ὀζίας· καὶ ὀζιὴλ· καὶ ἱεριμοὺθ, καὶ
οὐρίας· πέντε ἄρχοντες οἴκων πατριῶν αὐτῶν ἰσχυροὶ δυνά-
μει· καὶ ἡ γενεαλογία αὐτῶν, εἴκοσι δύο χιλιάδες καὶ τρια-
κοντατέσσαρες· καὶ υἱοὶ χωβὼρ· ζεμαρίας καὶ ἰωὰβ· καὶ ἐλιέζερ·

καὶ ἐλιανδαί. καὶ ἀμαρία. καὶ ἱερμούθ. καὶ ἀβιὰ καὶ ἀναθώθ. καὶ ἐλμεθὲμ πάντες οὗτοι υἱοὶ χωβώρ. καὶ ἡ γενεαλογία αὐτῶν κατὰ γενέσεις αὐτῶν. ἄρχοντες οἴκων πατριῶν αὐτῶν δυνατοὶ ἰσχύι, εἴκοσι χιλιάδες καὶ διακόσιοι. καὶ υἱοὶ ἰεδιήλ. βαλαάμ. ἰηεώς. καὶ βενιαμίν. καὶ ἀώθ. καὶ ἀχαναάν. καὶ ἰηθάν. καὶ θαρσεῖς. καὶ ἀσαπήρ. πάντες οὗτοι υἱοὶ ἰεδιήλ. ἄρχοντες τῶν πατριῶν δυνατοὶ ἰσχύι, ἑπτακαίδεκα χιλιάδες καὶ διακόσιοι ἐκπορευόμενοι δυνάμει τοῦ πολεμεῖν. καὶ σαφάν. καὶ ἠφάν. καὶ υἱοὶ ἱερμούθ. ἰασούδ υἱὸς αὐτοῦ. νεφθαλεὶμ υἱὸς αὐτοῦ. ἰασιήλ. καὶ γωυνί. καὶ ἰασέρ. καὶ σελαεὶμ υἱοὶ αὐτοῦ βαλαὰμ υἱὸς αὐτοῦ.

Κεφάλαιον η. ϛ.

υ Ιοὶ μανασσῆ. ἐσριήλ. ὃν ἔτεκεν ἡ παλλακὴ αὐτοῦ ἡ σύρα. καὶ ἔτεκε τὸν μαχεὶρ πατέρα γαλαάδ. καὶ μαχεὶρ ἔλαβε γυναῖκα τῷ ὀφίρ. καὶ τῷ σεφίν. καὶ τὸ ὄνομα τῆς ἀδελφῆς αὐτῶν μααχά. καὶ ὄνομα τοῦ δευτέρου σαλπαάδ. καὶ ἐγεννήθησαν τῷ σαλπαάδ θυγατέρες. καὶ ἔτεκε μααχὰ ἡ γυνὴ μαχεὶρ υἱόν. καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ φαρές, καὶ ὄνομα τοῦ ἀδελφοῦ αὐτοῦ σοορὸς υἱὸς αὐτοῦ οὐλάμ, καὶ υἱοὶ αὐτοῦ ἠλάμ, καὶ ῥακάμ. καὶ υἱοὶ ἠλάμ, βαλαάμ. οὗτοι υἱοὶ γαλαάδ. υἱοῦ μαχεὶρ υἱοῦ μανασσῆ. καὶ ἡ ἀδελφὴ αὐτοῦ μελχέδ. ἔτεκε τὸν ἰσαούδ. καὶ τὸν ἀβιέζερ. καὶ τὸν μαελαάδ. καὶ ἐγένοντο υἱοὶ σαμιρὰ ἰαείμ. καὶ συχέμ. καὶ λοκιείμ. καὶ ἀνιάμ. καὶ υἱοὶ ἐφραίμ, θουσαλάμ. καὶ ῥαδὰμ υἱοὶ αὐτοῦ. καὶ θαὰμ υἱὸς αὐτοῦ. καὶ ἐλαδὰδ υἱὸς αὐτοῦ. καὶ θαὰδ υἱὸς αὐτοῦ. καὶ ἔζερ. καὶ ἐσλαδά. καὶ ἀπέκτειναν αὐτοὺς οἱ ἄνδρες γὲθ οἱ τεχθέντες ἐν τῇ γῇ. ὅτι κατέβησαν λαβεῖν τὰ κτήνη αὐτῶν. καὶ ἐπένθησεν ἐφραὶμ ὁ πατὴρ αὐτῶν ἡμέρας πολλὰς καὶ ἦλθον οἱ ἀδελφοὶ αὐτοῦ παρακαλέσαι αὐτόν. καὶ εἰσῆλθεν πρὸς τὴν γυναῖκα αὐτοῦ καὶ ἐν γαστρὶ ἔλαβεν καὶ ἔτεκεν υἱόν. καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ βαριέ. ὅτι ἐν κακοῖς ἐγένετο ἐν τῷ οἴκῳ αὐτοῦ. καὶ ἡ θυ

γ ἄσηρ αὐτοῦ σαράα ἐν ἐκείνοις τοῖς καταλοίποις. Καὶ ὠκο-
δόμησε τὴν βαιθωρὼν, καὶ τὴν κάτω καὶ τὴν ἄνω καὶ τὴν σα-
ερά. καὶ ῥαφὰ υἱὸς αὐτοῦ. καὶ θαλὰ υἱὸς αὐτοῦ καὶ θαὰν υἱὸς αὐ-
τοῦ, καὶ λαδὰν υἱὸς αὐτοῦ. καὶ ἀμιοὺδ υἱὸς αὐτοῦ ἐλισαμὰ υἱ-
ὸς αὐτοῦ. ῥοὺν υἱὸς αὐτοῦ ἰωσὴε υἱὸς αὐτοῦ. καὶ κατάσχεσις αὐ-
τῶν καὶ κατοικία βαιθὴλ. καὶ αἱ κῶμαι αὐτῆς. καὶ κατὰ ἀνατο-
λὰς νοαράν. πρὸς δυσμαῖς γάζερ. καὶ αἱ κῶμαι αὐτ. καὶ συχὲμ
καὶ αἱ θυγατέρες αὐτῆς ἕως γάζης, καὶ αἱ κῶμαι αὐτῆς καὶ ἕως ὁ-
ρίων καὶ μαγεδδὼν, καὶ αἱ θυγατέρες αὐτῆς δὼρ καὶ αἱ κῶ-
μαι αὐτῆς ἐν ταύταις κατῴκησαν υἱοὶ ἰωσὴφ υἱοῦ μανασσῆ. ἰ-
σραὴλ υἱοὶ ἀσὴρ ἰαμνά. καὶ ἀσσοὺδ καὶ ἰεσουὲ. καὶ βαριὰ καὶ
σάρρα ἀδελφὴ αὐτῶν. καὶ υἱοὶ βαριά. ἰεχεβὲρ. καὶ μελχι-
ὴλ. αὐτὸς πατὴρ ζαβὲθ, καὶ ἰεχοβὲρ, ἐγέννησε τὸν ἰαφλὲτ καὶ τὸν
σωμήρ. καὶ τὸν χωθὰμ καὶ τὴν σουὰλ ἀδελφὴν αὐτῶν καὶ υἱοὶ
ἰαφλὲτ φασέχ. καὶ ἀμαμαάθ. καὶ ἀσοάθ. οὗτοι υἱοὶ ἰαφλέτ. καὶ
υἱοὶ σωμὴρ ἰχιοὺρ ῥαυγοέ. καὶ ἰαβᾶ. καὶ ἀρὰμ καὶ υἱοὶ ἀσοὺδ ἀ-
δελφοῦ αὐτοῦ σουφὰ καὶ ἰαμνά. καὶ ἐλήμ. καὶ ἀλάμ. υἱοὶ σω-
φαὶ. καὶ ἀριᾶ φὲρ καὶ σουὰν. καὶ βορίν. ἰαυβραβασάρ. καὶ
ἰνοὺδ, καὶ σαμμαὶ. καὶ σελλιμβάν. καὶ ἰεθρὰν καὶ ἰεφοννί. καὶ
φασφά. καὶ ἀράν. καὶ υἱοὶ ὠλὰ ἀνιὴλ καὶ ῥασιά. πάντες οὗ-
τοι υἱοὶ ἀσὴρ, πάντες ἄρχοντες οἴκου τῶν πατριῶν. ἐκλεκ-
τοὶ ἰσχυροὶ δυνάμει. ἡγούμενοι, ἀρχόντων τῶν γενεαλογη-
θέντων ἐν τῇ στάσει τοῦ πολέμου ὁ ἀριθμὸς αὐτῶν εἰς παρά-
ταξιν τοῦ πολεμεῖν ἄνδρες εἴκοσι ἓξ χιλιάδες.

Κεφάλαιον θ. 9.

Αἰ βενιαμεὶν ἐγέννησε τὸν βαλὰ πρωτότοκον αὐ-
κ τοῦ. καὶ ἀσβὴλ ὁ τὸν δεύτερον, καὶ διερὰ τὸν ἀρὲθ ὁ τρί-
τον καὶ ναουὴλ ὁ τέταρτον καὶ ῥαφὰ τὸν πέμπτον καὶ
ἐγένοντο υἱοὶ τοῦ βαλᾶ καὶ σφὰν καὶ ἀχιρὰν καὶ ἰωὰν, οὗτοι υἱοὶ
ἀὼδ γηρά. καὶ ἀβιοὺδ. καὶ ἀβισουὲ καὶ ναμέν. καὶ οὗτοι υἱοὶ ἀὼδ.

γηρὰμ καὶ σαπφὰν καὶ ἀρουραὶμ. οὗτοι εἰσὶν ἄρχοντες πατριῶν τῶν κατοικούντων γαβαὰ. καὶ μετῴκισαν αὐτοὺς εἰς μανουὰθ, καὶ νααμάνς. καὶ ἀχιὰ. καὶ γηραὶμ. αὐτὸς ἰγλαὰμ, καὶ ἐγέννησε γηρὰ τὸν ναζὰν, τὸν νουά. καὶ σεωρὶν ἐγέννησεν ἐν ἀγρῷ μωάβ. μετὰ τὸ ἐξαποστεῖλαι αὐτὸν ὡσιὶμ, καὶ τὴν βαλὰ γυναῖκα αὐτοῦ. καὶ ἐγέννησεν ἐκ τῆς βαλὰ γυναικὸς αὐτοῦ, τὸν ἰωβὰβ, καὶ τὸν σαμιὰ. καὶ τὸν μισά. καὶ τὸν μελχόμ. καὶ τὸν ἰωάς. καὶ τὸν σεχιά. καὶ τὸν μαρμία. οὗτοι υἱοὶ αὐτοῦ ἄρχοντες τῶν πατριῶν. καὶ ἐκ τῆς ἐνσεὶμ ἐγέννησε τὸν ἀμιτὼβ καὶ τὸν ἐλιφαάδ, καὶ υἱοὶ ἐλιφαὰδ ἔβερ καὶ μισαάμ. καὶ σαμιήλ. αὐτὸς ᾠκοδόμησε τὴν ὠνὼν, καὶ τὴν ἀοδλών. καὶ τὰς θυγατέρας αὐτῆς. καὶ τὴν αὐώδ. καὶ τὰς θυγατέρας αὐτῆς. καὶ βαραὰ. καὶ σαμά. οὗτοι οἱ ἄρχοντες πατριῶν τῶν κατοικούντων. αἰλάμ. καὶ οὗτοι οἱ ἐξεδίωξαν τοὺς κατοικοῦντας γέθ. καὶ οἱ ἀδελφοὶ αὐτῶν σωσήλ. καὶ ἱεραμώθ. καὶ ζαβαδίας. καὶ ἀράδ. καὶ ἀβάδ. καὶ μισολλὰμ καὶ ἰεσφά. καὶ ἰεζιὰ υἱοὶ βαρία. καὶ ζαβαδίας. καὶ μεσομμά. καὶ ἰεζεκὶ καὶ ἀβέρ. καὶ ἰασαί. καὶ μαρί. καὶ ἰεζελία. καὶ ἰωβὰβ υἱοὶ ἐλιφαάλ. καὶ ἰακείμ. καὶ χεζρί. καὶ ζεβδί. καὶ ἠλιωναί. καὶ σαλαθί. καὶ ἐλιήλ. καὶ ἀδαϊὰ. καὶ βαραιά. καὶ σαμαρὰθ υἱοὶ σεμεῒς, καὶ ἰεσφάν. καὶ ἀβέρ. καὶ ἐλιήλ. καὶ ἀδειά. καὶ ἀβδών. καὶ ζεχρί. καὶ ἀνάν. καὶ ἀνανίας. καὶ ἠχαὰμ. καὶ ἀναθαθίας καὶ ἰεφαθίας. καὶ φανουήλ. υἱοὶ ἰσὰκ καὶ σαμσάας καὶ σαραΐας. καὶ ἐθνία. καὶ ἠρσήλ. καὶ ἠλίας καὶ ζεχρίας υἱοὶ ἰερεμοήμ. οὗτοι ἄρχοντες πατριῶν κατὰ γενέσεις αὐτῶν ἀρχηγοί. οὗτοι κατῴκησαν ἐν ἱερουσαλὴμ καὶ ἐν γαβαὼν κατῴκησεν ἰεὴλ πατὴρ γαβαών. καὶ ὄνομα τῇ γυναικὶ αὐτοῦ μααχὰ, καὶ ὁ υἱὸς αὐτοῦ ὁ πρωτότοκος ἀβδὼν καὶ σοὺρ καὶ κεὶς καὶ βάαλ. καὶ ναδάβ. καὶ νὴρ καὶ γεδδὰρ, καὶ αἰοὺ καὶ οἱ ἀδελφοὶ αὐτοῦ καὶ ζαούρ, καὶ μαχελὼθ ὁ γεννήσας τὸν σαμμαὰ καὶ οὗτοι κα-

τέναντι τῶν ἀδελφῶν αὐτῶν κατώκησαν ἐν ἱερουσαλὴμ μετὰ τῶν ἀδελφῶν αὐτῶν. καὶ ἀνὴρ ἐγέννησε τὸν κεὶς καὶ κεὶς ἐγέννησε τὸν σαοὺλ. καὶ σαοὺλ ἐγέννησε τὸν ἰωνάθαν, καὶ τὸν μελχισουὲ καὶ τὸν ἀμιναδὰβ, καὶ τὸν ἰεσβαάλ. καὶ υἱὸς ἰωνάθαν μεμφιβαὰλ μεμφιβοσθέ, καὶ μεμφιβαὰλ ἐγέννησε τὸν μιχά. καὶ υἱοὶ μιχὰ, φιθώθ. καὶ μαλώχ. καὶ θαρές. καὶ χαάς, καὶ χαὰς ἐγέννησε τὸν ἰωδαά. καὶ ἰωδὰ ἐγέννησε τὸν γαλεμὲθ, καὶ τὸν ἀσμώθ. καὶ τὸν ζαμβρί, καὶ ζαμβρὶ ἐγέννησε τὸν μωσά. καὶ μωσὰ ἐγέννησε τὸν μαανά. ἀραχὰ υἱὸς αὐτοῦ. ἐλέασα υἱὸς αὐτοῦ. ἀσαὴλ υἱὸς αὐτοῦ. καὶ τῷ ἀσαὴλ ἓξ υἱοί. καὶ ταῦτα τὰ ὀνόματα αὐτῶν. ἐσεικὰμ ὁ πρωτότοκος αὐτοῦ καὶ ἰσμαήλ. καὶ ἀζαρίας καὶ ἀβδιά. καὶ σαρία καὶ ἀνάν. πάντες οὗτοι οἱ υἱοὶ ἀσαήλ. καὶ υἱοὶ ἀσαὴλ τοῦ ἀδελφοῦ αὐτοῦ ἰουλὰμ ὁ πρωτότοκος αὐτοῦ. καὶ ἰεσοῦς ὁ δεύτερος. καὶ ἐλιφὰς ὁ τρίτος. καὶ ἐγένοντο υἱοὶ ἰουλὰμ ἄνδρες δυνατοὶ ἰσχύϊ τείνοντες τόξον. καὶ πληθύνοντες υἱοὺς καὶ τῶν υἱῶν. ἑκατὸν καὶ πεντήκοντα. πάντες οὗτοι ἐξ υἱῶν βενιαμίν. καὶ πᾶς ἰσραὴλ ἐγενεαλογήθησαν. καὶ ἰδού εἰσι γεγραμμένοι ἐν τῷ βιβλίῳ βασιλέων ἰσραήλ, καὶ ἰούδα μετὰ τῶν ἀποικισθέντων εἰς βαβυλῶνα διὰ τὴν ἀσυνθεσίαν αὐτῶν ἣν ἠδίκησαν, καὶ οἱ κατοικοῦντες πρότεροι ἐν ταῖς κατασχέσεσιν αὐτῶν ἐν ταῖς πόλεσιν αὐτῶν ἰσραὴλ καὶ οἱ ἱερεῖς καὶ οἱ λευῖται. καὶ οἱ δεδομένοι. καὶ οἱ ἐν ἱερουσαλὴμ κατώκησαν τῶν υἱῶν ἰούδα καὶ ἀπὸ τῶν υἱῶν βενιαμὶν καὶ ἀπὸ τῶν υἱῶν ἐφραὶμ καὶ μανασσῆ, οὐθὶ υἱὸς ἀμιοὺδ υἱοῦ ἀμβρὶ υἱοῦ υἱῶν φαρὲς υἱοῦ ἰούδα. καὶ ἀπὸ τοῦ σηλὼμ ἀσαία ὁ πρωτότοκος αὐτοῦ καὶ οἱ υἱοὶ αὐτοῦ. καὶ ἐκ τῶν υἱῶν ζαραὶ ἰεήλ, καὶ οἱ ἀδελφοὶ αὐτῶν ἑξακόσιοι καὶ ἐνενήκοντα. καὶ ἀπὸ τῶν υἱῶν βενιαμὶν σαλὼμ υἱὸς μοσολλὰμ υἱοῦ ὠδουΐα. υἱοῦ σαναουὰ καὶ ἰεβναά. υἱὸς ἱεροβοὰμ καὶ ἐλαύ. καὶ οὗτοι υἱοὶ ὀζίου υἱοὶ μαχὶρ καὶ μοσολλὰμ υἱοῦ σαφατία. υἱοῦ ῥαγουήλ. υἱοῦ

ἰαβανῆλ καὶ οἱ ἀδελφοὶ αὐτῶν κατὰ γενέσεις αὐτῶν ἐννακόσιοι
καὶ πεντήκοντα ἓξ πάντες οἱ ἄνδρες ἄρχοντες πατριῶν πα-
τριάρχαι κατ᾽ οἴκους πατριῶν αὐτῶν. καὶ ἀπὸ τῶν ἱερέων
ἰωδαὲ, καὶ ἰωαρὶμ καὶ ἰωακείμ. καὶ ἀζαρίας υἱὸς χελκίου υἱοῦ
μοσολὰμ υἱοῦ σαδδούκ. υἱοῦ μεραειώθ. υἱοῦ ἀχιτὼβ ἡγου-
μένου οἴκου τοῦ θεοῦ καὶ ἀδιὰμ υἱὸς ἰεροὰμ. υἱοῦ μελχίου,
καὶ μαασὶ υἱὸς ἀδιὴλ υἱοῦ ἀζερά. υἱοῦ μοσολλὰμ υἱοῦ μασελι
μὼθ υἱοῦ ἐμμὴρ καὶ οἱ ἀδελφοὶ αὐτῶν ἡγούμενοι κατ᾽ οἶκον
πατριῶν αὐτῶν χίλιοι, καὶ ἑπτακόσιοι, καὶ ἑξήκοντα δυνα-
τοὶ ἰσχύϊ. εἰς ἐργασίαν λειτουργίας οἴκου τοῦ θεοῦ καὶ ἐκ τῶν
λευιτῶν σαμαίας υἱὸς ἀσούβ. υἱοῦ ἀζρικὰμ υἱοῦ σαβιοῦ υἱοῦ υἱ-
ῶν μεραρί. καὶ βακβακάρ. καὶ ἄρης καὶ γαρέα. καὶ μαθανίας υἱὸς μι-
χά. υἱοῦ ζεχρί. υἱοῦ ἀσὰφ καὶ ἀβδία υἱὸς σαμαία υἱοῦ γαλὴλ υἱοῦ ἰ-
δηθοῦν. καὶ βαραχίας υἱὸς ἀσὰ υἱοῦ ἐλκανὰ ὁ κατοικῶν ἐν ταῖς
αὐλαῖς τοῦ νετωφαθί. καὶ οἱ πυλωροὶ σελλούμ. καὶ ἀκούμ,
καὶ τελμών. καὶ ἀϊμὰν καὶ οἱ ἀδελφοὶ αὐτῶν σελλούμ, ὁ ἄρ-
χων καὶ ἕως ἐν δαδανεὶμ ἐν τῇ πύλῃ τοῦ βασιλέως κατ᾽ ἀ-
νατολὰς οὗτοι οἱ πυλωροὶ εἰς τὰς παρεμβολὰς υἱῶν λευὶ καὶ
σελλοὺμ υἱὸς κορέ. υἱοῦ ἀβιασὰφ υἱοῦ κορέ. καὶ οἱ ἀδελφοὶ αὐ-
τοῦ κατ᾽ οἶκον πατριῶν αὐτῶν. οἱ κορῖται ἐπὶ τὰ ἔργα τῆς
λειτουργίας. φυλάσσοντες τὰς φυλακὰς σκηνῆς. καὶ οἱ πα-
τέρες αὐτῶν ἐπὶ τὴν παρεμβολὴν κυρίου φυλάσσοντες τὴν
εἴσοδον καὶ φινεὲς υἱὸς ἐλεαζὰρ ἡγούμενος ἦν ἐπ᾽ αὐτῶν
ἔμπροσθεν κυρίου. καὶ μετὰ ταῦτα ζαχαρίας υἱὸς μοσολλαμὶ
πυλωρὸς τῆς θύρας τῆς σκηνῆς τοῦ μαρτυρίου, πάντες οἱ ἐκ-
λεκτοὶ εἰς πυλωροὺς τοῖς ἐν τοῖς σταθμοῖς. διακόσιοι δεκαδύο
οὗτοι ἐν ταῖς ἐπαύλεσιν αὐτῶν ἡ γενεαλογία αὐτῶν καὶ ὁ καταλο-
γισμὸς αὐτῶν. τούτους ἠρίθμησε καὶ ἔστησε δαβὶδ καὶ σαμουὴλ
ὁ ὁρῶν ἐν τῇ πίστει αὐτῶν. καὶ οὗτοι καὶ οἱ υἱοὶ αὐτῶν ἐπὶ τῶν πυ-
λῶν οἴκου κυρίου ἐν οἴκῳ τῆς σκηνῆς τοῦ φυλάσσειν εἰς ἐφη-

μερίας αὐτοὺς τέσσαρας ἀνέμους. καὶ ἦσαν πυλωροὶ κατὰ ἀνατολάς. κατὰ θάλασσαν καὶ νότον καὶ βοῤῥᾶν. καὶ οἱ ἀδελφοὶ αὐτῶν ἐν ταῖς ἐπαύλεσιν αὐτῶν ἔρχεσθαι εἰς τὰ ἑβδόμα τῶν καιρῶν τοῦ εἰσπορεύεσθαι κατὰ ἑπτὰ ἡμέρας ἀπὸ καιροῦ εἰς καιρὸν μετὰ τούτων. ὅτι ἐν τῇ πίστει εἰσὶν οἱ τέσσαρες δυνατοὶ τῶν πυλωρῶν αὐτοὶ οἱ λευῖται. καὶ ἦσαν ἐπὶ τῶν παστοφορίων, καὶ ἐπὶ τῶν θησαυρῶν οἴκου τοῦ θεοῦ. καὶ περὶ κύκλῳ τοῦ οἴκου τοῦ θεοῦ αὐλισθήσονται, ὅτι ἐπ' αὐτοὺς ἡ φυλακὴ αὐτῶν. καὶ ἐπὶ τῶν κλειδῶν τὸ πρωῒ ἀνοίγειν τὰς θύρας τοῦ ἱεροῦ. καὶ ἐξ αὐτῶν ἐπὶ τὰ σκεύη τῆς λειτουργίας. ὅτι ἐν ἀριθμῷ εἰσοίσουσι αὐτά, καὶ ἐν ἀριθμῷ ἐξοίσουσιν αὐτά. καὶ ἐξ αὐτῶν καθεσταμένοι ἐπὶ τὰ σκεύη. καὶ ἐπὶ πάντα τὰ σκεύη τὰ ἅγια. καὶ ἐπὶ τῆς σεμιδάλεως, καὶ τοῦ οἴνου, καὶ τοῦ ἐλαίου, καὶ τοῦ λιβανωτοῦ, καὶ τῶν ἀρωμάτων. καὶ ἀπὸ τῶν υἱῶν τῶν ἱερέων, ἦσαν μυρεψοὶ τοῦ μύρου ἐν τοῖς ἀρώμασι. καὶ ματταθίας ἐκ τῶν λευιτῶν οὗτος ὁ πρωτότοκος τῷ σαλοὺμ τῷ κορίτῃ ἐν τῇ πίστει ἐπὶ τὰ ἔργα τῆς θυσίας τοῦ τηγάνου τῶν τηγανιστῶν τοῦ μεγάλου ἱερέως. καὶ βαναίας ὁ καθίτης ἐκ τῶν ἀδελφῶν αὐτῶν. ἐπὶ τῶν ἄρτων τῆς προθέσεως τοῦ ἑτοιμάσαι σάββατον κατὰ σάββατον. καὶ οὗτοι ψαλτῳδοὶ ἄρχοντες τῶν πατριῶν τῶν λευιτῶν οἱ τῷ παστοφορίῳ διατεταγμένοι εἰς ἐφημερίας. ὅτι ἡμέρας καὶ νυκτὸς ἐπ' αὐτοὺς ἐν τοῖς ἔργοις. οὗτοι οἱ ἄρχοντες τῶν πατριῶν τῶν λευιτῶν κατὰ γενέσεις αὐτῶν. οἱ ἄρχοντες οὗτοι κατῴκησαν ἐν ἱερουσαλήμ, καὶ ἐν γαβαὼν κατῴκησε πατὴρ γαβαὼν ἰεήλ. καὶ ὄνομα τῇ γυναικὶ αὐτοῦ μααχά. καὶ ὁ υἱὸς αὐτοῦ ὁ πρωτότοκος ἀβδὼν, καὶ σούρ. καὶ κείς. καὶ βαάλ. καὶ νήρ. καὶ ναδάβ. καὶ γεδδώρ. καὶ οἱ ἀδελφοὶ αὐτῶν ἀϊούμ. καὶ ζεχρί. καὶ μακελώθ, ὁ γεννήσας τὴν σαμαά. καὶ οὗτοι ἐν μέσῳ τῶν ἀδελφῶν αὐτῶν κατῴκησαν ἐν ἱερουσαλὴμ μετὰ τῶν ἀδελφῶν αὐτῶν.

Κεφάλαιον ί. 10.

Αἰνὴρ ἐγέννησε τὸν κείς. καὶ κεὶς ἐγέννησε τὸν σαοὺλ.
κ καὶ σαοὺλ ἐγέννησε τὸν ἰωνάθαν καὶ μελχισουέ. καὶ τὸν
ἀμιναδάβ. καὶ τὸν ἰσβάελ, καὶ υἱοὶ ἰωνάθαν μεμφιβά-
αλ. καὶ μεμφιβάαλ ἐγέννησε τὸν μιχᾶ. καὶ υἱοὶ μιχᾶ. φιλῶθ.
καὶ μελχιὴλ, καὶ θαραὰ, καὶ ἀζαὴρ. καὶ ἀζαὴρ ἐγέννησε τὸν ἰω-
δᾶ. καὶ ἰωδᾶ ἐγέννησε τὸν ἀλέφ. καὶ τὸν ἀσμὼθ, καὶ τὸν ζαμ-
βρί. καὶ ζαμβρὶ ἐγέννησε τὸν μεσσᾶ. καὶ μεωσᾶ ἐγέννησε τὸν
βαανά. ῥαφαΐα υἱὸς αὐτοῦ. ἐλεάσα υἱὸς αὐτοῦ. ἀσαὴλ υἱὸς αὐ-
τοῦ. καὶ τῷ ἀσαὴλ ἓξ υἱοί. καὶ ταῦτα τὰ ὀνόματα αὐτῶν. ἐσ-
ρικὰμ ὁ πρωτότοκος αὐτοῦ. καὶ ἰσμαὴλ, καὶ ἀζαρίας, καὶ ἀ-
βδία. καὶ ἀνάν. οὗτοι υἱοὶ ἀσαήλ. καὶ ἀλλόφυλοι ἐπολέμη-
σαν πρὸς τὸν ἰσραήλ. καὶ ἔφυγεν ἀνὴρ ἰσραὴλ ἀπὸ προσώ-
που τῶν ἀλλοφύλων. καὶ ἔπεσον τραυματίαι ἐν τῷ ὄρει γελ-
βουέ. καὶ κατεδίωξαν οἱ ἀλλόφυλοι ὀπίσω σαοὺλ, καὶ ὀπίσω τῶν
υἱῶν αὐτῶν. καὶ ἐπάταξαν οἱ ἀλλόφυλοι τὸν ἰωνάθαν. καὶ τὸν
ἀμιναδὰβ, καὶ τὸν μελχισουὲ, υἱὸς τοῦ σαούλ. καὶ ἐβαρύνθη ὁ
πόλεμος ἐπὶ σαούλ. καὶ εὗρον αὐτὸν οἱ τοξόται ἐν τοῖς τό-
ξοις, καὶ ἐν πόνοις. καὶ ἐπόνεσεν ἀπὸ τῶν τόξων. καὶ εἶπε σαοὺλ
τῷ αἴροντι τὰ σκεύη αὐτοῦ. σπάσον τὴν ῥομφαίαν σου, καὶ ἐκ
κέντησόν με ἐν αὐτῇ. μήποτε ἔλθωσιν οἱ ἀπερίτμητοι καὶ οὗ-
τοι ἐμπαίξωσί μοι. καὶ οὐκ ἐβούλετο ὁ αἴρων τὰ σκεύη αὐτοῦ.
ὅτι ἐφοβεῖτο σφόδρα, καὶ ἔλαβε σαοὺλ τὴν ῥομφαίαν καὶ ἔπε-
σεν ἐπ' αὐτὴν καὶ εἶδεν ὁ αἴρων τὰ σκεύη αὐτοῦ. ὅτι ἀπέθα-
νε σαοὺλ, καὶ ἔπεσε καί γε αὐτὸς ἐπὶ τὴν ῥομφαίαν αὐτοῦ καὶ
ἀπέθανε σαούλ. καὶ οἱ τρεῖς υἱοὶ αὐτοῦ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ. καὶ
ὅλος ὁ οἶκος αὐτοῦ ὁμοθυμαδὸν ἀπέθανε. καὶ εἶδε πᾶς ἀνὴρ ἰ-
σραὴλ ἐν τῇ κοιλάδι, ὅτι ἔφυγεν ἰσραὴλ, καὶ ὅτι ἀπέθανε σαούλ. καὶ
οἱ υἱοὶ αὐτοῦ, καὶ κατέλιπον τὰς πόλεις αὐτῶν καὶ ἔφυγον. καὶ
ἦλθον οἱ ἀλλόφυλοι, καὶ κατῴκησαν ἐν αὐταῖς. καὶ ἐγένετο

τῇ ἐχομένῃ. καὶ ἦλθον οἱ ἀλλόφυλοι τοῦ σκυλεῦσαι τοὺς τραυματίας. καὶ εὗρον τὸν σαοὺλ, καὶ τοὺς υἱοὺς αὐτοῦ πεπτωκότας ἐν τῷ ὄρει γελβουὲ, καὶ ἐξέδυσαν αὐτόν. καὶ ἦραν τὴν κεφαλὴν αὐτοῦ καὶ τὰ σκεύη αὐτοῦ. καὶ ἐξαπέστειλαν οἱ ἀλλόφυλοι εἰς γῆν ἀλλοφύλων κύκλῳ τοῦ εὐαγγελίσασθαι ἐν τοῖς οἴκοις τῶν εἰδώλων αὐτῶν, καὶ τῷ λαῷ αὐτῶν. καὶ ἔθηκαν τὰ σκεύη αὐτοῦ ἐν τῷ οἴκῳ τοῦ θεοῦ αὐτῶν. καὶ τὴν κεφαλὴν αὐτοῦ ἔθηκαν ἐν τῷ οἴκῳ δαγών. καὶ ἤκουσαν πάντες οἱ κατοικοῦντες ἰαβὶς τῆς γαλαὰδ πάντα ὅσα ἐποίησαν οἱ ἀλλόφυλοι τῷ σαοὺλ καὶ τοῖς υἱοῖς αὐτοῦ, καὶ τῷ ἰσραὴλ, καὶ ἀνέστησαν ἐκ γαλαὰδ πᾶς ἀνὴρ δυνατός. καὶ ἦλθον καὶ ἔλαβον τὸ σῶμα σαοὺλ καὶ τὰ σώματα τῶν υἱῶν αὐτοῦ, καὶ ἤνεγκαν αὐτὰ εἰς ἰαβὶς. καὶ ἔθαψαν τὰ ὀστᾶ αὐτῶν ὑπὸ τὴν δρῦν ἐν ἰαβὶς. καὶ ἐνήστευσαν ἑπτὰ ἡμέρας. καὶ ἀπέθανε σαοὺλ ἐν ταῖς ἀνομίαις αὐτοῦ αἷς ἠνόμησε τῷ κυρίῳ, κατὰ τὸν λόγον κυρίου. διότι οὐκ ἐφύλαξεν αὐτόν. καὶ ὅτι ἐπηρώτησε σαοὺλ αὐτὸν ἐν τῷ ἐγγαστριμύθῳ τοῦ ἐκζητῆσαι. καὶ ἀπεκρίνατο αὐτῷ σαμουὴλ ὁ προφήτης. καὶ οὐκ ἐξεζήτησε κύριον, καὶ ἀπέκτεινεν αὐτόν. καὶ ἀπέστρεψε τὴν βασιλείαν αὐτοῦ τῷ δαβὶδ υἱῷ ἰεσσαί. Κεφ. ιά. 11.

Καὶ συνηθροίσθησαν πᾶς ἀνὴρ ἰσραὴλ πρὸς δαβὶδ ἐν χεβρὼν λέγοντες. ἰδοὺ ὀστᾶ σου καὶ σάρκες σου ἡμεῖς. καί γε ἐχθὲς, καὶ τρίτην ὄντος σαοὺλ βασιλέως. σὺ ἦσθα ὁ εἰσάγων, καὶ ἐξάγων τὸν ἰσραήλ. καὶ εἶπε κύριος ὁ θεός σου σοι, σὺ ποιμανεῖς τὸν λαόν μου τὸν ἰσραήλ. καὶ σὺ ἔσῃ εἰς ἡγούμενον ἐπὶ τὸν λαόν μου τὸν ἰσραήλ. καὶ ἦλθον πάντες οἱ πρεσβύτεροι ἰσραὴλ πρὸς τὸν βασιλέα εἰς χεβρών. καὶ διέθετο αὐτοῖς ὁ βασιλεὺς δαβὶδ διαθήκην ἐν χεβρὼν ἔναντι κυρίου. καὶ ἔχρισαν τὸν δαβὶδ εἰς βασιλέα ἐπὶ ἰσραὴλ κατὰ τὸν λόγον κυρίου διὰ χειρὸς σαμουήλ. καὶ ἐπορεύθη ὁ βασιλεὺς δαβὶδ, καὶ πᾶς ἰσραὴλ εἰς ἱερουσαλὴμ αὕτη ἰεβούς. καὶ ἐκεῖ οἱ ἰεβου-

σαῖοι οἱ κατοικοῦντες τὴν γῆν. εἶπον δὲ οἱ κατοικοῦντες τὴν ἰεβοὺς τῷ δαβίδ, οὐκ εἰσελεύσῃ ὧδε. καὶ προκατελάβετο τὴν περιοχὴν σιὼν, αὕτη ἡ πόλις δαβίδ. καὶ εἶπε δαβίδ. πᾶς τύπτων ἰεβουσαῖον ἐν πρώτοις, καὶ ἔσται εἰς ἄρχοντα καὶ εἰς στρατηγόν. καὶ ἀνέβη ἐπ' αὐτὴν ἐν πρώτοις ἰωὰβ υἱὸς σαρουΐας. καὶ ἐγένετο εἰς ἄρχοντα. καὶ ἐκάθισε δαβὶδ ἐν τῇ περιοχῇ. διὰ τοῦτο ἐκάλεσεν αὐτὴν πόλιν δαβίδ. καὶ ᾠκοδόμησε τὴν πόλιν κύκλῳ ἀπὸ τῆς μααλὼ καὶ ἕως τοῦ κύκλου ἰωὰβ καὶ περιεποίησε τὸ λοιπὸν τῆς πόλεως. καὶ ἐπολέμησε καὶ ἔλαβε τὴν πόλιν. καὶ ἐπορεύετο δαβὶδ πορευόμενος καὶ μεγαλυνόμενος. καὶ κύριος παντοκράτωρ μετ' αὐτοῦ. καὶ οὗτοι ἄρχοντες, τῶν δυνατῶν οἳ ἦσαν τῷ δαβὶδ οἱ κατισχύοντες μετ' αὐτοῦ ἐν τῇ βασιλείᾳ αὐτοῦ μετὰ παντὸς ἰσραὴλ τοῦ βασιλεῦσαι αὐτὸν κατὰ τὸν λόγον κυρίου ἐπὶ ἰσραήλ. καὶ οὗτος ὁ ἀριθμὸς τῶν δυνατῶν τοῦ δαβίδ. ἰοσβαὰλ υἱὸς ἀχαμὰν πρῶτος δὲ τῶν τριάκοντα. οὗτος ἐσπάσατο τὴν ῥομφαίαν αὐτοῦ ἅπαξ ἐπὶ τριακοσίους τραυματίας ἐν καιρῷ ἑνί. καὶ μετ' αὐτὸν ἐλεάζαρ υἱὸς δωδαὶ ὁ ἀχωχί. οὗτος ἦν ἐν τοῖς τρισὶ δυνατοῖς. οὗτος ἦν μετὰ δαβὶδ ἐν φασοδαμίν. καὶ οἱ ἀλλόφυλοι συνήχθησαν ἐκεῖ εἰς πόλεμον. καὶ ἦν μερὶς τοῦ ἀγροῦ πλήρης κριθῶν. καὶ ὁ λαὸς ἔφυγεν ἀπὸ προσώπου ἀλλοφύλων, καὶ ἔστη ἐν μέσῳ τῆς μερίδος καὶ ἔσωσεν αὐτὴν, καὶ ἐπάταξεν τοὺς ἀλλοφύλους καὶ ἐποίησε κύριος σωτηρίαν μεγάλην. καὶ κατέβησαν οἱ τρεῖς ἐκ τῶν τριάκοντα ἀρχόντων εἰς πέτραν πρὸς δαβὶδ εἰς τὸ σπήλαιον ὀδολάμ. καὶ ἡ παρεμβολὴ τῶν ἀλλοφύλων παρεμβεβλήκει ἐν τῇ κοιλάδι τῶν γιγάντων. καὶ δαβὶδ τότε ἐν τῇ περιοχῇ. καὶ τὸ ὑπόστημα τῶν ἀλλοφύλων τότε ἐν τῇ βηθλεέμ. καὶ ἐπεθύμησε δαβὶδ καὶ εἶπε. τίς ποτίσει με ὕδωρ ἐκ τοῦ λάκκου βηθλεὲμ τοῦ ἐν πύλῃ. καὶ ἔῤῥηξαν οἱ τρεῖς τὴν παρεμβολὴν τῶν ἀλλοφύλων. καὶ ὑδρεύσαντο ὕδωρ ἐκ τοῦ λάκκου τοῦ ἐν βηθλεὲμ, ὃς ἦν ἐν τῇ πύλῃ. καὶ ἔλαβον καὶ ἦλ-

θον πρὸς δαβίδ. καὶ οὐκ ἠθέλησε δαβὶδ τοῦ πιεῖν αὐτὸ καὶ ἔσπει-
σεν αὐτὸ τῷ κυρίῳ. καὶ εἶπεν. ἵλεώς μοι ὁ θεὸς τοῦ ποιῆσαι τὸ
ῥῆμα τοῦτο. εἰ αἷμα ἀνδρῶν τούτων πίομαι ἐν ψυχαῖς αὐτῶν,
ἤνεγκαν αὐτό. καὶ οὐκ ἐβούλετο πιεῖν αὐτό. ταῦτα ἐποίησαν οἱ
τρεῖς δυνατοί. καὶ ἀβεσὰ ἀδελφὸς ἰωάβ, οὗτος ἦν ἀρχηγὸς
τῶν τριῶν. οὗτος ἐσπάσατο τὴν ῥομφαίαν αὐτοῦ ἐπὶ ἑξακοσί-
ους τραυματίας ἐν καιρῷ ἑνί. καὶ οὗτος ἦν ὀνομαστὸς ἐν τοῖς τρι-
σίν. ἀπὸ τῶν τριῶν ὑπὲρ τοὺς δύο ἔνδοξος. καὶ ἦν αὐτοῖς εἰς ἄρ-
χοντα, καὶ ἕως τῶν τριῶν οὐκ ἤρχετο. καὶ βαναίας υἱὸς ἰωδαὲ υἱὸς
ἀνδρὸς δυνατοῦ, πολλὰ ἔργα αὐτοῦ ὑπὲρ βαβασαήλ. οὗτος ἐ-
πάταξε τοὺς δύο ἀριὴλ μωάβ. καὶ οὗτος κατέβη καὶ ἐπάταξε τὸν
λέοντα ἐν τῷ λάκκῳ ἐν ἡμέρᾳ χιόνος. καὶ οὗτος ἐπάταξε
τὸν ἄνδρα τὸν αἰγύπτιον. ἄνδρα ὁρατὸν πεντάπηχυν. καὶ ἐν
τῇ χειρὶ τοῦ αἰγυπτίου δόρυ. ὡς ἀντίον ὑφαινόντων. καὶ κατέ-
βη ἐπ᾽ αὐτὸν βαναίας ἐν ῥάβδῳ, καὶ ἀφείλατο ἐκ τῆς χειρὸς
τοῦ αἰγυπτίου τὸ δόρυ. καὶ ἀπέκτεινεν αὐτὸν ἐν τῷ δόρατι
αὐτοῦ. ταῦτα ἐποίησε βαναίας υἱὸς ἰωδαέ. καὶ τούτῳ ὄνομα ἐν
τοῖς τρισὶ τοῖς δυνατοῖς. ὑπὲρ τοὺς τριάκοντα ἦν ἔνδοξος οὗτος.
καὶ πρὸς τοὺς τρεῖς οὐκ ἤρχετο. καὶ κατέστησεν αὐτὸν δαβὶδ ἐπὶ
τὴν πατριὰν αὐτοῦ. καὶ οἱ δυνατοὶ τῶν δυνάμεων ἀσαὴλ ἀδελ-
φὸς ἰωάβ. ἐλεανὰν υἱὸς δωδωαὶ ἐκ βηθλεέμ. σαμὼθ ὁ ἀδδί.
χελκὴς ἀφαλωνί, ὠραὶ υἱὸς ἐκκὶς ὁ θεκωί. ἀβιέζερ ὁ ἀναθω-
θί, σοβοχχαὶ ὁ ἀσωθί. ἠλὶ ὁ ἀχωῒ βοορὰ ὁ νετωφαθί. ἐλλάθ.
υἱὸς βαανὰκ ὁ νεοφαθὶ ἠθαΐ. υἱὸς ῥηβαὶ ἐκ βουνοῦ βενιαμὶν βε-
ναΐας ὁ φαραθωνί. οὐρὶ ἐκ νεαλὶ γαλσαβιὴλ ὁ ἀραβεθί. ἀζ-
μὼθ ὁ βαρσομὶ ἐλιαβὰ ὁ σαλαβωνί. ὁ ἐρὰς ὁ γωουνὶ ἰωνάθαν
υἱὸς σαγὴ ἀραρὶ ἀχιὰμ υἱὸς ἀχὰρ ὁ ἀραρὶ ξιφαὰλ υἱὸς ὤρ
ἀφὲρ ὁ μεχουραθὶ ἀχιὰ ὁ ἀφελωνὶ ἀσραὶ ὁ μαρμελὶ νοοραὶ
υἱὸς ἀζβὶ ἰωὴλ ἀδελφὸς νάθαν. μαβὰρ υἱὸς ἀγαραί. σελλὴκ ὁ ἀμ-
μωνί. ναχαραὶ ὁ βηρωθὶ αἴρων σκεύη ἰωὰβ υἱοῦ σαρουίας. ἰρὰς ὁ

ἰθερὶ γαρὴβ ὁ θερὶ. οὐρίας ὁ χεθθὶ, βαζὰθ υἱὸς ὀολὶ ἀδινὰ υἱὸς
σαχὰ τοῦ ῥουβὶμ ἄρχων καὶ ἐπὶ αὐτῷ τριάκοντα. ἀνὰν υἱὸς
μαάχα. καὶ τῷ σαφὰτ ὁ φαθανί. ὀζιὰ, ἀσθαρωθὶ σαμμὰ καὶ ἰειὴ-
λ υἱοὶ χωτὰν τοῦ ἀραρί. ἰεδιὴλ υἱὸς σαμβρί. καὶ ἰωζὰε ὁ ἀδελφὸς
αὐτοῦ ὁ θωσαΐ. ἐλιὴλ ὁ μαωνί. καὶ ἀειβά. καὶ ὠσωΐα υἱὸς αὐτοῦ. ἐν-
ναὰμ καὶ ἰεθεμὰ ὁ μωαβίτης. ἀλιήλ. καὶ ἀβήδ. καὶ ἰεσιὴλ ὁ μεσω-
βία. καὶ οὗτοι οἱ ἐλθόντες πρὸς δαβὶδ εἰς σικελὰγ ἔτι συνεχο-
μένου ἀπὸ προσώπου σαοὺλ υἱοῦ κείς. καὶ οὗτοι ἐν τοῖς δυνατοῖς
βοηθοῦντες ἐν πολέμῳ καὶ τόξῳ. ἐκ δεξιῶν καὶ ἐξ ἀριστερῶν. καὶ
σφενδονῆται ἐν λίθοις καὶ ἐν τόξοις ἐκ τῶν ἀδελφῶν σαοὺλ ἐκ
βενιαμὶν ἄρχων. ἀχιέζερ. καὶ ἰωὰς υἱὸς σαμαὰ τοῦ γαβαθίτου.
καὶ ἰαζιὴλ καὶ φαλὴθ υἱοὶ ζαμὼθ, καὶ βαραχία καὶ ἰουὰ ὁ ἀναθω-
θί. καὶ σαμαΐας ὁ γαβαωνίτης δυνατὸς ἐν τοῖς τριάκοντα καὶ ἐπὶ
τῶν τριάκοντα καὶ ἱερεμία, καὶ ἰεζιήλ. καὶ ἰωνὰν, καὶ ἰωζαβὰθ
ὁ γαδηρωθὶ ἐλιωζί. καὶ ἰαριμοὺθ. καὶ βααλιὰ, καὶ σαμαρεία.
καὶ σαφατίας ὁ ἀρουφί. ἠλκανὰ καὶ ἰεσία. καὶ ἐλιήλ. καὶ ἰε-
ζαάρ. καὶ ἰεσβαὰ οἱ κορίται καὶ ἰωήλα. καὶ ζαβαδιά. υἱοὶ ἰο-
ρὰμ υἱοὶ τοῦ γεδώρ. καὶ ἀπὸ τοῦ γαδδὶ ἐχωρίσθησαν πρὸς
δαβὶδ ἐπὶ τῆς ἐρήμου ἰσχυροὶ δυνατοὶ ἄνδρες παρατάξεως
πολέμου, αἴροντες θυρεοὺς, καὶ δόρατα. καὶ πρόσωπον λέον-
τος τὰ πρόσωπα αὐτῶν, καὶ κοῦφοι ὡς δορκάδες ἐπὶ τῶν ὀρέ-
ων τῷ τάχει. ἄζερ τὸν ἄζερ ὁ ἄρχων. ἀβδία ὁ δεύτερος. ἀλιὰβ
ὁ τρίτος. μασμὰν ὁ τέταρτος. ἱερμιὰ ὁ πέμπτος. ἰεθθιὰ ὁ ἕκτος.
ἐλιήλ. ὁ ἕβδομος. ἰωνὰν ὁ ὄγδοος ἐλζαβὲλ ὁ ἔννατος. ἱερεμιὰ ὁ
δέκατος. μαχαβαναὶ ὁ ἑνδέκατος. οὗτοι ἐκ τῶν υἱῶν γὰδ ἄρχον-
τες τῆς στρατείας. εἷς τοῖς ἑκατὸν μικρός. καὶ μέγας τοῖς χιλίοις. οὗ-
τοι οἱ διαβάντες τὸν ἰορδάνην ἐν τῷ μηνὶ τῷ πρώτῳ. καὶ οὗ-
τος πεπληρωκὼς ἐπὶ πᾶσαν κρηπῖδα αὐτοῦ. καὶ ἐξεδίωξαν
πάντας τοὺς κατοικοῦντας αὐλῶνας, ἀπὸ ἀνατολῶν ἕως δυ-
σμῶν. καὶ ἦλθον ἀπὸ τῶν υἱῶν βενιαμὶν καὶ ἰούδα εἰς βοήθειαν

τοῦ δαβίδ. καὶ δαβὶδ ἐξῆλθεν εἰς ἀπάντησιν αὐτῶν. καὶ εἶπεν αὐτοῖς. εἰ εἰς εἰρήνην ἥκετε πρός με. εἴη μοι καρδία καθ᾽ αὐτὴν ἐφ᾽ ὑμᾶς καὶ εἰ τοῦ παραδοῦναί με τοῖς ἐχθροῖς μου οὐκ ἐν ἀληθείᾳ χειρὸς, ἴδοι ὁ θεὸς τῶν πατέρων ὑμῶν καὶ ἐλέγξαι. καὶ πνεῦμα ἐνέδυσε τὸν ἀμεσαῒ τὸν ἄρχοντα τῶν τριάκοντα. καὶ εἶπεν πορεύου δαβὶδ υἱὸς ἰεσσαὶ, καὶ ὁ λαός σου εἰρήνη. εἰρήνη σοι, καὶ εἰρήνη τοῖς βοηθοῖς σου, ὅτι ἐβοήθησέ σοι ὁ θεός σου. καὶ προσεδέξατο αὐτοὺς δαβὶδ, καὶ κατέστησεν αὐτοὺς ἄρχοντας τῶν δυνάμεων, καὶ ἀπὸ μανασσῆ προσεχώρησαν πρὸς δαβὶδ ἐν τῷ ἐλθεῖν τοὺς ἀλλοφύλους ἐπὶ σαοὺλ εἰς πόλεμον. καὶ οὐκ ἐβοήθησεν αὐτοῖς δαβίδ. ὅτι ἐν βουλῇ ἐγένετο παρὰ τῶν στρατηγῶν τῶν ἀλλοφύλων λεγόντων. ἐν ταῖς κεφαλαῖς τῶν ἀνδρῶν ἐκείνων ἐπιστρέψει πρὸς τὸν κύριον αὐτοῦ σαοὺλ. καὶ ἐξαπέστειλαν αὐτὸν, καὶ ἐν τῷ πορευθῆναι τὸν δαβὶδ εἰς σικελὰγ προσεχώρησαν αὐτῷ ἀπὸ μανασσῆ. ἐδνὰ καὶ ἰωζαβὰθ. καὶ ἰεδιήλ. καὶ μιχαήλ. καὶ ἰωσαφὰθ. καὶ ἐλιοῦ. καὶ σαλαθί. ἀρχηγοὶ χιλιάδων εἰσὶ τοῦ μανασσῆ. καὶ οὗτοι συνεμάχησαν τῷ δαβὶδ ἐπὶ τὴν γεδδούρ. ὅτι δυνατοὶ ἰσχύος πάντες, καὶ ἦσαν δυνατοὶ ἡγούμενοι ἐν τῇ στρατιᾷ ἐν τῇ δυνάμει, ὅτι ἡμέραν ἐξ ἡμέρας ἤρχοντο πρὸς δαβὶδ εἰς δύναμιν μεγάλην ὡς δύναμις θεοῦ.

## Κεφάλαιον. ιβ´. 12.

κ Αἱ ταῦτα τὰ ὀνόματα τῶν ἀρχόντων τῆς στρατιᾶς. οἱ ἐλθόντες πρὸς δαβὶδ εἰς χεβρὼν τοῦ ἀποστρέψαι τὴν βασιλείαν σαοὺλ πρὸς αὐτὸν. κατὰ τὸν λόγον κυρίου. υἱοὶ ἰούδα θυρεοφόροι, καὶ δορατοφόροι ἓξ χιλιάδες καὶ ὀκτακόσιοι δυνατοὶ παρατάξεως. τῶν υἱῶν συμεὼν, δυνατοὶ ἰσχύϊ εἰς παράταξιν ἑπτὰ χιλιάδες καὶ ἑκατόν. τῶν υἱῶν λευὶ τετραχίλιοι καὶ ἑξακόσιοι. καὶ ἰωδαὲ ὁ ἡγούμενος τῷ ἀαρὼν. καὶ μετ᾽ αὐτοῦ. τρεῖς χιλιάδες, καὶ ἑπτακόσιοι καὶ σαδὼκ νέος δυνατὸς ἰσχύϊ, καὶ τῆς πατρικῆς οἰκίας αὐτοῦ, ἄρχοντες εἴκοσι καὶ

δύο. καὶ

δύο. καὶ ἐκ τῶν υἱῶν βενιαμὶν τῶν ἀδελφῶν σαούλ. τρεῖς χιλιάδες. καὶ ἔτι τὸ πλεῖστον αὐτῶν ἀπεσκόπει τὴν φυλακὴν οἴκου σαούλ. καὶ ἀπὸ υἱῶν ἐφραίμ. εἴκοσι χιλιάδες καὶ ὀκτακόσιοι δυνατοὶ ἰσχύϊ ἄνδρες ὀνομαστοὶ κατ' οἴκους πατριῶν αὐτῶν. καὶ ἀπὸ τοῦ ἡμίσους τῆς φυλῆς μανασσῆ, ὀκτωκαίδεκα χιλιάδες. καὶ οὗτοι ὠνομάσθησαν ἐν ὀνόματι τοῦ βασιλεῦσαι τὸν δαβίδ. καὶ ἀπὸ τῶν υἱῶν ἰσσάχαρ γινώσκοντες σύνεσιν εἰς τοὺς καιρούς, γινώσκοντες τί ποιῆσαι ἰσραὴλ εἰς τὰς ἀρχὰς αὐτῶν ὀκτακόσιοι καὶ πάντες ἀδελφοὶ αὐτῶν μετ' αὐτῶν. καὶ ἀπὸ ζαβουλὼν ἐκπορευόμενοι εἰς παράταξιν πολέμου. ἐν πᾶσι σκεύεσι πολεμικοῖς πεντήκοντα χιλιάδες βοηθῆσαι τῷ δαβὶδ οὐ χεροκένως. καὶ ἀπὸ νεφθαλὶμ ἄρχοντες χίλιοι, καὶ μετ' αὐτῶν ἐν θυρεοῖς, καὶ δόρασι τριάκοντα καὶ ἑπτὰ χιλιάδες. καὶ ἀπὸ τῶν δανιτῶν παρατασσόμενοι εἰς πόλεμον εἴκοσι καὶ ὀκτὼ χιλιάδες, καὶ ὀκτακόσιοι. καὶ ἀπὸ τοῦ ἀσὴρ οἱ ἐκπορευόμενοι βοηθῆσαι εἰς πόλεμον τεσσαράκοντα χιλιάδες. καὶ ἐκ πέραν τοῦ ἰορδάνου. ἀπὸ ῥουβὴν, καὶ γαδδί. καὶ ἀπὸ τοῦ ἡμίσους φυλῆς μανασσῆ ἐν πᾶσι σκεύεσι πολεμικοῖς εἰς πόλεμον ἑκατὸν καὶ εἴκοσι χιλιάδες, πάντες οὗτοι ἄνδρες πολεμισταὶ παρατασσόμενοι παράταξιν ἐν ψυχῇ εἰρηνικῇ καὶ ἦλθον εἰς χεβρὼν τοῦ βασιλεῦσαι τὸν δαβὶδ ἐπὶ πάντα ἰσραήλ. καὶ ὁ κατάλοιπος ἰσραὴλ ψυχὴ μία. ἦλθον τοῦ βασιλεῦσαι τὸν δαβίδ. καὶ ἦσαν ἐκεῖ μετὰ δαβὶδ ἡμέρας τρεῖς ἐσθίοντες καὶ πίνοντες. ὅτι ἡτοίμασαν αὐτοῖς οἱ ἀδελφοὶ αὐτῶν. καὶ οἱ ὁμοροῦντες αὐτοῖς. ἕως ἰσσάχαρ, καὶ ζαβουλὼν, καὶ νεφθαλὶμ, ἔφερον αὐτοῖς ἐπὶ τῶν ὄνων καμήλων καὶ τῶν ἡμιόνων, καὶ ἐπὶ τῶν μόσχων βρώματα. ἄλευρα, παλάθας. σταφίδας, οἶνον καὶ ἔλαιον. καὶ μόσχους πρόβατα εἰς πλῆθος, ὅτι εὐφροσύνη ἐν ἰσραήλ. καὶ ἐβουλεύσατο δαβὶδ μετὰ τῶν ἀρχόντων. καὶ τῶν χιλιάρχων καὶ τῶν ἑκατοντάρχων, παντὶ ἡγουμένῳ. καὶ εἶπε δαβὶδ τῇ πάσῃ ἐκκλησίᾳ ἰσραὴλ, εἰ ἐφ' ὑμῖν ἀγαθὸν, καὶ παρὰ κυρίου τοῦ

θεοῦ ἡμῶν εὐοδωθῆ. ἀποστείλωμεν πρὸς τοὺς ἀδελφοὺς ἡμῶν
τοὺς ὑπολελειμμένους ἐν πάσῃ γῇ ἰσραήλ. καὶ μετ' αὐτῶν,
οἱ ἱερεῖς οἱ λευῖται ἐν πόλεσι κατασχέσεως αὐτῶν, καὶ συνα-
χθήσονται πρὸς ἡμᾶς καὶ μετενέγκωμεν τὴν κιβωτὸν τοῦ θεοῦ ἡ-
μῶν πρὸς ἡμᾶς. ὅτι οὐκ ἐζήτησαν αὐτὴν ἀφ' ἡμερῶν σαοὺλ. καὶ
εἶπε πᾶσα ἡ ἐκκλησία τοῦ ποιῆσαι οὕτως, ὅτι εὐθὴς ὁ λόγος ἐν
ὀφθαλμοῖς παντὸς τοῦ λαοῦ. καὶ ἐξεκλησίασε δαβὶδ τὸν πάν-
τα ἰσραήλ. ἀπὸ ὁρίων αἰγύπτου καὶ ἕως εἰσόδου ἡμὰθ τοῦ εἰσε-
νέγκαι τὴν κιβωτὸν τοῦ θεοῦ ἐκ πόλεως ἰαρείμ. καὶ ἀνήγα-
γεν αὐτὴν δαβίδ. καὶ πᾶς ἰσραὴλ ἀνέβη εἰς πόλιν δαβὶδ ἣ
ἦν τοῦ ἰούδα, τοῦ ἀναγαγεῖν ἐκεῖθεν τὴν κιβωτὸν τοῦ θεοῦ κυρίου
καθημένου ἐπὶ χερουβὶμ οὗ ἐπικλήθη ὄνομα αὐτοῦ, καὶ ἐπέθη-
καν τὴν κιβωτὸν τοῦ θεοῦ ἐπ' ἅμαξαν καινὴν ἐξ οἴκου ἀμινα-
δάβ. καὶ ὀζὰ καὶ οἱ ἀδελφοὶ αὐτοῦ. ἦγον τὴν ἅμαξαν. καὶ δα-
βὶδ καὶ πᾶς ἰσραὴλ παίζοντες ἐναντίον τοῦ θεοῦ ἐν πάσῃ δυ-
νάμει. καὶ ἐν ψαλτῳδοῖς, καὶ ἐν κινύραις. καὶ ἐν νάβλαις. ἐν τυμ-
πάνοις καὶ ἐν κυμβάλοις, καὶ ἐν σάλπιγξι, καὶ ἤλθοσαν ἕως τῆς ἅ-
λωνος καὶ ἐξέτεινεν ὀζὰ τὴν χεῖρα τοῦ κατασχεῖν τὴν κιβωτόν. ὅ-
τι ἐξέκλινεν αὐτὴν ὁ μόσχος. καὶ ἐθυμώθη κύριος ὀργῇ ἐπὶ
ὀζά. καὶ ἐπάταξεν αὐτὸν ἐκεῖ διὰ τὸ ἐκτεῖναι τὴν χεῖρα αὐτοῦ
ἐπὶ τὴν κιβωτόν. καὶ ἀπέθανεν ἐκεῖ, ἀπέναντι τοῦ θεοῦ. καὶ ἠ-
θύμησε δαβὶδ ὅτι διέκοψε κύριος διακοπὴν ἐν ὀζά. καὶ ἐκά-
λεσε τὸν τόπον ἐκεῖνον διακοπὴν ὀζὰ, ἕως τῆς ἡμέρας ταύτης.
καὶ ἐφοβήθη δαβὶδ τὸν θεὸν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ λέγων. πῶς εἰ-
σοίσω πρὸς ἐμαυτὸν τὴν κιβωτὸν τοῦ θεοῦ. καὶ οὐκ ἀπέστρεψε δα-
βὶδ τὴν κιβωτὸν πρὸς ἑαυτὸν εἰς τὴν πόλιν δαβίδ. καὶ ἐξέκλι-
νεν αὐτὴν εἰς οἶκον ἀβεδδαρὰ τοῦ χετταίου. καὶ ἐκάθισεν ἡ κι-
βωτὸς τοῦ θεοῦ, ἐν οἴκῳ ἀβεδδαρὰ, τρεῖς μῆνας. καὶ εὐλόγισεν ὁ
θεὸς ἀβεδδαρὰ, καὶ πάντα τὰ αὐτοῦ. καὶ ἀπέστειλε χηρὰμ βα-
σιλεὺς τύρου ἀγγέλους πρὸς δαβὶδ, καὶ ξύλα κέδρινα. καὶ οἰ-

λαοτόμους τοίχων· καὶ τέκτονας ξύλων τοῦ οἰκοδομῆσαι αὐτῷ οἶκον· καὶ ἔγνω δαβίδ, ὅτι ἡτοίμασεν αὐτὸν κύριος εἰς βασιλέα ἐπὶ ἰσραήλ· ὅτι ηὐξήθη εἰς ὕψος ἡ βασιλεία αὐτοῦ, διὰ τὸν λαὸν αὐτοῦ ἰσραήλ. καὶ ἔλαβε δαβὶδ ἔτι γυναῖκας ἐν ἱερουσαλήμ· καὶ ἐτέχθησαν αὐτῷ ἔτι υἱοὶ καὶ θυγατέρες· καὶ ταῦτα τὰ ὀνόματα αὐτῶν τῶν τεχθέντων, οἳ ἦσαν αὐτῷ ἐν ἱερουσαλήμ· σαμαού· καὶ σωβάβ· καὶ νάθαν· καὶ σολομών· καὶ ἰεβαάλ· καὶ ἐλισοῦ· καὶ ἐλιφαλάθ· καὶ ναφάγ· καὶ λισαμαά· βααλγαδαά· καὶ ἐλφαλέτ.

Κεφάλαιον ιγ'. 13.

Αἱ ἤκουσαν οἱ ἀλλόφυλοι, ὅτι ἐχρίσθη δαβὶδ ἐπὶ
κ πάντα ἰσραήλ, καὶ ἀνέβησαν πάντες οἱ ἀλλόφυλοι ζητῆσαι τὸν δαβίδ· καὶ ἤκουσε δαβίδ, καὶ ἐξῆλθεν εἰς ἀπάντησιν αὐτῶν· καὶ ἀλλόφυλοι ἦλθον καὶ συνέπεσαν ἐν τῇ κοιλάδι τῶν γιγάντων· καὶ ἐπηρώτησε δαβὶδ διὰ τοῦ θεοῦ λέγων· εἰ ἀναβῶ ἐπὶ τοὺς ἀλλοφύλους· καὶ παραδώσεις αὐτοὺς εἰς τὰς χεῖράς μου; καὶ εἶπεν αὐτῷ ὁ θεός· ἀνάβηθι καὶ δώσω αὐτοὺς εἰς τὰς χεῖράς σου· καὶ ἀνέβη εἰς βαὰλ φαρασίν, καὶ ἐπάταξεν αὐτοὺς ἐκεῖ δαβίδ· καὶ εἶπε δαβίδ· διέκοψεν ὁ θεὸς τοὺς ἐχθρούς μου ἐν χειρί μου, ὡς διακοπὴν ὕδατος, διὰ τοῦτο ἐκάλεσε τὸ ὄνομα τοῦ τόπου ἐκείνου, διακοπὴ φαρασίν· καὶ ἐγκατέλιπον ἐκεῖ τοὺς θεοὺς αὐτῶν οἱ ἀλλόφυλοι· καὶ εἶπε δαβὶδ κατακαῦσαι ἐν πυρὶ αὐτούς· καὶ προσέθεντο ἔτι ἀλλόφυλοι· καὶ συνέπεσον ἔτι ἐν τῇ κοιλάδι τῶν γιγάντων· καὶ ἠρώτησε δαβὶδ ἔτι ἐν θεῷ· καὶ εἶπεν αὐτῷ ὁ θεός, οὐ πορεύσῃ ὀπίσω αὐτῶν, ἀποστρέφου ἀπ' αὐτῶν· καὶ παρέσῃ αὐτοῖς πλησίον τῶν ἀπίων καὶ ἔσται ἐν τῷ ἀκοῦσαί σε τὴν φωνὴν τοῦ συσσεισμοῦ τοῦ ἄκρου τῶν ἀπίων, τότε εἰσελεύσῃ εἰς τὸν πόλεμον, ὅτι ἐξῆλθεν ὁ θεὸς ἔμπροσθέν σου τοῦ πατάξαι τὴν παρεμβολὴν τῶν ἀλλοφύλων. καὶ ἐποίησε καθὼς ἐνετείλατο αὐτῷ ὁ θεός, καὶ

ἐπάταξε τὴν παρεμβολὴν τῶν ἀλλοφύλων ἀπὸ γαβαὼν ἕως γα
ζηρά. καὶ ἐγένετο ὄνομα δαβὶδ ἐν πάσῃ τῇ γῇ, καὶ κύριος ἔ
δωκε τὸν φόβον αὐτοῦ, ἐπὶ πάντα τὰ ἔθνη. καὶ ἐποίησεν αὐτῷ
οἰκίας ἐν πόλει δαβίδ, καὶ ἡτοίμασε τὸν τόπον τῇ κιβωτῷ τοῦ
θεοῦ. καὶ ἐποίησεν αὐτῇ σκηνήν. τότε εἶπεν δαβὶδ οὐκ ἔστιν ἆ
ραι τὴν κιβωτὸν τοῦ θεοῦ. ἀλλ' ἢ τοὺς λευίτας. ὅτι αὐτοὺς ἐξελέ
ξατο κύριος αἴρειν τὴν κιβωτὸν κυρίου καὶ λειτουργεῖν αὐτῷ
ἕως αἰῶνος. καὶ συνήγαγε δαβὶδ τὸν πάντα ἰσραὴλ ἐν ἱερου
σαλὴμ τοῦ ἀνενέγκαι τὴν κιβωτὸν κυρίου, καὶ εἰς τὸν τόπον ὃν ἡ
τοίμασεν αὐτῇ. καὶ συνήγαγε δαβὶδ τοὺς υἱοὺς ἀαρὼν τοὺς λευ
ίτας, καὶ τῶν υἱῶν κααθ. οὐριὴλ ὁ ἄρχων, καὶ οἱ ἀδελφοὶ αὐτοῦ.
ἑκατὸν εἴκοσι. τῶν υἱῶν μεραρὶ, ἀσαΐας ὁ ἄρχων. καὶ οἱ ἀδελ
φοὶ αὐτοῦ, διακόσιοι πεντήκοντα. τῶν υἱῶν γεδσὼν, ἰωὴλ ὁ ἄρ
χων, καὶ οἱ ἀδελφοὶ αὐτοῦ, ἑκατὸν τριάκοντα. τῶν υἱῶν ἐλισα
φὰν, σεμεῒ ὁ ἄρχων. καὶ οἱ ἀδελφοὶ αὐτοῦ διακόσιοι. τῶν υἱῶν
χεβρὼμ ἐλιὴλ ὁ ἄρχων. καὶ οἱ ἀδελφοὶ αὐτοῦ ὀγδοήκοντα. τῶν
υἱῶν ὀζιὴλ ἀμιναδὰβ ὁ ἄρχων καὶ οἱ ἀδελφοὶ αὐτοῦ ἑκατὸν δε
καδύο. καὶ ἐκάλεσε δαβὶδ τὸν σαδὼκ καὶ ἀβιάθαρ τοὺς ἱερεῖς,
τοὺς λευίτας. τὸν οὐριήλ. ἀσαΐαν. καὶ ἰωήλ. καὶ σεμεΐαν. καὶ ἐλι
ήλ. καὶ ἀκιναδὰβ, καὶ εἶπεν αὐτοῖς. ὑμεῖς ἄρχοντες πατριῶν τῶν
λευιτῶν. ἁγνίσθητε ὑμεῖς καὶ οἱ ἀδελφοὶ ὑμῶν, καὶ ἀνοίσετε
τὴν κιβωτὸν τοῦ θεοῦ ἰσραὴλ, οὗ ἡτοίμασα αὐτῇ, εἰς τὴν ἑτοιμα
σίαν αὐτῆς. ὅτι οὐκ ἐν τῷ πρότερον ὑμᾶς εἶναι ἑτοίμους, διέ
κοψεν ὁ θεὸς ἡμῶν ἐν ἡμῖν, ὅτι οὐκ ἐξεζητήσαμεν ἐν κρίματι.
καὶ ἡγνίσθησαν οἱ ἱερεῖς καὶ οἱ λευῖται, τοῦ ἀνενέγκαι τὴν κιβω
τὸν τοῦ κυρίου θεοῦ ἰσραήλ. καὶ ἔλαβον οἱ υἱοὶ τῶν λευιτῶν τὴν
κιβωτὸν τοῦ θεοῦ, ὡς ἐνετείλατο μωϋσῆς ἐν λόγῳ θεοῦ κατὰ τὴν
γραφὴν, ἐν ἀφορεῦσι ἐφ' ἑαυτούς. καὶ εἶπε δαβὶδ τοῖς ἄρχου
σι τῶν λευιτῶν στῆσαι τοὺς ἀδελφοὺς αὐτῶν τοὺς ψαλτῳδοὺς
ἐν ὀργάνοις ᾠδῶν. νάβλαις. καὶ κινύραις. καὶ κυμβάλοις τοῦ

φωνῆσαι εἰς ὕψος ἐν φωνῇ εὐφροσύνης. καὶ ἔστησαν οἱ λευῖ-
ται τὸν αἰμὰν υἱὸν ἰωὴλ. ἐκ τῶν ἀδελφῶν αὐτοῦ ἀσὰφ υἱὸς βα-
ραχία. καὶ ἐκ τῶν υἱῶν μεραρὶ ἀδελφῶν αὐτοῦ, αἰθὰν υἱὸς κι-
σαίου. καὶ μετ' αὐτῶν, οἱ ἀδελφοὶ αὐτῶν οἱ δεύτεροι. ζαχα-
ρίας καὶ ἰεϊὴλ. καὶ σεμιραμὼθ, καὶ ὀζίας οἱ πυλωροί. καὶ οἱ ψαλτω-
δοί. αἰμὰν, ἀσὰφ, καὶ αἰμὰθ ἐν κυμβάλοις χαλκοῖς τοῦ ἀκου-
σθῆναι ποιῆσαι. ζαχαρίας καὶ ὀζιὴλ. καὶ σεμιραμὼθ καὶ ἰεϊὴλ
καὶ ὠνανία, καὶ ἐλιὰβ, καὶ μαασίας καὶ μακενίας ἐν νάβλαις ἐπὶ ἀ-
λιμὼθ, καὶ ματθαθίας καὶ ἐλιφαλοῦ καὶ μακενίας καὶ ἀβδεδόμ
καὶ ἰεϊὴλ. καὶ ὀζίας οἱ πυλωροὶ καὶ οἱ ψαλτῳδοὶ αἰμαν ἀσὰφ, καὶ
αἰθαν καὶ ἐν κυμβάλοις χαλκοῖς τοῦ ἀκουσθῆναι ποιῆσαι ζαχα-
ρίας καὶ ὀζιὴλ καὶ σεμιραμὼθ καὶ ἰεὴλ καὶ ὠνανὶ καὶ ἐλιὰβ καὶ
ἀμασίας καὶ βαναίας ἐν νάβλαις ἐπὶ ἀλιμὼθ καὶ ματθαθίας καὶ
ἐλιφαλαίας καὶ μακαινίας καὶ ἀβδεδὼμ καὶ ἰεὴλ. καὶ ὀζί-
ας, ἐν κινύραις ἀμασενὶθ τοῦ ἐνισχῦσαι. καὶ χωνενὶ ἄρ-
χων τῶν λευιτῶν ἄρχων τῶν ᾠδῶν. ὅτι συνετὸς ἦν. καὶ βα-
ραχία καὶ ἐλκανὰ πυλωροὶ τῆς κιβωτοῦ. καὶ σωβενία καὶ ἰω-
σαφὰτ, καὶ ναθαναὴλ, καὶ ἀμασία, καὶ ζαχαρία καὶ βαναὶ.
καὶ ἐλιέζερ οἱ ἱερεῖς σαλπίζοντες ταῖς σάλπιγξιν ἔμπροσθεν
τῆς κιβωτοῦ τοῦ θεοῦ. καὶ ἀβεδὼμ, καὶ ἰεΐα πυλωροὶ τῆς κιβω-
τοῦ τοῦ θεοῦ καὶ ἦν δαβὶδ καὶ οἱ πρεσβύτεροι ἰσραὴλ καὶ οἱ χι-
λίαρχοι οἱ πορευόμενοι τοῦ ἀναγαγεῖν τὴν κιβωτὸν τῆς διαθήκης
κυρίου ἐξ οἴκου ἀβδεδὼμ ἐν εὐφροσύνῃ. καὶ ἐγένετο ἐν τῷ κα-
τισχῦσαι τὸν θεὸν τοὺς λευΐτας αἴροντας τὴν κιβωτὸν τῆς διαθήκης
κυρίου, καὶ ἔθυσαν ἑπτὰ μόσχους, καὶ ἑπτὰ κριούς. καὶ δαβὶδ περι-
εζωσμένος ἐν στολῇ βυσσίνῃ. καὶ πάντες οἱ λευῖται αἴροντες
τὴν κιβωτὸν διαθήκης κυρίου. καὶ οἱ ψαλτῳδοὶ, καὶ χωνενίας
ὁ ἄρχων τῶν ᾀδόντων. καὶ ἐπὶ δαβὶδ στολὴ βυσσίνη. καὶ πᾶς
ἰσραὴλ ἀνάγοντες τὴν κιβωτὸν διαθήκης κυρίου ἐν σημασίᾳ
καὶ ἐν φωνῇ σωφὲρ. καὶ ἐν σάλπιγξιν, καὶ ἐν κυμβάλοις, ἀναφωνοῦν-

τοῖς καὶ νάβλαις καὶ ἐν κινύραις. καὶ ἦλθεν ἡ κιβωτὸς διαθή
κης κυρίου, ἕως πόλεως δαβίδ. καὶ μελχὸλ ἡ θυγάτηρ σαοὺλ
παρέκυψε διὰ τῆς θυρίδος, καὶ εἶδε τὸν βασιλέα δαβὶδ ὀρχού
μενον, καὶ παίζοντα, καὶ ἐξουδένωσεν αὐτὸν ἐν τῇ ψυχῇ αὐτοῦ.

Κεφάλαιον. ιδ. 14.

Καὶ εἰσήνεγκαν τὴν κιβωτὸν τοῦ θεοῦ, καὶ ἀπηρείσαν
κ το αὐτὴν ἐν μέσῳ τῆς σκηνῆς ἧς ἔπηξεν αὐτῇ δαδ.
καὶ προσήνεγκαν ὁλοκαυτώματα, καὶ σωτήρια ἐν
ναντίον τοῦ θεοῦ. καὶ συνετέλεσε δαβὶδ ἀναφέρων τὰ ὁλοκαυ
τώματα, καὶ τὰ τοῦ σωτηρίου. καὶ εὐλόγησε τὸν λαὸν ἐν ὀνόμα
τι κυρίου. καὶ διεμέρισε παντὶ ἰσραήλ, ἀπὸ ἀνδρὸς καὶ μέχρι
γυναικός. τῷ ἀνδρὶ ἄρτον ἕνα ἀρτοκοπικὸν καὶ ἀμορίτην. καὶ
ἔταξε κατὰ πρόσωπον τῆς κιβωτοῦ διαθήκης κυρίου ἐκ τῶν λε
υιτῶν λειτουργοῦντας ἀναφωνοῦντας. καὶ ἐξομολογεῖσθαι καὶ αἰνεῖν
τὸν κύριον θεὸν ἰσραήλ. ἀσὰφ ὁ ἡγούμενος καὶ δευτερεύων αὐ
τῷ ζαχαρίας ὁ ἰεϊήλ. σεμιραμὼθ καὶ ἰαϊήλ. ματθαθίας. ἐλιὰβ
καὶ βαναίας καὶ ἀβδεδὸμ καὶ ἰεϊήλ. ἐν ὀργάνοις καὶ νάβλαις
καὶ κινύραις. καὶ ἀσὰφ ἐν κυμβάλοις ἀναφωνῶν. καὶ βαναίας
καὶ ὀζιὴλ οἱ ἱερεῖς ἐν ταῖς σάλπιγξι διαπαντὸς ἐναντίον τῆς κι
βωτοῦ τῆς διαθήκης τοῦ θεοῦ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ. τότε ἔταξε δαβὶδ
ἐν ἀρχῇ τοῦ αἰνεῖν τὸν κύριον. ἐν χειρὶ ἀσὰφ καὶ τῶν ἀδελφῶν
αὐτοῦ. ἐξομολογεῖσθαι τῷ κυρίῳ. ἐπικαλεῖσθαι τὸ ὄνομα αὐτοῦ.
γνωρίσατε ἐν λαοῖς τὰ ἐπιτηδεύματα αὐτοῦ ᾄσατε αὐτῷ καὶ ὑμνή
σατε αὐτόν. διηγήσασθε πᾶσι τὰ θαυμάσια αὐτοῦ ἃ ἐποίησε
κύριος. αἰνεῖτε ἐν ὀνόματι ἁγίῳ αὐτοῦ. εὐφρανθήσεται καρδία
ζητοῦσα τὴν εὐδοκίαν αὐτοῦ. ζητήσατε τὸν κύριον καὶ ἰσχύσατε.
ζητήσατε τὸ πρόσωπον αὐτοῦ διαπαντός, μνημονεύσατε τὰ θαυ
μάσια αὐτοῦ ἃ ἐποίησε. τέρατα καὶ κρίματα στόματος αὐ
τοῦ. σπέρμα ἰσραὴλ παῖδες αὐτοῦ. υἱοὶ ἰακὼβ ἐκλεκτοὶ αὐτοῦ.
αὐτὸς κύριος ὁ θεὸς ἡμῶν ἐν πάσῃ τῇ γῇ τὰ κρίματα αὐτοῦ. μνη

μνημονεύων εἰς τὸν αἰῶνα διαθήκης αὐτοῦ· λόγου αὐτοῦ οὗ ἐνετείλατο εἰς χιλίας γενεὰς ὃν διέθετο τῷ ἀβραὰμ καὶ τὸν ὅρκον αὐτοῦ καὶ τῷ σπέρματι τῷ ἰσαὰκ ἔστησεν αὐτὸν τῷ ἰακὼβ εἰς πρόσταγμα· καὶ τῷ ἰσραὴλ εἰς διαθήκην αἰώνιον· λέγων σοὶ δώσω τὴν γῆν χανάαν σχοίνισμα κληρονομίας ὑμῶν· ἐν τῷ γενέσθαι αὐτοὺς ὀλιγοστοὺς ἐν ἀριθμῷ ἕως ἐσμικρύνθησαν, καὶ παρῴκησαν ἐν αὐτῇ· καὶ ἐπορεύθησαν ἀπὸ ἔθνους εἰς ἔθνος· καὶ ἀπὸ βασιλείας εἰς λαὸν ἕτερον· οὐκ ἀφῆκεν ἄνδρα τοῦ δυναστεῦσαι αὐτούς· καὶ ἤλεγξεν ὑπὲρ αὐτῶν βασιλεῖς μὴ ἅψεσθε τῶν χριστῶν μου καὶ ἐν τοῖς προφήταις μου μὴ πονηρεύεσθε. ᾄσατε τῷ κυρίῳ πᾶσα ἡ γῆ· ἀναγγείλατε ἐξ ἡμέρας εἰς ἡμέραν τὸ σωτήριον αὐτοῦ· ἐξηγεῖσθε ἐν τοῖς ἔθνεσι τὴν δόξαν αὐτοῦ· ἐν πᾶσι τοῖς λαοῖς τὰ θαυμάσια αὐτοῦ· ὅτι μέγας κύριος καὶ αἰνετὸς σφόδρα· φοβερὸς ἐστὶν ὑπὲρ πάντας τοὺς θεούς, ὅτι πάντες οἱ θεοὶ τῶν ἐθνῶν εἴδωλα· καὶ ὁ κύριος οὐρανοὺς ἐποίησε, δόξα καὶ ἔπαινος κατὰ πρόσωπον αὐτοῦ ἰσχὺς καὶ καύχημα ἐν τόπῳ ἁγίῳ αὐτοῦ· δότε τῷ κυρίῳ αἱ πατριαὶ τῶν ἐθνῶν· δότε τῷ κυρίῳ δόξαν καὶ ἰσχὺν δότε τῷ κυρίῳ δόξαν ὀνόματι αὐτοῦ· λάβετε δῶρα καὶ ἐνέγκατε κατὰ πρόσωπον αὐτοῦ· καὶ προσκυνήσατε τῷ κυρίῳ ἐν αὐλαῖς ἁγίαις αὐτοῦ φοβηθήτω ἀπὸ προσώπου αὐτοῦ πᾶσα ἡ γῆ κατορθωθήτω ἡ γῆ, καὶ μὴ σαλευθήτω· εὐφρανθήτω ὁ οὐρανὸς καὶ ἀγαλλιάσθω ἡ γῆ· καὶ εἰπάτωσαν ἐν τοῖς ἔθνεσιν, κύριος βασιλεύων· βομβήσει ἡ θάλασσα σὺν τῷ πληρώματι, καὶ ξύλον ἀγροῦ, καὶ πάντα τὰ ἐν αὐτῷ· τότε εὐφρανθήσεται τὰ ξύλα τοῦ δρυμοῦ ἀπὸ προσώπου κυρίου ὅτι ἦλθε κρίναι τὴν γῆν, ἐξομολογεῖσθε τῷ κυρίῳ ὅτι ἀγαθόν, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ· καὶ εἴπατε σῶσον ἡμᾶς ὁ θεὸς τῆς σωτηρίας ἡμῶν, καὶ ἄθροισον ἡμᾶς, καὶ ἐξελοῦ ἡμᾶ[illegible] ὑῶν ἐθνῶν· τοῦ αἰνεῖν τὸ ὄνομα τὸ ἅγιόν σου· καὶ καυχᾶσ[illegible] αῖς αἰνέσεσί σου· εὐλογημένος κύριος ὁ θεὸς ἰσραήλ, ἀπὸ τοῦ αἰῶνος, καὶ ἕως τοῦ αἰῶνος καὶ ἐρεῖ πᾶς ὁ λαός, ἀμήν· καὶ ᾔνεσαν τῷ κυ-

ρίῳ. καὶ κατέλιπον ἐκεῖ ἐναντίον τῆς κιβωτοῦ διαθήκης κυρίου
τὸν ἀσάφ, καὶ τοὺς ἀδελφοὺς αὐτοῦ τοῦ λειτουργεῖν ἐναντίον τῆς κι-
βωτοῦ διαπαντὸς τὸ τῆς ἡμέρας εἰς ἡμέραν. καὶ ἀβδεδὸμ, καὶ οἱ
ἀδελφοὶ αὐτοῦ, ἑξήκοντα καὶ ὀκτώ. καὶ ἀβδεδὸμ υἱὸς ἰαθὸμ καὶ
ὡσὰ εἰς τοὺς πυλωρούς. καὶ τὸν σαδὼκ τὸν ἱερέα καὶ τοὺς ἀδελ-
φοὺς αὐτοῦ τοὺς ἱερεῖς ἐναντίον σκηνῆς κυρίου ἐν βαμᾷ τῇ ἐν γα-
βαῶν, τοῦ ἀναφέρειν ὁλοκαυτώματα τῷ κυρίῳ, ἐπὶ τοῦ θυσιαστη-
ρίου τῶν ὁλοκαυτωμάτων διαπαντὸς τὸ πρωῒ καὶ τὸ ἑσπέρας. κα-
τὰ πάντα τὰ γεγραμμένα ἐν νόμῳ κυρίου ὅσα ἐνετείλατο ἐφ'
υἱοὺς ἰσραὴλ ἐν χειρὶ μωϋσέως τοῦ θεράποντος τοῦ θεοῦ καὶ
μετ' αὐτοῦ αἱμὰν καὶ ἰδιθοὺμ, καὶ οἱ λοιποὶ οἱ ἐκλεκτοὶ ἐπ' ὀ-
νόματος τοῦ αἰνεῖν τὸν κύριον ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. καὶ
μετ' αὐτῶν σάλπιγγες, καὶ κύμβαλα τοῦ ἀναφωνεῖν καὶ ὄργανα
τῶν ᾠδῶν τοῦ θεοῦ οἱ δὲ υἱοὶ ἰδιθοὺμ εἰς τὴν πύλην. καὶ ἐπο-
ρεύθη πᾶς ὁ λαὸς ἕκαστος εἰς τὸν οἶκον αὐτοῦ. καὶ ἐπέστρεψε δα-
βὶδ τοῦ εὐλογῆσαι τὸν οἶκον αὐτοῦ. καὶ ἐγένετο, ὡς κατῴκησε
δαβὶδ ἐν τῷ οἴκῳ αὐτοῦ, καὶ εἶπε δαβὶδ πρὸς νάθαν τὸν προ-
φήτην. ἰδοὺ ἐγὼ κατοικῶ ἐν οἴκῳ κεδρίνῳ. καὶ κιβωτὸς δια-
θήκης κυρίου ὑποκάτω δέρρεων. καὶ εἶπε νάθαν πρὸς δαβὶδ
πᾶν τὸ ἐν τῇ ψυχῇ σου ποίει, ὅτι ὁ θεὸς μετὰ σοῦ. καὶ ἐγένετο
ἐν τῇ νυκτὶ ἐκείνῃ, καὶ ἐγένετο λόγος κυρίου πρὸς νάθαν λέγων
πορεύου καὶ εἰπὸν πρὸς δαβὶδ τὸν παῖδά μου. οὕτως εἶπε κύ-
ριος. οὐ σὺ οἰκοδομήσεις μοι οἶκον τοῦ κατοικῆσαί με ἐν αὐ-
τῷ. ὅτι οὐ κατῴκησα ἐν οἴκῳ ἀπὸ τῆς ἡμέρας ἧς ἀνήγαγον τὸν
ἰσραὴλ, καὶ ἕως τῆς ἡμέρας ταύτης. καὶ ἤμην ἐν σκηνῇ εἰς σκέ-
πην, καὶ ἐν καταλύματι ἐν πᾶσιν οἷς διῆλθον ἐν παντὶ ἰσραήλ. εἰ
λαλῶν ἐλάλησα πρὸς μίαν φυλὴν ἰσραὴλ οἷς ἐνετειλάμην τοῦ ποι-
μαίνειν τὸν λαόν μου λέγων. ὅτι οὐκ ᾠκοδομήσατέ μοι οἶκον κέ-
δρινον. καὶ νῦν οὕτως ἐρεῖς τῷ δούλῳ μου δαβίδ. τάδε λέ-
γει κύριος παντοκράτωρ, ἐγὼ ἔλαβόν σε ἐκ τῆς μάνδρας ἐξόπι-

θεν τῶν ποιμνίων τοῦ εἶναι εἰς ἡγούμενον ἐπὶ τὸν λαόν μου τὸν ἰσραήλ. καὶ ἤμην μετὰ σοῦ ἐν πᾶσι οἷς ἐπορεύθης. καὶ ἐξωλόθρευσα πάντας τοὺς ἐχθρούς σου ἀπὸ προσώπου σου. καὶ ἐποίησά σοι ὄνομα κατὰ τὸ ὄνομα τῶν μεγάλων τῶν ἐπὶ τῆς γῆς. καὶ θήσομαι τόπον τῷ λαῷ μου ἰσραήλ. καὶ καταφυτεύσω αὐτὸν καὶ κατασκηνώσει καθ' ἑαυτὸν καὶ οὐ μεριμνήσει ἔτι. καὶ οὐ προσθήσει υἱὸς ἀδικίας τοῦ ταπεινῶσαι αὐτὸν καθὼς ἀπ' ἀρχῆς καὶ ἀφ' ἡμερῶν ὧν ἔταξα κριτὰς ἐπὶ τὸν λαόν μου τὸν ἰσραήλ. καὶ ἐταπείνωσα πάντας ἐχθρούς σου. καὶ αὐξήσω σε καὶ οἶκον οἰκοδομήσει σοι κύριος. καὶ ἔσται ὅταν πληρωθῶσιν αἱ ἡμέραι σου καὶ κοιμηθήσῃ μετὰ τῶν πατέρων σου. καὶ ἀναστήσω τὸ σπέρμα σου μετὰ σέ, ὃς ἔσται ἐκ τῆς κοιλίας σου. καὶ ἑτοιμάσω τὴν βασιλείαν αὐτοῦ. αὐτὸς οἰκοδομήσει μοι οἶκον. καὶ ἀνορθώσω τὸν θρόνον αὐτοῦ ἕως αἰῶνος. ἐγὼ ἔσομαι αὐτῷ εἰς πατέρα. καὶ αὐτὸς ἔσται μοι εἰς υἱόν. καὶ τὸ ἔλεός μου οὐκ ἀποστήσω ἀπ' αὐτοῦ ὡς ἀπέστησα ἀπὸ τῶν ὄντων ἔμπροσθέν σου. καὶ πιστώσω αὐτὸν ἐν οἴκῳ μου καὶ ἐν βασιλείᾳ αὐτοῦ, ἕως αἰῶνος. καὶ ὁ θρόνος αὐτοῦ ἔσται ἀνωρθωμένος ἕως αἰῶνος κατὰ πάντας τοὺς λόγους τούτους καὶ κατὰ πᾶσαν τὴν ὅρασιν ταύτην, οὕτως ἐλάλησεν νάθαν πρὸς δαβίδ. καὶ ἦλθεν ὁ βασιλεὺς δαβὶδ καὶ ἐκάθισεν ἀπέναντι κυρίου καὶ εἶπε τίς εἰμι ἐγὼ κύριε ὁ θεὸς καὶ τίς ὁ οἶκός μου ὅτι ἠγάπησάς με ἕως αἰῶνος. καὶ ἐσμικρύνθη ταῦτα ἐνώπιόν σου ὁ θεὸς καὶ ἐλάλησας ἐπὶ τὸν οἶκον τοῦ παιδός σου ἐκ μακρῶν. καὶ ἐπεῖδές με ὡς ὅρασις ἀνθρώπου. καὶ ὕψωσάς με κύριε ὁ θεός. τί προσθήσει ἔτι δαβὶδ πρὸς σὲ τοῦ δοξάσαι. σὺ δὲ τὸν δοῦλόν σου οἶδας κύριε καὶ διὰ τὸν δοῦλόν σου ἐποίησας τὴν πᾶσαν μεγαλωσύνην ταύτην κατὰ τὴν καρδίαν σου. τοῦ γνωρίσαι πάντα τὰ μεγαλεῖά σου κύριε. οὐκ ἔστιν ὅμοιός σοι καὶ οὐκ ἔστι θεὸς πλὴν σοῦ κατὰ πάντα ὅσα ἠκούσαμεν ἐν ὠσὶν ἡμῶν. καὶ οὐκ ἔστιν ὡς ὁ λαός σου ἰσραὴλ ἔθνος ἔτι ἐπὶ τῆς γῆς. ὡς ὡδήγησεν αὐτὸν ὁ θεὸς τοῦ

λυτρώσασθαι λαὸν ἑαυτῷ καὶ θεὸς αὐτοῦ. τοῦ θέσθαι ἑαυτῷ ὄν-
ομα μέγα καὶ ἐπιφανὲς τοῦ ἐκβαλεῖν ἀπὸ προσώπου λαοῦ σου
οὓς ἐλυτρώσω ἐξ αἰγύπτου ἔθνη. καὶ ἔδωκας τὸν λαόν σου ἰσρα-
ὴλ σεαυτῷ λαὸν ἕως αἰῶνος. καὶ σὺ κύριος ἐγενήθης αὐτοῖς
εἰς θεόν. καὶ νῦν κύριε ὁ λόγος σου, ὃν ἐλάλησας πρὸς τὸν παῖδά
σου καὶ ἐπὶ τὸν οἶκον αὐτοῦ πιστωθήτω ἕως αἰῶνος. καὶ ποίησον
καθὼς ἐλάλησας, καὶ πιστωθήτω καὶ μεγαλυνθήτω τὸ ὄνομά
σου ἕως αἰῶνος, λεγόντων κύριε κύριε παντοκράτορ ὁ θεὸς
τοῦ ἰσραὴλ καὶ ὁ οἶκος δαβὶδ τοῦ παιδός σου. ἔσται ἀνωρθωμέ-
νος ἐναντίον σου. ὅτι σὺ κύριος ὁ θεός μου ἤνοιξας τὸ οὖς τοῦ
παιδός σου τοῦ οἰκοδομῆσαι αὐτῷ οἶκον. διὰ τοῦτο εὗρεν ὁ παῖς
σου τοῦ προσεύξασθαι κατὰ πρόσωπόν σου. καὶ νῦν κύριε σὺ εἶ αὐτὸς θε-
ὸς καὶ ἐλάλησας ἐπὶ τὸν δοῦλόν σου τὰ ἀγαθὰ ταῦτα καὶ νῦν ἤρξω τοῦ
εὐλογῆσαι τὸν οἶκον τοῦ παιδός σου τοῦ εἶναι εἰς τὸν αἰῶνα ἐναντίον
σου. ὅτι σὺ κύριε εὐλόγησας. καὶ εὐλόγησον εἰς τὸν αἰῶνα.

Κεφάλαιον ιη. 15.

ΑΙ ἐγένετο μετὰ ταῦτα, καὶ ἐπάταξε δαβὶδ τοὺς
κ ἀλλοφύλους καὶ ἐτροπώσατο αὐτούς. καὶ ἔλαβε τὴν γὲθ
καὶ τὰς κώμας αὐτῆς ἐκ χειρὸς ἀλλοφύλων. καὶ ἐπά-
ταξε δαβὶδ τὴν μωάβ. καὶ ἦσαν μωαβῖται παῖδες τῷ δαβὶδ φέ-
ροντες δῶρα. καὶ ἐπάταξε δαβὶδ τὸν ἀδραζὰρ βασιλέα σουβὰ
ἡμὰθ πορευομένου αὐτοῦ ἐπιστῆσαι χεῖρα αὐτοῦ ἐπὶ ποταμὸν εὐ-
φράτην. καὶ προκατελάβετο αὐτὸν δαβὶδ χίλια ἅρματα καὶ ἑ-
πτὰ χιλιάδας ἵππων καὶ εἴκοσι χιλιάδας ἀνδρῶν πεζῶν. καὶ
παρέλυσε δαβὶδ πάντα τὰ ἅρματα, καὶ ὑπελείπετο ἐξ αὐτῶν
ἑκατὸν ἅρματα. καὶ ἦλθεν ὁ σύρος ἐκ δαμασκοῦ βοηθῆσαι τῷ
ἀδραζὰρ βασιλεῖ σουβά. καὶ ἐπάταξε δαβὶδ ἐν τῷ σύρῳ, εἴκοσι
καὶ δύο χιλιάδας ἀνδρῶν. καὶ ἔθετο δαβὶδ φρουρὰν ἐν συρίᾳ τῇ
κατὰ δαμασκόν. καὶ ἦσαν τῷ δαβὶδ εἰς παῖδας φέροντες δῶρα
καὶ ἔσωσε κύριος τὸν δαβὶδ ἐν πᾶσιν οἷς ἐπορεύετο. καὶ ἔλαβε δα-

βὶδ τοὺς κλοιοὺς τοὺς χρυσοῦς οἳ ἦσαν ἐπὶ τοὺς παῖδας ἀδρααζάρ, καὶ ἤνεγκεν αὐτοὺς εἰς ἱερουσαλήμ. καὶ ἐκ τῆς ματαβὲθ καὶ ἐκ τῶν ἐκλεκτῶν πόλεων τῶν ἀδρααζάρ, ἔλαβε δαβὶδ χαλκὸν πολὺν σφόδρα. ἐξ αὐτοῦ ἐποίησε σαλωμὼν τὴν θάλασσαν τὴν χαλκῆν καὶ τοὺς στύλους καὶ τὰ σκεύη τὰ χαλκᾶ. καὶ ἤκουσε θεοῦ βασιλεὺς αἰμὰθ, ὅτι ἐπάταξε δαβὶδ τὴν πᾶσαν δύναμιν ἀδραζὰρ βασιλέως σουβὰ, καὶ ἀπέστειλε τὸν ἀδουρὰμ υἱὸν αὐτοῦ πρὸς τὸν βασιλέα δαβίδ. τοῦ ἐρωτῆσαι αὐτὸν τὰ εἰς εἰρήνην. καὶ τοῦ εὐλογῆσαι αὐτὸν ὑπὲρ οὗ ἐπολέμησε τὸν ἀδραάζαρ. καὶ ἐπάταξεν αὐτὸν ὅτι ἀνὴρ πολέμιος θεοῦ ἦν τῷ ἀδραζὰρ. καὶ πάντα τὰ σκεύη τὰ χρυσᾶ καὶ τὰ ἀργυρᾶ, καὶ τὰ χαλκᾶ, καὶ ταῦτα ἡγίασεν ὁ βασιλεὺς δαβὶδ τῷ κυρίῳ μετὰ τοῦ ἀργυρίου καὶ τοῦ χρυσίου οὗ ἔλαβεν ἐκ πάντων τῶν ἐθνῶν ἐξ ἰδουμαίας καὶ μωὰβ καὶ ἐξ υἱῶν ἀμμών. καὶ ἐκ τῶν ἀλλοφύλων καὶ ἐξ ἀμαλήκ. καὶ ἀβισὰ υἱὸς σαρουίας, ἐπάταξε τὴν ἰδουμαίαν ἐν τῇ κοιλάδι τῶν ἁλῶν, ὀκτωκαίδεκα χιλιάδας. καὶ ἔθετο ἐν τῇ κοιλάδι φρουράν. καὶ ἦσαν πάντες οἱ ἰδουμαῖοι, παῖδες τῷ δαβίδ. καὶ ἔσωζε κύριος τὸν δαβὶδ ἐν πᾶσιν οἷς ἐπορεύετο. καὶ ἐβασίλευσε δαβὶδ ἐπὶ πάντα ἰσραήλ. καὶ ἦν ποιῶν κρίμα καὶ δικαιοσύνην παντὶ τῷ λαῷ αὐτοῦ. καὶ ἰωὰβ υἱὸς σαρουίας ἐπὶ τῆς στρατιᾶς. καὶ ἰωσαφὰτ υἱὸς ἀλιχιλοὺδ ὁ ὑπομνηματογράφος. καὶ σαδὼκ υἱὸς ἀχιτὼβ καὶ ἀβιμέλεχ υἱὸς ἐλεάζαρ οἱ ἱερεῖς, καὶ σουσὰ γραμματεὺς καὶ βαναίας υἱὸς ἰωδαὲ ἐπὶ τοῦ χερεθθὶ καὶ ἐπὶ τοῦ φελεθθί. καὶ υἱοὶ δαβὶδ οἱ πρῶτοι διάδοχοι τοῦ βασιλέως. καὶ ἐγένετο μετὰ ταῦτα ἀπέθανε ναὰς βασιλεὺς υἱῶν ἀμμών. καὶ ἐβασίλευσεν ἀνὰν υἱὸς αὐτοῦ ἀντ᾽ αὐτοῦ. καὶ εἶπε δαβίδ. ποιήσω ἔλεος μετὰ ἀνὰν υἱοῦ ναάς. ὡς ἐποίησεν ὁ πατὴρ αὐτοῦ μετ᾽ ἐμοῦ ἔλεος. καὶ ἀπέστειλεν ἀγγέλους δαβὶδ τοῦ παρακαλέσαι αὐτὸν περὶ τοῦ πατρὸς αὐτοῦ. καὶ ἦλθον οἱ παῖδες δαβὶδ εἰς γῆν υἱῶν ἀμμὼν πρὸς ἀνὰν τοῦ παρακαλέσαι αὐτόν. καὶ εἶπον οἱ ἄρχοντες υἱῶν

ἀμμὼν πρὸς ἀνάν· μὴ δοξάζων δαβὶδ τὸν πατέρα σου ἐναντί-
ον σου, ἀπέστειλέ σοι παρακαλοῦντας; οὐχί· ἀλλ' ἢ ὅπως ἐξερευ-
νήσωσι τὴν πόλιν, καὶ τοῦ κατασκοπῆσαι τὴν γῆν, ἦλθον οἱ παῖ-
δες αὐτοῦ πρὸς σέ. καὶ ἔλαβεν ἀνὰν τοὺς παῖδας δαβὶδ, καὶ ἐξύ-
ρησεν αὐτούς. καὶ ἀφεῖλε τῶν μανδυῶν αὐτῶν τὸ ἥμισυ ἕως τῆς
ἀναβολῆς. καὶ ἀπέστειλεν αὐτούς. καὶ ἦλθον ἀπαγγεῖλαι τῷ δα-
βὶδ περὶ τῶν ἀνδρῶν. καὶ ἀπέστειλεν εἰς ἀπάντησιν αὐτοῖς, ὅτι
ἦσαν οἱ ἄνθρωποι ἠτιμωμένοι σφόδρα. καὶ εἶπεν ὁ βασιλεύς.
καθίσατε ἐν ἱεριχῶ, ἕως τοῦ ἀνατεῖλαι τοὺς πώγωνας ὑμῶν, καὶ
ἀνακάμψατε. καὶ εἶδον οἱ υἱοὶ ἀμμὼν, ὅτι ᾐσχύνθη ὁ λαὸς δα-
βὶδ, καὶ ἀπέστειλεν ἀνὰν καὶ υἱοὶ ἀμμὼν, χίλια τάλαντα ἀργυ-
ρίου τοῦ μισθώσασθαι ἑαυτοῖς ἐκ συρίας μεσοποταμίας καὶ ἐκ συ-
ρίας μααχὰ καὶ ἐκ σουβᾶ ἅρματα καὶ ἱππεῖς. καὶ ἐμισθώσαντο
ἑαυτοῖς δύο καὶ τριάκοντα χιλιάδας ἁρμάτων. καὶ τὸν βασιλέα
μααχὰ καὶ τὸν λαὸν αὐτοῦ καὶ ἦλθον καὶ παρενέβαλον κατέναντι
τοῦ μηδαβάθ. καὶ υἱοὶ ἀμμὼν συνήχθησαν ἐκ τῶν πόλεων αὐ-
τῶν, καὶ ἦλθον εἰς τὸ πολεμῆσαι. καὶ ἤκουσε δαβὶδ καὶ ἀπέστειλε
τὸν ἰωὰβ καὶ πᾶσαν τὴν στρατιὰν τῶν δυνατῶν. καὶ ἐξῆλθον οἱ
υἱοὶ ἀμμὼν, καὶ παρατάσσονται εἰς πόλεμον παρὰ τὸν πυλῶνα
τῆς πόλεως. καὶ οἱ βασιλεῖς οἱ ἐλθόντες παρενέβαλον καθ' ἑαυ-
τὸν ἐν τῷ πεδίῳ. καὶ εἶδεν ἰωὰβ ὅτι γεγόνασιν ἀντιπρόσω-
ποι τοῦ πολεμεῖν πρὸς αὐτὸν κατὰ πρόσωπον καὶ ἐξόπισθε. καὶ
ἐξελέξατο ἐκ παντὸς νεανίου ἐξ ἰσραὴλ καὶ παρετάξατο ἐναντί-
ον τοῦ σύρου. καὶ τὸ κατάλοιπον τοῦ λαοῦ ἔδωκεν ἐν χειρὶ ἀβε-
σαὶ ἀδελφοῦ αὐτοῦ, καὶ παρετάξαντο ἐξεναντίας υἱῶν ἀμμών.
καὶ εἶπεν. ἐὰν κραταιωθῇ ὑπὲρ ἐμὲ ὁ σύρος, καὶ ἔσῃ μοι εἰς
σωτηρίαν. καὶ ἐὰν οἱ υἱοὶ ἀμμὼν κρατήσωσιν ὑπὲρ σὲ καὶ σώ-
σω σε. ἀνδρίζου, καὶ ἐνισχύσωμεν περὶ τοῦ λαοῦ ἡμῶν καὶ περὶ
τῶν πόλεων τοῦ θεοῦ ἡμῶν. καὶ κύριος τὸ ἀγαθὸν ἐν ὀφθαλμοῖς
αὐτοῦ ποιήσει, καὶ παρετάξατο ἰωὰβ καὶ πᾶς ὁ λαὸς ὁ μετ' αὐ-

τοῦ κατέναντι σύρων εἰς πόλεμον, καὶ ἔφυγον ἀπ' αὐτῶν, καὶ οἱ υἱοὶ ἀμμὼν εἶδον ὅτι ἔφυγον οἱ σύροι, καὶ ἔφυγον καὶ αὐτοὶ ἀπὸ προσώπου ἀμεσαΐ· καὶ ἀπὸ προσώπου ἰωὰβ τοῦ ἀδελφοῦ αὐτοῦ· καὶ ἦλθον εἰς τὴν πόλιν· καὶ ἦλθεν ἰωὰβ εἰς ἱερουσαλήμ· καὶ εἶδεν ὁ σύρος ὅτι ἐτροπώσατο αὐτὸν ἰσραήλ· καὶ ἀπέστειλεν ἀγγέλους, καὶ ἐξήγαγε τὸν σύρον ἐκ τοῦ πέραν τοῦ ποταμοῦ· καὶ σωφὰκ ὁ ἀρχιστράτηγος δυνάμεως ἀδραζὰρ ἔμπροσθεν αὐτῶν· καὶ ἀπηγγέλη τῷ δαβίδ, καὶ συνήγαγε τὸν πάντα ἰσραὴλ καὶ διέβη τὸν ἰορδάνην καὶ ἦλθεν ἐπ' αὐτούς· καὶ παρετάξατο πρὸς αὐτούς· καὶ παρατάσσεται δαβὶδ ἐξεναντίας τοῦ σύρου εἰς πόλεμον, καὶ ἐπολέμησεν αὐτόν. καὶ ἔφυγε σύρος ἀπὸ προσώπου ἱερουσαλήμ· καὶ ἀπέκτεινε δαβίδ, ἀπὸ τοῦ σύρου, ἑπτὰ χιλιάδας ἁρμάτων· καὶ τεσσαράκοντα χιλιάδας ἀνδρῶν πεζῶν· καὶ τὸν σωβὰκ ἀρχιστράτηγον δυνάμεως αὐτοῦ ἀπέκτεινε. καὶ εἶδον οἱ παῖδες ἀδραζὰρ ὅτι πεπτώκασιν ἀπὸ προσώπου ἰσραήλ, καὶ διέθεντο μετὰ δαβίδ, καὶ ἐδούλευσαν αὐτῷ, καὶ οὐκ ἐθέλησε σύρος τοῦ βοηθῆσαι τοῖς υἱοῖς ἀμμὼν ἔτι. Καὶ ἐγένετο ἐν τῷ ἐπιόντι ἔτει, ἐν τῇ ἐξόδῳ τῶν βασιλέων, καὶ ἤγαγεν ἰωὰβ πᾶσαν τὴν δύναμιν τῆς στρατιᾶς, καὶ διέφθειραν τὴν χώραν υἱῶν ἀμμών· καὶ ἦλθον, καὶ περιεκάθισαν τὴν ῥαμμᾶ· καὶ δαβὶδ ἐκάθισεν ἐν ἱερουσαλήμ. καὶ ἐπάταξεν ἰωὰβ τὴν ῥαμμὰ, καὶ κατέσκαψεν αὐτήν, καὶ ἔλαβε δαβὶδ τὸν στέφανον μολχὸμ τοῦ βασιλέως αὐτῶν ἀπὸ τῆς κεφαλῆς αὐτοῦ. καὶ εὑρέθη ὁ σταθμὸς αὐτοῦ τάλαντον χρυσίου, καὶ ἐν αὐτῷ λίθος τίμιος· καὶ ἦν ἐπὶ τὴν κεφαλὴν δαβίδ. καὶ σκῦλα τῆς πόλεως ἐξήνεγκε πολλὰ σφόδρα, καὶ τὸν λαὸν τὸν ἐν αὐτῇ ἐξήγαγε, καὶ διέπρισε πρίοσι· καὶ ἐν σκεπάρνοις σιδηροῖς, καὶ ἐν διαχίζουσι. καὶ οὕτως ἐποίησε δαβὶδ τοῖς πᾶσιν υἱῶν ἀμμών. καὶ ἀνέστρεψε δαβίδ· καὶ πᾶς ὁ λαὸς αὐτοῦ ἐν ἱερουσαλήμ· καὶ ἐγένετο μετὰ ταῦτα, καὶ ἐγένετο ἔτι πόλεμος ἐν γαζὲρ μετὰ τῶν ἀλλοφύλων· τότε ἐπάταξε σοβαχαὶ

οὐσαθὶ τὴν σαφοῦ· ἀπὸ τῶν υἱῶν τῶν γιγάντων, καὶ ἐταπείνωσεν αὐτόν. καὶ ἐγένετο ἔτι πόλεμος μετὰ τῶν ἀλλοφύλων καὶ ἐπάταξεν ἐλεανὸν υἱὸς ἰαὶρ τὸν λαομὶ ἀδελφὸν γολιὰθ τοῦ γετθαίου· καὶ τὸ ξύλον τοῦ δόρατος αὐτοῦ ὡς ἀντίον ὑφαινόντων. καὶ ἐγένετο ἔτι πόλεμος ἐν γέθ. καὶ ἦν ἀνὴρ ὑπερμεγέθης. καὶ οἱ δάκτυλοι αὐτοῦ ἓξ καὶ ἓξ εἴκοσι, καὶ τέσσαρες, καὶ οὗτος ἦν ἀπόγονος γιγάντων καὶ ὠνείδισε τὸν ἰσραήλ· καὶ ἐπάταξεν αὐτὸν ἰωναθὰμ υἱὸς σαμαὰ ἀδελφοῦ δαβίδ. οὗτοι ἐγένοντο τῷ ῥαφᾶ ἐν γέθ· πάντες ἦσαν τέσσαρες γίγαντες καὶ ἔπεσον ἐν χειρὶ δαβίδ, καὶ ἐν χειρὶ παίδων αὐτοῦ. Καὶ ἀνέστη διάβολος ἐν τῷ ἰσραὴλ καὶ ἐπέσεισε τὸν δαβὶδ τοῦ ἀριθμῆσαι τὸν ἰσραήλ, καὶ εἶπεν ὁ βασιλεὺς δαβὶδ πρὸς ἰωὰβ, καὶ πρὸς τοὺς ἄρχοντας τῆς δυνάμεως· πορεύθητε, καὶ ἀριθμήσατε τὸν ἰσραὴλ ἀπὸ βηρσαβεὲ ἕως δὰν, καὶ ἀνέγκατε πρός με καὶ γνώσομαι τὸν ἀριθμὸν αὐτῶν. καὶ εἶπεν ἰωάβ. προσθείη κύριος ἐπὶ τὸν λαὸν αὐτοῦ ὡς αὐτοὶ ἑκατονταπλασίως. καὶ οἱ ὀφθαλμοὶ τοῦ κυρίου μου τοῦ βασιλέως βλέποντες· πάντες τῷ κυρίῳ μου παῖδες. καὶ ἱνατὶ θέλει τοῦτο ὁ κύριός μου ἵνα μὴ γένηται εἰς ἁμαρτίαν τῷ λαῷ ἰσραήλ. τὸ δὲ ῥῆμα τοῦ βασιλέως ἴσχυσεν ἐπὶ ἰωάβ. καὶ ἐξῆλθεν ἰωὰβ καὶ διῆλθεν ἐν παντὶ ἰσραὴλ καὶ ἦλθεν εἰς ἱερουσαλήμ. καὶ ἔδωκεν ἰωὰβ τὸν ἀριθμὸν τῆς ἐπισκέψεως τοῦ λαοῦ τῷ δαδ. καὶ ἦν πᾶς ἱερουσαλὴμ χίλιαι χιλιάδες καὶ ἑκατὸν χιλιάδες ἀνδρῶν ἐσπασμένων μάχαιραν. καὶ οἱ υἱοὶ ἰούδα τετρακόσιαι, καὶ ἑβδομήκοντα χιλιάδες ἀνδρῶν ἐσπασμένων μάχαιραν. καὶ τὸν λευὶ, καὶ τὸν βενιαμὶ, οὐκ ἠρίθμησεν ἐν μέσῳ αὐτῶν. ὅτι προσώχθισεν ὁ λόγος τοῦ βασιλέως τὸν ἰωάβ. καὶ πονηρὸν ἐφάνη ἐναντίον τοῦ θεοῦ περὶ τοῦ πράγματος τούτου, καὶ ἐπάταξε τὸν ἰσραήλ. καὶ εἶπε δαβὶδ πρὸς τὸν θεόν. ἡμάρτηκα σφόδρα ὅτι ἐποίησα τὸ πρᾶγμα τοῦτο καὶ νῦν περίελε δὴ τὴν κακίαν παιδός σου, ὅτι ἐματαιώθην σφόδρα, καὶ ἐλάλησε κύριος πρὸς γὰδ τὸν ὁρῶντα δαβὶδ λέγων·

πορεύου καὶ λάλησον πρὸς δαβὶδ λέγων· οὕτω λέγει κύριος·
τρία, ἐγὼ ἐρῶ ἐπὶ σέ. ἔκλεξαι σεαυτῷ ἓν ἐξ αὐτῶν καὶ ποιήσω
σοι. καὶ ἦλθε γὰδ πρὸς δαβὶδ, καὶ εἶπεν αὐτῷ. οὕτως λέγει κύ-
ριος, ἔκλεξαι σεαυτῷ ἢ τρία ἔτη λιμοῦ ἢ τρεῖς μῆνας φεύγειν σε
ἀπὸ προσώπου ἐχθρῶν σου. καὶ μάχαιραν ἐχθρῶν σου κατα-
λαμβάνειν σε, ἢ τρεῖς ἡμέρας ῥομφαίαν κυρίου καὶ θάνατον ἐν τῇ
γῇ. καὶ ἄγγελος κυρίου ἐξολοθρεύων ἐν πάσῃ κληρονομίᾳ ἰσλ. καὶ
νῦν ἴδε τί ἀποκριθῶ τῷ ἀποστείλαντί με λόγον. καὶ εἶπε δα-
βὶδ πρὸς γάδ. στενά μοι καὶ τὰ τρία σφόδρα. ἐμπεσοῦμαι δὴ εἰς
χεῖρας κυρίου ὅτι πολλοὶ οἱ οἰκτιρμοὶ αὐτοῦ σφόδρα καὶ εἰς χεῖ-
ρας ἀνθρώπων οὐ μὴ ἐμπέσω. καὶ ἔδωκε κύριος θάνατον ἐν ἰσλ. καὶ ἔ-
πεσον ἐξ ἰσραὴλ ἑβδομήκοντα χιλιάδες ἀνδρῶν. καὶ ἀπέστειλεν
ὁ θεὸς ἄγγελον εἰς ἱερουσαλὴμ τοῦ ἐξολοθρεῦσαι αὐτόν. καὶ ὡς ἐξω-
λόθρευσεν, εἶδε κύριος καὶ μετεμελήθη ἐπὶ τῇ κακίᾳ. καὶ εἶπε τῷ
ἀγγέλῳ τῷ ἐξολοθρεύοντι ἱκανούσθω σοι, ἄνες τὴν χεῖρά σου. καὶ
ὁ ἄγγελος κυρίου ἑστὼς ἐν τῇ ἅλῳ ὀρνᾶ τοῦ ἰεβουσαίου. καὶ ἐπῆ-
ρε δαβὶδ τοὺς ὀφθαλμοὺς αὐτοῦ, καὶ εἶδε τὸν ἄγγελον κυρίου ἑστῶ-
τα ἀνὰ μέσον τῆς γῆς καὶ ἀνὰ μέσον τοῦ οὐρανοῦ. καὶ ἡ ῥομ-
φαία αὐτοῦ ἐσπασμένη ἐν τῇ χειρὶ αὐτοῦ ἐκτεταμένη ἐπὶ ἱερου-
σαλήμ. καὶ ἔπεσε δαβίδ. καὶ οἱ πρεσβύτεροι τοῦ ἰσραὴλ περι-
βεβλημένοι σάκκους ἐπὶ πρόσωπον αὐτῶν. καὶ εἶπε δαβὶδ πρὸς
τὸν θεόν. οὐκ ἐγὼ εἶπα τοῦ ἀριθμῆσαι ἐν τῷ λαῷ; ἐγὼ εἰμὶ ὁ ἁ-
μαρτών. κακοποιῶν ἐκακοποίησα. καὶ ταῦτα τὰ πρόβατα τί ἐποί-
ησαν. κύριε ὁ θεὸς γενηθήτω ἡ χείρ σου ἐν ἐμοί, καὶ ἐν τῷ οἴκῳ
τοῦ πατρός μου. καὶ μὴ ἐν τῷ λαῷ σου καὶ εἰς ἀπώλειαν κύριε. ἄγ-
γελος κυρίου εἶπε τῷ γὰδ τοῦ εἰπεῖν πρὸς δαβίδ, ἵνα ἀναβῇ τοῦ στῆ-
σαι θυσιαστήριον τῷ κυρίῳ ἐν τῇ ἅλῳ ὀρνᾶ τοῦ ἰεβουσαίου. καὶ ἀνέ-
βη δαβὶδ κατὰ τὸν λόγον γὰδ ὃν ἐλάλησεν ἐν ὀνόματι κυρίου.
καὶ ἀπέστρεψεν ὀρνᾶ καὶ εἶδε τὸν βασιλέα. καὶ τέσσαρες υἱοὶ αὐτοῦ
μετ' αὐτοῦ κρυβόμενοι. καὶ ὀρνᾶ ἦν ἀλοῶν πυρούς. καὶ ἦλθε δα-

βὶδ πρὸς ὀρνᾶ καὶ ἀπέστρεψεν ὀρνᾶ καὶ εἶδε τὸν δαβὶδ καὶ ἐξῆλ-
θεν ἐκ τῆς ἅλω καὶ προσεκύνησεν ὀρνᾶ τῷ δαβὶδ τῷ προσώ-
πῳ ἐπὶ τὴν γῆν. καὶ εἶπε δαβὶδ πρὸς ὀρνᾶ δός μοι τὸν τόπον
του τῆς ἅλως σου καὶ οἰκοδομήσω ἐπ' αὐτῷ θυσιαστήριον τῷ
κυρίῳ ἐν ἀργυρίῳ ἀξίῳ, δός μοι αὐτόν. καὶ παύσεται ἡ πληγὴ ἐκ
τοῦ λαοῦ. καὶ εἶπεν ὀρνᾶ πρὸς δαβίδ. λάβε σεαυτῷ καὶ ποιησάτω
ὁ κύριός μου ὁ βασιλεὺς τὸ ἀγαθὸν ἐναντίον ἑαυτοῦ. ἰδοὺ δέδω-
κα τοὺς μόσχους εἰς ὁλοκαύτωσιν. καὶ τὸ ἄροτρον εἰς ξύλα. καὶ τὸν
σῖτον εἰς θυσίαν. τὰ πάντα δέδωκα. καὶ εἶπεν ὁ βασιλεὺς δα-
βὶδ τῷ ὀρνᾶ. οὐχὶ ὅτι ἀγοράζων ἀγοράσω ἐν ἀργυρίῳ ἀξίῳ.
ὅτι οὐ μὴ λάβω, ἅ ἐστί σοι τῷ κυρίῳ τοῦ ἀνενέγκαι ὁλοκαύτω-
σιν δωρεὰν κυρίῳ. καὶ ἔδωκε δαβὶδ τῷ ὀρνᾶ. περὶ τοῦ τόπου αὐ-
τοῦ σίκλους χρυσίου ὁλκῆς ἑξακοσίους. καὶ ᾠκοδόμησεν ἐκεῖ δα-
βὶδ θυσιαστήριον κυρίῳ καὶ ἀνήνεγκεν ὁλοκαύτωμα καὶ σωτηρίου.
καὶ ἐβόησε πρὸς κύριον καὶ ἐπήκουσεν αὐτοῦ ἐν πυρὶ ἐκ τοῦ οὐρα-
νοῦ ἐπὶ τὸ θυσιαστήριον τῆς ὁλοκαυτώσεως. καὶ κατηνάλωσε τὴν ὁ-
λοκαύτωσιν καὶ εἶπε κύριος πρὸς τὸν ἄγγελον. καὶ καθῆκε τὴν ῥομ-
φαίαν εἰς τὸν κολεὸν αὐτῆς ἐν τῷ καιρῷ ἐκείνῳ. καὶ ἐν τῷ ἰδεῖν
τὸν δαβὶδ, ὅτι ἐπήκουσεν αὐτῷ κύριος ἐν τῇ ἅλῳ ὀρνᾶ τοῦ ἰεβου-
σαίου καὶ ἐθυσίασεν ἐκεῖ. καὶ σκηνὴ κυρίου ἣν ἐποίησε μωϋσῆς
ἐν τῇ ἐρήμῳ καὶ τὸ θυσιαστήριον τῶν ὁλοκαυτωμάτων ἐν τῷ και-
ρῷ ἐκείνῳ ἦν θαμᾶ τῇ ἐν γαβαών. καὶ οὐκ ἐδύνατο δαβὶδ τοῦ πο-
ρευθῆναι ἔμπροσθεν αὐτοῦ ζητῆσαι τὸν θεόν. ὅτι οὐ κατέσπευ-
σεν ἀπὸ προσώπου τῆς ῥομφαίας ἀγγέλου κυρίου. καὶ εἶπε δα-
βίδ. οὗτός ἐστιν ὁ οἶκος κυρίου τοῦ θεοῦ, καὶ τοῦτο θυσιαστήριον εἰς
ὁλοκαύτωσιν τῷ ἰσραήλ. καὶ εἶπε δαβὶδ συναγαγεῖν πάντας
τοὺς προσηλύτους τοὺς ἐν γῇ ἰσραήλ. καὶ κατέστησε λατόμους λα-
τομῆσαι λίθους ξυστοὺς οἰκοδομῆσαι οἶκον τῷ κυρίῳ, καὶ σίδη-
ρον πολὺν εἰς τοὺς ἥλους τῶν θυρωμάτων καὶ τῶν πυλῶν καὶ τοὺς
στροφεῖς, ἡτοίμασε δὲ καὶ χαλκὸν εἰς πλῆθος οὐκ ἦν σταθμὸς καὶ

ξύλα

ξύλα κέδρινα οὐκ ἦν ἀριθμὸς ὅτι ἔφερον οἱ σιδώνιοι καὶ οἱ τύριοι ξύλα κέδρινα εἰς πλῆθος τῷ δαβίδ. καὶ εἶπε δαβίδ. σολομὼν ὁ υἱός μου παιδάριον ἁπαλὸν καὶ ὁ οἶκος τοῦ οἰκοδομῆσαι τῷ κυρίῳ εἰς μεγαλωσύνην ἄνω. εἰς ὄνομα καὶ εἰς δόξαν. εἰς πᾶσαν τὴν γῆν ἑτοιμάσω αὐτῷ. καὶ ἡτοίμασε δαβὶδ εἰς πλῆθος ἔμπροσθεν τῆς τελευτῆς αὐτοῦ. καὶ ἐκάλεσε σολομὼν τὸν υἱὸν αὐτοῦ. καὶ ἐνετείλατο αὐτῷ τοῦ οἰκοδομῆσαι τὸν οἶκον τῷ ὀνόματι κυρίου ἰσραήλ καὶ εἶπε δαβὶδ σολομών, τέκνον. ἐμοὶ ἐγένετο ἐπὶ ψυχῇ τοῦ οἰκοδομῆσαι οἶκον τῷ ὀνόματι κυρίου θεοῦ. καὶ ἐγένετο ἐπ' ἐμοὶ λόγος κυρίου λέγων. αἷμα εἰς πλῆθος ἐξέχεας, καὶ πολέμους μεγάλους ἐποίησας, οὐκ οἰκοδομήσεις οἶκον τῷ ὀνόματί μου· ὅτι αἵματα πολλὰ ἐξέχεας ἐπὶ τῆς γῆς ἐναντίον ἐμοῦ. ἰδοὺ υἱὸς τίκτεταί σοι. οὗτος ἔσται ἀνὴρ ἀναπαύσεως. καὶ ἀναπαύσω αὐτὸν ἀπὸ πάντων τῶν ἐχθρῶν αὐτοῦ κυκλόθεν ὅτι σολομὼν ὄνομα αὐτῷ. καὶ εἰρήνην καὶ ἡσυχίαν δώσω αὐτῷ. καὶ ἐπὶ ἰσραὴλ ἐν ταῖς ἡμέραις αὐτοῦ. οὗτος οἰκοδομήσει οἶκον τῷ ὀνόματί μου καὶ οὗτος ἔσται μοι εἰς υἱόν. κἀγὼ αὐτῷ ἔσομαι εἰς πατέρα. καὶ ἀνορθώσω θρόνον βασιλείας αὐτοῦ ἐν ἰσραὴλ ἕως αἰῶνος. καὶ νῦν υἱέ μου ἔσται μετὰ σοῦ κύριος. καὶ εὐοδώσει καὶ οἰκοδομήσεις οἶκον τῷ κυρίῳ θεῷ σου, ὡς ἐλάλησε περὶ σοῦ. ἀλλ' ἢ δώῃ σοι σοφίαν καὶ σύνεσιν κύριος κατισχύσαι σε ἐπὶ ἰσραήλ. καὶ τοῦ φυλάσσεσθαι καὶ τοῦ ποιεῖν τὸν νόμον κυρίου τοῦ θεοῦ σου. τότε εὐοδωθήσῃ ἐὰν φυλάξῃς τοῦ ποιεῖν τὰ προστάγματα καὶ τὰ κρίματα ἃ ἐνετείλατο κύριος τῷ μωϋσῇ ἐπὶ ἰσραήλ. ἀνδρίζου καὶ ἴσχυε. μὴ φοβοῦ, μηδὲ πτοηθῇς. καὶ ἰδοὺ ἐγὼ κατὰ τὴν πτωχείαν μου ἡτοίμασα οἶκον κυρίου, χρυσίου ταλάντων, ἑκατὸν χιλιάδας. καὶ ἀργυρίου ταλάντων, χιλίας χιλιάδας, καὶ χαλκὸν καὶ σίδηρον, οὗ οὐκ ἔστι σταθμός, ὅτι εἰς πλῆθός ἐστι καὶ ξύλα καὶ λίθους ἡτοίμασα. καὶ πρὸς ταῦτα πρόσθες καὶ μετὰ σοῦ κύριος καὶ πρόσθες εἰς πλῆθος ποιούντων ἔργα.

τεχνῖται καὶ οἰκοδόμοι λίθων καὶ τέκτονες ξύλων. καὶ πᾶς σο-
φὸς ἐν παντὶ ἔργῳ ἐν χρυσίῳ καὶ ἀργυρίῳ καὶ ἐν σιδήρῳ
καὶ ἐν χαλκῷ οὐκ ἔστιν ἀριθμός. ἀνάστηθι καὶ ποίει, καὶ κύριος
μετὰ σοῦ. καὶ ἐνετείλατο δαβὶδ τοῖς πᾶσιν ἄρχουσιν ἰσραὴλ
ἀντιλαβέσθαι τῷ σολομῶντι υἱῷ αὐτοῦ λέγων. οὐχὶ κύριος μεθ'
ὑμῶν, καὶ ἀνέπαυσεν ὑμᾶς κυκλόθεν ὅτι ἔδωκεν ἐν χερσὶ ὑ-
μῶν τοὺς κατοικοῦντας τὴν γῆν. καὶ ὑπετάγη ἡ γῆ ἐναντίον κυρί-
ου καὶ ἐναντίον λαοῦ αὐτοῦ. νῦν δότε καρδίας ὑμῶν καὶ ψυχὰς
ὑμῶν τοῦ ζητῆσαι κυρίῳ θεῷ ὑμῶν, καὶ ἐγέρθητε καὶ οἰκοδομή-
σατε τὸ ἁγίασμα κυρίῳ τῷ θεῷ ὑμῶν. τοῦ εἰσενέγκαι κιβωτὸν
διαθήκης κυρίου. καὶ τὰ σκεύη τὰ ἅγια τοῦ θεοῦ εἰς οἶκον τὸν οἰ-
κοδομούμενον τῷ ὀνόματι κυρίου.

Κεφάλαιον ις΄. 16.

Καὶ δαβὶδ πρεσβύτερος καὶ πλήρης ἡμερῶν. καὶ ἐβα-
σίλευσε σολομῶν τὸν υἱὸν αὐτοῦ ἀντ' αὐτοῦ ἐπὶ ἰσρα-
ήλ. καὶ συνήγαγε πάντας τοὺς ἄρχοντας ἰσραὴλ καὶ
τοὺς ἱερεῖς καὶ τοὺς λευίτας. καὶ ἠριθμήθησαν οἱ λευῖται ἀπὸ τρια-
κονταετοῦς καὶ ἐπάνω. καὶ ἐγένετο ὁ ἀριθμὸς αὐτῶν κατὰ κε-
φαλὴν αὐτῶν εἰς ἄνδρας ὀκτὼ καὶ τριάκοντα καὶ ὀκτὼ χιλιά-
δας. ἀπὸ τούτων ἐργοδιῶκται ἐπὶ τὰ ἔργα οἴκου κυρίου. εἴκο-
σι τέσσαρες χιλιάδες. καὶ γραμματεῖς καὶ κριταὶ ἑξακισχίλιοι
καὶ τέσσαρες χιλιάδες, πυλωροὶ καὶ τέσσαρες χιλιάδες. αἰ-
νοῦντες τὸν κύριον ἐν ὀργάνοις οἷς ἐποίησεν τοῦ αἰνεῖν τῷ κυρίῳ.
καὶ διεῖλεν αὐτοὺς δαβὶδ ἐφημερίας τοῖς υἱοῖς λευί. τῷ γεθσὼν
καὰθ καὶ μεραρί. καὶ τῷ γεθσὼν τῷ λεαδὰν καὶ τῷ σεμεὶ υἱῷ
λααδάν. ἄρχων ἰεήλ. καὶ ζεθώθ. καὶ ἰωήλ. τρεῖς. καὶ υἱὸς σεμεὶ
σαλωμιέθ. καὶ ἀζιήλ. καὶ ἀράμ. τρεῖς. οὗτοι οἱ ἄρχοντες τῶν πα-
τριῶν τῶν λεαδάν. καὶ τοῖς υἱοῖς σεμεί. ἰέθ. καὶ ζιζά. καὶ ἰωάς.
καὶ βεριά. οὗτοι υἱοὶ σεμεὶ τέσσαρες. καὶ ἦν ἰὲθ ὁ ἄρχων. καὶ ζι-
ζὰ ὁ δεύτερος. καὶ ἰωὰς καὶ βεριά. οὐκ ἐπλήθυναν υἱούς. καὶ

ἐγένοντο εἰς οἶκον πατριᾶς εἰς ἐπίσκεψιν μίαν. υἱοὶ καάθ. ἀμβράμ. καὶ ἰσσαάρ. χεβρών. ὀζιήλ τέσσαρες. υἱοὶ ἀμβράμ. ἀαρὼν καὶ μωϋσῆς. καὶ διεστάλη ἀαρὼν τοῦ ἁγιασθῆναι ἅγια ἁγίων. αὐτὸς καὶ οἱ υἱοὶ αὐτοῦ ἕως αἰῶνος. τοῦ θυμιᾶν ἐναντίον τοῦ κυρίου. λειτουργεῖν καὶ ἐπεύχεσθαι ἐπὶ τῷ ὀνόματι αὐτοῦ ἕως αἰῶνος, καὶ μωϋσῆς ἄνθρωπος τοῦ θεοῦ. υἱοὶ αὐτοῦ ἐκλήθησαν εἰς φυλὴν τοῦ λευί. υἱοὶ μωϋσέως, γηρσάμ. καὶ ἐλιέζερ. υἱοὶ γηρσάμ, σουβαὴλ ὁ ἄρχων. καὶ ἦσαν υἱοὶ τῷ ἐλιέζερ. ῥαβιὰ ὁ ἄρχων. καὶ οὐκ ἦσαν τῷ ἐλιέζερ υἱοὶ ἕτεροι. καὶ υἱοὶ ῥαβιά, ηὐξήθησαν εἰς ὕψος. υἱοὶ ἰσαάρ σαλλουμὼθ ὁ ἄρχων, υἱοὶ χεβρών. ἰεριὰ ὁ ἄρχων. ἀμαριὰ ὁ δεύτερος. ἰεζιήλ ὁ τρίτος. ἰεζεκίας ὁ τέταρτος. υἱοὶ ὀζιήλ, μιχὰ ὁ ἄρχων. καὶ ἰσιὰ ὁ δεύτερος. υἱοὶ μεραρί, μοολί. καὶ ὁ μουσί. υἱοὶ μοολί, ἐλεάζαρ καὶ κίς. καὶ ἀπέθανεν ἐλεάζαρ καὶ οὐκ ἦσαν αὐτῷ υἱοὶ ἀλλ' ἢ θυγατέρες. καὶ ἔλαβον αὐτὰς υἱοὶ κίς. ἀδελφοὶ αὐτῶν. υἱοὶ ὁμουσί. μοολὶ καὶ ἐδέρ. καὶ ἰαριμώθ. τρεῖς οὗτοι υἱοὶ λευί. κατ' οἴκους πατριῶν αὐτῶν ἄρχοντες τῶν πατριῶν αὐτῶν. κατὰ τὴν ἐπίσκεψιν αὐτῶν, κατὰ ἀριθμὸν ὀνομάτων αὐτῶν κατὰ κεφαλὴν αὐτῶν. ποιοῦντες τὰ ἔργα τῆς λειτουργίας οἴκου κυρίου ἀπὸ εἰκοσαετοῦς καὶ ἐπάνω. ὅτι εἶπε δαβὶδ κατέπαυσε κύριος ὁ θεὸς ἰσραὴλ τῷ λαῷ αὐτοῦ, καὶ κατεσκήνωσεν ἐν ἱερουσαλήμ, ἕως αἰῶνος. καὶ οἱ λευῖται οὐκ ἦσαν αἴροντες τὴν σκηνὴν καὶ πάντα τὰ σκεύη αὐτῆς εἰς τὴν λειτουργίαν αὐτῆς. ὅτι ἐν τοῖς λόγοις δαβὶδ τοῖς ἐσχάτοις ἐστὶν ὁ ἀριθμὸς υἱῶν λευί. ἀπὸ εἰκοσαετοῦς καὶ ἐπάνω. ὅτι ἔστησαν αὐτοὺς ἐν χειρὶ ἀαρὼν τοῦ λειτουργεῖν ἐν οἴκῳ κυρίου ἐπὶ τὰς αὐλὰς καὶ ἐπὶ τὰ παστοφόρια καὶ ἐπὶ τὸν καταριθμὸν τῶν πάντων ἁγίων καὶ ἐπὶ τὰ ἔργα τῆς λειτουργίας οἴκου τοῦ θεοῦ. καὶ εἰς τοὺς ἄρτους τῆς προθέσεως. καὶ εἰς τὴν σεμίδαλιν τῆς θυσίας. καὶ εἰς τὰ λάγανα καὶ εἰς τὰ ἄζυμα καὶ εἰς τὰ τήγανα καὶ εἰς τὴν πεφυραμένην καὶ εἰς πᾶν μέτρον, καὶ τοῦ στῆναι πρωΐ. τοῦ αἰνεῖν, καὶ ἐξομολογεῖσθαι τῷ

κυρίῳ. καὶ οὕτω τὸ ἑσπέρας, καὶ ἐπὶ πάντων τῶν ἀναφερομέ-
νων ὁλοκαυτωμάτων τῷ κυρίῳ ἐν τοῖς σαββάτοις καὶ ἐν ταῖς
νεομηνίαις καὶ ἐν ταῖς ἑορταῖς κατὰ ἀριθμὸν κατὰ τὴν κρίσιν
ἐπ' αὐτοῖς διαπαντὸς τῷ κυρίῳ. καὶ φυλάξουσι τὰς φυλακὰς
τῆς σκηνῆς τοῦ μαρτυρίου. καὶ τὴν φυλακὴν τοῦ ἁγίου καὶ τὰς
φυλακὰς υἱῶν ἀαρὼν ἀδελφῶν αὐτῶν, τοῦ λειτουργεῖν ἐν οἴκῳ
κυρίου καὶ τοῖς υἱοῖς ἀαρών. καὶ αἱ διαιρέσεις υἱῶν ἀαρὼν ναδὰβ
καὶ ἀβιοὺδ καὶ ἐλεάζαρ, καὶ ἰθάμαρ. καὶ ἀπέθανε ναδὰβ καὶ ἀβι-
οὺδ ἐναντίον τοῦ πατρὸς αὐτῶν καὶ υἱοὶ οὐκ ἦσαν αὐτοῖς καὶ ἱερά-
τευσεν ἐλεάζαρ καὶ ἰθάμαρ υἱοὶ ἀαρών. καὶ διεῖλεν αὐτοὺς δα-
βὶδ καὶ σαδὼκ ἐκ τῶν υἱῶν ἐλεάζαρ. καὶ ἀχιμέλεχ ἐκ τῶν υἱ-
ῶν ἰθάμαρ κατὰ τὴν ἐπίσκεψιν αὐτῶν κατὰ τὴν λειτουργίαν
αὐτῶν. καὶ κατ' οἴκους πατριῶν αὐτῶν, καὶ εὑρέθησαν οἱ υἱοὶ ἐλε-
άζαρ πλείους εἰς ἄρχοντας τῶν δυνάμεων παρὰ τοὺς υἱοὺς ἰθά-
μαρ. καὶ διεῖλεν αὐτοὺς τοῖς υἱοῖς ἐλεάζαρ εἰς ἄρχοντας εἰς οἴ-
κους πατριῶν ἑξκαίδεκα καὶ τοῖς υἱοῖς ἰθάμαρ κατ' οἴκους πα-
τριῶν ὀκτωκαίδεκα καὶ διεῖλεν αὐτοὺς κατὰ κλήρους τούτους
πρὸς τούτους. ὅτι ἦσαν ἄρχοντες τῶν ἁγίων καὶ ἄρχοντες τοῦ θε-
οῦ ἐν τοῖς υἱοῖς ἐλεάζαρ καὶ ἐν τοῖς υἱοῖς ἰθάμαρ. καὶ ἔγραψεν
αὐτοὺς σαμαίας υἱὸς ναθαναὴλ ὁ γραμματεὺς ἐκ τοῦ λευὶ κατ'
ἐναντίον τοῦ βασιλέως καὶ τῶν ἀρχόντων. καὶ σαδὼκ ὁ ἱερεὺς
καὶ ἀχιμέλεχ υἱὸς ἀβιάθαρ. καὶ ἄρχοντες τῶν πατριῶν τῶν ἱερέ-
ων καὶ τῶν λευιτῶν οἴκου πατριᾶς, εἷς εἷς τῷ ἐλεάζαρ. καὶ εἷς εἷς
τῷ ἰθάμαρ. καὶ ἐξῆλθεν ὁ κλῆρος ὁ πρῶτος τῷ ἰωαρὶμ τῷ ἰεδίᾳ.
ὁ δεύτερος τῷ χαρίβ. ὁ τρίτος τῷ σεωρὶμ ὁ τέταρτος τῷ μελ-
χίᾳ. ὁ πέμπτος τῷ βενιαμίν. ὁ ἕκτος τῷ ἀκκώς. ὁ ἕβδομος τῷ
ἀρίᾳ. ὁ ὄγδοος τῷ ἰησοῦ. ὁ ἔνατος τῷ σεχενίᾳ. ὁ δέκατος τῷ ἐ-
λιασούβ. ὁ ἑνδέκατος τῷ ἰακίμ. ὁ δωδέκατος τῷ ὀφά. ὁ τρισκαι-
δέκατος τῷ ἰεσβαάλ. ὁ τεσσαρεσκαιδέκατος τῷ βελγά. ὁ πεν-
τεκαιδέκατος τῷ ἐμμήρ. ὁ ἑξκαιδέκατος τῷ ἰεθθί. ὁ ἑπτακαιδέκατος

τος τῷ ἀφεσῆ ὁ ὀκτωκαιδέκατος τῷ φεττίᾳ. ὁ ἐννεακαιδέκατος τῷ
ἐζιὴλ. ὁ εἰκοστὸς τῷ ἀχὶν. ὁ εἷς καὶ εἰκοστὸς τῷ γαμουήλ. ὁ δεύτε-
ρος καὶ εἰκοστὸς τῷ δαλαίᾳ. ὁ τρίτος καὶ εἰκοστὸς τῷ ἰεηλί. ὁ τέταρ-
τος καὶ εἰκοστός. αὕτη ἐπίσκεψις αὐτῶν κατὰ τὴν λειτουργίαν αὐτῶν
τοῦ εἰσπορεύεσθαι εἰς οἶκον κυρίου κατὰ τὴν κρίσιν αὐτῶν διὰ χειρὸς
ἀαρὼν πατρὸς αὐτῶν ὡς ἐνετείλατο κύριος ὁ θεὸς ἰσραήλ. καὶ
τοῖς υἱοῖς λευὶ τοῖς καταλοίποις. τοῖς υἱοῖς ἀμβρὰμ σωβαήλ·
τοῖς υἱοῖς σωβαὴλ ἰαδαία τῷ ἀραβίᾳ ὁ ἄρχων καὶ τῷ ἰσααρὶ
σαλωμώθ. τοῖς υἱοῖς σαλωμὼθ ἰαθ υἱοὶ ἐδιοῦ. ἀμαδία ὁ δεύτε-
ρος ἀζιὴλ ὁ τρίτος ἰεκμοὰμ ὁ τέταρτος. ὀζιὴλ μιχᾶ. υἱοὶ μι-
χὰ σαμὴρ ἰσία. υἱοὶ ἰσία, ζαχαρία υἱοὶ μεραρὶ, μοολὶ καὶ ὁμουσὶ
υἱοὶ ὀζία υἱοὶ βοννί. υἱοὶ μεραρὶ τῷ ὀζία. υἱοὶ αὐτοῦ ἰεσομμὰ καὶ
ζακχοὺρ καὶ ἰωβδὶ τῷ μοολὶ ἐλεάζαρ καὶ ἰθάμαρ οὐκ ἦσαν αὐτῷ
υἱοὶ τῷ κὶς υἱοὶ τοῦ κὶς ἱεραμεήλ. καὶ υἱοὶ τοῦ μουσὶ μοολὶ καὶ
ἐδὲρ καὶ ἱεριμῶθ. οὗτοι υἱοὶ τῶν λευιτῶν κατ᾽ οἴκους πατριῶν αὐ-
τῶν. καὶ ἔλαβον καὶ αὐτοὶ κλήρους καθὼς οἱ ἀδελφοὶ αὐτῶν υἱ-
οὶ ἀαρὼν ἐναντίον τοῦ βασιλέως. καὶ σαδὼκ καὶ ἀχιμέλεχ καὶ
οἱ ἄρχοντες τῶν πατριῶν τῶν ἱερέων καὶ τῶν λευιτῶν πατρι-
άρχαι ἀαρὼν καθὼς οἱ ἀδελφοὶ αὐτοῦ οἱ νεώτεροι.

Κεφάλαιον ιζ. 17.

Αἰ ἔστησε δαβὶδ ὁ βασιλεὺς καὶ οἱ ἄρχοντες τῆς δυ-
κ νάμεως εἰς τὰ ἔργα τοὺς υἱοὺς ἀσὰφ καὶ αἱμὰν καὶ ἰδι-
θοὺμ τοὺς ἀποφθεγγομένους ἐν κινύραις καὶ ἐν νάβλαις
καὶ ἐν τυμπάνοις. καὶ ἐγένετο ὁ ἀριθμὸς αὐτῶν κατὰ κεφαλὴν
ἀνδρῶν ἐργαζομένων ἐν τοῖς ἔργοις αὐτῶν. υἱοὶ ἀσὰφ ζακχοὺρ καὶ
ἰωσὴφ καὶ ναθανίας καὶ ἀσιήλα. υἱοὶ ἀσὰφ ἐχόμενοι ἀσὰφ τοῦ
προφήτου ἐχόμενα τοῦ βασιλέως τῷ ἰδιθούμ. υἱοὶ ἰδιθοὺμ γοδο-
λίας καὶ σουρὶ καὶ ἰσαίας. καὶ ἀσεβίας καὶ ματθαθίας ἓξ μετὰ τὸν πα-
τέρα αὐτῶν ἰδιθούμ. ἐν κινύρᾳ. ἀνακρουόμενοι ἐξομολόγησιν
καὶ αἴνεσιν τῷ κυρίῳ τῷ αἱμάν. υἱοὶ αἱμάν. βοκκίας καὶ μαθανίας

καὶ ὀζιὴλ καὶ σουβαὴλ καὶ ἰεριμοὺθ καὶ ἀνανίας καὶ ἀνάν· καὶ ἐλιαθὰ καὶ γοδολλαθὶ καὶ ῥωμεθθιέζερ καὶ ἰεσβὰχ ὁ ἀμαλληθί· καὶ ὠθίρ· καὶ μιαζώθ. πάντες οὗτοι υἱοὶ αἰμὰν τοῦ ἀνακρουομένου τῷ βασιλεῖ ἐν λόγοις ὑψῶσαι κέρας. καὶ ἔδωκεν ὁ θεὸς τῷ αἰμὰν υἱοὺς τεσσαρεσκαίδεκα. καὶ θυγατέρας τρεῖς. πάντες οὗτοι μετὰ τοῦ πατρὸς αὐτῶν ὑμνῳδοῦντες ἐν οἴκῳ κυρίου ἐν κυμβάλοις καὶ ἐν νάβλαις καὶ ἐν κινύραις εἰς τὴν δουλείαν οἴκου τοῦ θεοῦ ἐχόμενα τοῦ βασιλέως ἀσὰφ καὶ ἰδιθοὺμ καὶ αἰμάν. καὶ ἐγένετο ὁ ἀριθμὸς αὐτῶν μετὰ τῶν ἀδελφῶν αὐτῶν δεδιδαγμένοι ᾠδὴν καὶ πᾶς συνιῶν ὀκτακόσιοι ὀγδοήκοντα καὶ ὀκτώ. καὶ ἔλαβον αὐτοὶ κλήρους ἐφημεριῶν κατὰ τὸν μικρὸν καὶ κατὰ τὸν μέγαν τελείων καὶ μανθανόντων. καὶ ἐξῆλθεν ὁ κλῆρος ὁ πρῶτος υἱῶν αὐτοῦ καὶ ἀδελφῶν αὐτοῦ τῷ ἀσὰφ τοῦ ἰωσὴφ γοδολίας· ὁ δεύτερος, ἡνία· υἱοὶ αὐτοῦ καὶ ἀδελφοὶ αὐτοῦ δώδεκα. ὁ τρίτος ζακχούρ· υἱοὶ αὐτοῦ καὶ ἀδελφοὶ αὐτοῦ δώδεκα· ὁ τέταρτος ἰεσρί· υἱοὶ αὐτοῦ καὶ ἀδελφοὶ αὐτοῦ δώδεκα. ὁ πέμπτος ναθάν· υἱοὶ αὐτοῦ καὶ ἀδελφοὶ αὐτοῦ δώδεκα· ὁ ἕκτος βοκκὶ υἱοὶ αὐτοῦ καὶ ἀδελφοὶ αὐτοῦ δώδεκα ὁ ἕβδομος ἰερεήλ, υἱοὶ αὐτοῦ καὶ ἀδελφοὶ αὐτοῦ δώδεκα ὁ ὄγδοος ἰωσία· υἱοὶ αὐτοῦ καὶ ἀδελφοὶ αὐτοῦ δώδεκα ὁ ἔννατος ματθανίας. ὁ δέκατος μεΐα υἱοὶ αὐτοῦ καὶ ἀδελφοὶ αὐτοῦ δώδεκα· ὁ ια· ἀσριήλ· υἱοὶ αὐτοῦ καὶ ἀδελφοὶ αὐτοῦ δώδεκα ὁ δωδέκατος ἀσεβία υἱοὶ αὐτοῦ καὶ ἀδελφοὶ αὐτοῦ δώδεκα ὁ τρισκαιδέκατος σουβαήλ· υἱοὶ αὐτοῦ καὶ ἀδελφοὶ αὐτοῦ δώδεκα ὁ πεντεκαιδέκατος ἰεριμούθ· υἱοὶ αὐτοῦ καὶ ἀδελφοὶ αὐτοῦ δώδεκα ὁ ἑξκαιδέκατος, ἀνανία· υἱοὶ αὐτοῦ καὶ ἀδελφοὶ αὐτοῦ δώδεκα ὁ ἑπτακαιδέκατος ἰεσβάκ· υἱοὶ αὐτοῦ καὶ ἀδελφοὶ αὐτοῦ δώδεκα ὁ ὀκτοκαιδέκατος ἀνανίας· υἱοὶ αὐτοῦ καὶ ἀδελφοὶ αὐτοῦ δώδεκα ὁ ἐννεακαιδέκατος μελληθί· υἱοὶ αὐτοῦ καὶ ἀδελφοὶ αὐτοῦ δώδεκα· ὁ εἰκοστὸς ἀλιαθὰ υἱοὶ αὐτοῦ καὶ ἀδελφοὶ αὐτοῦ δώδεκα· ὁ εἷς καὶ εἰκοστὸς ὠθίρ· υἱοὶ αὐτοῦ καὶ ἀ-

δελφοὶ αὐτοῦ δώδεκα. ὁ δεύτερος καὶ εἰκοστὸς γεδελθί. υἱοὶ αὐτοῦ καὶ ἀδελφοὶ αὐτοῦ δώδεκα. ὁ τρίτος καὶ εἰκοστὸς μαζαμώθ. υἱοὶ αὐτοῦ καὶ ἀδελφοὶ αὐτοῦ δώδεκα. ὁ τέταρτος καὶ εἰκοστὸς, ῥομεμιέζερ. υἱοὶ αὐτοῦ καὶ ἀδελφοὶ αὐτοῦ δώδεκα.

Καὶ αἱ διαιρέσεις τῶν πυλῶν υἱοὶ κορὴ μασελλημὶ υἱὸς κορὲ ἐκ τῶν υἱῶν ἀσάφ. καὶ τῷ μοσελλεμία υἱοὶ ζαχαρίας ὁ πρωτότοκος ἰαδιὴλ ὁ δεύτερος. ζαβαδία ὁ τρίτος. ναθανναὴλ ὁ τέταρτος. ὠλὰμ ὁ πέμπτος ἰωνάθαν ὁ ἕκτος. ἐλιωνία ὁ ἕβδομος ἀβδεδὸμ ὁ ὄγδοος. καὶ τῷ ἀβδεδὸμ υἱοὶ σαμέας ὁ πρωτότοκος. ἰωζαβὰδ ὁ β. ἰωδὰ ὁ γ. ζαχαλὰδ ὁ τέταρτος ῥωθανουὴλ ὁ ε. ἀμιὴλ ὁ ἕκτος ἰασάχαρ ὁ ἕβδομος. φαλωθὶ ὁ ὄγδοος, ὅτι εὐλόγησεν αὐτὸν ὁ θεός. καὶ τῷ σεμεία υἱῷ αὐτοῦ ἐτέχθησαν υἱοὶ τοῦ πρωτοτόκου ῥωσαὶ εἰς τὸν οἶκον τὸν πατρικὸν αὐτοῦ, ὅτι δυνατοὶ ἦσαν. υἱοὶ σεμεὶ, ὀθιαὶ καὶ ῥαφαὴλ καὶ ὠβὴδ καὶ ἐλζαβὰδ καὶ ἀχιά. υἱοὶ δυνατοὶ ἐλιοῦ. καὶ σαβχία, καὶ εἰς βαχώμ. πάντες ἀπὸ τῶν υἱῶν ἀβδεδόμ. αὐτοὶ καὶ οἱ υἱοὶ αὐτοῦ καὶ οἱ ἀδελφοὶ αὐτῶν ποιοῦντες δυνατῶς ἐν τῇ ἐργασίᾳ ἑξήκοντα δύο τῷ ἀβδεδόμ. καὶ τῷ μοσαλλὰμ μία. υἱοὶ καὶ ἀδελφοὶ ὀκτωκαίδεκα δυνατοί. καὶ τῷ ἀσὰ τῶν υἱῶν μεραρὶ υἱοὶ φυλάσσοντες τὴν ἀρχήν. ὅτι οὐκ ἦν αὐτῷ ὁ πρωτότοκος καὶ ἐποίησεν αὐτὸν ὁ πατὴρ αὐτοῦ ἄρχοντα τῆς διαιρέσεως τῆς δευτέρας χελκίας ὁ δεύτερος. ταβλαὶ ὁ τρίτος. ζαχαρίας ὁ τέταρτος. πάντες οὗτοι υἱοὶ καὶ ἀδελφοὶ τῷ ἀσὰ τρισκαίδεκα. τούτοις αἱ διαιρέσεις τῶν πυλῶν τοῖς ἄρχουσι τῶν δυνατῶν ἐφημερίαι καθὼς οἱ ἀδελφοὶ αὐτῶν λειτουργεῖν ἐν οἴκῳ κυρίου. καὶ ἔλαβον κλήρους κατὰ τὸν μικρὸν καὶ κατὰ τὸν μέγαν κατ' οἴκους πατριῶν αὐτῶν. εἰς πυλῶνα καὶ πυλῶνα. καὶ ἔπεσεν ὁ κλῆρος ὁ πρὸς ἀνατολὰς τῷ σελεμία καὶ ζαχαρία. καὶ υἱοὶ ἰωὰς τῷ μελχία ἔλαβον κλήρους. καὶ ἐξῆλθεν ὁ κλῆρος ὁ πρὸς βοῤῥᾶν τῷ ἀβδεδόμ. καὶ ὁ πρὸς νότον κατέναντι οἴκου σεφὶμ εἰς δεύτερον. τῷ ἀσὰ πρὸς δυσμὰς μετὰ τῆς πύ-

λην τοῦ παστοφορίου τῆς ἀναβάσεως. φυλακὴ κατέναντι φυλακῆς.
πρὸς ἀνατολὰς ἓξ τῆς ἡμέρας. καὶ τῷ βοῤῥᾷ τῆς ἡμέρας τέσσα-
ρες. νότου τῆς ἡμέρας τέσσαρες καὶ εἰς τὸ ἐσεφὶμ δύο εἰς διαδε-
χομένους. καὶ τῷ ἰοσσὰ πρὸς δυσμαῖς. μετὰ τὴν πύλην τοῦ πα-
στοφορίου τρεῖς. φυλακὴ κατέναντι φυλακῆς τῆς ἀναβάσεως
πρὸς ἀνατολὰς τῆς ἡμέρας ἕξ. καὶ τῷ βοῤῥᾷ τέσσαρες. καὶ
τῷ νότῳ τέσσαρες. καὶ εἰς τὸ ἐσεφὶμ δύο εἰς διαδεχομένους.
καὶ πρὸς δυσμὰς τέσσαρες. καὶ εἰς τὸν τρίτον δύο διαδεχομέ-
νους. αὗται αἱ διαιρέσεις τῶν πυλῶν τοῖς υἱοῖς τοῦ κορὲ καὶ τοῖς
υἱοῖς μεραρί. καὶ οἱ λευῖται ἀδελφοὶ αὐτῶν ἐπὶ τῶν θησαυρῶν
οἴκου κυρίου. καὶ ἐπὶ τῶν θησαυρῶν τῶν καθηγιασμένων
υἱοὶ δαδὰν. υἱοὶ τῷ γηρσῶν. τῷ δαδὰν. ἄρχοντες πατριῶν
τῷ λαδὰν. καὶ τῷ γηρσωνὶ ἰελί. καὶ υἱοὶ ἰηλί. ζεμὲθ, καὶ ἰωὴλ
οἱ ἀδελφοὶ ἐπὶ τῶν θησαυρῶν οἴκου κυρίου. τῷ ἀμβραμὶ καὶ ἰσ-
σααρὶ χεβρὼν. καὶ ὀζιήλ. καὶ σουβαὴλ ὁ τοῦ γηρσὰμ, τοῦ μωϋσέως
ἡγούμενος ἐπὶ τῶν θησαυρῶν. καὶ τῷ ἀδελφῷ αὐτοῦ. τῷ ἐλιέ-
ζερ, ῥαβίας υἱὸς, καὶ ἰωσίας καὶ ἰωρὰμ καὶ ζεχρὶ καὶ σαλωμὼθ αὐτὸς
σαλωμὼθ, καὶ ἀδελφοὶ αὐτῶν ἐπὶ πάντων τῶν θησαυρῶν ἁγίων
οὓς ἡγίασε δαβὶδ ὁ βασιλεὺς, καὶ οἱ ἄρχοντες τῶν πατρι-
ῶν χιλίαρχοι, καὶ ἑκατόνταρχοι καὶ ἀρχηγοὶ τῆς δυνάμε-
ως ἃ ἔλαβεν ἐκ τῶν πόλεων καὶ ἐκ τῶν λαφύρων. καὶ ἡ-
γίασεν ἀπ' αὐτῶν τοῦ μὴ καθυστερῆσαι τὴν οἰκοδομὴν οἴ-
κου κυρίου τοῦ θεοῦ. καὶ ἐπὶ πάντων τῶν ἁγίων τοῦ θεοῦ, σαμου-
ὴλ τοῦ προφήτου, καὶ σαοὺλ τοῦ κεὶς. καὶ ἀβεννὴρ ὁ τοῦ νήρ. καὶ
ἰωὰβ ὁ τοῦ σαρουΐα. πᾶν ὃ ἡγίασαν. διὰ χειρὸς σαλωμὼθ καὶ τῶν
ἀδελφῶν αὐτοῦ τῷ ἰσσααρὶ χωνενία. καὶ υἱοὶ αὐτοῦ τῆς ἐργασίας
τῆς ἔξω, ἐπὶ τὸν ἰσραὴλ τοῦ γραμματεύειν καὶ διακρίνειν. τῷ χε-
βρωνὶ ἀσαβίας καὶ οἱ ἀδελφοὶ αὐτοῦ υἱοὶ δυνατοὶ χίλιοι καὶ ἑ-
πτακόσιοι ἐπὶ τῆς ἐπισκέψεως τοῦ ἰσραὴλ πέραν τοῦ ἰορδάνου
πρὸς δυσμὰς εἰς πᾶσαν λειτουργίαν κυρίου καὶ ἐργασίαν τοῦ βα-

σιλέως. τῷ χεβρωνὶ, οὐρίας ὁ ἄρχων χεβρωνί. κατὰ γενέσεις
αὐτῶν κατὰ πατριὰς ἐν τῷ ἔτει τῷ τεσσαρακοστῷ τῆς βασι-
λείας αὐτοῦ ἐπεσκέπησαν. καὶ εὑρέθη ἀνὴρ δυνατὸς ἐν αὐτοῖς
ἐν ἰαζὴρ τῆς γαλααδίτιδος. καὶ οἱ ἀδελφοὶ αὐτοῦ υἱοὶ δυνα-
τοὶ δισχίλιοι ἑπτακόσιοι ἄρχοντες τῶν πατριῶν. καὶ κατέστησεν
αὐτοὺς δαβὶδ ὁ βασιλεὺς ἐπὶ τοῦ ῥουβὴν, καὶ γαδδὶ, καὶ ἡμίσους
φυλῆς μανασσῆ εἰς πᾶν πρόσταγμα κυρίου, καὶ λόγον βασιλέως.

Κεφάλαιον ιθ. 18.

Αἱ υἱοὶ ἰσραὴλ κατὰ ἀριθμὸν αὐτῶν ἄρχοντες τῶν
κ πατριῶν. χιλίαρχοι, καὶ ἑκατόνταρχοι καὶ γραμμα-
τεῖς οἱ λειτουργοῦντες τῷ λαῷ καὶ εἰς πᾶν λόγον τοῦ
βασιλέως κατὰ διαιρέσεις. καὶ εἰς πάντα λόγον τοῦ εἰσπορευομέ-
νου, καὶ ἐκπορευομένου, μῆνα ἐκ μηνὸς, εἰς πάντας τοὺς μῆνας τοῦ
ἐνιαυτοῦ διαίρεσις μία εἴκοσι καὶ τέσσαρες χιλιάδες. καὶ ἐπὶ τῆς
διαιρέσεως τῆς πρώτης τοῦ μηνὸς τοῦ πρώτου, ἰσβοὰζ ὁ τοῦ ζαβδι-
ὴλ, ἐπὶ τῆς διαιρέσεως αὐτοῦ εἴκοσι καὶ τέσσαρες χιλιάδες ἀ-
πὸ τῶν υἱῶν φαρές. ἄρχων πάντων τῶν ἀρχόντων τῆς δυνάμε-
ως τοῦ μηνὸς τοῦ πρώτου. καὶ ἐπὶ τῆς διαιρέσεως τοῦ μηνὸς τοῦ
δευτέρου δωδαὶ ὁ ἐχὼχ καὶ ἐπὶ τῆς διαιρέσεως αὐτοῦ καὶ
μακελλὼθ ὁ ἡγούμενος. καὶ ἐπὶ τῆς διαιρέσεως αὐτοῦ εἴκο-
σι, καὶ τέσσαρες χιλιάδες ἄρχοντες δυνάμεως. ὁ τρίτος, τὸν
μῆνα τὸν τρίτον, βαναίας ὁ τοῦ ἰωδαὲ ὁ ἱερεὺς ὁ ἄρχων. καὶ ἐπὶ τῆς
διαιρέσεως αὐτοῦ, εἴκοσι καὶ τέσσαρες χιλιάδες. αὐτὸς βαναίας
ὁ δυνατώτερος τῶν τριάκοντα. καὶ ἐπὶ τῆς διαιρέσεως αὐτοῦ, ζα-
βὰδ ὁ υἱὸς αὐτοῦ ὁ τέταρτος εἰς τὸν μῆνα τὸν τέταρτον. καὶ ἀσα-
ὴλ ὁ ἀδελφὸς ἰωὰβ. καὶ ζαβδίας υἱὸς αὐτοῦ. καὶ οἱ ἀδελφοὶ αὐ-
τοῦ ἐπὶ τῆς διαιρέσεως αὐτοῦ εἴκοσι καὶ τέσσαρες χιλιάδες. ὁ
πέμπτος τῷ μηνὶ τῷ πέμπτῳ. ὁ ἡγούμενος σαμαὼθ ὁ ἰεζραέ.
καὶ ἐπὶ τῆς διαιρέσεως αὐτοῦ, εἴκοσι καὶ τέσσαρες χιλιάδες. ὁ
ἕκτος τῷ μηνὶ τῷ ἕκτῳ. ἀδουίας ὁ τοῦ ἐκκὴς ὁ θεκωίτης.

καὶ ἐπὶ τῆς διαιρέσεως αὐτοῦ, εἴκοσι καὶ τέσσαρες χιλιάδες ὁ ἕβδομος τῷ μηνὶ τῷ ἑβδόμῳ. χελλὴς ὁ ἐκ φαλλοὺς ἀπὸ τῶν υἱῶν ἐφραίμ. καὶ ἐπὶ τῆς διαιρέσεως αὐτοῦ, εἴκοσι καὶ τέσσαρες χιλιάδες. ὁ ὄγδοος τῷ μηνὶ τῷ ὀγδόῳ. σοβοβαχαΐ, ὁ οὐσαθασὶ τῷ ζαραΐ. καὶ ἐπὶ τῆς διαιρέσεως αὐτοῦ, εἴκοσι καὶ τέσσαρες χιλιάδες. ὁ ἔνατος, τῷ μηνὶ τῷ ἐνάτῳ, ἀβιέζερ ὁ ἐξ ἀναθὼθ ὁ ἐκ γῆς βενιαμίν. καὶ ἐπὶ τῆς διαιρέσεως αὐτοῦ, καὶ τέσσαρες εἴκοσι χιλιάδες, ὁ δέκατος τῷ μηνὶ τῷ δεκάτῳ, νεηρὰ ὁ ἐκ νετωφαθὶ τῷ ζαραΐ. καὶ ἐπὶ τῆς διαιρέσεως αὐτοῦ, εἴκοσι καὶ τέσσαρες χιλιάδες. ὁ ἑνδέκατος τῷ μηνὶ τῷ ἑνδεκάτῳ, βαναίας ὁ ἐκ φαραθὼν ἐκ τῶν υἱῶν ἐφραίμ. καὶ ἐπὶ τῆς διαιρέσεως αὐτοῦ, εἴκοσι καὶ τέσσαρες χιλιάδες. ὁ δωδέκατος εἰς τὸν μῆνα τὸν δωδέκατον, χολδιαὶ ὁ ἐκ νετωφαθὶ τῷ γοθονιήλ. καὶ ἐπὶ τῆς διαιρέσεως αὐτοῦ, εἴκοσι καὶ τέσσαρες χιλιάδες. καὶ ἐπὶ τῶν φυλῶν ἰσραὴλ τῶν ῥουβὶν ἡγούμενος ἐλιέζερ ὁ τοῦ ζεχρί. τῷ συμεὼν. σαφατίας ὁ τοῦ μααχά. τῷ λευΐ. ἀσαβίας ὁ τοῦ καμουήλ. τῷ ἀαρών. σαδὼκ τῷ ἰούδα ἐλιὰ τῶν ἀδελφῶν δαυίδ. τῷ ἰσάχαρ. ἀμρὶ ὁ τοῦ μιχαήλ. τῷ ζαβουλών, σαμαίας ὁ τοῦ ἀβδίου. τῷ νεφθαλίμ, ἱεριμὼθ ὁ τοῦ ὀζιήλ. τῷ ἐφραὶμ ὁσηὲ ὁ τοῦ ὀζαζίου. τῷ ἡμίσει φυλῆς μανασσῆ. ἰωὴλ υἱὸς φαδαΐου. τῷ ἡμίσει φυλῆς μανασσῆ τῷ ἐν γῇ γαλαάδ, ἰαδδαὶ ὁ τοῦ ζαβαδίου. τοῖς υἱοῖς βενιαμὶν, ἰασιὴλ ὁ τοῦ ἀβεννήρ. τῷ δὰν ἀζαρεὴλ ὁ τοῦ ἰωράμ. οὗτοι πατριάρχαι τῶν φυλῶν ἰσραήλ. καὶ οὐκ ἔλαβε δαβὶδ τὸν ἀριθμὸν αὐτῶν, ἀπὸ εἰκοσαετοῦς καὶ κάτω. ὅτι εἶπε κύριος πληθῦναι τὸν ἰσραὴλ, ὡς τοὺς ἀστέρας τοῦ οὐρανοῦ. καὶ ἰωὰβ ὁ τῆς σαρουΐα, ἤρξατο ἀριθμεῖν ἐν τῷ λαῷ, καὶ οὐ συνετέλεσε. καὶ ἐγένετο ἐν τούτοις ἡ ὀργὴ ἐπὶ τὸν ἰσραὴλ, καὶ οὐ κατεχωρίσθη ὁ ἀριθμὸς ἐν βιβλίῳ λόγων τῶν ἡμερῶν βασιλέως δαυίδ. καὶ ἐπὶ τῶν θησαυρῶν τοῦ βασιλέως ἀσμὼθ ὁ τοῦ ὀδιήλ. καὶ ἐπὶ τῶν θησαυρῶν τῶν ἐν ἀγρῷ, καὶ ἐν ταῖς κώμαις καὶ ἐν τοῖς ἐποικίοις, καὶ ἐν ταῖς

πύργοις ἰωνάθαν ὁ τοῦ ὀζίου. καὶ ἐπὶ τῶν γεωργούντων τὴν γῆν τῶν ἐργαζομένων, ἐζραὶ ὁ τοῦ χελοὺβ. καὶ ἐπὶ τῶν χωρίων σεμεὶ ὁ ἀρμαθαῖος. καὶ ἐπὶ τῶν θησαυρῶν τῶν ἐν τοῖς χωρίοις τοῦ οἴνου, ζαβδὶ ὁ τοῦ σεφαμί. καὶ ἐλαιώνων. καὶ ἐπὶ τῶν συκαμίνων τῶν ἐν τῇ πεδινῇ. βαλλανὰν ὁ γεδωρί. ἐπὶ δὲ τῶν θησαυρῶν τοῦ ἐλαίου, ἰωάς. καὶ ἐπὶ τῶν βοῶν τῶν νομάδων τῶν ἐν τῷ σαρὼν, σατραὶ ὁ σαρωμὶ, καὶ ἐπὶ τῶν βοῶν τῶν ἐν τοῖς αὐλῶσι, σαφὰτ ὁ τοῦ ἀδαΐ. ἐπὶ δὲ τῶν καμήλων, οὐβίας ὁ ἰσμαηλίτης. ἐπὶ δὲ τῶν ὄνων ἰαδίας ὁ ἐκ μαραθὼμ, καὶ ἐπὶ τῶν προβάτων. ἰωὰς ὁ ἀγαρίτης. πάντες οὗτοι προστάται ὑπαρχόντων δαβὶδ τοῦ βασιλέως. καὶ ἰωνάθαν ὁ πατράδελφος δαβὶδ σύμβουλος ἄνθρωπος συνετὸς, καὶ γραμματεὺς αὐτός. καὶ ἰεὴλ ὁ τοῦ ἀχαμανί. μετὰ τῶν υἱῶν τοῦ βασιλέως, καὶ ἀχιτόφελ σύμβουλος τοῦ βασιλέως. καὶ χουσὶ πρῶτος φίλος τοῦ βασιλέως. καὶ μετ' αὐτὸν ἀχιτόφελ ἐχόμενος ἰωδαὲ ὁ τοῦ βαναίου. καὶ ἀβιάθαρ καὶ ἰωὰβ ἀρχιστράτηγος τοῦ βασιλέως.

Κεφάλαιον. ιθʹ. 19.

Αἰ ἐξεκλησίασε δαβὶδ πάντας τοὺς ἄρχοντας ἰσραήλ.
κ ἄρχοντας τῶν κριτῶν καὶ φυλῶν. καὶ πάντας τοὺς ἄρχοντας τῶν διαιρέσεων τῶν ἐφημεριῶν, τῶν περὶ τὸ σῶμα τοῦ βασιλέως. καὶ ἄρχοντας τῶν χιλιάδων καὶ τῶν ἑκατοντάδων. καὶ τοὺς γαζοφύλακας. καὶ τοὺς ἐπὶ τῶν ὑπαρχόντων αὐτοῦ. καὶ πάσης τῆς κτήσεως τοῦ βασιλέως, καὶ τῶν υἱῶν αὐτοῦ, σὺν τοῖς εὐνούχοις, καὶ τοὺς δυνάστας, καὶ τοὺς μαχητὰς τῆς στρατείας ἐν ἱερουσαλήμ. καὶ ἔστη δαβὶδ ὁ βασιλεὺς ἐν μέσῳ τῆς ἐκκλησίας, καὶ εἶπεν. ἀκούσατέ μου ἀδελφοί μου, καὶ λαός μου. ἐμοὶ ἐγένοντο ἐπὶ καρδίαν οἰκοδομῆσαι οἶκον ἀναπαύσεως τῆς κιβωτοῦ διαθήκης κυρίου, καὶ στάσιν ποδῶν κυρίου, καὶ ἡτοίμασα τὰ εἰς τὴν κατασκήνωσιν ἐπιτήδεια. καὶ ὁ θεὸς εἶπεν. οὐκ οἰκοδομήσεις ἐμοὶ οἶκον τοῦ ὀνομάσαι τὸ ὄνομά μου

ἐπ' αὐτῷ. ὅτι ἄνθρωπος πολεμιστὴς εἶ σὺ, καὶ αἵματα ἐξέχεας.
καὶ ἐξελέξατο κύριος ὁ θεὸς ἰσραὴλ ἐν ἐμοὶ ἀπὸ παντὸς οἴκου
πατρός μου, εἶναι βασιλέα τοῦ ἰσραὴλ εἰς τὸν αἰῶνα. καὶ ἐν ἰούδα
ἡρέτικε τὸ βασίλειον, ἐξ οἴκου ἰούδα τὸν οἶκον τοῦ πατρός μου.
καὶ ἐν τοῖς υἱοῖς τοῦ πατρός μου, ἐν ἐμοὶ ἠθέλησε τοῦ γενέσθαι με
εἰς βασιλέα τοῦ πάντα ἰσραὴλ, καὶ ἀπὸ πάντων τῶν υἱῶν μου.
ὅτι πολλοὺς υἱούς ἔδωκέ μοι κύριος ἐξελέξατο ἐν σολομῶντι
τῷ υἱῷ μου καθίσαι αὐτὸν τοῦ θρόνου βασιλείας κυρίου ἐπὶ τὸν
ἰσραήλ. καὶ εἶπέ μοι ὁ θεός. σολομὼν ὁ υἱός σου οἰκοδομήσει
τὸν οἶκόν μου, καὶ τὴν αὐλήν μου. ὅτι ἡρέτικα ἐν αὐτῷ εἶναί μου
υἱὸν, κἀγὼ ἔσομαι αὐτῷ εἰς πατέρα. καὶ κατορθώσω τὴν βασι-
λείαν αὐτοῦ, ἕως αἰῶνος. ἐὰν ἰσχύσῃ τοῦ φυλάξασθαι τὰς ἐντολάς
μου, καὶ τὰ κρίματά μου, ὡς ἡ ἡμέρα αὕτη. καὶ νῦν κατὰ πρόσ-
ωπον πάσης ἐκκλησίας κυρίου. καὶ ἐν ὠσὶ θεοῦ ἡμῶν. φυλάσ-
σεσθε, καὶ ζητήσατε πάσας τὰς ἐντολὰς κυρίου θεοῦ ἡμῶν ἵνα
κληρονομήσητε τὴν γῆν τὴν ἀγαθήν. καὶ κατακληρονομήσητε
τοῖς υἱοῖς ὑμῶν μεθ' ὑμᾶς ἕως αἰῶνος. καὶ νῦν σολομὼν υἱὲ, γνῶ-
θι τὸν θεὸν τῶν πατέρων σου. καὶ δούλευσον αὐτῷ ἐν καρδίᾳ τε-
λείᾳ, καὶ ψυχῇ θελούσῃ. ὅτι πάσας καρδίας ἐτάζει κύριος, καὶ
* πᾶν ἐνθύμημα γινώσκει. * ἐὰν ζητήσῃς αὐτὸν, εὑρεθήσεταί
σοι. καὶ ἐὰν καταλείψῃς αὐτὸν, καταλείψει σε εἰς τέλος. ἴδε νῦν,
ὅτι κύριος ἡρέτικέ σε, οἰκοδομῆσαι αὐτῷ οἶκον εἰς ἁγίασμα.
ἴσχυε καὶ ποίει. καὶ ἔδωκε δαβὶδ σολομῶντι τῷ υἱῷ αὐτοῦ, τὸ
παράδειγμα τοῦ αιλὰμ, καὶ τῶν οἴκων αὐτοῦ. καὶ τῶν ζακχῶν αὐ-
τοῦ. καὶ τῶν ὑπερῴων. καὶ τῶν ἀποθηκῶν τῶν ἐσωτέρων. καὶ τοῦ
οἴκου τοῦ ἐξιλασμοῦ καὶ τὸ παράδειγμα ὃ εἶχεν ἐν πνεύματι
αὐτοῦ, τῶν αὐλῶν οἴκου κυρίου. καὶ πάντων τῶν πασοφορίων
τῶν κύκλῳ, τῶν εἰς τὰς ἀποθήκας οἴκου κυρίου. καὶ τῶν ἀπο-
θηκῶν τῶν ἁγίων. καὶ τῶν καταλυμάτων τῶν ἐφημεριῶν τῶν
ἱερέων. καὶ τῶν λευιτῶν εἰς πᾶσαν ἐργασίαν λειτουργίας οἴκου

κυρίου· καὶ τῶν ἀποθηκῶν τῶν λειτουργησίμων σκευῶν τῆς λα-
τρείας οἴκου κυρίου· καὶ τὸν σταθμὸν τῆς ὁλκῆς αὐτῶν τῶν τε χρυ-
σῶν, καὶ ἀργυρῶν λυχνιῶν τὴν ὁλκὴν ἔδωκεν αὐτῷ· καὶ τῶν λύ-
χνων ἔδωκεν αὐτῷ, ὁμοίως τὸν σταθμὸν τῶν τραπεζῶν τῆς προ-
θέσεως· ἑκάστης τραπέζης χρυσῆς· καὶ ὡσαύτως τῶν ἀργυρῶν· καὶ
τῶν κρεαγρῶν, καὶ σπονδείων, καὶ τῶν φιαλῶν τῶν χρυσῶν· καὶ τὸν
σταθμὸν τῶν χρυσῶν, καὶ τῶν ἀργυρῶν καὶ θυΐσκων· κεφφουρὲ· ἑ-
κάστου σταθμοῦ· καὶ τῶν τοῦ θυσιαστηρίου τῶν θυμιαμάτων· ἐκ χρυ-
σίου δοκίμου σταθμὸν ὑπέδειξεν αὐτῷ· καὶ τὸ παράδειγμα τοῦ
ἅρματος τῶν χερουβὶμ τῶν διαπεπετασμένων ταῖς πτέρυξι, καὶ
σκιαζόντων ἐπὶ τῆς κιβωτοῦ διαθήκης κυρίου· πάντα ἐν γραφῇ
χειρὸς κυρίου ἔδωκε δαβὶδ σολομῶντι· κατὰ τὴν περιγενηθεῖ-
σαν αὐτῷ σύνεσιν· τῆς κατεργασίας τοῦ παραδείγματος· καὶ
εἶπε δαβὶδ σολομῶντι τῷ υἱῷ αὐτοῦ· ἴσχυε καὶ ἀνδρίζου, καὶ
ποίει· μὴ φοβοῦ μηδὲ πτοηθῇς· ὅτι κύριος ὁ θεός μου μετὰ
σοῦ· οὐκ ἀνήσει σε, καὶ οὐ μὴ ἐγκαταλίπῃ σε, ἕως οὗ συντελέ-
σαί σε πᾶσαν ἐργασίαν λειτουργίας οἴκου κυρίου· καὶ ἰδοὺ τὸ πα-
ράδειγμα τοῦ ναοῦ καὶ τοῦ οἴκου αὐτοῦ· καὶ ζακχῶ αὐτοῦ· καὶ τὰ ὑ-
περῷα καὶ τὰς ἀποθήκας τὰς ἐσωτέρας· καὶ τὸν οἶκον τοῦ ἱλασ-
μοῦ· καὶ τὸ παράδειγμα οἴκου κυρίου· καὶ ἰδοὺ αἱ ἐφημερίαι τῶν
ἱερέων καὶ τῶν λευιτῶν εἰς πᾶσαν λειτουργίαν οἴκου κυρίου
θεοῦ· καὶ μετὰ σοῦ· ἐν πάσῃ πραγματείᾳ· καὶ πᾶς πρόθυμος ἐν
σοφίᾳ κατὰ πᾶσαν τέχνην· καὶ οἱ ἄρχοντες καὶ πᾶς ὁ λαὸς, εἰς
πάντας τοὺς λόγους σου· καὶ εἶπε δαβὶδ ὁ βασιλεὺς πάσῃ τῇ ἐκ-
κλησίᾳ, σολομὼν ὁ υἱός μου εἷς ὃν ᾑρέτικεν ἐν αὐτῷ ὁ κύρι-
ος, νέος καὶ ἁπαλός· καὶ τὸ ἔργον μέγα, ὅτι οὐκ ἀνθρώπῳ ἡ οἰκο-
δομή· ἀλλ' ἢ κυρίῳ θεῷ· κατὰ πᾶσαν τὴν δύναμιν ἡτοίμακα
εἰς οἶκον θεοῦ μου· χρυσίον, ἀργύριον· χαλκόν· σίδηρον· ξύλα·
λίθους σοὰμ· καὶ πληρώσεως λίθους πολυτελεῖς, καὶ ποικίλους·
καὶ πάντα λίθον τίμιον· καὶ πάριον πολύν· καὶ ἔτι ἐν τῷ εὐ-

δοκῆσαί με ἐν οἴκῳ θεῷ μου. ἔστι μοι ὃ πεποίημαι χρυσίον
καὶ ἀργύριον. καὶ ἰδοὺ δέδωκα εἰς οἶκον θεοῦ μου εἰς ὕψος, ἐ-
κτὸς ὧν ἡτοίμακα εἰς τὸν οἶκον τῶν ἁγίων τρισχίλια τάλαντα
χρυσίου τοῦ ἐκ Σουφείρ. καὶ ἑπτακισχίλια τάλαντα ἀργυρίου
δοκίμου ἐξαλειφθῆναι ἐν αὐτοῖς τοὺς τοίχους τοῦ ἱεροῦ. εἰς τὸ
χρυσίον τὸ χρυσίῳ. καὶ εἰς τὸ ἀργύριον τῷ ἀργυρίῳ. καὶ εἰς
πᾶν ἔργον διὰ χειρὸς τῶν τεχνιτῶν. καὶ τίς ὁ προθυμούμενος
πληρῶσαι τὰς χεῖρας αὐτοῦ σήμερον κυρίῳ. καὶ προεθυμήθη-
σαν οἱ ἄρχοντες τῶν πατριῶν καὶ οἱ ἄρχοντες τῶν υἱῶν ἰσρα-
ὴλ. καὶ οἱ χιλίαρχοι καὶ οἱ ἑκατόνταρχοι. καὶ οἱ προστάται τῶν
ἔργων. καὶ οἱ οἰκονόμοι τοῦ βασιλέως. καὶ ἔδωκαν εἰς τὰ ἔργα
τοῦ οἴκου κυρίου, χρυσίου τάλαντα πεντακισχίλια. καὶ χρυσοῦς
μυρίους. καὶ ἀργυρίου ταλάντων, δέκα χιλιάδας. καὶ χαλκοῦ
τάλαντα, μύρια ὀκτακισχίλια. καὶ σιδήρου ταλάντων χιλιά-
δας ἑκατόν. καὶ οἷς εὑρέθη παρ' αὐτοῖς λίθος, ἔδωκαν εἰς τὰς
ἀποθήκας οἴκου κυρίου, διὰ χειρὸς ἰειὴλ τοῦ γεδσωνί. καὶ εὐ-
φράνθη ὁ λαὸς ὑπὲρ τοῦ προθυμηθῆναι. ὅτι ἐν καρδίᾳ πλήρει
προεθυμήθησαν τῷ κυρίῳ. καὶ δαβὶδ ὁ βασιλεὺς εὐφράνθη
μεγάλως. καὶ εὐλόγησεν ὁ βασιλεὺς δαβὶδ τὸν κύριον ἐνώπιον
τῆς ἐκκλησίας λέγων. εὐλογητὸς εἶ κύριε ὁ θεὸς ἰσραὴλ ὁ πα-
τὴρ ἡμῶν ἀπὸ τοῦ αἰῶνος, καὶ ἕως τοῦ αἰῶνος. σοὶ κύριε ἡ μεγα-
λωσύνη καὶ ἡ δύναμις καὶ τὸ καύχημα καὶ ἡ νίκη. καὶ ἡ ἐξομολό-
γησις, καὶ ἡ ἰσχύς. ὅτι σὺ πάντων τῶν ἐν τῷ οὐρανῷ, καὶ ἐπὶ τῆς
γῆς δεσπόζεις. ἀπὸ προσώπου σου ταράσσεται πᾶς βασιλεὺς, καὶ
ἔθνος. σοὶ κύριε ἡ βασιλεία, καὶ ἡ ἔπαρσις εἰς πάντα καὶ εἰς
πᾶσαν ἀρχήν. παρὰ σοῦ ὁ πλοῦτος καὶ ἡ δόξα. σὺ πάντων
ἄρχεις κύριε ὁ ἄρχων πάσης ἀρχῆς. καὶ ἐν χειρί σου ἰσχὺς
καὶ δυναστεία. καὶ ἐν χειρί σου ἔλεος παντοκράτορ. μεγαλῦ-
ναι καὶ κατισχῦσαι τὰ πάντα. καὶ νῦν κύριε ἐξομολογούμεθά
σοι. καὶ αἰνοῦμεν τὸ ὄνομα τῆς καυχήσεώς σου. καὶ τίς εἰμὶ

ἐγὼ, καὶ τίς ὁ λαός σου· ὅτι ἰσχύσαμεν προθυμηθῆναί σοι κα-
τὰ ταῦτα; ὅτι σὰ τὰ πάντα, καὶ ἐκ τῶν σῶν δεδώκαμέν σοι.
ὅτι πάροικοί ἐσμεν ἐναντίον σου· καὶ παροικοῦντες, ὡς πάν-
τες οἱ πατέρες ἡμῶν, ὡς σκιὰ αἱ ἡμέραι ἡμῶν ἐπὶ τῆς γῆς· καὶ
οὐκ ἔστιν ὑπομονή. κύριε ὁ θεὸς ἡμῶν πρὸς πᾶν τὸ πλῆ-
θος τοῦτο ὃ ἡτοίμακα οἰκοδομηθῆναι οἶκον τῷ ὀνόματι τῷ
ἁγίῳ σου, ἐκ χειρός σου ἐστί· καὶ σοὶ τὰ πάντα. καὶ ἔγνων κύ-
ριε, ὅτι σὺ εἶ ὁ ἐτάζων καρδίας, καὶ δικαιοσύνην ἀγαπᾷς· ἐν ἁ-
πλότητι καρδίας, προεθυμήθην ταῦτα πάντα. καὶ νῦν τὸν
λαόν σου τὸν εὑρεθέντα ὧδε εἶδον ἐν εὐφροσύνῃ προθυμηθέν-
τα σοι κύριε ὁ θεὸς ἀβραάμ, καὶ ἰσαάκ, καὶ ἰσραὴλ τῶν πα-
τέρων ἡμῶν φύλαξον ταῦτα ἐν διανοίᾳ καρδίας λαοῦ σου
εἰς τὸν αἰῶνα. καὶ κατεύθυνον τὰς καρδίας αὐτῶν πρὸς σέ.
καὶ σολομῶντι τῷ υἱῷ μου, δὸς καρδίαν ἀγαθὴν ποιεῖν
τὰς ἐντολάς σου, καὶ τὰ μαρτύριά σου, καὶ τὰ προστάγματά
σου, καὶ τοῦ ἐπὶ τέλος ἀγαγεῖν τὴν κατασκευὴν τοῦ οἴκου
σου. καὶ εἶπε δαβὶδ πάσῃ τῇ ἐκκλησίᾳ· εὐλογήσατε κύριον
τὸν θεὸν ἡμῶν· καὶ εὐλογήσατε πᾶσα ἡ ἐκκλησία τὸν κύριον θε-
ὸν τῶν πατέρων αὐτῶν καὶ κάμψαντες τὰ γόνατα, προσεκύ-
νησαν τῷ κυρίῳ, καὶ τῷ βασιλεῖ· καὶ ἔθυσε δαβὶδ τῷ κυρίῳ
θυσίας, καὶ ἀνήνεγκεν ὁλοκαυτώματα τῷ θεῷ τῇ ἐπαύριον
τῆς πρώτης ἡμέρας, μόσχους χιλίους· κριοὺς χιλίους· ἄρνας
χιλίους· καὶ τὰς σπονδὰς αὐτῶν καὶ θυσίας εἰς πλῆθος παν-
τὶ τῷ ἰσραήλ. καὶ ἔφαγον καὶ ἔπιον ἐναντίον τοῦ κυρίου ἐν ἐ-
κείνῃ τῇ ἡμέρᾳ μετὰ χαρᾶς, καὶ ἐβασίλευσαν ἐκ δευτέρου τὸν
σολομῶντα υἱὸν δαβίδ. καὶ ἔχρισαν αὐτὸν τῷ κυρίῳ εἰς βασι-
λέα. καὶ σαδὼκ εἰς ἱερωσύνην. καὶ ἐκάθισε σολομὼν ἐπὶ θρό-
νου κυρίου εἰς βασιλέα ἀντὶ δαβὶδ τοῦ πατρὸς αὐτοῦ. καὶ εὐ-
δοκήθη. καὶ ὑπήκουσαν αὐτοῦ πᾶς ἰσραήλ, οἱ ἄρχοντες καὶ
οἱ δυνάσται, καὶ πάντες οἱ υἱοὶ τοῦ βασιλέως δαβὶδ τοῦ πα-

πρὸς αὐτοῦ, ὑπετάγησαν αὐτῷ. καὶ ἐμεγάλυνε κύριος τὸν σαλωμῶντα, ἐναντίον παντὸς ἰσραήλ. καὶ ἔδωκεν αὐτῷ δόξαν βασιλέως. ὃ οὐκ ἐγένετο τῷ παντὶ βασιλέως ἔμπροσθεν αὐτοῦ. καὶ δαβὶδ υἱὸς ἰεσσαὶ, ἐβασίλευσεν ἐπὶ ἰσραὴλ ἔτη τεσσαράκοντα ἐν χεβρὼν ἔτη ἑπτά. καὶ ἐν ἱερουσαλὴμ ἔτη τριάκοντα τρία. καὶ ἐτελεύτησεν ἐν γήρᾳ καλῷ πλήρης ἡμερῶν. πλούτῳ καὶ δόξῃ. καὶ ἐβασίλευσε σαλωμὼν υἱὸς αὐτοῦ ἀντ' αὐτοῦ. οἱ δὲ λοιποὶ λόγοι τοῦ βασιλέως δαβὶδ οἱ πρότεροι, καὶ οἱ ὕστεροι, γεγραμμένοι εἰσὶν, ἐν λόγοις σαμουὴλ τοῦ βλέποντος.
καὶ ἐπὶ λόγων νάθαν τοῦ προφήτου. καὶ ἐπὶ λό-
γων γὰδ τοῦ βλέποντος. περὶ πάσης
τῆς βασιλείας αὐτοῦ, καὶ τῆς
δυναστείας αὐτοῦ. καὶ
οἱ καιροὶ οἳ
ἐγένον-
το
ἐπ' αὐτῷ
καὶ ἐπὶ τὸν ἰσραήλ.
καὶ ἐπὶ πάσας βασιλείας τῆς γῆς.

Τέλος τῶν παραλειπομένων. ά.

Κεφ. ά 1.

# ΠΑΡΑΛΕΙΠΟΜΕΝΩΝ ΔΕΥΤΕΡΟΝ.

## Κεφάλαιον α. 1.

Καὶ ἐνίσχυσε σολωμὼν υἱὸς Δαβὶδ ἐπὶ
τὴν βασιλείαν αὐτοῦ. καὶ κύριος ὁ θε-
ὸς αὐτοῦ μετ' αὐτοῦ, καὶ ἐμεγάλυ-
νεν αὐτὸν εἰς ὕψος. καὶ εἶπε σολωμὼν
πρὸς πάντα ἰσραὴλ, τοῖς χιλιάρχοις,
καὶ τοῖς ἑκατοντάρχοις, καὶ τοῖς κρι-
ταῖς, καὶ πᾶσι τοῖς ἄρχουσιν ἐναντίον παντὸς ἰσραὴλ, τοῖς ἄρχου-
σι τῶν πατριῶν. καὶ ἐπορεύθη σολωμὼν καὶ πᾶσα ἡ ἐκκλησία μετ'
αὐτοῦ εἰς τὴν ὑψηλὴν τὴν ἐν γαβαὼν, οὗ ἐκεῖ ἦν ἡ σκηνὴ τοῦ μαρ-
τυρίου τοῦ θεοῦ, ἣν ἐποίησε μωϋσῆς παῖς κυρίου ἐν τῇ ἐρήμῳ.
ἀλλὰ κιβωτὸν τοῦ θεοῦ ἀνήγαγε δαβὶδ ἐκ πόλεως καριαθιαρείμ,
ὅτι ἡτοίμασεν αὐτῇ δαβίδ. ὅτι ἔπηξεν αὐτῇ σκηνὴν εἰς ἱερουσαλήμ.
καὶ τὸ θυσιαστήριον τὸ χαλκοῦν ὃ ἐποίησε βεσελεὴλ υἱὸς οὐρίου υἱοῦ
ὢρ, ἐκεῖ ἦν ἐναντίον τῆς σκηνῆς κυρίου. καὶ ἐξεζήτησεν αὐτὸ σολω-
μὼν, καὶ ἡ ἐκκλησία ὅλη, καὶ ἀνήνεγκε σολωμὼν ἐκεῖ ἐπὶ τὸ θυσι-
αστήριον τὸ χαλκοῦν ἐνώπιον κυρίου τὸ ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου.
καὶ ἀνήνεγκεν ἐπ' αὐτὸ ὁλοκαύτωσιν χιλίαν. ἐν τῇ νυκ-
τὶ ἐκείνῃ ὤφθη κύριος τῷ σολωμῶντι, καὶ εἶπεν αὐτῷ. αἴ-
τησαι τί σοι δῶ. καὶ εἶπε σολωμὼν πρὸς τὸν θεόν. σὺ ἐποίη-
σας μετὰ δαβὶδ τοῦ πατρός μου ἔλεος μέγα, καὶ ἐβασίλευ-
σάς με ἀντ' αὐτοῦ. καὶ νῦν κύριος ὁ θεὸς πιστωθήτω δὴ τὸ ὄνο-
μά σου ἐπὶ δαβὶδ τὸν πατέρα μου, ὅτι ἐβασίλευσάς με ἐπὶ λαὸν

πολὺν, ὡς ὁ χοῦς τῆς γῆς. νῦν σοφίαν, καὶ σύνεσιν δός μοι, καὶ
ἐξελεύσομαι ἐνώπιον τοῦ λαοῦ τούτου, καὶ εἰσελεύσομαι. ὅτι
τίς κρινεῖ τὸν λαόν σου τοῦτον τὸν μέγαν. καὶ εἶπεν ὁ θεὸς πρὸς
σολομῶντα. ἀνθ' ὧν ἐγένετο τοῦτο ἐν τῇ καρδίᾳ σου, καὶ
οὐκ ᾐτήσω πλοῦτον χρημάτων οὐδὲ δόξαν, οὐδὲ τὴν ψυ-
χὴν τῶν ὑπεναντίων, καὶ ἡμέρας πολλὰς οὐκ ᾐτήσω. ἀλλ' ᾔ-
τησας σεαυτῷ σοφίαν καὶ σύνεσιν ὅπως κρίνῃς τὸν λαόν μου
ἐφ' ὃν ἐβασίλευσας ἐπ' αὐτόν. τὴν σοφίαν, καὶ τὴν σύνεσιν
δίδωμί σοι. καὶ πλοῦτον καὶ χρήματα καὶ δόξαν δώσω σοι
ὡς σοὶ οὐκ ἐγενήθη ἐν τοῖς βασιλεῦσι τοῖς ἔμπροσθέν σου ὅμοι-
ός σοι καὶ μετὰ σὲ οὐκ ἔσαι οὕτως. Καὶ ἦλθε σολομὼν ἐκ
βαμὰ τῆς ἐκ γαβαὼν εἰς ἱερουσαλὴμ πρὸ προσώπου τῆς σκη-
νῆς τοῦ μαρτυρίου. καὶ ἐβασίλευσεν ἐπὶ ἰσραήλ. καὶ συνή-
γαγε σολομὼν ἅρματα καὶ ἱππεῖς. καὶ ἐγένετο αὐτῷ, χίλια
καὶ τετρακόσια ἅρματα. καὶ δώδεκα χιλιάδες ἱππέων. καὶ
κατέλιπεν αὐτὰ, ἐν πόλει τῶν ἁρμάτων. καὶ ὁ λαὸς μετὰ τοῦ βα-
σιλέως ἐν ἱερουσαλήμ. καὶ ἔθηκεν ὁ βασιλεὺς τὸ ἀργύριον, καὶ τὸ
χρυσίον ἐν ἱερουσαλήμ, ὡς λίθους. καὶ τὰς κέδρους ἐν τῇ ἰουδαίᾳ, ὡς
συκαμίνους τὰς ἐν τῇ πεδινῇ εἰς πλῆθος. καὶ ἡ ἔξοδος τῶν ἱππέ-
ων σολομῶντος ἐξ αἰγύπτου. καὶ ἡ τιμὴ τῶν ἐμπόρων τοῦ βασι-
λέως τοῦ ἐκπορεύεσθαι. καὶ ἠγόραζον, καὶ ἀνέβαινον, καὶ ἐ-
ξῆγον ἐξ αἰγύπτου ἅρμα ἐν χιλίοις ἀργυρίου. καὶ ἵππον πεν-
τήκοντα. καὶ ἑκατὸν ἀργυρίου. καὶ οὕτως πᾶσι τοῖς βασιλεῦ-
σι τῶν χετταίων, καὶ τοῖς βασιλεῦσι συρίας ἐν χερσὶν αὐ-
τῶν ἔφερον. Καὶ εἶπε σολομὼν τοῦ οἰκοδομῆσαι τὸν οἶκον τῷ
ὀνόματι κυρίου. καὶ οἶκον τῇ βασιλείᾳ αὐτοῦ. καὶ συνήγαγεν ὁ βασι-
λεὺς σολομὼν, ἑβδομήκοντα χιλιάδας ἀνδρῶν νωτοφόρων. καὶ
ὀγδοήκοντα χιλιάδας λατόμων ἐν τῷ ὄρει. καὶ οἱ ἐπιστάται
ἐξ αὐτῶν τρισχίλιοι καὶ ἑξακόσιοι, καὶ ἀπέστειλε σολομὼν πρὸς χι-
ρὰμ βασιλέα τύρου λέγων. ὡς ἐποίησας μετὰ δαβὶδ τοῦ πατρός

μου καὶ ἀπέστειλας αὐτῷ κέδρους τοῦ οἰκοδομῆσαι ἑαυτῷ οἶκον κατοικῆσαι ἐν αὐτῷ. καὶ ἰδοὺ ἐγὼ ὁ υἱὸς αὐτοῦ οἰκοδομῶ οἶκον τῷ ὀνόματι κυρίου θεοῦ μου ἁγιάσαι αὐτὸν αὐτῷ, τοῦ θυμιᾶν ἀπέναντι αὐτοῦ θυμίαμα, καὶ πρόθεσιν διαπαντός. καὶ τοῦ ἀναφέρειν ὁλοκαυτώματα διαπαντὸς τὸ πρωΐ, καὶ τὸ δείλης. καὶ ἐν τοῖς σαββάτοις, καὶ ἐν ταῖς νουμηνίαις, καὶ ἐν ταῖς ἑορταῖς τοῦ κυρίου θεοῦ ἡμῶν εἰς τὸν αἰῶνα τοῦτο ἐπὶ τὸν Ἰσραήλ. καὶ ὁ οἶκος ὃν ἐγὼ οἰκοδομῶ μέγας. ὅτι μέγας ὁ θεὸς ἡμῶν παρὰ πάντας τοὺς θεούς, καὶ τίς ἰσχύσει οἰκοδομῆσαι αὐτῷ οἶκον; ὅτι ὁ οὐρανὸς, καὶ ὁ οὐρανὸς τοῦ οὐρανοῦ ἐκφέρουσι τὴν δόξαν αὐτοῦ, καὶ τίς ἐγὼ ὁ οἰκοδομῶν αὐτῷ οἶκον ἀλλ᾽ ἢ τοῦ θυμιᾶν κατέναντι αὐτοῦ. καὶ νῦν ἀπόστειλόν μοι ἄνδρα σοφὸν καὶ εἰδότα ποιῆσαι ἐν τῷ χρυσίῳ, καὶ ἐν τῷ ἀργυρίῳ. καὶ ἐν τῷ χαλκῷ, καὶ ἐν τῷ σιδήρῳ, καὶ ἐν τῇ πορφύρᾳ, καὶ ἐν τῷ κοκκίνῳ, καὶ ἐν τῇ ὑακίνθῳ. καὶ ἐπιστάμενον γλύψαι γλυφὴν μετὰ τῶν σοφῶν τῶν μετ᾽ ἐμοῦ ἐν Ἰούδᾳ, καὶ ἐν Ἱερουσαλήμ, ὧν ἡτοίμασε Δαβὶδ ὁ πατήρ μου. καὶ ἀπόστειλόν μοι ξύλα κέδρινα, καὶ ἀρκεύθινα, καὶ πεύκινα ἐκ τοῦ Λιβάνου. ὅτι ἐγὼ οἶδα ὡς οἱ δοῦλοί σου οἴδασι κόπτειν ξύλα ἐκ τοῦ Λιβάνου. καὶ οἱ παῖδές σου μετὰ τῶν παίδων μου πορεύσονται ἑτοιμάσαι μοι ξύλα εἰς πλῆθος. ὅτι ὁ οἶκος ὃν ἐγὼ οἰκοδομῶ μέγας καὶ ἔνδοξος. καὶ ἰδοὺ τοῖς ἐργαζομένοις τοῖς κόπτουσι ξύλα, εἰς βρώματα δέδωκα σῖτον εἰς δόματα τοῖς παισί σου κόρων πυροῦ εἴκοσι χιλιάδας. καὶ ἐλαίου μέτρων εἴκοσι χιλιάδας. καὶ εἶπε Χιρὰμ βασιλεὺς Τύρου ἐν γραφῇ, καὶ ἀπέστειλε πρὸς Σολομῶντα λέγων· ἐν τῷ ἀγαπῆσαι κύριον τὸν λαὸν αὐτοῦ, ἔδωκέ σε ἐπ᾽ αὐτοὺς εἰς βασιλέα. καὶ εἶπε Χιράμ· εὐλογητὸς κύριος ὁ θεὸς Ἰσραὴλ ὃς ἐποίησε τὸν οὐρανὸν καὶ τὴν γῆν, ὃς ἔδωκε Δαβὶδ τῷ βασιλεῖ σοφὸν υἱὸν, καὶ ἐπιστάμενον ἐπιστήμην καὶ σύνεσιν· ὃς οἰκοδομήσει οἶκον τῷ κυρίῳ, καὶ οἶκον τῇ βασιλείᾳ ἑαυτοῦ. καὶ νῦν ἀπέσταλκά σοι ἄνδρα σοφὸν

καὶ ἔδωκα σύνεσιν χιρὰμ τὸν παῖδά μου. ἡ μήτηρ αὐτοῦ, ἀπὸ θυγατέρων δὰν. καὶ ὁ πατὴρ αὐτοῦ, ἀνὴρ τύριος. εἰδότα ποιῆσαι ἐν ἀργυρίῳ, καὶ χρυσίῳ. καὶ ἐν χαλκῷ καὶ ἐν σιδήρῳ. καὶ ἐν λίθοις καὶ ξύλοις. καὶ ὑφαίνειν ἐν τῇ πορφύρᾳ, καὶ ἐν τῇ ὑακίνθῳ καὶ ἐν τῇ βύσσῳ. καὶ ἐν τῷ κοκκίνῳ. καὶ γλύψαι γλυφαῖς. καὶ διανοῆσαι πᾶσαν διανόησιν. ὅσα ἂν δῷς αὐτῷ μετὰ τῶν σοφῶν σου, καὶ σοφῶν τοῦ κυρίου μου δαβὶδ πατρός σου. καὶ νῦν τὸν σῖτον, καὶ τὴν κριθὴν καὶ τὸ ἔλαιον καὶ τὸν οἶνον ὃν εἶπεν ὁ κύριός μου, ἀποστειλάτω τοῖς παισὶν αὐτοῦ. καὶ ἡμεῖς κόψομεν ξύλα ἐκ τοῦ λιβάνου κατὰ πᾶσαν τὴν χρείαν σου. καὶ ἄξομεν αὐτὰ σχεδίας ἐπὶ θάλασσαν ἰόππης. καὶ σὺ ἄξεις αὐτὰ εἰς ἱερουσαλήμ. καὶ συνήγαγε σολομὼν πάντας τοὺς ἄνδρας τοὺς προσηλύτους τοὺς ἐν γῇ ἰσραὴλ μετὰ τὸν ἀριθμὸν, ὃν ἠρίθμησεν αὐτοὺς δαβὶδ ὁ πατὴρ αὐτοῦ. καὶ εὑρέθησαν ἑκατὸν πεντήκοντα χιλιάδες καὶ τρισχίλιοι. καὶ ἑξακόσιοι. καὶ ἐποίησεν ἐξ αὐτῶν ἑβδομήκοντα χιλιάδας νωτοφόρων καὶ ὀγδοήκοντα χιλιάδας λατόμων ἐν τῷ ὄρει, καὶ τρισχιλίους ἑξακοσίους τοὺς ἐργοδιώκτας ἐπὶ τὸν λαόν.

Κεφάλαι. β. 2.

Αἰ ἤρξατο σολομὼν τοῦ οἰκοδομεῖν τὸν οἶκον κυρίου
κ ἐν ἱερουσαλὴμ ἐν ὄρει τοῦ ἀμωρία οὗ ὤφθη κύριος τῷ δαβὶδ πατρὶ αὐτοῦ ἐν τῷ τόπῳ ᾧ ἡτοίμασε δαβὶδ ἐν ἅλῳ ὀρνᾶ τοῦ ἰεβουσαίου. καὶ ἤρξατο τοῦ οἰκοδομῆσαι ἐν τῷ μηνὶ τῷ δευτέρῳ ἐν τῷ ἔτει τῷ τετάρτῳ τῆς βασιλείας αὐτοῦ, καὶ ταῦτα ἤρξατο σολομὼν τοῦ οἰκοδομῆσαι τὸν οἶκον τοῦ θεοῦ, μῆκος ἡ διαμέτρησις ἡ πρώτη, πήχεων ἑξήκοντα. καὶ εὖρος, πήχεων εἴκοσι. καὶ αἰλὰμ κατὰ πρόσωπον τοῦ οἴκου. μῆκος ἐπὶ πρόσωπον πλάτους τοῦ οἴκου, πήχεων εἴκοσι. καὶ ὕψος πήχεων ἑκατὸν εἴκοσι, καὶ κατεχρύσωσεν αὐτὸν ἔσωθεν χρυσίῳ καθαρῷ, καὶ τὸν οἶκον τὸν μέγαν, ἐξύλωσε ξύλοις κεδρίνοις, καὶ κατεχρύσωσε χρυσίῳ καθαρῷ. καὶ ἔγλυψεν ἐξ αὐ-

τοῦ φοίνικας καὶ χαλαστά. καὶ ἐκόσμησε τὸν οἶκον λίθοις τιμίοις εἰς δόξαν. καὶ ἐχρύσωσε χρυσίῳ τῷ ἐκ φαρουΐμ. καὶ τοὺς τοίχους αὐτοῦ, καὶ τοὺς πυλῶνας, καὶ τὰ ὀροφώματα καὶ τὰ θυρώματα καὶ ἔγλυψε χερουβὶμ ἐπὶ τὸν τοῖχον. καὶ ἐποίησε τὸν οἶκον τοῦ ἁγίου τῶν ἁγίων, μῆκος αὐτοῦ ἐπὶ πρόσωπον· πλάτος τοῦ οἴκου, πήχεων εἴκοσι. καὶ μῆκος πήχεων εἴκοσι. καὶ κατεχρύσωσεν αὐτὸν χρυσίῳ καθαρῷ χερουβὶν, εἰς τάλαντα ἑξακόσια. καὶ ὁλκὴ τῶν ἥλων, ὁλκὴ τοῦ ἑνὸς ἥλου πεντήκοντα σίκλων χρυσίου. καὶ τὸ ὑπερῷον ἐχρύσωσε χρυσίῳ. καὶ ἐποίησεν ἐν τῷ οἴκῳ τῷ ἁγίῳ τῶν ἁγίων χερουβὶμ, δύο, ἔργον ἐκ ξύλων ἀσήπτων. καὶ ἐχρύσωσεν αὐτὰ χρυσίῳ. καὶ αἱ πτέρυγες τῶν χερουβὶμ, μῆκος πήχεων εἴκοσι. καὶ ἡ πτέρυξ ἡ μία, πήχεων πέντε. ἁπτομένη τοῦ τοίχου τοῦ οἴκου. καὶ ἡ πτέρυξ ἡ ἑτέρα πήχεων πέντε. ἁπτομένη τῆς πτέρυγος τοῦ χερουβὶν τοῦ ἑτέρου. καὶ αἱ πτέρυγες τῶν χερουβὶν τούτων διαπεπετασμέναι, πήχεων εἴκοσι. καὶ ταῦτα ἑστηκότα ἐπὶ τοὺς πόδας αὐτῶν, καὶ τὰ πρόσωπα αὐτῶν εἰς τὸν οἶκον. καὶ ἐποίησε τὸ καταπέτασμα ἐξ ὑακίνθου, καὶ πορφύρας καὶ κοκκίνου, καὶ βύσσου. καὶ ὕφανεν ἐν αὐτῷ χερουβὶν, καὶ ἐποίησεν ἔμπροσθεν τοῦ οἴκου στύλους δύο, πήχεων τριάκοντα πέντε. τὸ ὕψος, καὶ τὰς κεφαλίδας αὐτῶν, πήχεων πέντε. καὶ ἐποίησε σερσερὼθ ἐν τῷ δαβίρ, καὶ ἔθηκεν ἐπὶ τῶν κεφαλίδων τῶν στύλων, καὶ ἐποίησε ῥοΐσκους ἑκατὸν, καὶ ἔθηκεν ἐπὶ τῶν χαλαστῶν. καὶ ἔστησε τοὺς στύλους κατὰ πρόσωπον τοῦ ναοῦ. ἕνα ἐκ δεξιῶν, καὶ ἕνα ἐξ εὐωνύμων. καὶ ἐκάλεσε τὸ ὄνομα τοῦ ἐκ δεξιῶν, κατόρθωσις. καὶ τὸ ὄνομα τοῦ ἐξ ἀριστερῶν ἰσχύς. Καὶ ἐποίησε θυσιαστήριον χαλκοῦν, εἴκοσι πήχεων τὸ μῆκος. καὶ εἴκοσι πήχεων τὸ εὖρος. καὶ δέκα πήχεων τὸ ὕψος, καὶ ἐποίησε τὴν θάλασσαν χυτὴν. δέκα πήχεων τὴν διαμέτρησιν στρογγύλην κυκλόθεν. καὶ πέντε πήχεων τὸ ὕψος. καὶ τὸ κύκλωμα, τριάκοντα πήχεων ἐκύκλου αὐτὴν κυ-

κλῳ. καὶ ὁμοίωμα μόσχων ὑπὸ κάτωθεν αὐτῆς. κύκλῳ κυκλῶσουσιν αὐτὴν δέκα πήχεις περιέχουσαι τὸν λουτῆρα κυκλόθεν, δύο γένη ἐχώνευσαν καὶ τοὺς μόσχους ἐν τῇ χωνεύσει ᾗ ἐποίησαν αὐτοὺς δώδεκα μόσχους. οἱ τρεῖς βλέποντες βοῤῥᾶν, καὶ οἱ τρεῖς βλέποντες δυσμάς. καὶ οἱ τρεῖς βλέποντες νότον. καὶ οἱ τρεῖς βλέποντες ἀνατολάς. καὶ ἡ θάλασσα ἐπ' αὐτῶν ἄνωθεν, καὶ ἦσαν τὰ ὀπίσθια αὐτῶν ἔσω. καὶ τὸ πάχος αὐτῆς παλαιστῆς, καὶ τὸ χεῖλος αὐτῆς, ὡς χεῖλος ποτηρίου, διαγεγλυμμένα βλαστοὺς κρίνου, χωροῦσα μετρητὰς τρισχιλίους. καὶ ἐξετέλεσε, καὶ ἐποίησε λουτῆρας δέκα. καὶ ἔθηκε τοὺς πέντε. ἐκ δεξιῶν, καὶ τοὺς πέντε ἐξ ἀριστερῶν, τοῦ πλύνειν ἐν αὐτοῖς τὰ ἔργα τῶν ὁλοκαυτωμάτων. καὶ ἀποκλύζειν ἐν αὐτοῖς. καὶ ἡ θάλασσα, εἰς τὸ νίπτεσθαι τοὺς ἱερεῖς ἐν αὐτῇ. καὶ ἐποίησε τὰς λυχνίας τὰς χρυσᾶς πέντε. κατὰ τὸ κρίμα αὐτῶν. καὶ ἔθηκεν ἐν τῷ ναῷ, πέντε ἐκ δεξιῶν, καὶ πέντε ἐξ ἀριστερῶν. καὶ ἐποίησε τραπέζας δέκα. καὶ ἔθηκεν ἐν τῷ ναῷ, πέντε ἐκ δεξιῶν καὶ πέντε ἐξ εὐωνύμων. καὶ ἐποίησε φιάλας χρυσᾶς πέντε. καὶ ἐποίησε τὴν αὐλὴν τῶν ἱερέων, καὶ τὴν αὐλὴν τὴν μεγάλην, καὶ θύρας τῇ αὐλῇ. καὶ τὰ θυρώματα αὐτῶν κατακεχαλκωμένα χαλκῷ. καὶ τὴν θάλασσαν ἔθηκεν ἀπὸ γωνίας τοῦ οἴκου ἐκ δεξιῶν ἕως πρὸς ἀνατολὰς κατέναντι. καὶ ἐποίησε χειρὰμ τὰς κρεάγρας καὶ τὰ πυρεῖα, καὶ τὴν ἐσχάραν τοῦ θυσιαστηρίου, καὶ πάντα τὰ σκεύη αὐτοῦ. καὶ συνετέλεσε χειρὰμ ποιῆσαι πᾶσαν τὴν ἐργασίαν ἣν ἐποίησεν ὁ βασιλεὺς σολομὼν ἐν οἴκῳ κυρίου τοῦ θεοῦ στύλους δύο, καὶ ἐπ' αὐτῶν γωλὰθ τῆς χωταρὲθ ἐπὶ τῶν κεφαλίδων τῶν στύλων δύο. καὶ δίκτυα δύο συγκατακαλύψαι τὰς κεφαλὰς τῶν χωθαρὲθ ἅ ἐστιν ἐπὶ τῶν κεφαλῶν τῶν στύλων. καὶ κώδωνας χρυσοῦς τετρακοσίους εἰς τὰ δύο δίκτυα. καὶ δύο γένη ῥοΐσκων ἐν τῷ

δικτύῳ τῷ ἑνὶ τοῦ συγκαλύψαι τὰς δύο γωλὰθ τῶν χωθαρὲθ ἅ ἐστιν ἐπάνω τῶν στύλων. καὶ τὰ μεχωνὼθ ἐποίησε δέκα. καὶ τοὺς λουτῆρας ἐποίησεν ἐπὶ τοὺς μεχωνώθ. καὶ τὴν θάλασσαν μίαν. καὶ τοὺς μόσχους τοὺς δώδεκα. ὑποκάτω αὐτῆς. καὶ τοὺς ποδιστῆρας. καὶ τοὺς ἀναλημπτῆρας, καὶ τοὺς λέβητας καὶ τὰς κρεάγρας, καὶ πάντα τὰ σκεύη αὐτῶν ἃ ἐποίησε χειρὰμ καὶ ἀνήνεγκε τῷ βασιλεῖ σολομῶντι ἐν οἴκῳ κυρίου χαλκοῦ καθαροῦ ἐν τῷ περιχώρῳ τοῦ ἰορδάνου ἐχώνευσεν αὐτὰ ὁ βασιλεὺς ἐν τῷ πάχει τῆς γῆς ἐν οἴκῳ σοκχὼθ καὶ ἐν οἴκῳ σαρηδαθᾶ. καὶ ἐποίησε σολομὼν πάντα τὰ σκεύη ταῦτα εἰς πλῆθος σφόδρα. ὅτι οὐκ ἐξέλιπεν ὁλκὴ τοῦ χαλκοῦ. καὶ ἐποίησε σολομὼν πάντα τὰ σκεύη οἴκου κυρίου καὶ τὸ θυσιαστήριον τὸ χρυσοῦν, καὶ τὰς τραπέζας καὶ ἐπ᾽ αὐτῶν ἄρτους προθέσεως. καὶ τὰς λυχνίας, καὶ τοὺς λύχνους τοῦ φωτός. κατὰ τὸ κρίμα καὶ κατὰ τὸ πρόσωπον τοῦ δαβὶρ χρυσίου καθαροῦ, καὶ αἱ βολίδες αὐτῶν, καὶ οἱ λύχνοι αὐτῶν, καὶ τὰς φιάλας καὶ τὰς θυίσκας, καὶ τὰ πύρεια χρυσίου καθαροῦ. καὶ ἡ θύρα τοῦ οἴκου ἡ ἐσωτέρα εἰς τὰ ἅγια τῶν ἁγίων. καὶ τὰς θύρας τοῦ οἴκου τοῦ ναοῦ χρυσᾶς. καὶ συνετελέσθη πᾶσα ἡ ἐργασία ἣν ἐποίησε σολομὼν ἐν οἴκῳ κυρίου. καὶ εἰσήνεγκε σολομὼν τὰ ἅγια δαβὶδ τοῦ πατρὸς αὐτοῦ τὸ ἀργύριον, καὶ τὸ χρυσίον καὶ τὰ σκεύη. καὶ ἔδωκεν αὐτὰ εἰς θησαυρὸν οἴκου κυρίου.

## Κεφάλαιον η. 8.

Ὅτε ἐξεκκλησίασε σολομὼν πάντας τοὺς πρεσβυτέρους ἰσραήλ. καὶ πάντας τοὺς ἄρχοντας τῶν φυλῶν τοὺς ἡγουμένους πατριῶν υἱῶν ἰσραήλ. εἰς ἰσραήλ, τοῦ ἀνενέγκαι τὴν κιβωτὸν διαθήκης κυρίου ἐκ πόλεως δαβίδ, αὕτη σιών. καὶ ἐξεκκλησιάσθησαν πρὸς τὸν βασιλέα πᾶς ἀνὴρ ἰσραὴλ ἐν τῇ ἑορτῇ. οὗτος ὁ μὴν ὁ ἕβδομος. καὶ ἦλθον

πάντες οἱ πρεσβύτεροι ἰσραήλ. καὶ ἔλαβον πάντες οἱ λευῖ-
ται, καὶ ἀνήνεγκαν τὴν κιβωτὸν, καὶ τὴν σκηνὴν τοῦ μαρ-
τυρίου. καὶ πάντα τὰ σκεύη τὰ ἅγια ἐν τῇ σκηνῇ. καὶ ἀνή-
νεγκαν αὐτὴν οἱ ἱερεῖς καὶ οἱ λευῖται, καὶ ὁ βασιλεὺς σολομὼν
καὶ πᾶσα ἡ συναγωγὴ υἱῶν ἰσραήλ, καὶ οἱ φοβούμενοι, καὶ
οἱ συνηγμένοι αὐτῶν ἔμπροσθεν τῆς κιβωτοῦ θύοντες μό-
σχους καὶ πρόβατα οἳ οὐκ ἀριθμηθήσονται. καὶ οἳ οὐ λογισθή-
σονται ἀπὸ τοῦ πλήθους. καὶ εἰσήνεγκαν οἱ ἱερεῖς τὴν κιβω-
τὸν διαθήκης κυρίου εἰς τὸν τόπον αὐτῆς εἰς τὸ δαβὶρ τοῦ οἴ-
κου εἰς τὰ ἅγια τῶν ἁγίων, ὑπὸ κάτω τῶν πτερύγων τῶν
χερουβίμ. καὶ ἦν τὰ χερουβὶμ διαπεπτακότα τὰς πτέρυγας
αὐτῶν ἐπὶ τὸν τόπον τῆς κιβωτοῦ. καὶ συνεκάλυπτον τὰ
χερουβὶν ἐπὶ τὴν κιβωτὸν καὶ ἐπὶ τοὺς ἀναφορεῖς αὐτῆς ἐπά-
νωθεν. καὶ περιεῖχον οἱ ἀναφορεῖς. καὶ ἐβλέποντο αἱ κεφαλαὶ
τῶν ἀναφορέων ἐκ τῶν ἁγίων εἰς πρόσωπον τοῦ δαβίρ. οὐκ
ἐβλέποντο ἔξω. καὶ ἦσαν ἐκεῖ ἕως τῆς ἡμέρας ταύτης. οὐκ
ἦν ἐν τῇ κιβωτῷ πλὴν αἱ δύο πλάκες, ἃς ἔθηκε μωϋσῆς ἐν
χωρὴβ ἃ διέθετο κύριος μετὰ τῶν υἱῶν ἰσραήλ. ἐν τῷ ἐ-
ξελθεῖν, αὐτοὺς ἐκ γῆς αἰγύπτου. καὶ ἐγένετο ἐν τῷ ἐξελθεῖν
τοὺς ἱερεῖς ἐκ τῶν ἁγίων, ὅτι πάντες οἱ ἱερεῖς οἱ εὑρεθέντες
ἡγιάσθησαν. καὶ οὐκ ἦσαν διατεταγμένοι εἰς ἐφημερίαν. καὶ
οἱ λευῖται καὶ οἱ ψαλτῳδοὶ πάντες τοῖς υἱοῖς ἀσὰφ τῷ αἰ-
μὰν τῷ ἰδιθοὺμ καὶ τοῖς υἱοῖς αὐτῶν, καὶ τοῖς ἀδελφοῖς αὐ-
τῶν τῶν ἐν δεδυμένων στολὰς βυσσίνας ἐν κυμβάλοις, καὶ ἐν
νάβλαις, καὶ ἐν κιννύραις ἑστηκότες κατέναντι τοῦ θυσιαστη-
ρίου. καὶ μετ᾽ αὐτῶν ἱερεῖς ἑκατὸν εἴκοσι σαλπίζοντες ταῖς
σάλπιγξι. καὶ ἐγένετο μία φωνὴ ἐν τῷ σαλπίζειν. καὶ ἐν τῷ
ψαλτῳδεῖν καὶ ἐν τῷ ἀναφωνεῖν φωνῇ μιᾷ. τοῦ αἰνεῖν καὶ ἐξο-
μολογεῖσθαι τῷ κυρίῳ. καὶ ὡς ὕψωσαν φωνὴν ἐν σάλπιγξι, καὶ
ἐν κυμβάλοις, καὶ ἐν ὀργάνοις τῶν ᾠδῶν καὶ ἔλεγον. ἐξο-

μολογεῖσθαι τῷ κυρίῳ, ὅτι ἀγαθόν· ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. καὶ ὁ οἶκος ἐνεπλήσθη νεφέλης. καὶ οὐκ ἠδύναντο οἱ ἱερεῖς τοῦ στῆναι λειτουργεῖν ἀπὸ προσώπου τῆς νεφέλης. ὅτι ἐνέπλησεν ἡ δόξα κυρίου τὸν οἶκον τοῦ θεοῦ. τότε εἶπε σολομὼν κύριος εἶπε τοῦ κατασκηνῶσαι ἐν γνόφῳ. καὶ ἐγὼ ᾠκοδόμηκα οἶκον τῷ ὀνόματί σου ἅγιόν σου καὶ ἕτοιμον τοῦ κατασκηνῶσαι εἰς τοὺς αἰῶνας. καὶ ἐπέστρεψεν ὁ βασιλεὺς τὸ πρόσωπον αὐτοῦ, καὶ εὐλόγησε τὴν πᾶσαν ἐκκλησίαν ἰσραήλ. καὶ πᾶσα ἡ ἐκκλησία ἰσραήλ, παρειστήκει, καὶ εἶπεν εὐλογητὸς κύριος ὁ θεὸς ἰσραήλ, ὃς ἐλάλησεν ἐν στόματι αὐτοῦ πρὸς δαβὶδ τὸν πατέρα μου, καὶ ἐν χερσὶν αὐτοῦ ἐπλήρωσε λέγων. ἀπὸ τῆς ἡμέρας ἧς ἀνήγαγον τὸν λαόν μου ἐκ γῆς αἰγύπτου οὐκ ἐξελεξάμην ἐν πόλει ἀπὸ πασῶν φυλῶν ἰσραὴλ τοῦ οἰκοδομῆσαι οἶκον τοῦ εἶναι τὸ ὄνομά μου ἐκεῖ. καὶ οὐκ ἐξελεξάμην ἐν ἀνδρὶ τοῦ εἶναι εἰς ἡγούμενον ἐπὶ τὸν λαόν μου ἰσραήλ, καὶ ἐξελεξάμην τὴν ἱερουσαλὴμ γενέσθαι τὸ ὄνομά μου ἐκεῖ. καὶ ἐξελεξάμην δαβὶδ ὥστε εἶναι τοῦ λαοῦ μου ἐπάνω ἰσραήλ. καὶ ἐγένετο ἐπὶ καρδίαν τοῦ πατρός μου τοῦ οἰκοδομῆσαι οἶκον τῷ ὀνόματι κυρίου θεοῦ ἰσραήλ. καὶ εἶπε κύριος πρὸς δαβὶδ τὸν πατέρα μου. διότι ἐγένετο ἐπὶ καρδίαν σου οἰκοδομῆσαι οἶκον τῷ ὀνόματί μου, καλῶς ἐποίησας, ὅτι ἐγένετο ἐπὶ τὴν καρδίαν σου. πλὴν σὺ, οὐκ οἰκοδομήσεις μοι οἶκον. ὅτι ὁ υἱός σου ὃς ἐξελεύσεται ἐκ τῆς ὀσφύος σου, οὗτος οἰκοδομήσει οἶκον τῷ ὀνόματί μου. καὶ ἀνέστησε κύριος τὸν λόγον τοῦτον, ὃν ἐλάλησε, καὶ ἐγενήθην ἀντὶ δαβὶδ πατρός μου. καὶ ἐκάθισα ἐπὶ τὸν θρόνον αὐτοῦ καθὼς ἐλάλησε κύριος. καὶ ᾠκοδόμησα τὸν οἶκον τῷ ὀνόματι κυρίου θεοῦ ἰσραήλ. καὶ ἔθηκα ἐκεῖ τὴν κιβωτὸν ἐν ᾗ ἐκεῖ διαθήκη κυρίου, ἣν διέθετο τῷ ἰσραήλ. καὶ ἔστη κατέναντι τοῦ θυσιαστηρίου κυρίου. ἔναντι πάσης ἐκκλησίας ἰσραήλ. καὶ διεπέτασε τὰς χεῖρας αὐτοῦ. ὅτι ἐποίησε σαλωμὼν βάσιν χαλκῆν

καὶ ἔθηκεν αὐτὴν ἐν μέσῳ τῆς αὐλῆς τοῦ ἱεροῦ. πέντε πήχεων τὸ μῆκος αὐτῆς. καὶ πέντε πήχεων τὸ εὖρος αὐτῆς. καὶ τριῶν πήχεων τὸ ὕψος αὐτῆς. καὶ ἔστη ἐπ' αὐτὴν καὶ ἔπεσεν ἐπὶ τὰ γόνατα ἐναντίον πάσης ἐκκλησίας ἰσραήλ. καὶ διεπέτασε τὰς χεῖρας αὐτοῦ εἰς τὸν οὐρανὸν καὶ εἶπε. κύριος ὁ θεὸς ἰσραὴλ οὐκ ἔστιν ὅμοιός σοι θεὸς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς. φυλάσσων τὴν διαθήκην, καὶ τὸ ἔλεος τοῖς παισί σου τοῖς πορευομένοις ἐναντίον σου. ἐν ὅλῃ καρδίᾳ ἃ ἐφύλαξας τῷ παιδί σου δαβὶδ τῷ πατρί μου. ἃ ἐλάλησας αὐτῷ λέγων. καὶ ἐλάλησας ἐν στόματί σου, καὶ ἐν χερσί σου ἐπλήρωσας, ὡς ἡ ἡμέρα αὕτη. καὶ νῦν κύριε ὁ θεὸς ἰσραὴλ φύλαξον τῷ παιδί σου δαβὶδ τῷ πατρί μου ἃ ἐλάλησας αὐτῷ λέγων. καὶ ἐλάλησας ἐν στόματί σου καὶ ἐπλήρωσας, ὡς ἡ ἡμέρα αὕτη λέγων. οὐκ ἐκλείψει σοι ἀνὴρ ἀπὸ προσώπου μου καθήμενος ἐπὶ θρόνου δαβίδ. πλὴν ἐὰν φυλάξωσιν οἱ υἱοί σου τὴν ὁδὸν αὐτῶν τοῦ πορεύεσθαι ἐν τῷ νόμῳ μου, ὡς ἐπορεύθης ἐναντίον μου. καὶ νῦν κύριε ὁ θεὸς ἰσραήλ, πιστωθήτω δὴ τὸ ῥῆμά σου ὃ ἐλάλησας τῷ παιδί σου τῷ δαβίδ. ὅτι εἰ ἀληθῶς κατοικήσει ὁ θεὸς μετὰ ἀνθρώπων ἐπὶ τῆς γῆς. εἰ ὁ οὐρανὸς καὶ ὁ οὐρανὸς τοῦ οὐρανοῦ οὐκ ἀρκέσουσί σοι. καὶ τίς ὁ οἶκος οὗτος ὃν ᾠκοδόμησα. καὶ ἐπιβλέψῃ ἐπὶ τὴν προσευχὴν τοῦ παιδός σου, καὶ ἐπὶ τὴν δέησίν μου κύριε ὁ θεὸς τοῦ ἐπακοῦσαι τῆς δεήσεώς μου, καὶ τῆς προσευχῆς, ἧς ὁ παῖς σου προσεύχεται ἐναντίον σου σήμερον. τοῦ εἶναι ὀφθαλμούς σου ἀνεῳγμένους ἐπὶ τὸν οἶκον τοῦτον ἡμέρας καὶ νυκτὸς εἰς τὸν τόπον τοῦτον, ὃν εἶπας. ἐπικληθῆναι τὸ ὄνομά σου ἐκεῖ τοῦ ἀκοῦσαι τῆς προσευχῆς ἧς προσεύχεται ὁ παῖς σου εἰς τὸν τόπον τοῦτον καὶ ἀκούσῃ τῆς δεήσεως τοῦ παιδός σου, καὶ λαοῦ σου ἰσραήλ, ἃ ἂν προσεύξωνται εἰς τὸν τόπον τοῦτον. καὶ σὺ εἰσακούσῃ ἐκ τοῦ τόπου τῆς κατασκηνώσεώς σου ἐκ τοῦ οὐρανοῦ. καὶ ἀκούσῃ καὶ ἵλεως ἔσῃ. ἐὰν ἁμάρτῃ ἀνὴρ τῷ πλησίον αὐτοῦ, καὶ λάβῃ

ἐπ' αὐτὸν ἀρὰν τοῦ ἀρᾶσθαι αὐτὸν, καὶ ἔλθῃ, καὶ ἀράσηται κατέναντι τοῦ θυσιαστηρίου ἐν τῷ οἴκῳ τούτῳ, καὶ σὺ εἰσακούσῃ ἐκ τοῦ οὐρανοῦ, καὶ ποιήσεις καὶ κρινεῖς τοὺς δούλους σου τοῦ ἀποδοῦναι τῷ ἀνόμῳ, καὶ ἀποδοῦναι ὁδοὺς αὐτοῦ εἰς κεφαλὴν αὐτοῦ. καὶ τοῦ δικαιῶσαι δίκαιον τοῦ ἀποδοῦναι ἑκάστῳ κατὰ τὴν δικαιοσύνην αὐτοῦ. καὶ ἐὰν θραυσθῇ ὁ λαός σου Ἰσραὴλ κατέναντι τοῦ ἐχθροῦ ἐὰν ἁμαρτῶσί σοι καὶ ἐπιστρέψωσι καὶ ἐξομολογήσωνται τῷ ὀνόματί σου, καὶ προσεύξωνται, καὶ δεηθῶσιν ἐναντίον σου ἐν τῷ οἴκῳ τούτῳ, καὶ σὺ εἰσακούσῃ ἐκ τοῦ οὐρανοῦ. καὶ ἵλεως ἔσῃ ταῖς ἁμαρτίαις τοῦ λαοῦ σου Ἰσλ. καὶ ἀποστρέψεις αὐτοὺς εἰς τὴν γῆν ἣν ἔδωκας αὐτοῖς καὶ τοῖς πατράσιν αὐτῶν. Ἐν τῷ συσχεθῆναι τὸν οὐρανὸν καὶ μὴ γενέσθαι ὑετὸν, ὅτι ἁμαρτήσονταί σοι, καὶ προσεύξονται εἰς τὸν τόπον τοῦτον καὶ αἰνέσουσι τὸ ὄνομά σου. καὶ ἀπὸ τῶν ἁμαρτιῶν αὐτῶν ἐπιστρέψουσιν, ὅτι ταπεινώσεις αὐτοὺς, καὶ σὺ εἰσακούσῃ ἐκ τοῦ οὐρανοῦ, καὶ ἵλεως ἔσῃ ταῖς ἁμαρτίαις τῶν παίδων, καὶ τοῦ λαοῦ σου Ἰσραήλ. ὅτι δηλώσεις αὐτοῖς τὴν ὁδὸν τὴν ἀγαθὴν, ἐν ᾗ πορεύσονται ἐν αὐτῇ. καὶ δώσεις ὑετὸν ἐπὶ τὴν γῆν σου, ἣν ἔδωκας τῷ λαῷ σου εἰς κληρονομίαν. Λιμὸς ἐὰν γένηται ἐπὶ τῆς γῆς. θάνατος ἐὰν γένηται ἀνεμοφθορία καὶ ἴκτερος, ἀκρὶς καὶ βροῦχος ἐὰν γένηται, καὶ ἐὰν θλίψῃ αὐτὸν ὁ ἐχθρὸς κατέναντι τῶν πόλεων αὐτῶν κατὰ πᾶσαν πληγὴν, καὶ πάντα πόνον. καὶ πᾶσα προσευχὴ, καὶ πᾶσα δέησις ἐὰν γένηται παντὶ ἀνθρώπῳ, καὶ παντὶ τῷ λαῷ σου Ἰσραήλ. ἐὰν γνῷ ἄνθρωπος τὴν ἁφὴν αὐτοῦ. καὶ τὴν ἁμαρτίαν αὐτοῦ, καὶ διαπετάσῃ τὰς χεῖρας αὐτοῦ εἰς τὸν τόπον τοῦτον, καὶ σὺ εἰσακούσῃ ἐκ τοῦ οὐρανοῦ ἐξ ἑτοίμου κατοικητηρίου σου, καὶ ἵλασῃ. καὶ δώσεις ἀνδρὶ κατὰ τὰς ὁδοὺς αὐτοῦ, ὡς ἂν γνῷς τὴν καρδίαν αὐτοῦ, ὅτι μόνος γινώσκεις τὴν καρδίαν υἱῶν ἀνθρώπων. ὅπως φοβῶνται τὰς ὁδούς σου πάσας τὰς ἡμέρας ἃς αὐτοὶ ζῶσιν ἐπὶ προσώπου τῆς γῆς ἧς ἔδωκας τοῖς πατράσιν ἡμῶν. καὶ πᾶς ἀλλότριος ὃς οὐκ ἐκ τοῦ λαοῦ σου Ἰσραήλ, οὐκ ἔστιν αὐτὸς καὶ

ἔλθῃ ἐκ γῆς μακρόθεν διὰ τὸ ὄνομά σου τὸ μέγα, καὶ τὴν χεῖρά
σου τὴν κραταιὰν καὶ τὸν βραχίονά σου τὸν ὑψηλὸν, καὶ ἔλθω
σι καὶ προσεύξονται εἰς τὸν τόπον τοῦτον, καὶ σὺ εἰσακούσῃ ἐκ τοῦ
οὐρανοῦ ἐξ ἑτοίμου κατοικητηρίου σου, καὶ ποιήσεις κατὰ πάν-
τα ὅσα ἂν ἐπικαλέσηταί σε ὁ ἀλλότριος· ὅπως γνῶσι πάν-
τες οἱ λαοὶ τῆς γῆς τὸ ὄνομά σου, καὶ τοῦ φοβεῖσθαί σε, ὡς ὁ λα-
ός σου ἰσραήλ. καὶ τοῦ γνῶναι, ὅτι τὸ ὄνομά σου ἐπικέκληται ἐ-
πὶ τὸν οἶκον τοῦτον ὃν ᾠκοδόμησα. ἐὰν δὲ ἐξέλθῃ ὁ λαός σου εἰς
πόλεμον ἐπὶ τοὺς ἐχθροὺς αὐτοῦ ἐν ὁδῷ ᾗ ἐξαποστελεῖς αὐτοὺς
καὶ προσεύξωνται πρός σε κατὰ τὴν ὁδὸν τῆς πόλεως ταύ-
της ἣν ἐξελέξω ἐν αὐτῇ καὶ οἴκου οὗ ᾠκοδόμησα τῷ ὀνόμα-
τί σου. καὶ ἀκούσῃ ἐκ τοῦ οὐρανοῦ τῆς προσευχῆς αὐτῶν καὶ τῆς
δεήσεως αὐτῶν. καὶ ποιήσεις τὸ δικαίωμα αὐτῶν ὅτι ἁμαρτή-
σονταί σοι, ὅτι οὐκ ἔσται ἄνθρωπος ὃς οὐχ ἁμαρτήσεται, καὶ πα-
τάξεις αὐτοὺς καὶ παραδώσεις αὐτοὺς εἰς χεῖρας ἐχθρῶν αὐτῶν
καὶ αἰχμαλωτεύσουσιν αὐτοὺς, οἱ αἰχμαλωτεύσαντες εἰς γῆν
ἐχθρῶν, εἰς γῆν μακρὰν ἢ ἐγγύς. καὶ ἐπιστρέψωσι καρδίαν αὐτῶν
ἐν τῇ γῇ αὐτῶν οὗ μετήχθησαν ἐκεῖ. κἀκεῖ ἐπιστρέψωσι καὶ δεη-
θῶσί σου ἐν τῇ αἰχμαλωσίᾳ αὐτῶν λέγοντες. ἡμάρτομεν ἠνο-
μήσαμεν ἠδικήσαμεν. καὶ ἐπιστρέψουσι πρός σε ἐν ὅλῃ καρ-
δίᾳ καὶ ἐν ὅλῃ ψυχῇ αὐτῶν ἐν γῇ αἰχμαλωτευσάντων αὐτοὺς
ὅπου ᾐχμαλώτευσαν αὐτοὺς, καὶ προσεύξονται ὁδὸν γῆς αὐ-
τῶν ἧς ἔδωκας τοῖς πατράσιν αὐτῶν καὶ τῆς πόλεως ἧς ἐξελέξω καὶ
τοῦ οἴκου οὗ ᾠκοδόμησα τῷ ὀνόματί σου. καὶ εἰσακούσῃ ἐκ τοῦ οὐ-
ρανοῦ ἐξ ἑτοίμου κατοικητηρίου σου τῆς προσευχῆς αὐτῶν καὶ
τῆς δεήσεως αὐτῶν, καὶ ποιήσεις κρίματα. καὶ ἵλεως ἔσῃ τῷ λαῷ
τῷ ἁμαρτόντι σοι καὶ νῦν κύριε, ἔσονται οἱ ὀφθαλμοί σου ἀνε-
ῳγμένοι. καὶ τὰ ὦτά σου ἐπήκοα εἰς τὴν δέησιν τοῦ τόπου τούτου
καὶ νῦν ἀνάστηθι κύριε ὁ θεὸς εἰς τὴν κατάπαυσίν σου. σὺ καὶ
ἡ κιβωτὸς τῆς ἰσχύος σου. οἱ ἱερεῖς σου κύριε ὁ θεὸς ἐνδύσαιντο

σωτηρίᾳ· καὶ οἱ ὅσιοί σου εὐφρανθήτωσαν ἐν ἀγαθοῖς, κύριε ὁ θεὸς μὴ ἀποστρέψῃς τὸ πρόσωπον τοῦ χριστοῦ σου, μνήσθητι τὰ ἐλέη Δαβὶδ τοῦ δούλου σου, καὶ ὡς συνετέλεσε Σολομὼν προσευχόμενος, καὶ τὸ πῦρ κατέβη ἐκ τοῦ οὐρανοῦ, καὶ κατέφαγε τὰ ὁλοκαυτώματα καὶ τὰς θυσίας· καὶ δόξα κυρίου ἐπλήρωσε τὸν οἶκον καὶ οὐκ ἠδύναντο οἱ ἱερεῖς εἰσελθεῖν εἰς τὸν οἶκον κυρίου ἐν τῷ καιρῷ ἐκείνῳ, ὅτι ἔπλησε δόξα θεοῦ τὸν οἶκον κυρίου· καὶ πάντες οἱ υἱοὶ Ἰσραὴλ ἑώρων καταβαῖνον τὸ πῦρ· καὶ ἡ δόξα τοῦ θεοῦ ἐπὶ τὸν οἶκον· καὶ ἔπεσον ἐπὶ πρόσωπον ἐπὶ τὴν γῆν καὶ ἐπὶ τὸ λιθόστρωτον καὶ προσεκύνησαν καὶ ᾔνεσαν τῷ κυρίῳ, ὅτι ἀγαθὸν ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ· καὶ ὁ βασιλεὺς καὶ πᾶς ὁ λαὸς θύοντες θύματα ἔναντι κυρίου· καὶ ἐθυσίασεν ὁ βασιλεὺς Σολομὼν τὴν θυσίαν, μόσχων εἴκοσι καὶ δύο χιλιάδας, βοσκημάτων ἑκατὸν καὶ εἴκοσι χιλιάδας· καὶ ἐνεκαίνισε τὸν οἶκον τοῦ θεοῦ ὁ βασιλεὺς καὶ πᾶς ὁ λαός· καὶ οἱ ἱερεῖς ἐπὶ τὰς φυλακὰς αὐτῶν ἑστηκότες, καὶ οἱ λευῗται ἐν ὀργάνοις ᾠδῶν κυρίου τοῦ Δαβὶδ τοῦ βασιλέως τοῦ ἐξομολογεῖσθαι ἐναντίον κυρίου, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ ἐν ὕμνοις Δαβὶδ διὰ χειρὸς αὐτῶν, καὶ οἱ ἱερεῖς σαλπίζοντες ταῖς σάλπιγξιν ἐναντίον αὐτῶν· καὶ πᾶς Ἰσραὴλ ἑστηκώς. καὶ ἡγίασε Σολομὼν τὸ μέσον τῆς αὐλῆς τῆς ἐν οἴκῳ κυρίου, ὅτι ἐποίησεν ἐκεῖ τὰ ὁλοκαυτώματα, καὶ τὰ στέατα τῶν σωτηρίων· ὅτι τὸ θυσιαστήριον τὸ χαλκοῦν, ὃ ἐποίησε Σολομὼν, οὐκ ἐξεποίει δέξασθαι τὰ ὁλοκαυτώματα καὶ τὰ μαναὰ καὶ τὰ στέατα· καὶ ἐποίησε Σολομὼν τὴν ἑορτὴν ἐν τῷ καιρῷ ἐκείνῳ ἑπτὰ ἡμέρας· καὶ πᾶς Ἰσραὴλ μετ' αὐτοῦ ἐκκλησία μεγάλη σφόδρα ἀπὸ εἰσόδου Αἰμὰθ, καὶ ἕως χειμάῤῥου Αἰγύπτου· καὶ ἐποίησε τῇ ἡμέρᾳ τῇ ὀγδόῃ ἐξόδιον· ὅτι τὸν ἐγκαινισμὸν τοῦ θυσιαστηρίου ἐποίησεν ἑορτὴν ἑπτὰ ἡμέρας· καὶ ἐν τῇ εἰκάδι καὶ τρίτῃ τοῦ μηνὸς τοῦ ἑβδόμου, ἀπέστειλε τὸν λαὸν εἰς τὰ σκηνώματα αὐτῶν εὐφραινομένους, καὶ ἀγαθῇ καρδίᾳ ἐπὶ

τοῖς ἀγαθοῖς οἷς ἐποίησε κύριος τῷ Δαβίδ, καὶ τῷ Σαλωμῶντι
καὶ τῷ Ἰσραὴλ λαῷ αὐτοῦ. καὶ συνετέλεσε Σαλωμὼν τὸν οἶκον κυ
ρίου, καὶ τὸν οἶκον τοῦ βασιλέως καὶ πάντα ὅσα ἠθέλησεν ἐν τῇ
ψυχῇ Σαλωμὼν τοῦ ποιῆσαι ἐν οἴκῳ κυρίου καὶ ἐν οἴκῳ αὐτοῦ εὐωδόθη.
καὶ ὤφθη κύριος τῷ Σαλωμῶντι τὴν νύκτα, καὶ εἶπεν αὐτῷ· ἤκουσα τῆς
προσευχῆς σου, καὶ ἐξελεξάμην ἐν τῷ οἴκῳ τούτῳ ἐμαυτῷ εἰς οἶ
κον θυσίας. ἐὰν συσχῶ τὸν οὐρανὸν καὶ μὴ γένηται ὑετός. ἐὰν ἐντεί
λωμαι τῇ ἀκρίδι καταφαγεῖν τὸ ξύλον. καὶ ἐὰν ἀποστείλω θάνα
τον ἐν τῷ λαῷ μου. καὶ ἐὰν ἐντραπῇ ὁ λαός μου ἐφ' οὓς ἐπικέκλη
ται τὸ ὄνομά μου ἐπ' αὐτούς. καὶ προσεύξονται καὶ ζητήσουσι τὸ πρό
σωπόν μου καὶ ἀποστρέψουσιν ἀπὸ τῶν ὁδῶν αὐτῶν τῶν πονηρῶν, καὶ
ἐγὼ εἰσακούσομαι ἐκ τοῦ οὐρανοῦ καὶ ἵλεως ἔσομαι ταῖς ἁμαρτίαις
αὐτῶν καὶ ἰάσομαι τὴν γῆν ὑμῶν. καὶ νῦν οἱ ὀφθαλμοί μου ἔσονται
ἀνεωγμένοι καὶ τὰ ὦτά μου ἐπήκοα τῇ προσευχῇ τοῦ τόπου τού
του. καὶ νῦν ἐξελεξάμην καὶ ἡγίακα οἶκον τοῦτον τοῦ εἶναι ὄνομά μου ἐ
κεῖ, ἕως αἰῶνος. καὶ ἔσονται οἱ ὀφθαλμοί μου καὶ ἡ καρδία μου ἐκεῖ
πάσας τὰς ἡμέρας. καὶ σὺ ἐὰν πορευθῇς ἐναντίον μου, ὡς Δα
βὶδ ὁ πατήρ σου, καὶ ποιήσεις κατὰ πάντα ἃ ἐνετειλάμην σοι.
καὶ τὰ προστάγματά μου καὶ τὰ κρίματά μου φυλάξῃ, καὶ ἀναστή
σω τὸν θρόνον τῆς βασιλείας σου, ὡς διεθέμην Δαβὶδ τῷ πατρί σου
λέγων. οὐκ ἐξαρθήσεταί σοι ἡγούμενος ἀνὴρ ἐν Ἰσραήλ. καὶ ἐ
ὰν ἀποστρέψητε ὑμεῖς καὶ ἐγκαταλείπητε τὰ προστάγματά μου
καὶ τὰς ἐντολάς μου ἃς ἔδωκα ἐναντίον ὑμῶν, καὶ πορευθῆτε καὶ
λατρεύσητε θεοῖς ἑτέροις καὶ προσκυνήσητε αὐτοῖς, καὶ ἐξαρῶ ὑ
μᾶς ἀπὸ τῆς γῆς ἧς ἔδωκα αὐτοῖς. καὶ τὸν οἶκον τοῦτον ὃν ἡγίασα
τῷ ὀνόματί μου, ἀποστρέψω ἐκ προσώπου μου, καὶ δώσω αὐτὸν εἰς
παραβολὴν, καὶ εἰς διήγημα ἐν πᾶσι τοῖς ἔθνεσι. καὶ ὁ οἶκος οὗτος
ὃς ἦν ὑψηλὸς πᾶς ὁ διαπορευόμενος αὐτὸν ἐκστήσεται καὶ ἐρεῖ, χά
ριν τίνος ἐποίησε κύριος οὕτω τῇ γῇ ταύτῃ, καὶ τῷ οἴκῳ τούτῳ. καὶ
ἐροῦσι. διότι ἐγκατέλιπον κύριον τὸν θεὸν τῶν πατέρων αὐτῶν τὸν ἐξαγα

γόντα αὐτοὺς ἐκ γῆς αἰγύπτου· καὶ ἀντελάβοντο θεῶν ἑτέρων, καὶ προσεκύνησαν αὐτοῖς· καὶ ἐδούλευσαν αὐτοῖς καὶ διὰ τοῦτο ἐπήγαγεν ἐπ' αὐτοὺς πᾶσαν τὴν κακίαν ταύτην. Κεφ. δ'. 4

x Καὶ ἐγένετο μετὰ εἴκοσι ἔτη ἐν οἷς ᾠκοδόμησε Σαλωμὼν τὸν οἶκον κυρίου, καὶ τὸν οἶκον ἑαυτοῦ καὶ τὰς πόλεις ἃς ἔδωκεν χιρὰμ τῷ σολομῶντι, ᾠκοδόμησεν αὐτὰς Σαλωμὼν καὶ κατῴκισεν ἐκεῖ τοὺς υἱοὺς ἰσραήλ. καὶ ἦλθε Σαλωμὼν εἰς αἰμὰθ, σουβὰ καὶ κατίσχυσεν αὐτὴν καὶ ᾠκοδόμησε τὴν θεδμὸρ ἐν τῇ ἐρήμῳ, καὶ πάσας τὰς πόλεις τὰς ὀχυρὰς ἃς ᾠκοδόμησεν ἐν αἰμὰθ. καὶ ᾠκοδόμησε τὴν βαιθωρὼν τὴν ἄνω, καὶ τὴν βαιθωρὼν τὴν κάτω, πόλεις ὀχυράς· τείχη πύλαι καὶ μοχλοί, καὶ τὴν βαλαὰθ, καὶ πάσας τὰς πόλεις τὰς ὀχυρὰς αἳ ἦσαν τῷ Σαλωμῶντι· καὶ πάσας τὰς πόλεις τῶν ἁρμάτων, καὶ τὰς πόλεις τῶν ἱππέων· καὶ ὅσα ἐπεθύμησε σολομὼν κατὰ τὴν ἐπιθυμίαν τοῦ οἰκοδομῆσαι ἐν ἱερουσαλήμ, καὶ ἐν τῷ λιβάνῳ, καὶ ἐν πάσῃ τῇ βασιλείᾳ αὐτοῦ. πᾶς ὁ λαὸς ὁ καταλειφθεὶς, ἀπὸ τοῦ χεθθαίου, καὶ τοῦ ἀμορραίου, καὶ τοῦ φερεζαίου καὶ τοῦ εὐαίου καὶ τοῦ ἰεβουσαίου οἳ οὐκ εἰσὶν ἐκ τοῦ ἰσραὴλ ἀλλ' ἦσαν ἐκ τῶν υἱῶν αὐτῶν τῶν καταλειφθέντων μετ' αὐτοὺς ἐν τῇ γῇ οὓς οὐκ ἐξωλόθρευσαν οἱ υἱοὶ ἰσραήλ, καὶ ἀνήγαγεν αὐτοὺς σολομὼν εἰς φόρον, ἕως τῆς ἡμέρας ταύτης. καὶ ἐκ τῶν ἰσραὴλ οὐκ ἔδωκε Σαλωμὼν εἰς παῖδας τῇ βασιλείᾳ αὐτοῦ. ὅτι αὐτοὶ ἄνδρες πολεμισταὶ, καὶ ἄρχοντες δυνατοὶ ἁρμάτων καὶ ἱππέων. καὶ οὗτοι οἱ ἄρχοντες τῶν προστατῶν τοῦ βασιλέως Σαλωμῶντος. πεντήκοντα καὶ διακόσιοι ἐργοδιωκτοῦντες ἐν τῷ λαῷ. καὶ τὴν θυγατέρα φαραὼ ἀνήγαγε Σαλωμὼν, ἐκ πόλεως δαβὶδ εἰς τὸν οἶκον ὃν ᾠκοδόμησεν ἐν αὐτῇ. ὅτι εἶπεν, οὐ κατοικήσει γυνή μου ἐν πόλει δαβὶδ τοῦ βασιλέως, ἰσραήλ. ὅτι ἅγιός ἐστιν οὗ εἰσῆλθεν ἡ κιβωτὸς κυρίου. τότε ἀνήνεγκε Σαλωμὼν ὁλοκαυτώματα τῷ κυρίῳ ἐπὶ τὸ θυσιαστήριον, ὃ ᾠκοδόμησε κατὰ

ἀπέναντι τοῦ λαοῦ κατὰ τὸν λόγον ἡμέρας ἐν ἡμέρᾳ τοῦ ἀναφέρειν κατὰ τὰς ἐντολὰς μωϋσέως ἐν τοῖς σαββάτοις, καὶ ἐν τοῖς μησὶ, καὶ ἐν ταῖς ἑορταῖς, τρεῖς καιροὺς τοῦ ἐνιαυτοῦ. ἐν τῇ ἑορτῇ τῶν ἀζύμων, καὶ ἐν τῇ ἑορτῇ τῶν ἑβδομάδων, καὶ ἐν τῇ ἑορτῇ τῶν σκηνῶν. καὶ ἔστησε κατὰ κρίσιν δαβὶδ τοῦ πατρὸς αὐτοῦ τὰς διαιρέσεις τῶν ἱερέων καὶ κατὰ τὰς λειτουργίας αὐτῶν. καὶ οἱ λευῖται ἐπὶ τὰς φυλακὰς αὐτῶν, τοῦ αἰνεῖν καὶ λειτουργεῖν κατέναντι τῶν ἱερέων κατὰ τὸν λόγον ἡμέρας ἐν τῇ ἡμέρᾳ. καὶ οἱ πυλωροὶ κατὰ τὰς διαιρέσεις αὐτῶν εἰς πύλην καὶ πύλην. ὅτι οὕτως ἐντολὴ δαβὶδ ἀνθρώπου τοῦ θεοῦ. οὐ παρῆλθον τὰς ἐντολὰς τοῦ βασιλέως περὶ τῶν ἱερέων καὶ τῶν λευιτῶν εἰς πάντα λόγον καὶ εἰς τοὺς θησαυρούς. καὶ ἡτοιμάσθη πᾶσα ἡ ἐργασία, ἀφ' ἧς ἡμέρας ἐθεμελιώθη ἕως οὗ ἐτελέωσε σολομὼν τὸν οἶκον κυρίου. τότε ᾤχετο σολομὼν εἰς γασιὼν γαβὲρ, καὶ εἰς τὴν ἀλὰθ τὴν παραθαλασσίαν ἐν γῇ ἰδουμαίᾳ. καὶ ἀπέστειλε χιρὰμ ἐν χειρὶ παίδων αὐτοῦ πλοῖα καὶ παῖδας εἰδότας θάλασσαν, καὶ ᾤχοντο μετὰ τῶν παίδων σολομὼν εἰς σωφιρὰ, καὶ ἔλαβον ἐκεῖθεν τετρακόσια, καὶ πεντήκοντα τάλαντα χρυσίου, καὶ ἦλθον πρὸς τὸν βασιλέα σολομῶντα. Καὶ βασίλισσα σαβὰ ἤκουσε τὸ ὄνομα σολομῶντος καὶ ἦλθε τοῦ πειράσαι αὐτὸν, ἐν αἰνίγμασιν εἰς ἱερουσαλὴμ ἐν δυνάμει βαρείᾳ σφόδρα. καὶ κάμηλοι αἴρουσαι ἀρώματα εἰς πλῆθος. καὶ χρυσίον καὶ λίθον τίμιον. καὶ ἦλθε πρὸς σολομῶντα καὶ ἐλάλησεν αὐτῷ, πάντα ὅσα ἦν ἐν τῇ ψυχῇ αὐτῆς. καὶ ἀνήγγειλεν αὐτῇ σολομὼν πάντας τοὺς λόγους αὐτῆς. καὶ οὐ παρῆλθε λόγος ἀπὸ σολομῶντος ὃν οὐκ ἀπήγγειλεν αὐτῇ. καὶ εἶδε βασίλισσα σαβὰ τὴν σοφίαν σολομῶντος καὶ τὸν οἶκον, ὃν ᾠκοδόμησε, καὶ τὰ βρώματα τῶν τραπεζῶν. καὶ καθέδραν παίδων αὐτοῦ. καὶ στάσιν λειτουργῶν αὐτοῦ. καὶ ἱματισμὸν αὐτῶν καὶ στολισμὸν αὐτῶν. καὶ οἰνοχόους αὐτοῦ. καὶ τὰ ὁλοκαυτώματα, ἃ ἀνέφερον

ἐν οἴκῳ

ἐν οἴκῳ κυρίου, καὶ ἐξ ἑαυτοῖς ἐγένετο. καὶ εἶπε πρὸς τὸν βασι-
λέα· ἀληθινὸς ὁ λόγος, ὃν ἤκουσα ἐν τῇ γῇ μου περὶ τῆς σοφίας σου,
καὶ περὶ τῶν λόγων σου. καὶ οὐκ ἐπίστευσα τοῖς λόγοις ἕως οὗ ἦλθον,
καὶ εἴδον οἱ ὀφθαλμοί μου. καὶ ἰδοὺ οὐκ ἀπήγγελη μοι ἥμισυ τοῦ
πλήθους τῆς σοφίας σου· προσέθηκας ἐπὶ τὴν ἀκοήν, ἣν ἤκουσα. μα-
κάριοι οἱ ἄνδρες σου· μακάριοι, οἱ παῖδές σου, οὗτοι οἱ παρεστηκό-
τες σοι διαπαντὸς καὶ ἀκούοντες τὴν σοφίαν σου. ἔσω κύριος ὁ θεός
σου εὐλογημένος ὃς ἠθέλησεν ἐν σοὶ τοῦ δοῦναί σε ἐπὶ θρόνου αὐ-
τοῦ εἰς βασιλέα τοῦ λαοῦ σου. ἐν τῷ ἀγαπῆσαι κύριον τὸν θεόν
σου τὸν ἰσραὴλ τοῦ στῆσαι αὐτὸν εἰς αἰῶνα. καὶ ἔδωκέ σε ἐπ' αὐτὸν εἰς
βασιλέα, τοῦ ποιῆσαι κρίσιν καὶ δικαιοσύνην. καὶ ἔδωκε τῷ βα-
σιλεῖ, ἑκατὸν εἴκοσι τάλαντα ἀργυρίου καὶ ἀρώματα εἰς πλῆθος
σφόδρα. καὶ λίθον τίμιον. καὶ οὐκ ἦν κατὰ τὰ ἀρώματα ἐκεῖνα
ἃ ἔδωκε βασίλισσα σαβὰ τῷ βασιλεῖ σαλωμῶντι. καὶ οἱ παῖ-
δες σαλωμὼν καὶ οἱ παῖδες χιράμ, ἔφερον αὐτῷ χρυσίον ἐκ
σουφίρ. καὶ ξύλα πεύκινα καὶ λίθον τίμιον. καὶ ἐποίησεν ὁ βα-
σιλεὺς τὰ ξύλα τὰ πεύκινα, ἀναβάσεις τῷ οἴκῳ κυρίου. καὶ τῷ οἴκῳ
τοῦ βασιλέως. καὶ κιθάρας καὶ νάβλας τοῖς ᾠδοῖς. καὶ οὐκ ὤφθη-
σαν τοιαῦτα ἔμπροσθεν ἐν γῇ ἰούδα. καὶ ὁ βασιλεὺς σαλωμὼν
ἔδωκε τῇ βασιλίσσῃ σαβὰ πάντα τὰ θελήματα αὐτῆς ἃ ᾔτη-
σεν, ἐκτὸς πάντων ὧν ἤνεγκε τῷ βασιλεῖ σαλωμῶντι. καὶ ἐπέστρε-
ψεν εἰς τὴν γῆν αὐτῆς. καὶ ἦν ὁ σταθμὸς τοῦ χρυσίου τοῦ ἐνεχθέν-
τος αὐτῷ ἐνιαυτῷ ἑνὶ, ἑξακόσια ἑξήκοντα ἓξ τάλαντα χρυσί-
ου. πλὴν τῶν ἀνδρῶν τῶν ὑποτεταγμένων καὶ τῶν ἐμπορευο-
μένων ὧν ἔφερον. καὶ πάντων τῶν βασιλέων τῆς ἀραβίας καὶ σα-
τραπῶν τῆς γῆς, πάντες ἔφερον χρυσίον καὶ ἀργύριον τῷ βασι-
λεῖ σαλωμῶντι. καὶ ἐποίησεν ὁ βασιλεὺς σαλωμὼν, διακοσίους
θυρεοὺς χρυσοῦς ἐλατούς. ἑξακόσιοι χρυσοῖ καθαροὶ, ἐπῆσαν ἐπὶ
τὸν θυρεὸν τὸν ἕνα. καὶ τριακοσίας ἀσπίδας ἐλατὰς χρυσᾶς. τριακο-
σίων χρυσῶν ἀνεφέρετο ἐπὶ τὴν ἀσπίδα ἑκάστην. καὶ ἔδωκεν αὐ-

τας ὁ βασιλεὺς ἐν οἴκῳ δρυμοῦ τοῦ λιβάνου. καὶ ἐποίησεν ὁ βασιλεὺς θρόνον ἐλεφάντινον ὀδόντων μεγάλων καὶ κατεχρύσωσεν αὐτὸν χρυσίῳ δοκίμῳ. καὶ ἓξ ἀναβαθμοὶ τοῦ θρόνῳ ἐνδεδεμένοι χρυσίῳ. καὶ ἀγκῶνες ἔνθεν καὶ ἔνθεν ἐπὶ τοῦ θρόνου τῆς καθέδρας. καὶ δύο λέοντες ἑστηκότες παρὰ τοὺς ἀγκῶνας. καὶ δώδεκα λέοντες ἑστηκότες ἐκεῖ ἐπὶ τῶν ἓξ ἀναβαθμῶν ἔνθεν καὶ ἔνθεν. οὐκ ἐγενήθη οὕτως ἐν πάσῃ βασιλείᾳ. καὶ πάντα τὰ σκεύη τοῦ βασιλέως σαλωμῶντος χρυσίου, καὶ πάντα τὰ σκεύη οἴκου τοῦ δρυμοῦ τοῦ λιβάνου χρυσίῳ κατειλημμένα οὐκ ἦν ἀργύριον λογιζόμενον ἐν ταῖς ἡμέραις σαλωμῶν εἰς οὐθέν. ὅτι ναῦς τοῦ βασιλέως ἐπορεύετο εἰς θαρσεῖς μετὰ τῶν παίδων χιρὰμ ἅπαξ. διὰ τριῶν ἐτῶν ἤρχετο πλοῖον ἐκ θαρσεῖς τοῦ βασιλεῖ γέμον χρυσίου καὶ ἀργυρίου καὶ ὀδόντων ἐλεφαντίνων καὶ πιθήκων. καὶ ἐμεγαλύνθη σαλωμῶν ὑπὲρ πάντας τοὺς βασιλεῖς πλούτῳ καὶ σοφίᾳ. καὶ πάντες οἱ βασιλεῖς τῆς γῆς ἐζήτουν τὸ πρόσωπον σαλωμῶν ἀκοῦσαι τῆς σοφίας αὐτοῦ, ἧς ἔδωκεν ὁ θεὸς ἐν καρδίᾳ αὐτοῦ. καὶ αὐτοὶ ἔφερον ἕκαστος τὰ δῶρα αὐτοῦ σκεύη ἀργυρᾶ καὶ χρυσᾶ καὶ ἱματισμὸν. καὶ στακτὴν καὶ ἡδύσματα καὶ ἵππους καὶ ἡμιόνους, τὸ κατ' ἐνιαυτὸν ἐνιαυτόν. καὶ ἦσαν τῷ βασιλεῖ σαλωμῶν τέσσαρες χιλιάδες θήλειαι ἵπποι εἰς ἅρματα. καὶ δώδεκα χιλιάδες ἱππέων, καὶ ἔθετο αὐτοὺς ἐν πόλεσι τῶν ἁρμάτων καὶ μετὰ τοῦ βασιλέως ἐν ἱσραὴλ καὶ ἦν ἡγούμενος πάντων τῶν βασιλέων ἀπὸ τοῦ ποταμοῦ καὶ ἕως τῆς γῆς ἀλλοφύλων, καὶ ἕως ὁρίου αἰγύπτου. καὶ ἔδωκεν ὁ βασιλεὺς τὸ χρυσίον καὶ τὸ ἀργύριον ἐν ἱερουσαλὴμ ὡς λίθους καὶ τὰς κέδρους, ὡς συκαμίνους τὰς ἐν τῇ πεδινῇ εἰς πλῆθος καὶ ἡ ἔξοδος τῶν ἱππέων ἐξ αἰγύπτου τοῦ σαλωμῶν ἐκ πάσης τῆς γῆς. καὶ οἱ κατάλοιποι λόγοι σαλωμῶν οἱ πρῶτοι καὶ οἱ ἔσχατοι ἰδοὺ οὗτοι γεγραμμένοι ἐπὶ τῶν λόγων νάθαν τοῦ προφήτου. καὶ ἐπὶ τῶν λόγων ἀχιὰ τοῦ σηλωνίτου. καὶ ἐν ταῖς ὁράσεσιν ἰωὴλ τοῦ ὁρῶντος περὶ ἱεροβοὰμ υἱοῦ

ναβὰτ. καὶ ἐβασίλευσεν σολομῶν ἐπὶ πάντα ἰσραὴλ τεσ-
σαράκοντα ἔτη. καὶ ἐκοιμήθη σαλομῶν, καὶ ἔθαψαν αὐτὸν
ἐν πόλει δαβὶδ τοῦ πατρὸς αὐτοῦ. καὶ ἐβασίλευσε ῥοβοὰμ
υἱὸς αὐτοῦ ἀντ᾽ αὐτοῦ.

Κεφάλαιον ι. ϛ.

Καὶ ἦλθε ῥοβοὰμ εἰς σύχεμ, ὅτι εἰς συχὲμ ἤρχετο
κ πᾶς ἰσραὴλ βασιλεῦσαι αὐτόν. καὶ ἐγένετο ὡς ἤκου-
σεν ἱεροβοὰμ υἱὸς ναβὰτ καὶ αὐτὸς ἐν αἰγύπτῳ ὡς ἔ-
φυγεν ἀπὸ προσώπου σολομῶν τοῦ βασιλέως. καὶ κατῴκησεν ἱερο-
βοὰμ ἐν αἰγύπτῳ. καὶ ἀπέστρεψεν ἱεροβοὰμ ἐξ αἰγύπτου καὶ ἀπέστει-
λαν καὶ ἐκάλεσαν αὐτόν. καὶ ἦλθεν ἱεροβοὰμ καὶ πᾶσα ἡ ἐκκλησία
ἰσραὴλ πρὸς τὸν βασιλέα ῥοβοὰμ λέγοντες. ὁ πατήρ σου ἐσκλή-
ρυνε τὸν ζυγὸν ἡμῶν. καὶ νῦν ἄφελε ἀπὸ τῆς δουλείας τοῦ πατρός σου
τῆς σκληρᾶς καὶ ἀπὸ τοῦ ζυγοῦ αὐτοῦ τοῦ βαρέως, οὗ ἔδωκεν
ἐφ᾽ ἡμᾶς καὶ δουλεύσομέν σοι καὶ εἶπεν αὐτοῖς. πορεύεσθε
ἕως τριῶν ἡμερῶν, καὶ ἔρχεσθε πρός με. καὶ ἀπῆλθεν ὁ λα-
ός. καὶ συνήγαγεν ὁ βασιλεὺς ῥοβοὰμ τοὺς πρεσβυτέρους
τοὺς ἑστηκότας ἐναντίον τοῦ σολομῶν τοῦ πατρὸς αὐτοῦ ἐν τῷ
ζῆν αὐτὸν, λέγων. πῶς ὑμεῖς βουλεύεσθε τοῦ ἀποκριθῆναι τῷ
λαῷ τούτῳ λόγον; καὶ ἐλάλησαν αὐτῷ λέγοντες. ἐὰν σὺ τῇ
σήμερον γένῃ εἰς ἀγαθὸν τῷ λαῷ τούτῳ καὶ εὐδοκήσῃς καὶ
λαλήσῃς αὐτοῖς λόγους ἀγαθοὺς, καὶ ἔσονταί σοι παῖδες πάσας
τὰς ἡμέρας. καὶ κατέλιπε τὴν βουλὴν τῶν πρεσβυτέρων οἳ συνε-
βουλεύσαντο αὐτῷ. καὶ συνεβουλεύσατο μετὰ τῶν παιδαρίων τῶν
συνεκτραφέντων μετ᾽ αὐτοῦ τῶν ἑστηκότων ἐναντίον αὐτοῦ. καὶ εἶ-
πεν αὐτοῖς τί ὑμεῖς βουλεύεσθε καὶ ἀποκριθήσομαι λόγον τῷ λα-
ῷ τούτῳ, οἳ ἐλάλησαν πρός με λέγοντες. ἄνες ἀπὸ τοῦ ζυγοῦ
οὗ ἔδωκεν ὁ πατήρ σου ἐφ᾽ ἡμᾶς. καὶ ἐλάλησαν αὐτῷ τὰ παιδά-
ρια τὰ ἐκτραφέντα μετ᾽ αὐτοῦ λέγοντα. οὕτως λαλήσεις τῷ λαῷ
τῷ λαλήσαντι πρὸς σὲ λέγοντι, ὁ πατήρ σου ἐβάρυνε τὸν ζυ-

γὸν ὑμῶν. καὶ σὺ ἄφες ἀφ' ἡμῶν. οὕτως ἐρεῖς. ὁ μικρὸς δάκ-
τυλός μου, παχύτερος τῆς ὀσφύος τοῦ πατρός μου. καὶ νῦν ὁ πα-
τήρ μου ἐπαίδευσεν ὑμᾶς ζυγῷ βαρεῖ. κἀγὼ προσθήσω ἐπὶ τὸν
ζυγὸν ὑμῶν. ὁ πατήρ μου ἐπαίδευσεν ὑμᾶς ἐν μάστιξι, κἀγὼ
παιδεύσω ὑμᾶς ἐν σκορπίοις. καὶ ἦλθεν ἱεροβοὰμ καὶ πᾶς ὁ
λαὸς, πρὸς ῥοβοὰμ ἐν τῇ ἡμέρᾳ τῇ τρίτῃ ὡς ἐλάλησεν ὁ βασι-
λεὺς λέγων. ἐπιστρέψατε πρός με ἐν τῇ ἡμέρᾳ τῇ τρίτῃ. καὶ
ἀπεκρίθη ὁ βασιλεὺς σκληρά. καὶ ἐγκατέλιπεν ὁ βασιλεὺς ῥο-
βοὰμ τὴν βουλὴν τῶν πρεσβυτέρων, καὶ ἐλάλησε κατὰ τὴν
βουλὴν τῶν νεωτέρων. ὁ πατήρ μου ἐβάρυνε τὸν ζυγὸν ὑ-
μῶν καὶ ἐγὼ προσθήσω ἐπ' αὐτόν. ὁ πατήρ μου ἐπαίδευ-
σεν ὑμᾶς ἐν μάστιξι, καὶ ἐγὼ παιδεύσω ὑμᾶς ἐν σκορπίοις.
καὶ οὐκ ἤδει ὁ βασιλεὺς ῥοβοὰμ, ὅτι ἦν μεταστροφὴ παρὰ τοῦ
θεοῦ λέγων. ἀνέστησε κύριος τὸν λόγον αὐτοῦ, ὃν ἐλάλησεν
ἐν χειρὶ ἀχιὰ τοῦ σηλωνίτου περὶ ἱεροβοὰμ υἱοῦ ναβὰτ καὶ παν-
τὸς ἰηλ. ὅτι οὐκ ἤκουσεν ὁ βασιλεὺς αὐτῶν, καὶ ἀπεκρίθη ὁ λαὸς
πρὸς τὸν βασιλέα λέγοντες, τίς ἡμῖν μερὶς ἐν δαβὶδ καὶ κλη-
ρονομία ἐν υἱῷ ἰεσσαί, ἀπότρεχε εἰς τὰ σκηνώματά σου ἰηλ.
νῦν βλέπε τὸν οἶκόν σου δάδ. καὶ ἐπορεύθη πᾶς ἰσραὴλ εἰς τὰ
σκηνώματα αὐτοῦ. καὶ ἄνδρες ἰσραὴλ. καὶ οἱ κατοικοῦντες ἐν
πόλεσιν ἰούδα, ἐβασίλευσαν ἐπ' αὐτὸν τὸν ἱεροβοὰμ, καὶ ἀπέστει-
λεν ἐπ' αὐτοὺς ῥοβοὰμ ὁ βασιλεὺς τὸν ἀδωνιρὰμ τὸν ἐπὶ τοῦ φόρου
καὶ ἐλιθοβόλησαν αὐτὸν οἱ υἱοὶ ἰσραὴλ λίθοις καὶ ἀπέθανε. καὶ ὕκυ-
σε βασιλεὺς ῥοβοὰμ, καὶ ἔσπευσε τοῦ ἀναβῆναι εἰς τὸ ἅρμα, καὶ τοῦ
φυγεῖν εἰς ἱερουσαλήμ. καὶ ἠθέτησεν ἰσραὴλ ἐν τῷ οἴκῳ δαβίδ, ἕ-
ως τῆς ἡμέρας ταύτης. Καὶ ἦλθε ῥοβοὰμ εἰς ἱερουσαλὴμ, καὶ ἐξεκ-
κλησίασε τὸν οἶκον ἰούδα. καὶ βενιαμὶν ἑκατὸν ὀγδοήκοντα χιλι-
άδας νεανίσκων ποιούντων πόλεμον, καὶ ἐπολέμει πρὸς ἰσραὴλ
καὶ πρὸς ἱεροβοὰμ τοῦ ἐπιστρέψαι τὴν βασιλείαν ἑαυτῷ. καὶ ἐγένε-
το λόγος κυρίου πρὸς σαμαίαν ἄνθρωπον τοῦ θεοῦ λέγων.

εἶπον πρὸς ῥοβοὰμ τὸν τοῦ σαλωμὼν βασιλέα ἰούδα καὶ πρὸς
πάντα ἰσραὴλ καὶ ἰούδαν καὶ βενιαμὶν λέγων. τάδε λέγει
κύριος. οὐκ ἀναβήσεσθε οὐδὲ πολεμήσετε πρὸς τοὺς ἀδελ-
φοὺς ὑμῶν. ἀποστρεφέτω ἕκαστος εἰς τὸν οἶκον αὐτοῦ. ὅτι παρ'
ἐμοῦ ἐγένετο τὸ ῥῆμα τοῦτο. καὶ ὑπήκουσαν τοῦ λόγου κυρίου καὶ
ἀπεστράφησαν τοῦ μὴ πορευθῆναι ἐπὶ ἱεροβοάμ. καὶ κατῴκησε
ῥοβοὰμ ἐν ἱερουσαλὴμ καὶ ᾠκοδόμησε πόλεις τειχήρεις ἐν τῇ ἰου-
δαίᾳ. καὶ ᾠκοδόμησε τὴν βηθλεέμ, καὶ τὴν αἰτὰν καὶ τὴν θεκουὲ
καὶ τὴν βαιθσουρὰν καὶ τὴν σοχὼθ καὶ τὴν ὀδολλὰμ καὶ τὴν γὲθ
καὶ τὴν μαρεισὰρ καὶ τὴν ζὶφ καὶ τὴν ἀδουραὶμ καὶ τὴν λαχὶς καὶ ἀ-
ζηκὰ καὶ τὴν σαλαὰ καὶ τὴν αἰλὼμ καὶ τὴν χεβρών, ἅ ἐστι τοῦ
ἰούδα καὶ τοῦ βενιαμὶν πόλεις τειχήρεις. καὶ ὠχύρωσεν αὐτὰς
τείχεσι. καὶ ἔδωκεν αὐτοῖς ἡγουμένους καὶ παραθέσεις βρω-
μάτων. ἔλαιον καὶ οἶνον, κατὰ πόλιν καὶ θυρεοὺς καὶ δόρατα
καὶ κατίσχυσεν αὐτὰς εἰς πλῆθος σφόδρα. καὶ ἦσαν τοῦ ἰούδα
καὶ βενιαμίν. καὶ οἱ ἱερεῖς καὶ οἱ λευῖται οἳ ἦσαν ἐν παντὶ ἰσραὴλ
συνήχθησαν πρὸς αὐτὸν ἐκ πάντων τῶν ὁρίων. ὅτι ἐγκατέλι-
πον οἱ λευῖται τὰ σκηνώματα τῆς κατασχέσεως αὐτῶν. καὶ
ἐπορεύθησαν πρὸς ἰούδαν εἰς ἱερουσαλήμ. ὅτι ἐξέβαλεν αὐ-
τοὺς ἱεροβοὰμ καὶ οἱ υἱοὶ αὐτοῦ τοῦ μὴ λειτουργεῖν κυρίῳ. καὶ κατέ-
στησεν ἑαυτῷ ἱερεῖς τῶν ὑψηλῶν καὶ τοῖς εἰδώλοις καὶ τοῖς μα-
ταίοις καὶ τοῖς μόσχοις, ἃ ἐποίησεν ἱεροβοάμ. καὶ ἐξέβαλεν
αὐτοὺς ἀπὸ φυλῶν ἰσραήλ, οἳ ἔδωκαν τὴν καρδίαν αὐτῶν ζη-
τῆσαι τὸν κύριον θεὸν ἰσραήλ. καὶ ἦλθον εἰς ἱερουσαλὴμ θῦσαι κυρίῳ
θεῷ τῶν πατέρων αὐτῶν. καὶ κατίσχυσαν τὴν βασιλείαν ἰούδα
καὶ κατίσχυσε ῥοβοὰμ ὁ τοῦ σαλωμὼν εἰς ἔτη τρία. ὅτι ἐπορεύθη
ταῖς ὁδοῖς δαβὶδ καὶ σαλωμὼν τοῦ πατρὸς αὐτοῦ ἔτη τρία, καὶ ἔ-
λαβεν αὐτοῦ ῥοβοὰμ γυναῖκα τὴν μοολὰθ θυγατέρα ἱεριμοὺθ
υἱοῦ δαβίδ. καὶ ἀβιγαίαν θυγατέρα ἐλιὰβ τοῦ ἰεσσαί. καὶ ἔ-
τεκεν αὐτοῦ υἱούς, τὸν ἰεοὺς. καὶ τὸν σαμορίαν. καὶ τὸν ζαὰμ.

καὶ μετὰ ταῦτα ἔλαβεν ἑαυτῷ τὴν μααχὰ, θυγατέρα ἀβεσ-
σαλώμ. καὶ ἔτεκεν αὐτῷ τὸν ἀβιὰ καὶ τὸν ἰεθθὶ καὶ τὸν ζηζὰ καὶ
τὸν σαλημμώθ. καὶ ἠγάπησε ῥοβοὰμ τὴν μααχὰ θυγατέρα ἀ-
βεσσαλὼμ, ὑπὲρ πάσας τὰς γυναῖκας αὐτοῦ. καὶ τὰς παλλακάς.
ὅτι γυναῖκας δεκαοκτὼ εἶχε. καὶ παλλακὰς ἑξήκοντα. καὶ ἐγέννη-
σεν εἴκοσι καὶ ὀκτὼ υἱοὺς, καὶ θυγατέρας ἑξήκοντα. καὶ κατέστησεν
εἰς ἄρχοντα ῥοβοὰμ τὸν ἀβιὰ τὸν τῆς μααχὰ, καὶ εἰς ἡγούμενον
ἐν τοῖς ἀδελφοῖς αὐτοῦ. ὅτι βασιλεῦσαι διενοεῖτο αὐτόν. καὶ ηὐ-
ξήθη παρὰ πάντας τοὺς ἀδελφοὺς αὐτοῦ ἐν πᾶσι τοῖς ὁρίοις ἰού-
δα καὶ βενιαμίν. καὶ ἐν ταῖς πόλεσι ταῖς ὀχυραῖς. καὶ ἔδωκεν
ἐν αὐταῖς τροφὰς πλῆθος πολύ. καὶ ᾐτήσατο πλῆθος γυναικῶν.
Καὶ ἐγένετο ὡς ἡτοιμάσθη ἡ βασιλεία ῥοβοὰμ καὶ ὡς κατεκρα-
τήθη ἐγκατέλιπε τὰς ἐντολὰς κυρίου, καὶ πᾶς ἰσραὴλ μετ᾽
αὐτοῦ. καὶ ἐγένετο ἐν τῷ ἔτει τῷ πέμπτῳ τῆς βασιλείας ῥο-
βοὰμ, ἀνέβη, σουσακὶμ βασιλεὺς αἰγύπτου ἐπὶ ἱερουσαλὴμ, ὅτι
ἥμαρτον ἐναντίον κυρίου ἐν χιλίοις καὶ ὀκτακοσίοις ἅρμασι.
καὶ ἑξήκοντα χιλιάσιν ἵππων. καὶ οὐκ ἦν ἀριθμὸς τοῦ πλήθους
τοῦ ἐλθόντος μετ᾽ αὐτοῦ ἐξ αἰγύπτου λίβυες τρωγλοδύται καὶ
αἰθίοπες. καὶ κατεκράτησαν τῶν πόλεων τῶν ὀχυρῶν αἳ ἦσαν ἐν
ἰούδα, καὶ ἦλθον εἰς ἱερουσαλήμ. καὶ σαμαίας ὁ προφήτης ἦλθε
πρὸς ῥοβοὰμ καὶ πρὸς τοὺς ἄρχοντας ἰούδα τοὺς συναχθέντας
εἰς ἱερουσαλὴμ ἀπὸ προσώπου σουσακὶμ, καὶ εἶπεν αὐτοῖς.
οὕτως εἶπε κύριος. ὑμεῖς ἐγκατελίπετέ με καὶ ἐγὼ ἐγκατα-
λείψω ὑμᾶς ἐν χειρὶ σουσακίμ. καὶ ᾐσχύνθησαν οἱ ἄρχοντες ἰού-
δα καὶ ὁ βασιλεὺς, καὶ εἶπαν, δίκαιος ὁ κύριος. καὶ ἐν τῷ ἰδεῖν
κύριον ὅτι ἐνετράπησαν, καὶ ἐγένετο λόγος κυρίου πρὸς σαμαίαν
λέγων. ἐνετράπησαν οὐ καταφθερῶ αὐτούς. καὶ δώσω αὐ-
τοὺς ὡς μικρὸν εἰς σωτηρίαν. καὶ οὐ μὴ στάξῃ ὁ θυμός μου ἐν ἱερου-
σαλήμ. ὅτι ἔσονται εἰς παῖδας. καὶ γνώσονται τὴν δουλείαν μου
καὶ τὴν δουλείαν τῆς βασιλείας τῆς γῆς, καὶ ἀνέβη σουσα-

κὶμ βασιλεὺς αἰγύπτου ἐπὶ ἱερουσαλήμ, καὶ ἔλαβε τοὺς θησαυροὺς τοὺς ἐν οἴκῳ κυρίου, καὶ τοὺς θησαυροὺς τοὺς ἐν οἴκῳ τοῦ βασιλέως τὰ πάντα ἔλαβε. καὶ τοὺς θυρεοὺς τοὺς χρυσοῦς οὓς ἐποίησε σαλωμών. καὶ ἐποίησεν ὁ βασιλεὺς ῥοβοὰμ θυρεοὺς χαλκοῦς ἀντ' αὐτῶν. καὶ κατέστησεν ἐπ' αὐτὸν σουσακὶμ βασιλεὺς αἰγύπτου, ἄρχοντας παρατρεχόντων τοὺς φυλάσσοντας τὸν πυλῶνα τοῦ βασιλέως. καὶ ἐγένετο ἐν τῷ εἰσελθεῖν τὸν βασιλέα εἰς οἶκον κυρίου, ἐπορεύοντο οἱ φυλάσσοντες καὶ οἱ παρατρέχοντες καὶ οἱ ἐπιστρέφοντες εἰς ἀπάντησιν τῶν παρατρεχόντων. καὶ ἐν τῷ ἐνταπεινῶσαι αὐτὸν, ἀπεστράφη ἀπ' αὐτοῦ, ὀργὴ κυρίου. καὶ οὐκ εἰς καταφθορὰν εἰς τέλος. καὶ γὰρ ἐν τῷ ἰούδα ἦσαν λόγοι ἀγαθοί. καὶ κατίσχυσεν ὁ βασιλεὺς ῥοβοὰμ ἐν ἱερουσαλὴμ καὶ ἐβασίλευσεν. καὶ τεσσαράκοντα καὶ ἑνὸς ἦν ῥοβοὰμ ἐν τῷ βασιλεῦσαι αὐτόν. καὶ ἑπτακαίδεκα ἔτη ἐβασίλευσεν ἐν ἱερουσαλὴμ ἐν τῇ πόλει ἣν ἐξελέξατο κύριος ἐπονομάσαι τὸ ὄνομα αὐτοῦ ἐκεῖ ἐκ πασῶν υἱῶν ἰσραήλ. καὶ τὸ ὄνομα τῆς μητρὸς αὐτοῦ νοομμὰ ἡ ἀμμανῖτις. καὶ ἐποίησε τὸ πονηρόν. ὅτι οὐ κατεύθυνε τὴν καρδίαν αὐτοῦ ἐκζητῆσαι κύριον. καὶ οἱ λόγοι ῥοβοὰμ οἱ πρῶτοι καὶ ἔσχατοι οὐκ ἰδού εἰσι γεγραμμένοι ἐν τοῖς λόγοις σαμαία τοῦ προφήτου καὶ ἀδδὼ τοῦ ὁρῶντος, καὶ αἱ πράξεις αὐτοῦ. καὶ ἐπολέμησε ῥοβοὰμ τὸν ἱεροβοὰμ πάσας τὰς ἡμέρας. καὶ ἀπέθανε ῥοβοὰμ μετὰ τῶν πατέρων αὐτοῦ καὶ ἐτάφη ἐν πόλει δαβίδ. καὶ ἐβασίλευσεν ἀβιὰ υἱὸς αὐτοῦ ἀντ' αὐτοῦ.

Κεφάλαιον. ς. 6.

Ν τῷ ὀγδόῳ καὶ δεκάτῳ ἔτει τῆς βασιλείας ἱεροβοὰμ, ἐβασίλευσεν ἀβιὰ ἐπὶ ἰούδαν. καὶ τρία ἔτη ἐβασίλευσεν ἐπὶ ἱερουσαλήμ. καὶ ὄνομα τῇ μητρὶ αὐτοῦ μααχὰ θυγάτηρ οὐριὴλ ἀπὸ γαβαών. καὶ πόλεμος ἦν ἀνὰ μέσον ἱεροβοὰμ, καὶ ἀνὰ μέσον ἀβιά. καὶ παρετάξατο ἀβιὰ τὸν πόλεμον ἐν δυνάμει πολεμισταῖς δυνάμεως τετρακοσίαις χιλιάσιν ἀνδρῶν

δυνατῶν. καὶ ἱεροβοὰμ παρετάξατο πρὸς αὐτὸν πόλεμον ἐν ὀ-
κτακοσίαις χιλιάσιν ἀνδρῶν πολεμιστῶν δυνάμεως ἰσχύι. καὶ
ἀνέστη ἀβιὰ ἀπὸ τοῦ ὄρους σομόρων, ὅ ἐστιν ἐν τῷ ὄρει ἐφραὶμ καὶ
εἶπεν. ἀκούσατε ἱεροβοὰμ καὶ πᾶς ἰσραήλ. οὐχ ὑμῖν γνῶναι
ὅτι κύριος ὁ θεὸς ἰσραὴλ ἔδωκε βασιλεία τὸν δαβὶδ ἐπὶ ἰσρα-
ὴλ εἰς τὸν αἰῶνα καὶ τοὺς υἱοὺς αὐτῷ εἰς διαθήκην αἰώνιον. καὶ ἀνέ-
στη ἱεροβοὰμ ὁ τοῦ ναβὰτ ὁ παῖς σολομῶν τοῦ δαβὶδ καὶ ἀπέστη
ἀπὸ τοῦ κυρίου αὐτοῦ· καὶ συνήχθησαν πρὸς αὐτὸν ἄνδρες λοι-
μοὶ υἱοὶ παράνομοι. καὶ ἀντέστη πρὸς ῥοβοὰμ υἱὸν σολομῶν.
καὶ ῥοβοὰμ ἦν νεώτερος καὶ δειλὸς τῇ καρδίᾳ, καὶ οὐκ ἀντέστη κα-
τὰ πρόσωπον αὐτοῦ. καὶ νῦν ὑμεῖς λέγετε ἀντιστῆναι κατὰ πρόσω-
πον βασιλείας κυρίου διὰ χειρὸς υἱῶν δαβίδ. καὶ ὑμεῖς πλῆθος
πολύ, καὶ μεθ' ὑμῶν μόσχοι χρυσοῖ οὓς ἐποίησεν ὑμῖν ἱεροβο-
ὰμ εἰς θεούς. οἳ ἐξεβάλετε τοὺς ἱερεῖς κυρίου τοὺς υἱοὺς ἀαρὼν καὶ τοὺς
λευίτας, καὶ ἐποιήσατε ἑαυτοῖς ἱερεῖς ἐκ τοῦ λαοῦ τῆς γῆς πάσης.
ὁ προσπορευόμενος πληρῶσαι τὰς χεῖρας ἐν μόσχοις ἐκ βο-
ῶν καὶ κριοῖς ἑπτά. καὶ ἐγίνετο εἰς ἱερέα τῷ μὴ ὄντι θεῷ. καὶ
ἡμεῖς κύριον τὸν θεὸν ἡμῶν οὐκ ἐγκατελίπομεν. καὶ οἱ ἱερεῖς αὐτοῦ
λειτουργοῦσι τῷ κυρίῳ υἱοὶ ἀαρών, καὶ οἱ λευῖται καὶ ἐν ταῖς ἐφη-
μερίαις αὐτῶν θυμιῶσι τῷ κυρίῳ ὁλοκαυτώματα πρωῒ καὶ δεί-
λης, καὶ θυμίαμα συνθέσεως. καὶ προθέσεις ἄρτων ἐπὶ τῆς τρα-
πέζης τῆς καθαρᾶς. καὶ ἡ λυχνία ἡ χρυσῆ καὶ οἱ λυχνοὶ τῆς καύ-
σεως ἀνάψαι δείλης. ὅτι φυλάσσομεν ἡμεῖς τὰς φυλακὰς κυ-
ρίου θεοῦ τῶν πατέρων ἡμῶν, καὶ ὑμεῖς ἐγκατελίπετε αὐτόν.
καὶ ἰδοὺ μεθ' ἡμῶν ἐν ἀρχῇ κύριος καὶ οἱ ἱερεῖς αὐτοῦ, καὶ
αἱ σάλπιγγες τῆς σημασίας τοῦ σημαίνειν ἐφ' ἡμᾶς. καὶ οἱ υἱοὶ τοῦ
ἰσραὴλ μὴ πολεμήσητε πρὸς κύριον θεὸν τῶν πατέρων ἡμῶν.
ὅτι οὐκ εὐοδωθήσεται. καὶ ἱεροβοὰμ ἀπέστρεψε τὸ ἔνεδρον ἐλθεῖν
αὐτῷ ἐκ τῶν ὄπισθε. καὶ ἐγένετο ἔμπροσθεν ἰούδα καὶ τὸ ἔνε-
δρον ἐκ τῶν ὄπισθεν. καὶ ἀπέστρεψεν ἰούδας, καὶ ἰδοὺ αὐτοῖς

ὁ πόλεμος ἐκ τῶν ἔμπροσθεν καὶ ἐκ τῶν ὄπισθεν καὶ ἐβόησαν πρὸς κύριον, καὶ οἱ ἱερεῖς ἐσάλπισαν ταῖς σάλπιγξι. καὶ ἐβόησαν ἄνδρες ἰούδα. καὶ ἐγένετο ἐν τῷ βοᾶν ἄνδρας ἰούδα, καὶ κύριος ἐπάταξε τὸν ἱεροβοὰμ καὶ τὸν ἰσραὴλ ἐναντίον ἀβιὰ καὶ ἰούδα. καὶ ἔφυγον οἱ υἱοὶ ἰσραὴλ ἀπὸ προσώπου ἰούδα καὶ παρέδωκεν αὐτοὺς κύριος εἰς τὰς χεῖρας αὐτῶν. καὶ ἐπάταξεν αὐτοὺς ἀβιὰ, καὶ ὁ λαὸς αὐτοῦ, πληγὴν μεγάλην. καὶ ἔπεσον τραυματίαι ἀπὸ ἰσραὴλ, πεντακόσιαι χιλιάδες ἀνδρῶν δυνατοί. καὶ ἐταπεινώθησαν οἱ υἱοὶ ἰσραὴλ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ. καὶ κατίσχυσαν οἱ υἱοὶ ἰούδα ὅτι ἤλπισαν ἐπὶ κύριον τὸν θεὸν τῶν πατέρων αὐτῶν. καὶ κατεδίωξεν ἀβιὰ ὀπίσω ἱεροβοὰμ καὶ προκατελάβετο παρ' αὐτοῦ τὰς πόλεις τὴν βαιθὴλ καὶ τὰς κώμας αὐτῆς. καὶ τὴν ἰεσυνὰ καὶ τὰς κώμας αὐτῆς. καὶ τὴν ἐφρὼν καὶ τὰς κώμας αὐτῆς. καὶ οὐκ ἴσχυσεν ἱεροβοὰμ ἔτι, πάσας τὰς ἡμέρας ἀβιά. καὶ ἐπάταξεν αὐτὸν κύριος καὶ ἐτελεύτησε. καὶ κατίσχυσεν ἀβιὰ, καὶ ἔλαβεν ἑαυτῷ γυναῖκας τεσσαρεσκαίδεκα. καὶ ἐγέννησεν εἴκοσι καὶ δύο υἱοὺς, καὶ ἑξήκοντα δύο θυγατέρας, καὶ οἱ λοιποὶ λόγοι ἀβιὰ καὶ αἱ πράξεις αὐτοῦ καὶ οἱ λόγοι αὐτοῦ, γεγραμμένοι ἐπὶ βιβλίου τοῦ προφήτου ἀδδώ.

Καὶ ἀπέθανεν ἀβιὰ, μετὰ τῶν πατέρων αὐτοῦ, καὶ ἔθαψαν αὐτὸν ἐν πόλει δαβίδ. καὶ ἐβασίλευσεν ἀσὰ υἱὸς αὐτοῦ ἀντ' αὐτοῦ. ἐν ταῖς ἡμέραις ἀσὰ, ἡσύχασεν ἡ γῆ ἰούδα δέκα ἔτη καὶ ἐποίησε τὸ καλὸν καὶ τὸ εὐθὲς ἐνώπιον κυρίου τοῦ θεοῦ ἑαυτοῦ. καὶ ἀπέστησε τὰ θυσιαστήρια τῶν ἀλλοτρίων καὶ τὰ ὑψηλά. καὶ συνέτριψε τὰς στήλας. καὶ ἐξέκοψε τὰ ἄλση. καὶ εἶπε τῷ ἰούδα. ἐκζητῆσαι κύριον τὸν θεὸν τῶν πατέρων αὐτῶν. καὶ ποιῆσαι τὸν νόμον αὐτοῦ. καὶ τὰς ἐντολάς. καὶ ἀπέστησεν ἀπὸ πασῶν πόλεων ἰούδα τὰ θυσιαστήρια καὶ τὰ εἴδωλα. καὶ εἰρήνευσε πόλεις τειχήρεις ἐν γῇ ἰούδα, ὅτι εἰρήνευσεν ἡ γῆ. καὶ οὐκ ἦν αὐτῷ πόλεμος ἐν τοῖς ἔτεσι τούτοις. ὅτι κατέπαυσε κύριος

αὐτῷ· καὶ εἶπε τῷ ἰούδα· οἰκοδομήσωμεν τὰς πόλεις ταύτας
καὶ ποιήσωμεν τείχη καὶ πύργους καὶ πύλας καὶ μοχλοὺς ἐν
ᾧ τῆς γῆς κυριεύομεν. ὅτι καθὼς ἐξεζητήσαμεν κύριον τὸν θεὸν ἡ-
μῶν ἐξεζήτησεν ἡμᾶς. καὶ κατέπαυσεν ἡμᾶς κυκλόθεν, καὶ εὐώ-
δωσεν ἡμῖν καὶ ἐγένετο δύναμις τῷ ἀσὰ ὁπλοφόρων αἰρόντων
θυρεοὺς καὶ δόρατα ἐν γῇ ἰούδα, τριακόσιαι χιλιάδες. καὶ
ἐν γῇ βενιαμὶν πελτασταὶ καὶ τοξόται διακόσιοι καὶ ὀγδοή-
κοντα χιλιάδες. πάντες οὗτοι πολεμισταὶ δυνάμεως. καὶ ἐξῆλ-
θεν ἐπ' αὐτοὺς ζαραὶ ὁ αἰθίοψ ἐν δυνάμει ἐν χιλίαις χιλιάσι
καὶ ἅρμασι τριακοσίοις, καὶ ἦλθεν ἕως μαρησά. καὶ ἐξῆλθεν ἀσὰ
εἰς συνάντησιν αὐτοῦ. καὶ παρετάξατο πόλεμον ἐν τῇ φάραγ-
γι κατὰ βορρᾶν μαρησά. καὶ ἐβόησεν ἀσὰ πρὸς κύριον θεὸν αὐ-
τοῦ, καὶ εἶπε. κύριε. οὐκ ἀδυνατεῖ παρὰ σοὶ σώζειν ἐν πολλοῖς
καὶ ἐν ὀλίγοις. κατίσχυσον ἡμᾶς κύριε ὁ θεὸς ἡμῶν, ὅτι ἐπὶ σοὶ
πεποίθαμεν. καὶ ἐπὶ τῷ ὀνόματί σου ἤλθομεν ἐπὶ τὸ πλῆθος
τὸ πολὺ τοῦτο, κύριος ὁ θεὸς ἡμῶν, σὺ εἶ. μὴ κατισχυσάτω πρὸς
σὲ ἄνθρωπος. καὶ ἐπάταξε κύριος τοὺς αἰθίοπας ἐναντίον ἰού-
δα. καὶ ἔφυγον οἱ αἰθίοπες. καὶ κατεδίωξεν αὐτοὺς ἀσὰ καὶ ὁ
λαὸς αὐτοῦ, ἕως γεδώρ. καὶ ἔπεσον αἰθίοπες ὥστε μὴ εἶναι ἐν αὐ-
τοῖς περιποίησιν ὅτι συνετρίβησαν ἐνώπιον κυρίου καὶ ἐνώπιον
τῆς δυνάμεως αὐτοῦ. καὶ ἐσκύλευσαν σκῦλα πολλά. καὶ ἐξέκο-
ψαν τὰς κώμας αὐτῶν κύκλῳ γεδώρ. ὅτι ἐγενήθη ἔκστασις κυ-
ρίου ἐπ' αὐτούς. καὶ ἐσκύλευσαν πάσας τὰς πόλεις αὐτῶν, ὅτι
σκῦλα πολλὰ ἐγενήθη αὐτοῖς. καίγε σκηνὰς κτήσεων. καὶ τοὺς
ἀμαζονεῖς ἐξέκοψαν καὶ ἔλαβον πρόβατα πολλὰ καὶ καμή-
λους, καὶ ἐπέστρεψαν εἰς ἱερουσαλήμ. καὶ ἀζαρίας υἱὸς ἀδάδ, ἐ-
γένετο ἐπ' αὐτὸν πνεῦμα κυρίου καὶ ἐξῆλθεν εἰς ἀπάντησιν ἀσὰ
καὶ παντὶ ἰούδα καὶ βενιαμὶν καὶ εἶπεν. ἀκούσατέ μου ἀσὰ,
καὶ πᾶς ἰούδα, καὶ βενιαμίν. κύριος μεθ' ὑμῶν ἐν τῷ εἶναι
ὑμᾶς μετ' αὐτοῦ. καὶ ἐὰν ἐκζητήσητε αὐτὸν, εὑρεθήσεται ὑ-

μῖν. καὶ ἐὰν ἐγκαταλείπητε αὐτὸν, ἐγκαταλείψει ὑμᾶς. καὶ ἡμέραι πολλαὶ ἰσραὴλ ἐν οὐ θεῷ ἀληθινῷ καὶ οὐκ ἱερέως ὑποδεικνύντος καὶ ἐν οὐ νόμῳ. καὶ ἐπιστρέψει αὐτοὺς πρὸς κύριον θεὸν ἰσραήλ. καὶ εὑρεθήσεται αὐτοῖς ἐν τῷ καιρῷ ἐκείνῳ, οὐκ ἔστιν εἰρήνη τῷ ἐκπορευομένῳ καὶ τῷ εἰσπορευομένῳ, ὅτι ἔκστασις κυρίου ἐπὶ πάντας, τοὺς κατοικοῦντας τὰς χώρας. καὶ πολεμήσει ἔθνος πρὸς ἔθνος. καὶ πόλις πρὸς πόλιν. ὅτι ὁ θεὸς ἐξέστησεν αὐτοὺς ἐν πάσῃ θλίψει. καὶ ὑμεῖς ἰσχύσατε καὶ μὴ ἐκλυέσθωσαν αἱ χεῖρες ὑμῶν, ὅτι ἔστι μισθὸς τῇ ἐργασίᾳ ὑμῶν. καὶ ἐν τῷ ἀκοῦσαι τοὺς λόγους τούτους καὶ τὴν προφητείαν ἀζαρίου τοῦ προφήτου. καὶ κατίσχυσε καὶ ἐξέβαλε πάντα τὰ βδελύγματα ἀπὸ πάσης τῆς γῆς ἰούδα. καὶ βενιαμίν. καὶ ἀπὸ τῶν πόλεων ὧν κατέσχεν ἱεροβοάμ. ἐν ὄρει ἐφραίμ. καὶ ἐνεκαίνισε τὸ θυσιαστήριον κυρίου, ὃ ἦν ἔμπροσθε τοῦ ναοῦ κυρίου. καὶ ἐξεκλησίασε τὸν ἰούδαν καὶ βενιαμὶν καὶ τοὺς προσηλύτους τοὺς παροικοῦντας μετ᾽ αὐτοῦ ἀπὸ ἐφραὶμ καὶ ἀπὸ μανασσῆ καὶ ἀπὸ συμεών· ὅτι προσετέθησαν πρὸς αὐτὸν τοῦ ἰσραὴλ πολλοὶ, ἐν τῷ ἰδεῖν αὐτούς. ὅτι κύριος ὁ θεὸς αὐτοῦ μετ᾽ αὐτοῦ. καὶ συνήχθησαν εἰς ἱερουσαλὴμ ἐν τῷ μηνὶ τῷ τρίτῳ ἐν τῷ ἔτει τῷ πεντεκαιδεκάτῳ τῆς βασιλείας ἀσά, καὶ ἔθυσε τῷ κυρίῳ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἀπὸ τῶν σκύλων ὧν ἤνεγκαν, μόσχους ἑπτακοσίους καὶ πρόβατα ἑπτακισχίλια. καὶ διῆλθον ἐν διαθήκῃ ζητῆσαι κύριον θεὸν τῶν πατέρων αὐτῶν, ἐξ ὅλης τῆς καρδίας, καὶ ἐξ ὅλης τῆς ψυχῆς αὐτῶν. καὶ πᾶς ὃς ἐὰν μὴ ἐκζητήσῃ τὸν κύριον θεὸν τοῦ ἰσραὴλ, ἀποθανεῖται. ἀπὸ νεωτέρου ἕως πρεσβυτέρου. ἀπὸ ἀνδρὸς ἕως γυναικός. καὶ ὤμοσαν ἐν τῷ κυρίῳ ἐν φωνῇ μεγάλῃ καὶ ἐν σάλπιγξι καὶ ἐν κερατίναις. καὶ εὐφράνθησαν πᾶς ἰούδα περὶ τοῦ ὅρκου. ὅτι ἐξ ὅλης ψυχῆς ὤμοσαν. καὶ ἐν πάσῃ θελήσει ἐζήτησαν αὐτὸν, καὶ εὑρέθη αὐτοῖς. καὶ κατέπαυσε κύριος αὐτοῖς κυκλόθεν. καὶ τὴν μααχὰ τὴν μητέρα αὐτοῦ, μετέστησε τοῦ μὴ εἶναι

τῇ ἀστάρτῃ λειτουργοῦσαν· καὶ κατέκοψε τὸ εἴδωλον· καὶ κατέκαυ-
σεν ἐν τῷ χειμάῤῥῳ κέδρῳ. πλὴν τὰ ὑψηλὰ οὐκ ἐξῆρεν. ὅτι
ὑπῆρχον ἐν τῷ ἰούδα καὶ ἰσραήλ. ἀλλ' ἡ καρδία ἀσὰ ἐγένετο
πλήρης πάσας τὰς ἡμέρας αὐτοῦ. καὶ εἰσήνεγκεν. τὰ ἅγια δαβὶδ
τοῦ πατρὸς αὐτοῦ, καὶ τὰ ἅγια οἴκου τοῦ θεοῦ, ἀργύρειον καὶ χρυ-
σίον καὶ σκεύη καὶ πόλεμος οὐκ ἦν μετ' αὐτοῦ, ἕως τοῦ τριακο-
στοῦ καὶ πέμπτου ἔτους τῆς βασιλείας ἀσά. Καὶ ἐν τῷ ὀγδόῳ καὶ
τριακοστῷ ἔτει τῆς βασιλείας ἀσά, ἀνέβη βαασὰ βασιλεὺς ἰσ-
ραὴλ ἐπὶ ἰούδαν καὶ ᾠκοδόμησε τὴν ῥαμὰ τοῦ μὴ δοῦναι ἔξοδον
καὶ εἴσοδον τῷ ἀσὰ βασιλεῖ ἰούδα. καὶ ἔλαβεν ἀσὰ ἀργύρειον καὶ
χρυσίον ἐκ θησαυρῶν οἴκου κῦ καὶ οἴκου τοῦ βασιλέως. καὶ ἀπέστει-
λε πρὸς τὸν υἱὸν τοῦ ἄδερ βασιλέως συρίας τὸν κατοικοῦντα ἐν δαμα
σκῷ λέγων. διάθου διαθήκην ἀνὰ μέσον ἐμοῦ καὶ σοῦ, καὶ ἀνὰ μέ-
σον τοῦ πατρός μου. καὶ ἀνὰ μέσον τοῦ πατρός σου. ἰδοὺ ἀπέσταλκά
σοι, χρυσίον καὶ ἀργύρειον. δεῦρο διασκέδασον ἀπ' ἐμοῦ τὸν βα-
σιλέα ἰσραὴλ καὶ ἀπελθέτω ἀπ' ἐμοῦ. καὶ ἤκουσεν υἱὸς ἄδερ
τοῦ βασιλέως ἀσά. καὶ ἀπέστειλε τοὺς ἄρχοντας τῆς δυνάμεως
αὐτοῦ ἐπὶ τὰς πόλεις ἰσραήλ, καὶ ἐπάταξε τὴν αἰνὼν καὶ τὴν
δὰν καὶ τὴν ἀβελμαὶν καὶ πάσας τὰς περιχώρους νεφθαλίμ.
καὶ ἐγένετο ἐν τῷ ἀκοῦσαι βαασὰ βασιλέα ἰσραήλ, ἀπέλιπε
τοῦ μηκέτι οἰκοδομεῖν τὴν ῥαμαά. καὶ κατέπαυσε τὸ ἔργον αὐτοῦ.
καὶ ἀσὰ βασιλεὺς ἤγαγε πάντα τὸν ἰούδαν καὶ ἔλαβε πάντας
τοὺς λίθους τῆς ῥαμᾶ, καὶ τὰ ξύλα αὐτῆς ἃ ᾠκοδόμησε βαασά. καὶ
ᾠκοδόμησεν ἐν αὐτοῖς τὴν γαβεέ, καὶ τὴν μασφά.

Κεφάλαιον ις'. 7

Καὶ ἐν τῷ καιρῷ ἐκείνῳ, ἦλθεν ἀνανίας ὁ προφήτης
κ πρὸς ἀσὰ βασιλέα ἰούδα, καὶ εἶπεν αὐτῷ. ἐν τῷ πε-
ποιθέναι σε ἐπὶ βασιλέα συρίας καὶ μὴ πεποιθέ-
ναι σε ἐπὶ κύριον θεόν σου διὰ τοῦτο ἐσώθη ἡ δύναμις συρίας ἀπ

πὸ τῆς χειρός σου. οὐχ οἱ αἰθίοπες καὶ λίβυες ἦσαν εἰς δύναμιν πολλὴν καὶ εἰς θάρσος καὶ οἱ ἱππεῖς εἰς πλῆθος σφόδρα, καὶ ἐν τῷ πεποιθέναι σε ἐπὶ κύριον παρέδωκεν αὐτοὺς εἰς τὰς χεῖράς σου. ὅτι οἱ ὀφθαλμοὶ κυρίου ἐπιβλέπουσιν ἐν πάσῃ τῇ γῇ κατισχῦσαι ἐν πάσῃ καρδίᾳ πλήρει πρὸς αὐτόν. καὶ νῦν ἠγνόηκας ἐπὶ τούτῳ. ἀπὸ τοῦ νῦν ἔσται μετὰ σοῦ πόλεμος. καὶ ἐθυμώθη ἀσὰ τῷ προφήτῃ καὶ παρέθετο αὐτὸν εἰς φυλακήν, ὅτι ὠργίσθη ἐπὶ τούτῳ. καὶ ἐλυμήνατο ἀσὰ ἐν τῷ λαῷ ἐν τῷ καιρῷ ἐκείνῳ. καὶ ἰδοὺ οἱ λόγοι ἀσὰ οἱ πρῶτοι καὶ οἱ ἔσχατοι. γεγραμμένοι ἐπὶ βιβλίου βασιλέως ἰούδα καὶ ἰσραήλ. καὶ ἐμαλακίσθη ἀσὰ ἐν τῷ ἔτει τῷ τριακοστῷ καὶ ἐννάτῳ τῆς βασιλείας αὐτοῦ τοὺς πόδας ἕως σφόδρα ἐμαλακίσθη. καὶ ἐν τῇ μαλακίᾳ αὐτοῦ οὐδ' ἐζήτησε τὸν κύριον. ἀλλὰ ἰατρούς. καὶ ἐκοιμήθη ἀσὰ μετὰ τῶν πατέρων αὐτοῦ. καὶ ἐτελεύτησεν ἐν τῷ ἔτει τῷ τεσσαρακοστῷ καὶ πρώτῳ τῆς βασιλείας αὐτοῦ. καὶ ἔθαψαν αὐτὸν ἐν τῷ μνήματι ὃ ὤρυξεν ἐν πόλει δαβίδ. καὶ ἐκοίμησαν αὐτὸν ἐπὶ τῆς κλίνης. καὶ ἔπλησαν ἀρωμάτων καὶ γένη μύρων μυρεψῶν. καὶ ἐποίησαν αὐτῷ ἐκφορὰν μεγάλην ἕως σφόδρα. καὶ ἐβασίλευσεν ἰωσαφὰτ υἱὸς αὐτοῦ ἀντ' αὐτοῦ. καὶ κατίσχυσεν ἰωσαφὰτ ἐπὶ τὸν ἰσραήλ. καὶ ἔδωκε δύναμιν ἐν πάσαις ταῖς πόλεσιν ἰούδα ταῖς ὀχυραῖς. καὶ κατέστησεν ἡγουμένους ἐν ταῖς πόλεσιν ἰούδα καὶ ἐν πόλεσιν ἐφραίμ, ἃς προκατελάβετο ἀσὰ ὁ πατὴρ αὐτοῦ. καὶ ἐγένετο κύριος μετὰ ἰωσαφάτ, ὅτι ἐπορεύθη ἐν ὁδοῖς δαβὶδ τοῦ πατρὸς αὐτοῦ ταῖς πρώταις. καὶ οὐκ ἐξεζήτησε τὰ εἴδωλα. ἀλλὰ κύριον τὸν θεὸν τοῦ πατρὸς αὐτοῦ ἐξεζήτησε. καὶ ἐν ταῖς ἐντολαῖς τοῦ πατρὸς αὐτοῦ ἐπορεύθη, καὶ οὐκ ὡς τὰ ἔργα τοῦ ἰσραήλ. καὶ κατεύθυνε κύριος τὴν βασιλείαν ἐν χειρὶ αὐτοῦ. καὶ ἔδωκαν πᾶς ἰούδα δῶρα τῷ ἰωσαφάτ. καὶ ἐγένετο πλοῦτος καὶ δόξα πολλή. καὶ ὑψώθη ἡ καρδία αὐτοῦ ἐν ὁδῷ κυρίου. καὶ ἔτι ἐξῆρε τὰ ὑψηλὰ καὶ τὰ ἄλση ἀπὸ τῆς γῆς ἰούδα. καὶ ἐν τῷ

τρίτῳ ἔτει τῆς βασιλείας αὐτοῦ, ἀπέστειλε τοὺς ἡγουμένους ἑαυτοῦ καὶ τοὺς υἱοὺς τῶν δυνατῶν, τὸν ἀβδίαν καὶ ζαχαρίαν καὶ ναθαναὴλ καὶ μιχαίαν, τοῦ διδάσκειν ἐν πόλεσιν ἰούδα καὶ μετ᾽ αὐτῶν οἱ λευῖται, σαμουίας καὶ ναθαναίας καὶ ζαβδίας καὶ ἀσιὴλ καὶ σεμιραμὼθ· καὶ ἰωναθὰν καὶ ἀδωνίαν τωβίαν λευῖται, καὶ οἱ μετ᾽ αὐτῶν καὶ ἐλισαμὰ καὶ ἰωρὰμ οἱ ἱερεῖς. καὶ ἐδίδασκον ἐν ἰούδα· καὶ μετ᾽ αὐτῶν βίβλος νόμου κυρίου· καὶ διῆλθον ἐν ταῖς πόλεσιν ἰούδα, καὶ ἐδίδασκον τὸν λαόν. καὶ ἐγένετο ἔκστασις κυρίου ἐπὶ πάσαις ταῖς βασιλείαις τῆς γῆς· ταῖς κύκλῳ ἰούδα καὶ οὐκ ἐπολέμουν πρὸς ἰωσαφάτ. καὶ ἀπὸ τῶν ἀλλοφύλων ἔφερον τῷ ἰωσαφὰτ δῶρα καὶ ἀργύριον καὶ δόματα. καὶ οἱ ἄραβες ἔφερον αὐτῷ κριοὺς προβάτων ἑπτακισχιλίους ἑπτακοσίους· τράγους ἑπτακισχιλίους ἑπτακοσίους. καὶ ἦν ἰωσαφὰτ πορευόμενος μείζων ἕως εἰς ὕψος. καὶ ᾠκοδόμησεν ἐν τῇ ἰουδαίᾳ οἰκήσεις καὶ πόλεις ὀχυράς. καὶ ἔργα πολλὰ ἐγένετο αὐτῷ ἐν τῇ ἰουδαίᾳ. καὶ ἄνδρες πολεμισταὶ δυνατοὶ ἰσχύοντες ἐν ἱερουσαλήμ καὶ οὗτος ὁ ἀριθμὸς αὐτῶν κατ᾽ οἴκους πατριῶν αὐτῶν καὶ τῷ ἰούδα χιλίαρχοι ἔδνας ὁ ἄρχων, καὶ μετ᾽ αὐτοῦ υἱοὶ δυνατοὶ δυνάμεως, τριακόσιαι χιλιάδες. καὶ μετ᾽ αὐτὸν, ἰωνὰν ὁ ἡγούμενος, καὶ μετ᾽ αὐτοῦ ὀκτακόσιαι ὀγδοήκοντα χιλιάδες. καὶ μετ᾽ αὐτοῦ ἀμασίας ὁ τοῦ ζαχαρίου οἱ προθυμούμενοι τῷ κυρίῳ. καὶ μετ᾽ αὐτοῦ ὀκτακόσιαι χιλιάδες δυνατοὶ δυνάμει. καὶ ἐκ τοῦ βενιαμὶν δυνατοὶ δυνάμεως ἐλιαδά. καὶ μετ᾽ αὐτοῦ τοξόται καὶ πελτασταὶ, ὀκτὼ χιλιάδες δυνατοὶ δυνάμεως. καὶ μετ᾽ αὐτὸν ἰωζαβάδ. καὶ μετ᾽ αὐτοῦ ἑκατὸν ὀγδοήκοντα χιλιάδες δυνατοὶ πολέμου. οὗτοι οἱ λιτουργοῦντες τῷ βασιλεῖ ἐκτὸς ὧν ἔδωκεν ὁ βασιλεὺς ἐν ταῖς πόλεσι ταῖς ὀχυραῖς ἐν πάσῃ τῇ ἰουδαίᾳ. καὶ ἐγενήθη τῷ ἰωσαφὰτ πλοῦτος καὶ δόξα πολλή. καὶ ἐπεγαμβρεύσατο ἐν οἴκῳ ἀχαὰβ καὶ κατέβη διὰ τέλους ἐτῶν πρὸς ἀχαὰβ εἰς σαμάρειαν. καὶ ἔθυσεν αὐτῷ ἀχαὰβ πρόβατα καὶ

μόσχους πολλούς· καὶ τῷ λαῷ τῷ μετ' αὐτοῦ· καὶ ἠγάπα αὐτὸν τοῦ συναναβῆναι μετ' αὐτοῦ εἰς ῥαμμὼθ τῆς γαλααδίτιδος. καὶ εἶπεν ἀχαὰβ βασιλεὺς ἰσραὴλ πρὸς ἰωσαφὰτ βασιλέα ἰούδα· εἰ πορεύσῃ μετ' ἐμοῦ εἰς ῥαμὼθ τῆς γαλααδίτιδος; καὶ εἶπεν αὐτῷ· ὡς ἐγὼ, οὕτω καὶ σύ· ὡς ὁ λαός σου, καὶ ὁ λαός μου μετὰ σοῦ εἰς πόλεμον. καὶ εἶπεν ἰωσαφὰτ πρὸς βασιλέα ἰσραήλ· ζήτησον δὴ σήμερον τὸν κύριον. καὶ συνήγαγεν ὁ βασιλεὺς ἰσραὴλ τοὺς προφήτας τετρακοσίους ἄνδρας· καὶ εἶπεν αὐτοῖς· εἰ πορευθῶ εἰς ῥαμμὼθ τῆς γαλααδίτιδος εἰς πόλεμον, ἢ ἐπισχῶ; καὶ εἶπαν· ἀνάβαινε καὶ δώσει ὁ θεὸς εἰς τὰς χεῖρας τοῦ βασιλέως. καὶ εἶπεν ἰωσαφάτ· οὐκ ἔστιν ὧδε προφήτης τοῦ κυρίου ἔτι, καὶ ἐπιζητήσωμεν παρ' αὐτοῦ; καὶ εἶπε βασιλεὺς ἰσραὴλ πρὸς ἰωσαφάτ· ἔστιν ἀνήρ τις τοῦ ζητῆσαι τὸν κύριον δι' αὐτοῦ. καὶ ἐγὼ ἐμίσησα αὐτὸν, ὅτι οὐκ ἔστι προφητεύων περὶ ἐμοῦ εἰς ἀγαθόν· ὅτι πᾶσαι αἱ ἡμέραι αὐτοῦ εἰς κακά· οὗτος μιχαίας υἱὸς ἰεμβλά. καὶ εἶπεν ἰωσαφάτ· μὴ λαλείτω ὁ βασιλεὺς οὕτως. καὶ ἐκάλεσεν ὁ βασιλεὺς εὐνοῦχον ἕνα, καὶ εἶπε, τάχος μιχαίαν υἱὸν ἰεμβλαά. καὶ βασιλεὺς ἰσραὴλ, καὶ ἰωσαφὰτ βασιλεὺς ἰούδα καθήμενοι ἕκαστος ἐπὶ θρόνου αὐτοῦ. καὶ ἐνδεδυμένοι στολὰς, καθήμενοι ἐν τῷ εὐρυχώρῳ θύρας σαμαρείας. καὶ πάντες οἱ προφῆται προεφήτευον ἐναντίον αὐτῶν. καὶ ἐποίησεν ἑαυτῷ σεδεκίας υἱὸς χαναὰν κέρατα σιδηρᾶ, καὶ εἶπε· τάδε λέγει κύριος· ἐν τούτοις κερατιεῖς τὴν συρίαν ἕως ἂν συντελεσθῇ. καὶ πάντες οἱ προφῆται προεφήτευον οὕτω λέγοντες· ἀνάβαινε εἰς ῥαμμὼθ γαλαὰδ, καὶ εὐοδωθήσῃ, καὶ δώσει κύριος εἰς τὰς χεῖρας τοῦ βασιλέως. καὶ ὁ ἄγγελος ὁ πορευθεὶς τοῦ καλέσαι τὸν μιχαίαν, ἐλάλησεν αὐτῷ λέγων· ἰδοὺ ἐλάλησαν οἱ προφῆται ἐν στόματι ἑνὶ ἀγαθὰ, περὶ τοῦ βασιλέως· καὶ ἔστωσαν δὴ οἱ λόγοι σου, ὡς ἑνὸς αὐτῶν, καὶ λαλήσεις ἀγαθά. καὶ εἶπε μιχαίας· ζῇ κύριος· ὅτι ἐὰν εἴπῃ ὁ θεὸς πρός με, τοῦτο λαλήσω. καὶ ἦλθε πρὸς τὸν βα-

σιλέα, καὶ εἶπεν αὐτῷ ὁ βασιλεύς, μιχαία. εἰ πορευθῶ εἰς ῥαμ-
μὼθ γαλαὰδ εἰς πόλεμον, ἢ ἐπισχῶ. καὶ εἶπεν. ἀνάβαινε καὶ εὐο-
δωθήσῃ. καὶ δοθήσονται εἰς χεῖρας ὑμῶν. καὶ εἶπεν αὐτῷ ὁ βα-
σιλεὺς ποσάκις ἐγὼ, ὁρκίζω σε ἵνα μὴ λαλήσῃς πρός με πλὴν
ἀλήθειαν ἐν ὀνόματι κυρίου. καὶ εἶπε μιχαίας. εἶδον διεσπαρ-
μένους τὸν ἰσραὴλ ἐν τοῖς ὄρεσιν ὡς πρόβατα οἷς οὐκ ἔστι ποιμὴν
αὐτοῖς. καὶ εἶπε κύριος. οὐκ ἔχουσιν ἡγούμενον οὗτοι. ἀναστρε-
φέτωσαν ἕκαστος εἰς τὸν τόπον αὐτοῦ ἐν εἰρήνῃ. καὶ εἶπεν ὁ βασι-
λεὺς ἰσραὴλ πρὸς ἰωσαφάτ. οὐκ εἶπόν σοι, ὅτι οὐ προφητεύει
περὶ ἐμοῦ ἀγαθὰ ἀλλ' ἢ κακὰ, καὶ εἶπε μιχαίας. οὐχ οὕτως ἀ-
κούσατε λόγον κυρίου. εἶδον τὸν κύριον καθήμενον ἐπὶ θρόνου
αὐτοῦ. καὶ πᾶσα ἡ δύναμις τοῦ οὐρανοῦ παρειστήκει ἐκ δεξιῶν, καὶ
ἐξ ἀριστερῶν αὐτοῦ, καὶ εἶπε κύριος. τίς ἀπατήσει τὸν ἀχαὰβ βασι-
λέα ἰσραήλ. καὶ ἀναβήσεται, καὶ πεσεῖται ἐν ῥαμμὰθ γαλαάδ. καὶ
οὗτος, εἶπεν οὕτως, καὶ οὗτος εἶπεν οὕτως, καὶ ἐξῆλθε τὸ πνεῦμα ἐ-
νώπιον κυρίου, καὶ εἶπεν ἐγὼ ἀπατήσω αὐτόν. καὶ εἶπε κύριος
ἐν τίνι. καὶ εἶπεν. ἐξελεύσομαι, καὶ ἔσομαι πνεῦμα ἀψευδὲς
ἐν στόματι πάντων τῶν προφητῶν αὐτοῦ. καὶ εἶπεν. ἀπατή-
σεις καὶ δυνήσῃ, ἔξελθε καὶ ποίησον οὕτω. καὶ νῦν ἰδοὺ ἔ-
δωκε κύριος πνεῦμα ψευδὲς ἐν στόματι πάντων τῶν προφητῶν
σου τούτων, καὶ κύριος ἐλάλησεν ἐπὶ σὲ κακά. καὶ ἤγγισε σε-
δεκίας υἱὸς χαναὰν, καὶ ἐπάταξε τὸν μιχαίαν ἐπὶ τὴν σιαγόνα.
καὶ εἶπεν αὐτῷ. ποίᾳ ὁδῷ παρῆλθε πνεῦμα κυρίου παρ' ἐμοῦ
τοῦ λαλῆσαι πρὸς σέ. καὶ εἶπε μιχαίας. ἰδοὺ ὄψῃ ἐν τῇ ἡμέρᾳ
ἐκείνῃ ἐν ᾗ εἰσελεύσῃ ταμεῖον ἐκ ταμείου τοῦ κατακρυβῆναι. καὶ
εἶπεν ὁ βασιλεὺς ἰσραήλ. λάβετε τὸν μιχαίαν, καὶ ἀποστρέψα-
τε πρὸς ἐμμὴρ τὸν ἄρχοντα τῆς πόλεως, καὶ πρὸς ἰωὰς ἄρχον-
τα υἱὸν τοῦ βασιλέως, καὶ ἐρεῖτε. οὕτως εἶπεν ὁ βασιλεύς. ἀπό-
θεσθε τοῦτον εἰς οἶκον φυλακῆς. καὶ ἐσθιέτω ἄρτον θλίψεως, καὶ
ὕδωρ θλίψεως, ἕως τοῦ ἐπιστρέψαι με ἐν εἰρήνῃ. καὶ εἶπε μι-

χαΐας. ἐὰν ἐπιστρέφων ἐπιστρέψῃς ἐν εἰρήνῃ οὐκ ἐλάλησε κύ-
ριος ἐν ἐμοί. καὶ εἶπεν. ἀκούσατε λαοὶ πάντες. καὶ ἀνέβη βασι-
λεύς, καὶ ἰωσαφὰτ βασιλεὺς ἰούδα εἰς ῥαμμὼθ, γαλαάδ. καὶ
εἶπε βασιλεὺς ἰσραὴλ πρὸς ἰωσαφάτ. καὶ κατακάλυψόν με, καὶ
εἰσελεύσομαι εἰς τὸν πόλεμον. καὶ σὺ ἔνδυσαι τὸν ἱματισμόν μου
καὶ συνεκαλύψατο βασιλεὺς ἰσραήλ, καὶ εἰσῆλθον εἰς τὸν πόλε-
μον. καὶ βασιλεὺς συρίας ἐνετείλατο τοῖς ἄρχουσι τῶν ἁρμάτων
τοῖς μετ' αὐτοῦ λέγων. μὴ πολεμεῖτε τὸν μικρὸν, ἢ τὸν μέγαν. ἀλλ'
ἢ τὸν ἰσραὴλ μόνον. καὶ ἐγένετο, ὡς εἶδον οἱ ἄρχοντες τῶν ἁρμά-
των τὸν ἰωσαφάτ, καὶ αὐτοὶ εἶπαν. βασιλεὺς ἰσραήλ ἐστι, καὶ ἐκύ-
κλωσαν αὐτὸν τοῦ πολεμεῖν. καὶ ἐβόησεν ἰωσαφὰτ πρὸς κύριον, καὶ
κύριος εἰσήκουσεν αὐτὸν, καὶ ἀπέστρεψεν αὐτοὺς ὁ θεὸς ἀπ' αὐ-
τοῦ. καὶ ἐγένετο, ὡς εἶδον οἱ ἄρχοντες τῶν ἁρμάτων, ὅτι οὐκ ἦν
βασιλεὺς ἰσραήλ, καὶ ἀπέστρεψαν ἀπ' αὐτοῦ. καὶ ἀνὴρ ἐνέτεινε
τὸ τόξον εὐστόχως, καὶ ἐπάταξε τὸν βασιλέα ἰσραὴλ ἀνὰ μέ-
σον τοῦ πνεύμονος, καὶ ἀνὰ μέσον τοῦ θώρακος. καὶ εἶπε τῷ ἡ-
νιόχῳ αὐτοῦ. ἐπίστρεφε τὴν χεῖρά σου ἐξάγαγέ με ἐκ τοῦ πολέ-
μου, ὅτι ἐπόνεσα. καὶ ἐτροπώθη ὁ πόλεμος ἐν τῇ ἡμέρᾳ ἐκείνῃ.
καὶ ὁ βασιλεὺς ἰσραὴλ ἦν ἑστηκὼς ἐπὶ τοῦ ἅρματος ἐξεναντίας
συρίας ἕως ἑσπέρας, καὶ ἀπέθανε δύνοντος τοῦ ἡλίου. καὶ ἀπέστρε-
ψεν ἰωσαφὰτ βασιλεὺς ἰούδα εἰς τὸν οἶκον αὐτοῦ εἰς ἱερουσαλήμ.
καὶ ἐξῆλθεν εἰς ἀπάντησιν αὐτοῦ ἰηοὺ ὁ τοῦ ἀνανὶ ὁ προφήτης.
καὶ εἶπεν αὐτῷ βασιλεὺς ἰωσαφάτ. εἰ ἁμαρτωλῷ σὺ βοηθεῖς.
ἢ μισουμένῳ ὑπὸ κυρίου φιλιάζεις. καὶ εἶπεν αὐτῷ ἰηού. διὰ
τοῦτο οὐκ ἐγένετο ἐπὶ σὲ ὀργὴ παρὰ κυρίου. ὅτι ἀλλ' ἢ λόγοι ἀ-
γαθοὶ εὑρέθησαν ἐν σοί. ὅτι ἐξῆρας τὰ ἄλση ἀπὸ γῆς ἰούδα, καὶ
κατεύθυνας τὴν καρδίαν σου ἐκζητῆσαι τὸν κύριον καὶ κατῴκη-
σεν ἰωσαφὰτ εἰς ἱερουσαλὴμ καὶ πάλιν ἐξῆλθεν εἰς τὸν λαὸν ἀ-
πὸ βηρσαβεὲ ἕως ὄρους ἐφραΐμ. καὶ ἐπέστρεψεν αὐτοὺς ἐπὶ
κύριον τὸν θεὸν τῶν πατέρων αὐτῶν. καὶ κατέστησε τοὺς

Ωσ

κριτὰς ἐν πάσαις ταῖς πόλεσιν ἰούδα ταῖς ὀχυραῖς. ἐν πόλει
καὶ πόλει. καὶ εἶπε τοῖς κριταῖς. ἴδετε τί ὑμεῖς ποιεῖτε. ὅτι οὐκ
ἀνθρώπῳ ὑμεῖς κρίνετε ἀλλ᾽ ἢ τῷ κυρίῳ. καὶ μεθ᾽ ἡμῶν λόγοι
τῆς κρίσεως. καὶ νῦν γενέσθω ὁ φόβος τοῦ θεοῦ ἐφ᾽ ὑμᾶς. καὶ
φυλάξατε καὶ ποιήσατε ὅτι οὐκ ἔστι μετὰ κυρίου θεοῦ ὑμῶν ἀ-
δικία οὐδὲ θαυμάσαι προσώπων, οὐδὲ λαβεῖν δῶρα καί γε ἐν
ἱερουσαλὴμ κατέστησεν ἰωσαφὰτ τῶν λευιτῶν καὶ τῶν ἱερέων καὶ
τῶν πατριαρχῶν ἰσραὴλ εἰς κρίσιν κυρίῳ καὶ κρίνειν τοὺς κατοι-
κοῦντας ἐν ἱερουσαλήμ. καὶ ἐνετείλατο πρὸς αὐτοὺς λέγων. οὕτω
ποιήσετε ἐν φόβῳ κυρίου ἐν ἀληθείᾳ πλήρει, καὶ ἐν καρδίᾳ πᾶς
ἀνὴρ κρίσιν τὴν ἐλθοῦσαν ἐφ᾽ ὑμᾶς τῶν ἀδελφῶν ὑμῶν τῶν κα-
τοικούντων ἐν ταῖς πόλεσιν αὐτῶν ἀνὰ μέσον αἵματος αἷμα, καὶ
ἀνὰ μέσον τοῦ προστάγματος καὶ ἐντολῆς, καὶ δικαιώματα καὶ
κρίματα. καὶ διαστέλλεσθε αὐτοῖς καὶ οὐχ ἁμαρτήσονται τῷ
κυρίῳ. καὶ οὐκ ἔσται ὀργὴ ἐφ᾽ ὑμᾶς. καὶ ἐπὶ τοὺς ἀδελφοὺς ὑμῶν.
οὕτω ποιήσετε καὶ οὐχ ἁμαρτήσετε. καὶ ἰδοὺ ἀμαρίας ὁ ἱε-
ρεὺς ἡγούμενος ἐφ᾽ ὑμᾶς εἰς πάντα λόγον κυ. καὶ ζαβδίας υἱ-
ὸς ἰσμαὴλ ὁ ἡγούμενος εἰς οἶκον ἰούδα πρὸς πάντα λόγον βα-
σιλέως. καὶ οἱ γραμματεῖς καὶ οἱ λευῖται προσώπου ὑμῶν. ἰσχύσα-
τε καὶ ποιήσατε, καὶ ἔσται κύριος μετὰ τοῦ ἀγαθοῦ.

Κεφάλαιον ή. θ.

αὶ μετὰ ταῦτα ἦλθον οἱ υἱοὶ μωὰβ καὶ υἱὸς ἀμμὼν
κ καὶ μετ᾽ αὐτῶν ἐκ τῶν ἀμμανιτῶν πρὸς ἰωσαφὰτ εἰς
πόλεμον. καὶ ἦλθον καὶ ὑπέδειξαν τῷ βασιλεῖ λέ-
γοντες. ἥκει ἐπὶ σὲ πλῆθος πολὺ ἐκ τοῦ πέραν τῆς θαλάσσης ἀπὸ
συρίας. καὶ ἰδού εἰσιν ἐν ἀσασανθαμάρ. αὕτη ἐστὶν ἐν γαδδί.
καὶ ἐφοβήθη ἰωσαφὰτ. καὶ ἔδωκε πρόσωπον αὐτοῦ ἐκζητῆσαι
τὸν κύριον. καὶ ἐκήρυξεν νηστείαν ἐν παντὶ ἰούδα. καὶ συνήχθη
πᾶς ἰούδας ἐκζητῆσαι τὸν κύριον ἀπὸ πασῶν τῶν πόλεων ἰού-
δα. ἦλθον ζητῆσαι τὸν κύριον. καὶ ἀνέστη ἰωσαφὰτ ἐν ἐκκλησίᾳ

ἰούδα ἐν ἱερουσαλὴμ οἴκου κυρίου κατὰ πρόσωπον τῆς αὐλῆς τῆς σκηνῆς
καὶ εἶπε· κύριε ὁ θεὸς τῶν πατέρων μου· οὐχὶ σὺ ὁ θεὸς ἐν τῷ οὐρα-
νῷ ἄνω καὶ σὺ κυριεύεις πασῶν τῶν βασιλειῶν τῶν ἐθνῶν· καὶ ἐν
τῇ χειρί σου ἰσχὺς δυναστείας καὶ οὐκ ἔστι πρὸς σὲ ἀντιστῆναι; οὐ-
χὶ σὺ εἶ ὁ κύριος ὁ ἐξολοθρεύσας τοὺς κατοικοῦντας τὴν γῆν ταύ-
την ἀπὸ προσώπου τοῦ λαοῦ σου ἰσραήλ, καὶ ἔδωκας αὐτὴν σπέρ-
ματι ἀβραὰμ τῷ ἠγαπημένῳ σου εἰς τὸν αἰῶνα; καὶ κατῴκησαν
ἐν αὐτῇ, καὶ ᾠκοδόμησαν ἐν αὐτῇ ἁγίασμα τῷ ὀνόματί σου
λέγοντες· ἐὰν ἐπέλθῃ ἐφ᾽ ἡμᾶς κακά· ῥομφαία, καὶ κρίσις, θά-
νατος, καὶ λιμός· στησόμεθα ἐναντίον τοῦ οἴκου τούτου ἐναντίον σου· ὅ-
τι τὸ ὄνομά σου ἐπικέκληται ἐν τῷ οἴκῳ τούτῳ, καὶ βοησόμεθα
πρὸς σὲ ἀπὸ τῆς θλίψεως καὶ ἀκούσῃ καὶ σώσεις, καὶ νῦν ἰδοὺ
οἱ υἱοὶ ἀμμὼν καὶ μωὰβ καὶ ὄρος σηὶρ εἰς οὓς οὐκ ἔδωκας τῷ
ἰσραὴλ εἰσελθεῖν δι᾽ αὐτῶν, ἐξελθόντων αὐτῶν ἐκ γῆς αἰγύπτου
ὅτι ἐξέκλιναν ἀπ᾽ αὐτῶν καὶ οὐκ ἐξωλόθρευσαν αὐτούς· καὶ ἰ-
δοὺ αὐτοὶ ἐπιχειροῦσιν ἐφ᾽ ἡμᾶς ἐξελθεῖν ἐκβαλεῖν ἡμᾶς ἀπὸ
τῆς κληρονομίας ἡμῶν ἧς ἔδωκας ἡμῖν, κύριε ὁ θεὸς ἡμῶν οὐ
κρινεῖς ἐν αὐτοῖς ὅτι οὐκ ἔστιν ἡμῖν ἰσχὺς τοῦ ἀντιστῆναι πρὸς τὸ
πλῆθος τὸ πολὺ τοῦτο τὸ ἐλθὸν ἐφ᾽ ἡμᾶς· καὶ οὐκ οἴδαμεν τί ποιή-
σωμεν αὐτοῖς· ἀλλ᾽ ἢ ἐπὶ σοὶ οἱ ὀφθαλμοὶ ἡμῶν· καὶ πᾶς ἰούδα ἑστη-
κὼς ἔναντι κυρίου· καὶ τὰ παιδία αὐτῶν καὶ αἱ γυναῖκες αὐτῶν
καὶ τῷ ὀζιὴλ τῷ τοῦ ζαχαρίου τοῦ υἱῶν βαναίου τῶν υἱῶν ἐλιὴλ τοῦ
μαθθανίτου τοῦ λευίτου ἀπὸ τῶν υἱῶν ἀσάφ, ἐγένετο ἐπ᾽ αὐτὸν
πνεῦμα κυρίου ἐν τῇ ἐκκλησίᾳ καὶ εἶπεν· ἀκούσατε πᾶς ἰού-
δα καὶ οἱ κατοικοῦντες ἐν ἱερουσαλὴμ καὶ ὁ βασιλεὺς ἰωσα-
φάτ· τάδε λέγει κύριος ὑμῖν αὐτοῖς· μὴ φοβηθῆτε μὴ δὲ πτοη-
θῆτε ἀπὸ προσώπου τοῦ ὄχλου τοῦ πολλοῦ τούτου· ὅτι οὐχ ὑμῖν ἐ-
στιν ἡ παράταξις· ἀλλ᾽ ἢ τῷ θεῷ· αὔριον κατάβητε ἐπ᾽ αὐτούς·
ἰδοὺ ἀναβαίνουσι κατὰ τὴν ἀνάβασιν ἀσὰς καὶ εὑρήσετε αὐτοὺς
ἐπ᾽ ἀρχῇ τοῦ ποταμοῦ τῆς ἐρήμου ἰεριήλ· οὐχ ὑμῖν ἐστι πολεμῆσαι.

ταῦτα σύνετε καὶ ἴδετε τὴν σωτηρίαν τοῦ κυρίου μεθ' ἡμῶν
ἰούδα καὶ ἱερουσαλὴμ. μὴ φοβηθῆτε μὴ δὲ πτοηθῆτε αὔριον ἐ-
ξελθεῖν εἰς ἀπάντησιν αὐτοῖς. καὶ κύριος μεθ' ἡμῶν. καὶ κύψας
ἰωσαφὰτ ἐπὶ πρόσωπον αὐτοῦ καὶ πᾶς ἰούδα καὶ οἱ κατοικοῦν-
τες ἱερουσαλὴμ ἔπεσον ἐναντίον κυρίου προσκυνῆσαι τῷ κυρίῳ.
καὶ ἀνέστησαν οἱ λευῖται ἀπὸ τῶν υἱῶν καὰθ καὶ ἀπὸ τῶν υἱῶν
κορὲ, αἰνεῖν τῷ κυρίῳ θεῷ ἰσραὴλ ἐν φωνῇ μεγάλῃ εἰς ὕψος.
καὶ ὤρθρισαν τὸ πρωῒ. καὶ ἐξῆλθον εἰς τὴν ἔρημον θεκωέ. καὶ ἐν
τῷ ἐξελθεῖν αὐτοὺς, ἔστη ἰωσαφὰτ καὶ ἐβόησε καὶ εἶπεν. ἀκού-
σατέ μου ἰούδα καὶ οἱ κατοικοῦντες ἐν ἱερουσαλὴμ. ἐμπιστεύσα-
τε ἐν κυρίῳ θεῷ ἡμῶν καὶ ἐμπιστευθήσεσθε. ἐμπιστεύσατε ἐν προ-
φήτῃ αὐτοῦ καὶ εὐοδωθήσεσθε. καὶ συμβουλευσάμενος μετὰ
τοῦ λαοῦ, ἔστησε ψαλτῳδοὺς. καὶ αἰνοῦντας ἐξομολογεῖσθαι καὶ
αἰνεῖν τὰ ἅγια ἐν τῷ ἐξελθεῖν ἔμπροσθεν τῆς δυνάμεως καὶ ἔλε-
γον, ἐξομολογεῖσθε τῷ κυρίῳ, ὅτι ἀγαθὸν, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλε-
ος αὐτοῦ. καὶ ἐν τῷ ἄρξασθαι αὐτοὺς τῆς αἰνέσεως καὶ τῆς ἐξο-
μολογήσεως ἔδωκε κύριος πολεμεῖν τοὺς υἱοὺς ἀμμὼν ἐπὶ
μωὰβ καὶ ὄρος σηὶρ τοὺς ἐξελθόντας ἐπὶ ἰούδαν καὶ ἐτροπώθη-
σαν. καὶ ἀνέστησαν οἱ υἱοὶ ἀμμὼν καὶ μωὰβ ἐπὶ τοὺς κατοικοῦν-
τας ὄρος σηὶρ, ἐξολοθρεῦσαι καὶ ἐκτρῖψαι αὐτούς. καὶ ὡς συ-
νετέλεσαν τοὺς κατοικοῦντας σηὶρ, ἀνέστησαν εἰς ἀλλήλους τοῦ
ἐξολοθρευθῆναι. καὶ ἰούδας ἦλθεν ἐπὶ τὴν σκοπιὰν τῆς ἐρή-
μου. καὶ ἐνέβλεψε καὶ εἶδε τὸ πλῆθος. καὶ ἰδοὺ πάντες νεκροὶ
πεπτωκότες ἐπὶ τῆς γῆς. οὐκ ἦν σωζόμενος. καὶ ἐξῆλθεν ἰω-
σαφὰτ καὶ ὁ λαὸς αὐτοῦ σκυλεῦσαι τὰ σκῦλα αὐτῶν, καὶ
εὗρον κτήνη πολλὰ καὶ ἀποσκευὴν καὶ σκῦλα καὶ σκεύη ἐπι-
θυμητὰ καὶ ἐσκύλευσαν ἐν αὐτοῖς καὶ ἐγένοντο ἡμέραι τρεῖς
σκυλευόντων αὐτῶν τὰ σκῦλα, ὅτι πολλὰ ἦν καὶ τῇ ἡμέρᾳ τῇ
τετάρτῃ, ἐπισυνήχθησαν εἰς τὸν αὐλῶνα τῆς εὐλογίας. ἐκεῖ γὰρ
εὐλόγησαν τὸν κύριον. διὰ τοῦτο ἐκάλεσαν τὸ ὄνομα τοῦ τόπου

ἐκείνου, κοιλὰς εὐλογίας, ἕως τῆς ἡμέρας ταύτης. καὶ ἐπέστρεψε
πᾶς ἀνὴρ ἰούδα εἰς ἱερουσαλὴμ καὶ ἰωσαφὰτ ἡγούμενος αὐ-
τῶν ἐν εὐφροσύνῃ μεγάλῃ, ὅτι εὔφρανεν αὐτοὺς κύριος ἀπὸ τῶν
ἐχθρῶν αὐτῶν. καὶ εἰσῆλθον εἰς ἱερουσαλὴμ ἐν νάβλαις καὶ κιν-
ύραις καὶ ἐν σάλπιγξιν εἰς οἶκον κυρίου. καὶ ἐγένετο ἔκστασις
κυρίου ἐπὶ πάσας τὰς βασιλείας τῆς γῆς ἐν τῷ ἀκοῦσαι αὐτοὺς
ὅτι κύριος ἐπολέμησε πρὸς τοὺς ὑπεναντίους ἰσραήλ. καὶ εἰρή-
νευσεν ἡ βασιλεία ἰωσαφάτ. καὶ κατέπαυσεν αὐτῷ ὁ θεὸς
αὐτοῦ κυκλόθεν. καὶ ἐβασίλευσεν ἰωσαφὰτ ἐπὶ τὸν ἰούδαν,
ὢν ἐτῶν τριάκοντα πέντε ἐν τῷ βασιλεῦσαι αὐτόν. καὶ εἴκοσι καὶ
πέντε ἔτη ἐβασίλευσεν ἐν ἱερουσαλήμ. καὶ ὄνομα τῇ μητρὶ αὐτοῦ
ἀζουβά. θυγάτηρ σαλί. καὶ ἐπορεύθη ἐν ταῖς ὁδοῖς τοῦ πατρὸς
αὐτοῦ ἀσά. οὐκ ἐξέκλινε τοῦ ποιῆσαι τὸ εὐθὲς ἐνώπιον κυρίου.
ἀλλὰ καὶ τὰ ὑψηλὰ οὐκ ἔτι ὑπῆρχε. καὶ ἔτι ὁ λαὸς οὐ κατεύθυνε
τὴν καρδίαν αὐτῶν πρὸς κύριον τὸν θεὸν τῶν πατέρων αὐτῶν. καὶ
οἱ λοιποὶ λόγοι τοῦ ἰωσαφὰτ οἱ πρῶτοι καὶ οἱ ἔσχατοι ἰδοὺ γε-
γραμμένοι ἐν λόγοις ἰηοὺ τοῦ ἀνανί, ὃς κατέγραψε βιβλίον βασι-
λέων ἰσραήλ. καὶ μετὰ ταῦτα ἐκοινώνησεν ἰωσαφὰτ βασιλεὺς
ἰούδα πρὸς ὀχοζίαν βασιλέα ἰσραήλ, καὶ οὗτος ἠνόμησεν, ἐν
τῷ ποιῆσαι καὶ πορευθῆναι πρὸς αὐτὸν τοῦ ποιῆσαι πλοῖα τοῦ
πορευθῆναι εἰς θαρσεῖς, καὶ ἐποίησε πλοῖα ἐν γασίων γάβερ.
καὶ προεφήτευσεν ἐλιέζερ ὁ τοῦ δωδία ἀπὸ μαρισῆς ἐπὶ ἰωσα-
φὰτ λέγων. ὡς ἐφιλίασας τῷ ὀχοζίᾳ, ἔθραυσε κύριος τὸ ἔθνος
σου καὶ συνετρίβη τὰ πλοῖά σου. καὶ οὐκ ἠδυνήθη πορευθῆναι εἰς
θαρσεῖς. καὶ ἐκοιμήθη ἰωσαφὰτ μετὰ τῶν πατέρων αὐτοῦ, καὶ
ἐτάφη παρὰ τοῖς πατράσιν αὐτοῦ ἐν πόλει δαβίδ. καὶ ἐβα-
σίλευσεν ἰωσαφὰτ υἱὸς αὐτοῦ ἀντ᾽ αὐτοῦ. καὶ αὐτῷ ἀδελφοὶ
υἱοὶ ἰωσαφὰτ ἕξ. ἀζαρίας. καὶ ἰεϊήλ. καὶ ζαχαρίας. καὶ ἀζαρίας
καὶ μιχαήλ. καὶ ζαφατίας. πάντες οὗτοι υἱοὶ ἰωσαφὰτ βασιλέως
ἰούδα. καὶ ἔδωκεν αὐτοῖς ὁ πατὴρ αὐτῶν δόματα πολλά. ἀργύ-

ριον καὶ χρυσίον, καὶ ὅπλα μετὰ τῶν πόλεων τῶν τετειχισμέ-
νων ἰούδᾳ. καὶ ἔδωκε τὴν βασιλείαν τῷ ἰωρὰμ, ὅτι οὗτος ὁ
πρωτότοκος. καὶ ἀνέστη ἰωρὰμ ἐπὶ τὴν βασιλείαν αὐτοῦ, καὶ
ἐκραταιώθη καὶ ἀπέκτεινε πάντας τοὺς ἀδελφοὺς αὐτοῦ ἐν ῥομ-
φαίᾳ, καὶ ἀπὸ τῶν ἀρχόντων ἰσραήλ. ὢν αὐτὸς τριάκοντα καὶ
δύο ἐτῶν, κατέστη ἰωρὰμ ἐπὶ τὴν βασιλείαν αὐτοῦ. καὶ ὀκτὼ καὶ
δέκα ἔτη ἐβασίλευσεν ἐν ἱερουσαλήμ. καὶ ἐπορεύθη ἐν ὁδῷ
βασιλέως ἰσραὴλ, ὡς ἐποίησεν οἶκος ἀχαάβ. ὅτι θυγάτηρ ἀ-
χαὰβ ἦν αὐτοῦ γυνή, καὶ ἐποίησε τὸν κύριον ἐναντίον κυρίου.
καὶ οὐκ ἐβούλετο κύριος ἐξολοθρεῦσαι τὸν οἶκον δαβὶδ, διὰ
τὴν διαθήκην ἣν διέθετο τῷ δαβίδ. καὶ ὡς εἶπεν αὐτῷ δοῦναι αὐ-
τῷ λύχνον καὶ τοῖς υἱοῖς αὐτοῦ πάσας τὰς ἡμέρας.

Κεφάλαιον θ. 9.

Ν ταῖς ἡμέραις ἐκείναις ἀπέστη ἐδὼμ ἀπὸ ἰούδα.
καὶ ἐβασίλευσαν ἐφ᾽ ἑαυτοὺς βασιλέα. καὶ ᾤχετο
ἰωρὰμ μετὰ τῶν ἀρχόντων, καὶ πᾶσα ἡ ἵππος
μετ᾽ αὐτοῦ. καὶ ἐγένετο καὶ ἠγέρθη νυκτὸς, καὶ ἐπάταξεν ἐδὼμ
τὸν κυκλοῦντα αὐτὸν, καὶ τοὺς ἄρχοντας τῶν ἁρμάτων, καὶ ἔφυ-
γεν ὁ λαὸς εἰς τὰ σκηνώματα αὐτῶν. καὶ ἀπέστη ἐδὼμ ἀπὸ χει-
ρὸς ἰούδα ἕως τῆς ἡμέρας ταύτης. ὅτι ἀπέστη λοβνὰ ἐν τῷ και-
ρῷ ἐκείνῳ ἀπὸ χειρῶν αὐτοῦ, ὅτι ἐγκατέλιπε κύριον τὸν θεὸν τῶν
πατέρων αὐτοῦ. καὶ γὰρ αὐτὸς ἐποίησεν ὑψηλὰ ἐν πάσαις
ταῖς πόλεσιν ἰούδα. καὶ ἐξεπόρνευσε τοὺς κατοικοῦντας ἐν ἱε-
ρουσαλὴμ, καὶ ἀπεπλάνησε τὸν ἰούδαν. καὶ ἦλθεν αὐτῷ ἐν
γραφῇ παρὰ ἠλιοῦ τοῦ προφήτου λέγων. τάδε λέγει κύρι-
ος ὁ θεὸς δαβὶδ τοῦ πατρός σου. ἀνθ᾽ ὧν οὐκ ἐπορεύθης ἐν ὁ-
δῷ ἰωσαφὰτ τοῦ πατρός σου. καὶ ἐν ὁδοῖς ἀσὰ βασιλέως
ἰούδα. καὶ ἐπορεύθης ἐν ὁδοῖς βασιλέων ἰσραήλ. καὶ ἐξε-
πόρνευσας τὸν ἰούδαν, καὶ τοὺς κατοικοῦντας ἱερουσαλήμ. ὡς ἐξε-
πόρνευσεν οἶκος ἀχαάβ. καὶ τοὺς ἀδελφούς σου υἱοὺς τοῦ πατρός σου

τοὺς ἀγαθοὺς ὑπὲρ σὲ ἀπέκτεινας· ἰδοὺ κύριος πατάξει σε πληγῇ μεγάλῃ ἐν τῷ λαῷ σου, καὶ ἐν τοῖς υἱοῖς σου, καὶ ἐν ταῖς γυναιξί σου, καὶ ἐν πάσῃ τῇ ἀποσκευῇ σου· καὶ σὺ ἐν μαλακίᾳ πονηρᾷ καὶ ἐν νόσῳ κοιλίας, ἕως οὗ ἐξέλθῃ ἡ κοιλία σου μετὰ τῆς μαλακίας ἐξ ἡμερῶν εἰς ἡμέρας. καὶ ἐπήγειρε κύριος ἐπὶ ἰωρὰμ τοὺς ἀλλοφύλους, καὶ τοὺς ἄραβας καὶ τοὺς ὁμόρους τῶν αἰθιόπων· καὶ ἀνέβησαν ἐπὶ ἰούδαν, καὶ κατεδυνάστευον· καὶ ἀπέστρεψαν πᾶσαν τὴν ἀποσκευὴν ἣν εὗρον ἐν οἴκῳ τοῦ βασιλέως, καὶ τοὺς υἱοὺς αὐτοῦ, καὶ τὰς θυγατέρας αὐτοῦ, καὶ οὐ κατελείφθη αὐτῷ υἱός· ἀλλ' ἢ ἰωαχὰζ ὁ μικρότατος τῶν υἱῶν αὐτοῦ. καὶ μετὰ ταῦτα πάντα ἐπάταξεν αὐτὸν κύριος εἰς τὴν κοιλίαν μαλακίᾳ ἐν ᾗ οὐκ ἔστιν ἰατρεία. καὶ ἐγένετο ἐξ ἡμερῶν εἰς ἡμέρας, καὶ ὡς ἦλθεν ὁ καιρὸς τῶν ἡμερῶν ἡμέρας δύο, καὶ ἐξῆλθεν ἡ κοιλία αὐτοῦ μετὰ τῆς νόσου, καὶ ἀπέθανεν ἐν μαλακίᾳ πονηρᾷ· καὶ οὐκ ἐποίησεν ὁ λαὸς αὐτοῦ ἐκφορὰν, καθὼς ἐκφορὰν πατέρων αὐτοῦ. καὶ ἦν τριάκοντα καὶ δύο ἐτῶν ὅτε ἐβασίλευσε. καὶ ὀκτὼ ἔτη ἐβασίλευσεν ἐν ἱερουσαλήμ. καὶ ἐπορεύθη ἐν οὐκ ἐπαίνῳ. καὶ ἐτάφη ἐν πόλει δαβὶδ, καὶ οὐκ ἐν τάφοις τῶν βασιλέων. Καὶ ἐβασίλευσαν οἱ κατοικοῦντες ἐν ἱερουσαλὴμ τὸν ὀχοζίαν υἱὸν αὐτοῦ ἀντ' αὐτοῦ τὸν μικρόν· ὅτι πάντας τοὺς πρεσβυτέρους ἀπέκτεινε τὸ ἐπελθὸν ἐπ' αὐτοὺς λῃστήριον, οἱ ἄραβες καὶ οἱ ἀλιμαζονεῖς· καὶ ἐβασίλευσεν ὀχοζίας υἱὸς ἰωρὰμ βασιλέως ἰούδα. ὢν ἐτῶν εἴκοσι καὶ δύο ὀχοζίας ὅτε ἐβασίλευσε· καὶ ἐνιαυτὸν ἕνα ἐβασίλευσεν ἐν ἱερουσαλήμ. καὶ ὄνομα τῇ μητρὶ αὐτοῦ γοθολία· θυγάτηρ μαρί. καὶ οὗτος ἐπορεύθη ἐν ὁδῷ οἴκου ἀχαάβ, ὅτι ἡ μήτηρ αὐτοῦ ἦν σύμβουλος τοῦ ἁμαρτάνειν. καὶ ἐποίησε τὸ πονηρὸν ἐναντίον κυρίου ὡς οἶκος ἀχαάβ· ὅτι αὐτοὶ ἦσαν αὐτῷ σύμβουλοι. μετὰ τὸ ἀποθανεῖν τὸν πατέρα αὐτοῦ τοῦ ἐξολοθρεῦσαι αὐτὸν, ὅτι ἐν ταῖς βουλαῖς αὐτῶν ἐπορεύθη. καὶ ἐπορεύθη μετὰ ἰωρὰμ υἱοῦ ἀχαὰβ

αὰβ βασιλέως ἰσραὴλ εἰς πόλεμον ἐπὶ ἀζαὴλ βασιλέα συρίας
εἰς ῥαμὼθ γαλαάδ, καὶ ἐπάταξαν οἱ τοξόται τὸν ἰωράμ, καὶ ἐ-
πέστρεψεν ἰωρὰμ τοῦ ἰατρευθῆναι εἰς ἰεσράελ ἀπὸ τῶν πληγῶν.
ὧν ἐπάταξαν αὐτὸν οἱ σύροι ἐν ῥαμὼθ ἐν τῷ πολεμεῖν αὐτὸν
πρὸς ἀζαὴλ βασιλέα συρίας. καὶ ὀχοζίας υἱὸς ἰωρὰμ βασιλεὺς
ἰούδα κατέβη θεάσασθαι τὸν ἰωρὰμ υἱὸν ἀχαὰβ εἰς ἰεζράελ ἠῤ-
ῥώστει γάρ. καὶ παρὰ τοῦ θεοῦ ἐγένετο καταστροφὴ τῷ ὀχοζίᾳ
ἐλθεῖν πρὸς ἰωράμ, καὶ ἐν τῷ ἐξελθεῖν αὐτόν. ἐξῆλθε μετ' αὐτοῦ
ἰωρὰμ πρὸς ἰηοὺ υἱὸν ἀμεσσὴ χριστὸν κυρίου εἰς τὸν οἶκον ἀχαάβ
καὶ ἐγένετο ὡς ἐξεδίκησεν ἰηοὺ τὸν οἶκον ἀχαὰβ καὶ εὗρε τοὺς
ἄρχοντας ἰούδα καὶ τοὺς ἀδελφοὺς ὀχοζίου λειτουργοῦντας τῷ
ὀχοζίᾳ. καὶ ἀπέκτεινεν αὐτούς. καὶ ἀπέκτεινεν ἰηοὺ τὸν ἰωρὰμ
καὶ ἔφυγεν ὀχοζίας. καὶ εἶπεν ἰηοὺ τοῦ ζητῆσαι τὸν ὀχοζίαν, καὶ
κατέλαβον αὐτὸν ἰατρευόμενον ἐν σαμαρείᾳ, καὶ ἤγαγον αὐ-
τὸν πρὸς ἰηού, καὶ ἀπέκτειναν αὐτὸν καὶ ἔθαψαν αὐτόν. ὅτι
εἶπαν υἱὸς ἰωσαφάτ ἐστιν. ὃς ἐζήτησε τὸν κύριον ἐν ὅλῃ τῇ
καρδίᾳ αὐτοῦ. καὶ οὐκ ἦν ἐν οἴκῳ ὀχοζίᾳ κατισχῦσαι δύνα-
μιν περὶ τῆς βασιλείας. καὶ γοθολία ἡ μήτηρ ὀχοζίου εἶδεν ὅ-
τι τέθνηκεν ὁ υἱὸς αὐτῆς, καὶ ἀπώλεσε τὸ σπέρμα τῆς βασιλεί-
ας ἐν οἴκῳ ἰούδα. καὶ ἠγέρθη καὶ ἔλαβεν ἰωσαβὲθ θυγάτηρ
τοῦ βασιλέως τοῦ ἰωὰς υἱὸν ὀχοζίου, καὶ ἔκλεψεν αὐτὸν ἐκ μέσου
τῶν υἱῶν τοῦ βασιλέως τῶν θανατουμένων, καὶ ἔδωκεν αὐτὸν καὶ
τὴν τροφὴν αὐτοῦ εἰς ταμεῖον τῶν κλινῶν. καὶ ἔκρυψεν αὐτὸν ἰω-
σαβὲτ ἡ θυγάτηρ τοῦ βασιλέως ἰωρὰμ ἀδελφὴ ὀχοζίου γυνὴ
ἰωδαὲ τοῦ ἱερέως. καὶ ἔκρυψεν αὐτὸν ἀπὸ προσώπου τῆς γο-
θολίας, καὶ οὐκ ἀπέκτεινεν αὐτόν. καὶ ἦν μετ' αὐτῆς ἐν οἴκῳ
τοῦ θεοῦ κατακεκρυμμένος ἓξ ἔτη. καὶ γοθολία ἐβασίλευσεν
ἐπὶ τῆς γῆς. καὶ ἐν τῷ ἔτει τῷ ἑβδόμῳ, ἐκραταίωσεν ἰω-
δαέ. καὶ ἔλαβε τοὺς ἑκατοντάρχους, καὶ τὸν ἀζαρίαν καὶ τὸν υἱὸν
ἰωρὰμ καὶ τὸν ἰσμαὴλ υἱὸν ἰωνᾶν καὶ τὸν ἀζαρίαν υἱὸν ὠβήδ. καὶ τὸν

ἀμασίαν υἱὸν ἀδαΐα. καὶ τὸν ἐλισαφὰν υἱὸν ζαχαρίου μεθ' ἑαυ-
τοῦ εἰς οἶκον κυρίου, καὶ ἐκύκλωσαν τὴν ἰούδαν. καὶ συνήγαγον
τοὺς λευίτας ἐκ πασῶν τῶν πόλεων ἰούδα, καὶ ἄρχοντας πατρι-
ῶν τοῦ ἰσραήλ. καὶ ἦλθον εἰς ἱερουσαλήμ. καὶ διέθεντο πᾶσα ἡ
ἐκκλησία ἰούδα διαθήκην ἐν οἴκῳ τοῦ θεοῦ μετὰ τοῦ βασιλέ-
ως. καὶ ἔδειξεν αὐτοῖς τὸν υἱὸν τοῦ βασιλέως, καὶ εἶπεν αὐτοῖς. ἰ-
δοὺ ὁ υἱὸς τοῦ βασιλέως βασιλευσάτω. καθὼς ἐλάλησε κύριος
ἐπὶ τὸν οἶκον δαβίδ. καὶ νῦν ὁ λόγος οὗτος ὃν ποιήσετε. τὸ τρί-
τον ἐξ ὑμῶν εἰσπορευέσθωσαν εἰς τὸ σάββατον τῶν ἁγίων τῶν ἱ-
ερέων, καὶ τῶν λευιτῶν καὶ εἰς τὰς πύλας τῶν εἰσόδων. καὶ τὸ τρί-
τον ἐν οἴκῳ τοῦ βασιλέως. καὶ τὸ τρίτον ἐν τῇ πύλῃ τῇ μέσῃ. καὶ
πᾶς ὁ λαὸς ἐν αὐλαῖς οἴκου κυρίου. καὶ μὴ εἰσελθέτωσαν εἰς
οἶκον κυρίου, ἐὰν μὴ οἱ ἱερεῖς, καὶ οἱ λευῖται καὶ οἱ λειτουρ-
γοῦντες υἱοὶ τῶν λευιτῶν αὐτοὶ εἰσελεύσονται, ὅτι ἅγιοί εἰσι. καὶ
πᾶς ὁ λαὸς φυλασσέτω φυλακὰς κυρίου. καὶ κυκλώσουσιν οἱ λε-
υῖται τὸν βασιλέα. καὶ κύκλῳ ἀνδρὸς καὶ σκεῦος αὐτῶν ἐν χει-
ρὶ αὐτῶν. καὶ ὁ εἰσπορευόμενος εἰς τὸν οἶκον ἀποθανεῖται. καὶ ἔ-
σονται μετὰ βασιλέως ἐκπορευομένου αὐτοῦ. καὶ εἰσπορευο-
μένου αὐτοῦ. καὶ ἐποίησαν οἱ λευῖται καὶ πᾶς ἰούδα, κατὰ
πάντα ὅσα ἐνετείλατο αὐτοῖς ἰωδαὲ ὁ ἱερεύς. καὶ ἔλαβον ἕκα-
στος τοὺς ἄνδρας αὐτοῦ ἀπ' ἀρχῆς τοῦ σαββάτου ἕως ἐξόδου
τοῦ σαββάτου. ὅτι οὐ κατέλυσεν ἰωδαὲ ὁ ἱερεὺς τὰς ἐφημερί-
ας. καὶ ἔδωκεν ἰωδαὲ ὁ ἱερεὺς τοὺς ἑκατοντάρχους τεταγμέ-
νους. καὶ τὰς μαχαίρας καὶ τοὺς θυρεοὺς καὶ τὰ ὅπλα ἃ ἦν
τοῦ βασιλέως δαβίδ, ἐν οἴκῳ τοῦ θεοῦ, καὶ ἔστησε τὸν λαὸν πάν-
τα ἕκαστον ἐν τοῖς ὅπλοις αὐτοῦ. ἀπὸ τῆς ὠμίας τοῦ οἴκου τῆς
δεξιᾶς ἕως τῆς ὠμίας τοῦ οἴκου τῆς ἀριστερᾶς τοῦ θυσιαστηρίου.
καὶ τοῦ οἴκου ἐπὶ τὸν βασιλέα κύκλῳ. καὶ ἐξήγαγε τὸν υἱὸν
τοῦ βασιλέως καὶ ἔδωκεν ἐπ' αὐτὸν τὸ βασίλειον καὶ τὰ μαρ-
τύρια. καὶ ἐβασίλευσαν καὶ ἔχρισαν αὐτὸν ἰωδαὲ ὁ ἱερεὺς καὶ

οἱ υἱοὶ αὐτοῦ. καὶ εἶπαν, ζήτω ὁ βασιλεύς. καὶ ἤκουσε γοθολία τὴν φωνὴν τοῦ λαοῦ τῶν τρεχόντων καὶ ἐξομολογουμένων καὶ αἰνούντων τὸν βασιλέα. καὶ εἰσῆλθε πρὸς τὸν βασιλέα εἰς τὸν οἶκον κυρίου, καὶ εἶδε, καὶ ἰδοὺ ὁ βασιλεὺς ἑστὼς ἐπὶ τῆς στάσεως αὐτοῦ, καὶ ἐπὶ τῆς εἰσόδου οἱ ἄρχοντες καὶ αἱ σάλπιγγες, καὶ οἱ ἄρχοντες περὶ τὸν βασιλέα, καὶ πᾶς ὁ λαὸς τῆς γῆς εὐφράνθησαν, καὶ ἐσάλπισαν ἐν ταῖς σάλπιγξι. καὶ οἱ ᾄδοντες ἐν τοῖς ὀργάνοις ᾠδαὶ καὶ ὑμνοῦντες ὕμνον. καὶ διέρρηξε γοθολία τὴν στολὴν αὐτῆς καὶ ἐβόησε. καὶ εἶπεν. ἐπιτιθέμενοι ἐπιτίθεσθε. καὶ ἐξῆλθεν ἰωδαὲ ὁ ἱερεύς, καὶ ἐνετείλατο ἰωδαὲ ὁ ἱερεὺς τοῖς ἑκατοντάρχοις, καὶ τοῖς ἀρχηγοῖς τῆς δυνάμεως. καὶ εἶπεν αὐτοῖς. ἐκβάλετε αὐτὴν ἐκτὸς τοῦ οἴκου, καὶ ἐξέλθετε ὀπίσω αὐτῆς. καὶ ἀποθανέτω μαχαίρᾳ, ὅτι εἶπεν ὁ ἱερεὺς μὴ ἀποθανέτω ἐν οἴκῳ κυρίου. καὶ ἔδωκαν αὐτῇ ἄνεσιν, καὶ διῆλθε διὰ τῆς πύλης τῶν ἱππέων τοῦ οἴκου τοῦ βασιλέως, καὶ ἐθανάτωσαν αὐτὴν ἐκεῖ. καὶ διέθετο ἰωδαὲ διαθήκην ἀνὰ μέσον αὐτοῦ καὶ τοῦ λαοῦ, καὶ τοῦ βασιλέως, εἶναι λαὸν τῷ κυρίῳ. καὶ εἰσῆλθε πᾶς ὁ λαὸς τῆς γῆς εἰς τὸν οἶκον τοῦ βάαλ, καὶ κατέσπασαν αὐτόν, καὶ τὰ θυσιαστήρια αὐτοῦ. καὶ τὰ εἴδωλα αὐτοῦ ἐλέπτωσαν. καὶ τὸν ματθὰν τὸν ἱερέα τοῦ βάαλ ἐθανάτωσαν ἐναντίον τῶν θυσιαστηρίων αὐτοῦ. καὶ ἐνεχείρισεν ἰωδαὲ ὁ ἱερεὺς τὰ ἔργα οἴκου κυρίου διὰ χειρὸς τῶν ἱερέων, καὶ τῶν λευιτῶν καὶ ἀνέστησε τὰς ἐφημερίας τῶν ἱερέων καὶ τῶν λευιτῶν. ἃς διέστειλε δαβὶδ ἐπὶ τὸν οἶκον κυρίου. καὶ ἀνενέγκαι ὁλοκαυτώματα κυρίῳ καθὼς γέγραπται ἐν νόμῳ μωσέως ἐν εὐφροσύνῃ, καὶ ἐν ᾠδαῖς διὰ χειρὸς δαβίδ. καὶ ἔστησαν οἱ πυλωροὶ ἐπὶ τὰς πύλας οἴκου κυρίου, καὶ οὐκ εἰσελεύσεται ἀκάθαρτος εἰς πᾶν πρᾶγμα. καὶ ἔλαβε τοὺς πατριάρχας, καὶ τοὺς δυνάστας. καὶ τοὺς ἄρχοντας τοῦ λαοῦ, καὶ τὸν πάντα λαὸν τῆς γῆς. καὶ ἀνεβίβασε τὸν βασιλέα εἰς οἶκον κυρίου. καὶ εἰσῆλθε διὰ τῆς

πύλης τῆς ἐσωτέρας εἰς τὸν οἶκον τοῦ βασιλέως, καὶ ἐκάθισε τὸν βασιλέα ἐπὶ τοῦ θρόνου τῆς βασιλείας. καὶ εὐφράνθη πᾶς ὁ λαὸς τῆς γῆς. καὶ ἡ πόλις ἡσύχασε. καὶ τὴν γοθολίαν ἐθανάτωσαν μαχαίρᾳ. ὢν ἐτῶν ἑπτὰ ἰωὰς ἐν τῷ βασιλεύειν αὐτόν. καὶ τεσσαράκοντα ἔτη ἐβασίλευσεν ἐν ἱερουσαλήμ. καὶ ὄνομα τῇ μητρὶ αὐτοῦ σαβιὰ ἐκ βηρσαβεέ. καὶ ἐποίησεν ἰωὰς τὸ εὐθὲς ἐνώπιον κυρίου πάσας τὰς ἡμέρας ἰωδαὲ τοῦ ἱερέως. καὶ ἔλαβεν ἰωδαὲ δύο γυναῖκας ἑαυτῷ. καὶ ἐγεννήθησαν αὐτῷ υἱοὶ καὶ θυγατέρες.

Κεφάλαιον ί. 10

Καὶ ἐγένετο μετὰ ταῦτα ἐπὶ καρδίαν ἰωὰς ἐπισκευάσαι τὸν οἶκον κυρίου. καὶ συνήγαγε τοὺς ἱερεῖς
κ καὶ τοὺς λευΐτας, καὶ εἶπεν αὐτοῖς. ἐξέλθετε εἰς τὰς πόλεις ἰούδα, καὶ συναγάγετε ἀπὸ παντὸς ἰσραὴλ ἀργύριον, κατισχῦσαι τὸν οἶκον κυρίου ἐνιαυτὸν κατ᾽ ἐνιαυτόν. καὶ σπεύσατε λαλῆσαι. καὶ οὐκ ἔσπευσαν οἱ λευῖται. καὶ ἐκάλεσεν ὁ βασιλεὺς ἰωδαὲ τὸν ἄρχοντα καὶ εἶπεν αὐτῷ, διατί οὐκ ἐπεσκέψω περὶ τῶν λευιτῶν τοῦ εἰσενέγκαι ἀπὸ ἰούδα, καὶ ἀπὸ ἱερουσαλὴμ τὸ κεκριμμένον ὑπὸ μωυσέως ἀνθρώπου τοῦ θεοῦ, ὅτι ἐξεκκλησίασε τὸν ἰσραὴλ εἰς τὴν σκηνὴν τοῦ μαρτυρίου. ὅτι γοθολία ἦν ἡ ἄνομος. καὶ υἱοὶ αὐτῆς κατέσπασαν τὸν οἶκον τοῦ θεοῦ. καὶ γὰρ τὰ ἅγια οἴκου κυρίου ἐποίησαν ταῖς βααλίμ, καὶ εἶπεν ὁ βασιλεύς. γενηθήτω γλωσσόκομον, καὶ τεθήτω ἐν τῇ πύλῃ οἴκου κυρίου ἔξω. καὶ κηρυξάτωσαν ἐν ἰούδα, καὶ ἐν ἱερουσαλήμ, εἰσενεγκεῖν κυρίῳ καθὼς εἶπε μωυσῆς παῖς τοῦ θεοῦ ἐπὶ τὸν ἰσραὴλ ἐν τῇ ἐρήμῳ. καὶ ἔδωκαν πάντες οἱ ἄρχοντες καὶ πᾶς ὁ λαός. καὶ εἰσέφερον καὶ ἐνέβαλον εἰς τὸ γλωσσόκομον ἕως ἂν ἐπληρώθη. καὶ ἐγένετο, ὡς εἰσέφερον τὸ γλωσσόκομον πρὸς τοὺς προστάτας τοῦ βασιλέως διὰ χειρὸς τῶν λευιτῶν. καὶ ὡς εἶδον, ὅτι ἐπλεόνασε τὸ ἀργύριον. καὶ ἦλθεν ὁ γραμμ-

ματεὺς τοῦ βασιλέως, καὶ ὁ προστάτης τοῦ μεγάλου ἱερέως, καὶ
ἐξεκένωσαν τὸ γλωσσόκομον καὶ κατέστησαν εἰς τὸν τόπον αὐ-
τοῦ. οὕτως ἐποίουν ἡμέραν ἐξ ἡμέρας. καὶ συνήγαγον ἀργύρι-
ον πολύ, καὶ ἔδωκεν αὐτὸ ὁ βασιλεὺς καὶ ἰωδαὲ ὁ ἱερεὺς τοῖς
ποιοῦσι τὰ ἔργα εἰς ἐργασίαν οἴκου κυρίου. καὶ ἐμισθοῦντο λα-
τόμους, καὶ τέκτονας, ἐπισκευάσαι τὸν οἶκον κυρίου. καὶ χαλ-
κεῖς σιδήρου καὶ χαλκοῦ ἐπισκευάσαι τὸν οἶκον κυρίου. καὶ ἐ-
ποίουν οἱ ποιοῦντες τὰ ἔργα. καὶ ἀνέστη μῆκος τῶν ἔργων ἐν
ταῖς χερσὶν αὐτῶν, καὶ ἀνέστησαν τὸν οἶκον κυρίου ἐπὶ τὴν στάσιν
αὐτοῦ. καὶ ἐνίσχυσαν. καὶ ὡς συνετέλεσαν, ἤνεγκαν πρὸς τὸν βα-
σιλέα, καὶ πρὸς ἰωδαὲ τὸ κατάλοιπον τοῦ ἀργυρίου. καὶ ἐποίη-
σαν σκεύη εἰς οἶκον κυρίου, καὶ σκεύη λειτουργικὰ ὁλοκαυτω-
μάτων καὶ θυΐσκας χρυσᾶς καὶ ἀργυρᾶς, καὶ ἀνήνεγκεν ὁλο-
καυτώσεις εἰς οἶκον κυρίου διαπαντός. πάσας τὰς ἡμέρας ἰω-
δαέ. καὶ ἐγήρασεν ἰωδαὲ πλήρης ἡμερῶν. καὶ ἐτελεύτησεν, ὢν
ἑκατὸν καὶ τριάκοντα ἐτῶν. ἐν τῷ τελευτᾶν αὐτόν. καὶ ἔθαψαν
αὐτὸν ἐν πόλει δαβὶδ μετὰ τῶν βασιλέων, ὅτι ἐποίησεν ἀγα-
θωσύνην μετὰ ἰσραήλ, καὶ μετὰ τοῦ οἴκου αὐτοῦ. καὶ ἐγένετο
μετὰ τὴν τελευτὴν ἰωδαέ, εἰσῆλθον οἱ ἄρχοντες ἰούδα καὶ προ-
σεκύνησαν τὸν βασιλέα. τότε ἐπήκουσεν ὁ βασιλεὺς αὐτῶν.
καὶ ἐγκατέλιπον τὸν οἶκον κυρίου θεοῦ τῶν πατέρων αὐτῶν.
καὶ ἐδούλευον ταῖς ἀστάρταις, καὶ τοῖς εἰδώλοις. καὶ ἐγένετο ὀρ-
γὴ ἐπὶ ἰούδαν καὶ ἐπὶ ἱερουσαλὴμ ἐν τῇ ἡμέρᾳ ταύτῃ. καὶ ἀ-
πέστειλε πρὸς αὐτοὺς προφήτας ἐπιστρέψαι πρὸς κύριον, καὶ
οὐκ ἤκουσαν. καὶ διεμαρτύρατο αὐτοῖς καὶ οὐκ ἤκουσαν, καὶ
πνεῦμα κυρίου ἐνέδυσε τὸν ἀζαρίαν τὸν τοῦ ἰωδαὲ τὸν ἱερέα.
καὶ ἀνέστη ἐπάνω τοῦ λαοῦ, καὶ εἶπεν αὐτοῖς. τάδε λέγει κύ-
ριος. τί ὑμεῖς παραπορεύεσθε τὰς ἐντολὰς κυρίου, καὶ οὐκ εὐο-
δωθήσεσθε, ὅτι ἐγκατελίπετε τὸν κύριον, καὶ ἐγκαταλείψει ὑμᾶς.
καὶ ἐπέθεντο αὐτῷ. καὶ ἐλιθοβόλησαν αὐτὸν δι' ἐντολῆς ἰωὰς τοῦ

βασιλέως ἐν αὐλῇ οἴκου κυρίου. καὶ οὐκ ἐμνήσθη ἰωὰς τοῦ ἐλέους οὗ ἐποίησεν ἰωδαὲ ὁ πατὴρ αὐτοῦ μετ' αὐτοῦ, καὶ ἐθανάτωσε τὸν υἱὸν αὐτοῦ, καὶ ὡς ἀπέθνησκεν εἶπεν. ἴδοι κύριος καὶ κρινάτω. καὶ ἐγένετο μετὰ τὴν συντέλειαν τοῦ ἐνιαυτοῦ, ἀνέστη ἐπ' αὐτὸν δύναμις συρίας καὶ ἦλθον ἐπὶ ἰούδαν καὶ ἐπὶ ἱερουσαλήμ, καὶ κατέφθειραν πάντας τοὺς ἄρχοντας τοῦ λαοῦ ἐν τῷ ναῷ. καὶ πάντα τὰ σκῦλα αὐτῶν ἀπέστειλαν τῷ βασιλεῖ δαμασκοῦ. ὅτι ἐν ὀλίγοις ἀνδράσι παρεγένετο δύναμις συρίας. καὶ ὁ θεὸς παρέδωκεν εἰς τὰς χεῖρας αὐτῶν δύναμιν, πολλὴν πολλὰ σφόδρα, ὅτι ἐγκατέλιπον κύριον τὸν θεὸν τῶν πατέρων αὐτῶν. καὶ μετὰ ἰωὰς ἐποίησε κρίματα. καὶ μετὰ τὸ ἀπελθεῖν αὐτοὺς ἀπ' αὐτοῦ. ἐν τῷ ἐγκαταλιπεῖν αὐτὸν ἐν μαλακίαις μεγάλαις. καὶ ἐπέθεντο αὐτῷ οἱ παῖδες αὐτοῦ ἐν αἵμασιν υἱοῦ ἰωδαὲ τοῦ ἱερέως. καὶ ἐθανάτωσαν αὐτὸν ἐπὶ τῆς κλίνης αὐτοῦ. καὶ ἀπέθανε. καὶ ἔθαψαν αὐτὸν ἐν πόλει δαβίδ. καὶ οὐκ ἔθαψαν αὐτὸν ἐν τῷ τάφῳ τῶν βασιλέων. καὶ οἱ ἐπιθέμενοι ἐπ' αὐτόν. ζαβὲδ ὁ τοῦ σαμαὰθ ὁ ἀμμανίτης. καὶ ἰωζαβὲδ ὁ τοῦ σαμαρὴθ ὁ μωαβίτης, καὶ οἱ υἱοὶ αὐτοῦ πάντες. καὶ προσῆλθον αὐτῷ οἱ πέντε, καὶ ἐθανάτωσαν αὐτόν. καὶ τὰ λοιπὰ τῶν λόγων αὐτοῦ ἰδοὺ γεγραμμένα ἐπὶ τὴν γραφὴν τῶν βασιλέων. καὶ ἐβασίλευσεν ἀμασίας υἱὸς αὐτοῦ ἀντ' αὐτοῦ. ὢν εἴκοσι καὶ πέντε ἐτῶν ἐβασίλευσεν ἀμασίας. καὶ εἴκοσι καὶ ἐννέα ἔτη ἐβασίλευσεν ἐν ἱερουσαλήμ. καὶ ὄνομα τῇ μητρὶ αὐτοῦ ἰωδαὲν ἀπὸ ἱερουσαλήμ. καὶ ἐποίησε τὸ εὐθὲς ἐνώπιον κυρίου, ἀλλ' οὐκ ἐν καρδίᾳ πλήρει. καὶ ἐγένετο ὡς κατέστη ἡ βασιλεία ἐν χειρὶ αὐτοῦ, καὶ ἐθανάτωσε τοὺς παῖδας αὐτοῦ τοὺς φονεύσαντας τὸν βασιλέα πατέρα αὐτοῦ, καὶ τοὺς υἱοὺς αὐτῶν οὐκ ἀπέκτεινε. κατὰ τὴν διαθήκην τοῦ νόμου κυρίου καθὼς γέγραπται, ὡς ἐνετείλατο κύριος λέγων. οὐκ ἀποθανοῦνται πατέρες ὑπὲρ τέκνων. καὶ υἱοὶ οὐκ ἀποθανοῦνται ὑπὲρ πατέρων ἀλλ' ἢ ἕκαστος

τῇ ἁμαρτίᾳ ἑαυτῶν ἀποθανοῦνται. καὶ συνήγαγεν ἀμασίας τὸν
οἶκον ἰούδα, καὶ ἀνέστησεν αὐτοὺς κατ' οἴκους πατριῶν αὐτῶν
εἰς χιλιάρχους καὶ ἑκατοντάρχους ἐν παντὶ ἰούδᾳ καὶ ἐν ἱερου-
σαλήμ. καὶ ἠρίθμησεν αὐτοὺς, ἀπὸ εἰκοσαετοῦς καὶ ἐπάνω.
καὶ εὗρεν αὐτοὺς τριακοσίας χιλιάδας. ἐξελθεῖν εἰς πόλεμον.
δυνατοὺς, κρατοῦντας δόρυ καὶ θυρεόν. καὶ ἐμισθώσατο ἀπὸ ἰ-
σραὴλ ἑκατὸν χιλιάδας δυνατοὺς ἰσχύι, ἑκατὸν ταλάντων ἀργυ-
ρίου. καὶ ἄνθρωπος τοῦ θεοῦ ἦλθε πρὸς αὐτὸν λέγων. βασιλεῦ.
οὐ παρελεύσεται μετὰ σοῦ δύναμις ἰσραήλ. ὅτι οὐκ ἔστι κύριος
μετὰ ἰσραὴλ πάντων υἱῶν ἐφραίμ. ὅτι ἐὰν ὑπολάβῃς κατισχῦ-
σαι ἐν τούτοις, καὶ τροπώσεταί σε κύριος ἐναντίον τῶν ἐχθρῶν
ὅτι ἐστὶ παρὰ κυρίου ἰσχῦσαι καὶ τροπώσασθαι. καὶ εἶπεν ἀ-
μασίας τῷ ἀνθρώπῳ τοῦ θεοῦ, καὶ τί ποιήσω τὰ ἑκατὸν τά-
λαντα ἃ ἔδωκα τῇ δυνάμει τοῦ ἰσραήλ. καὶ εἶπεν ὁ ἄνθρωπος
τοῦ θεοῦ. ἔστι τῷ κυρίῳ δοῦναι σοι πλείονα τούτων. καὶ διεχώ-
ρισεν ἀμασίας τῇ δυνάμει τῇ ἐλθούσῃ πρὸς αὐτὸν ἀπὸ ἐ-
φραὶμ, ἀπελθεῖν εἰς τὸν τόπον αὐτῶν. καὶ ἐθυμώθησαν σφόδρα ἐ-
πὶ ἰούδαν. καὶ ἀπέστρεψαν εἰς τὸν τόπον ἑαυτῶν ἐν ὀργῇ θυμοῦ.
καὶ ἀμασίας κατίσχυσε καὶ παρέλαβε τὸν λαὸν αὐτοῦ, καὶ ἐπορεύ-
θη εἰς τὴν κοιλάδα τῶν ἁλῶν. καὶ ἐπάταξεν ἐκεῖ τοὺς υἱοὺς ση-
είρ, δέκα χιλιάδας. καὶ δέκα χιλιάδας ἐζώγρησαν οἱ υἱοὶ ἰ-
ούδα καὶ ἔφερον αὐτοὺς ἐπὶ τὸ ἄκρον τοῦ κρημνοῦ, καὶ κατεκρή-
μνιζον αὐτοὺς ἀπὸ τοῦ ἄκρου τοῦ κρημνοῦ, καὶ πάντες διερρή-
γνυντο. καὶ οἱ υἱοὶ τῆς δυνάμεως οὓς ἀπέστρεψεν ἀμασίας τοῦ
μὴ πορευθῆναι μετ' αὐτοῦ εἰς πόλεμον, καὶ ἐπέθεντο ἐπὶ τὰς
πόλεις ἰούδα. ἀπὸ σαμαρίας ἕως βαιθωρών. καὶ ἐπάταξαν ἐν
αὐτοῖς τρεῖς χιλιάδας καὶ ἐσκύλευσαν σκῦλα πολλὰ καὶ ἐ-
γένετο μετὰ ἐλθεῖν ἀμασίαν πατάξαντα τὴν ἰδουμαίαν. καὶ
ἤνεγκε πρὸς αὐτὸν τοὺς θεοὺς υἱῶν σηεὶρ καὶ ἔστησεν αὐτῷ
αὐτοὺς εἰς θεούς. καὶ ἐναντίον αὐτῶν προσεκύνει καὶ αὐτοῖς

ἔθνη. καὶ ἐγένετο ὀργὴ κυρίου ἐπὶ ἀμασίαν καὶ ἀπέστειλεν αὐ-
τῷ προφήτην καὶ εἶπεν αὐτῷ. ὅτι ἐζήτησας τοὺς θεοὺς τοῦ
λαοῦ οἳ οὐκ ἐξείλοντο τὸν λαὸν ἑαυτῶν ἐκ χειρός σου. καὶ ἐγένετο
ἐν τῷ λαλῆσαι αὐτῷ πρὸς αὐτόν. καὶ εἶπεν αὐτῷ. μὴ σύμ-
βουλον τοῦ βασιλέως δέδωκά σε; πρόσεχε ἵνα μὴ μαστιγωθῇς.
καὶ ἐσιώπησεν ὁ προφήτης καὶ εἶπεν γινώσκω, ὅτι ἐβουλεύσατο
ἐπὶ σοὶ τοῦ καταφθεῖραί σε, ὅτι ἐποίησας τοῦτο, καὶ οὐκ ἐπή-
κουσας τῆς συμβουλίας μου.

Κεφ. ιϛ. 11.

Καὶ ἐβουλεύσατο ἀμασίας ὁ βασιλεὺς ἰούδα. καὶ
ἀπέστειλε πρὸς ἰωὰς υἱὸν ἰωαχὰζ υἱοῦ ἰηοῦ βασιλέα
ἰσραὴλ λέγων. δεῦρο, καὶ ὀφθῶμεν προσώποις.
καὶ ἀπέστειλεν ἰωὰς βασιλεὺς ἰσραὴλ πρὸς ἀμασίαν βασιλέα
ἰούδα λέγων. ὁ ἀχοὺχ ὁ ἐν τῷ λιβάνῳ, ἀπέστειλε πρὸς τὴν κέ-
δρον τὴν ἐν τῷ λιβάνῳ λέγων. δὸς τὴν θυγατέρα σου τῷ υἱ-
ῷ μου εἰς γυναῖκα. καὶ ἰδοὺ ἐλεύσεται τὰ θηρία τοῦ ἀγροῦ τὰ
ἐν τῷ λιβάνῳ. καὶ ἦλθον τὰ θηρία καὶ κατεπάτησαν τὸν
ἀχούχ. εἶπας ἰδοὺ ἐπάταξα τὴν ἰδουμαίαν καὶ ἐπαίρει σε ἡ
καρδία σου ἡ βαρεῖα. νῦν κατοίκησον ἐν οἴκῳ σου. καὶ ἵνα τί
συμβάλλεις ἐν κακίᾳ καὶ πεσῇ σὺ καὶ ἰούδας μετὰ σοῦ; καὶ οὐκ
ἤκουσεν ἀμασίας, ὅτι παρὰ κυρίου ἐγένετο τοῦ παραδοῦναι αὐ-
τὸν εἰς χεῖρας ἰωάς. ὅτι ἐξεζήτησε τοὺς θεοὺς τῶν ἰδουμαίων. καὶ
ἀνέβη ἰωὰς βασιλεὺς ἰσραήλ, καὶ ὤφθησαν ἀλλήλοις αὐτὸς
καὶ ἀμασίας βασιλεὺς ἰούδα. ἐν βαιθσαμὶς, ἥ ἐστι τοῦ ἰούδα. καὶ ἐ-
τροπώθη ἰούδας κατὰ πρόσωπον ἰσραήλ. καὶ ἔφυγεν ἕκαστος
εἰς τὸ σκήνωμα ἑαυτοῦ. καὶ τὸν ἀμασίαν βασιλέα ἰούδα τὸν
τοῦ ἰωὰς υἱοῦ ἰωαχὰζ κατέλαβεν ἰωὰς βασιλεὺς ἰσραὴλ ἐν βαιθ-
σαμὶς, καὶ εἰσήγαγεν αὐτὸν εἰς ἱερουσαλήμ. καὶ κατέσπασεν
ἀπὸ τοῦ τείχους ἱερουσαλὴμ ἀπὸ πύλης ἐφραὶμ ἕως πύλης γω-
νίας τετρακοσίους πήχεις. καὶ πᾶν τὸ χρυσίον καὶ τὸ ἀργύ-

ριον καὶ πάντα τὰ σκεύη τὰ εὑρεθέντα ἐν οἴκῳ κυρίου καὶ παρὰ τῷ ἀβδεδὸμ καὶ τοὺς θησαυροὺς οἴκου τοῦ βασιλέως καὶ τοὺς υἱοὺς τῶν συμμίξεων. καὶ ἐπέστρεψεν εἰς σαμαρείαν. καὶ ἔζησεν ἀμασίας ὁ τοῦ ἰωὰς βασιλεὺς ἰούδα μετὰ τὸ ἀποθανεῖν ἰωὰς τὸν τοῦ ἰωάχαζ βασιλέα ἰσραὴλ ἔτη δεκαπέντε. καὶ οἱ λοιποὶ λόγοι ἀμασίου οἱ πρῶτοι καὶ οἱ ἔσχατοι οὐχὶ γεγραμμένοι ἐπὶ βιβλίου βασιλέων ἰούδα. καὶ ἰσραήλ. καὶ ἐν τῷ καιρῷ ᾧ ἀπέστη ἀμασίας ἀπὸ κυρίου καὶ ἐπέθεντο αὐτῷ ἐπίθεσιν καὶ ἔφυγεν ἀπὸ ἱερουσαλὴμ εἰς λαχεῖς. καὶ ἀπέστειλαν κατόπισθεν αὐτοῦ εἰς λαχεὶς καὶ ἐθανάτωσαν αὐτὸν ἐκεῖ. καὶ ἀνέλαβον αὐτὸν ἐπὶ τῶν ἵππων καὶ ἔθαψαν αὐτὸν μετὰ τῶν πατέρων αὐτοῦ ἐν πόλει δαβίδ. ἔλαβεν πᾶς ὁ λαὸς τῆς γῆς τὸν ὀζίαν. καὶ αὐτὸς υἱὸς ἑξκαίδεκα ἐτῶν. καὶ ἐβασίλευσαν αὐτὸν ἀντὶ τοῦ πατρὸς αὐτοῦ ἀμασίου. αὐτὸς ᾠκοδόμησε τὴν αἰλὰθ. αὐτὸς ἐπέστρεψεν αὐτὴν τῷ ἰούδα μετὰ τὸ κοιμηθῆναι τὸν βασιλέα μετὰ τῶν πατέρων αὐτοῦ. υἱὸς ἑξκαίδεκα ἐτῶν, ἐβασίλευσεν ὀζίας. καὶ πεντήκοντα καὶ δύο ἔτη, ἐβασίλευσεν ἐν ἱερουσαλήμ. καὶ ὄνομα τῇ μητρὶ αὐτοῦ ἰεχελία ἀπὸ ἱερουσαλήμ. καὶ ἐποίησε τὸ εὐθὲς ἐνώπιον κυρίου κατὰ πάντα ὅσα ἐποίησεν ἀμασίας ὁ πατὴρ αὐτοῦ. καὶ ἦν ἐκζητῶν τὸν κύριον ἐν ταῖς ἡμέραις ἀζαχαρίου τοῦ συνιέντος ἐν φόβῳ κυρίου. καὶ ἐν ταῖς ἡμέραις αὐτοῦ, ἐξεζήτησε τὸν κύριον καὶ εὐώδωσεν αὐτῷ κύριος καὶ ἐξῆλθε καὶ ἐπολέμησε πρὸς τοὺς ἀλλοφύλους καὶ κατέσπασε τὰ τείχη γὲθ καὶ τὰ τείχη ἰαβνήρ. καὶ τὰ τείχη ἀζώτου καὶ ᾠκοδόμησε πόλεις ἀζώτου καὶ ἐν τοῖς ἀλλοφύλοις. καὶ κατίσχυσεν αὐτὸν κύριος ἐπὶ τοὺς ἀλλοφύλους καὶ ἐπὶ τοὺς ἄραβας τοὺς κατοικοῦντας ἐπὶ τὰς πέτρας καὶ ἐπὶ τοὺς μιναίους. καὶ ἔδωκαν οἱ μιναῖοι δῶρα τῷ ὀζίᾳ. καὶ ἦν τὸ ὄνομα αὐτοῦ ἕως εἰσόδου αἰγύπτου. ὅτι κατίσχυσεν ἕως ἄνω. Καὶ ᾠκοδόμησεν ὀζίας πύργους ἐν ἱερουσαλήμ. καὶ ἐπὶ τὴν πύλην τῆς γωνίας καὶ ἐπὶ τὴν γωνίαν

δίαι τῆς φάραγγος, καὶ ἐπὶ τῶν γωνιῶν. καὶ κατίσχυσε, καὶ ᾠκοδόμησε πύργους ἐν τῇ ἐρήμῳ. καὶ ἐλατόμησε λάκκους πολλούς. ὅτι κτήνη πολλὰ ὑπῆρχον αὐτῷ ἐν σεφηλὰ καὶ ἐν τῇ πεδινῇ, καὶ ἀμπελουργοὶ ἐν τῇ ὀρεινῇ. καὶ ἐν τῷ καρμήλῳ. ὅτι ἀνὴρ φιλογεωργὸς ἦν. καὶ ἐγένετο τῷ ὀζίᾳ δύναμις ποιοῦσα πόλεμον καὶ ἐκπορευομένη εἰς παράταξιν εἰς πόλεμον καὶ εἰσπορευομένη εἰς παράταξιν εἰς ἀριθμόν. καὶ ἦν ὁ ἀριθμὸς αὐτῶν διὰ χειρὸς ἰεὴλ τοῦ γραμματέως, καὶ μαασίου τοῦ κριτοῦ διὰ χειρὸς ἀνανίου τοῦ διαδόχου τοῦ βασιλέως. πᾶς ἀριθμὸς τῶν πατριαρχῶν τῶν δυνατῶν εἰς πόλεμον δισχίλιοι ἑξακόσιοι. καὶ μετ' αὐτῶν δύναμις πολεμική, τριακόσιαι χιλιάδες καὶ ἑπτακισχίλιοι καὶ πεντακόσιοι οὗτοι ποιοῦντες πόλεμον ἐν δυνάμει ἰσχύος βοηθῆσαι τῷ βασιλεῖ ἐπὶ τοὺς ὑπεναντίους, καὶ ἡτοίμασεν αὐτοῖς ὀζίας πάσῃ τῇ δυνάμει θυρεοὺς καὶ δόρατα καὶ περικεφαλαίας καὶ θώρακας καὶ τόξα καὶ εἰς λίθους σφενδόνας. καὶ ἐποίησεν ἐν ἱερουσαλὴμ μηχανὰς μεμηχανευμένας λογιστοῦ, τοῦ εἶναι ἐπὶ τῶν πύργων. καὶ ἐπὶ τῶν γωνιῶν βάλλειν βέλεσι καὶ λίθοις μεγάλοις. καὶ ἠκούσθη ἡ κατασκευὴ αὐτῶν, ἕως πόῤῥω. ὅτι ἐθαυμαστώθη τοῦ βοηθῆναι, ἕως οὗ κατίσχυσε, καὶ ὡς κατίσχυσεν, ὑψώθη ἡ καρδία αὐτοῦ τοῦ καταφθεῖραι. καὶ ἠδίκησεν ἐν κυρίῳ θεῷ αὐτοῦ, καὶ εἰσῆλθεν εἰς τὸν ναὸν κυρίου θυμιάσαι ἐπὶ τὸ θυσιαστήριον, τῶν θυμιαμάτων. καὶ εἰσῆλθεν ὀπίσω αὐτοῦ ζαχαρίας ὁ ἱερεύς. καὶ μετ' αὐτοῦ ἱερεῖς κυρίου ὀγδοήκοντα υἱοὶ δυνατοί, καὶ ἔστησαν ἐπὶ ὀζίαν τὸν βασιλέα καὶ εἶπον αὐτῷ. οὐ σοὶ ὀζία θυμιάσαι τῷ κυρίῳ. ἀλλὰ τοῖς ἱερεῦσι τοῖς υἱοῖς ἀαρὼν τοῖς ἡγιασμένοις θυμιάσαι. ἔξελθε ἐκ τοῦ ἁγιάσματος, ὅτι ἀπέστης ἀπὸ κυρίου. καὶ οὐκ ἔσται σοι τοῦτο εἰς δόξαν παρὰ κυρίου θεοῦ, καὶ ἐθυμώθη ὀζίας. καὶ ἐν τῇ χειρὶ αὐτοῦ τὸ θυμιατήριον τοῦ θυμιᾶσαι ἐν τῷ ναῷ καὶ ἐν τῷ θυμωθῆναι αὐτὸν εἰς τοὺς ἱερεῖς τοῦ κυρίου. καὶ λέπρα ἀνέτειλεν ἐν τῷ μετώπῳ αὐτοῦ, ἐναντίον τῶν ἱερέων

ἐν οἴκῳ κυρίου ἐπάνω τοῦ θυσιαστηρίου τῶν θυμιαμάτων. καὶ
ἐπέστρεψε πρὸς αὐτὸν ζαχαρίας ὁ ἱερεὺς ὁ πρῶτος. καὶ οἱ ἱερεῖς
καὶ ἰδοὺ αὐτὸς λεπρὸς ἐν τῷ μετώπῳ, καὶ κατεδίωξαν αὐτὸν ἐ-
κεῖθεν, καὶ γὰρ αὐτὸς ἔσπευσεν ἐξελθεῖν, ὅτι ἤλεγξεν αὐτὸν κύρι-
ος. καὶ ὀζίας ὁ βασιλεὺς ἦν λεπρὸς, ἕως ἡμέρας τῆς τελευτῆς αὐ-
τοῦ. καὶ ἐν οἴκῳ ἀπφουσὼθ, ἐκάθητο λεπρός. ὅτι ἀπεσχίσθη
ἀπὸ οἴκου θεοῦ. καὶ ἰωάθαμ υἱὸς αὐτοῦ ἐπὶ τῆς βασιλείας αὐ-
τοῦ κρίνων τὸν λαὸν τῆς γῆς, καὶ οἱ λοιποὶ λόγοι ὀζίου, οἱ πρῶ-
τοι καὶ οἱ ἔσχατοι, γεγραμμένοι ὑπὸ ἠσαΐου υἱοῦ ἀμὼς τοῦ προ-
φήτου. καὶ ἐκοιμήθη ὀζίας μετὰ τῶν πατέρων αὐτοῦ. καὶ οὐκ
ἔθαψαν αὐτὸν μετὰ τῶν πατέρων αὐτοῦ ἐν τῷ πεδίῳ τῆς τα-
φῆς τῶν βασιλέων. ὅτι εἶπαν λεπρός ἐστι. καὶ ἐβασίλευσεν ἰωά-
θαμ υἱὸς αὐτοῦ, ἀντ' αὐτοῦ, υἱὸς εἴκοσι καὶ πέντε ἐτῶν ἦν ἰωά-
θαμ ἐν τῷ βασιλεῦσαι αὐτόν. καὶ ἑξκαίδεκα ἔτη ἐβασίλευσεν
ἐν ἱερουσαλήμ. καὶ ὄνομα τῆς μητρὸς αὐτοῦ, ἱερουσὰ θυγάτηρ σαδώκ.
καὶ ἐποίησε τὸ εὐθὲς ἐνώπιον κυρίου κατὰ πάντα ὅσα ἐποίησεν
ὀζίας ὁ πατὴρ αὐτοῦ. ἀλλ' οὐκ εἰσῆλθεν εἰς τὸν ναὸν κυρίου. καὶ ἔτι
ὁ λαὸς κατεφθείρετο. αὐτὸς ᾠκοδόμησε τὴν πύλην, οἴκου κυρίου
τὴν ὑψηλήν. καὶ ἐν τῷ τείχει αὐτῆς ἀπέθετο ὅπλα. καὶ ᾠκοδό-
μησε πόλεις ἐν ὄρει ἰούδα. καὶ ἐν τοῖς δρυμοῖς οἰκήσεις καὶ πύρ-
γους. καὶ αὐτὸς ἐμαχέσατο πρὸς βασιλέα υἱῶν ἀμμὼν, καὶ κατί-
σχυσεν ἐπ' αὐτὸν καὶ ἐδίδουν αὐτῷ οἱ υἱοὶ ἀμμὼν, καὶ κατ' ἐνι-
αυτὸν ἑκατὸν τάλαντα ἀργυρίου, καὶ δέκα χιλιάδας κόρων πυροῦ,
καὶ κριθῶν δέκα χιλιάδας, ταῦτα ἔφερεν αὐτῷ βασιλεὺς υἱῶν
ἀμμὼν. κατ' ἐνιαυτὸν ἐν τῷ πρώτῳ ἔτει. καὶ ἐν τῷ ἔτει τῷ δευτέ-
ρῳ καὶ τῷ τρίτῳ, κατίσχυσεν ἰωάθαμ, ὅτι ἡτοίμησε τὰς ὁδοὺς αὐ-
τοῦ ἐναντίον κυρίου θεοῦ αὐτοῦ. καὶ οἱ λοιποὶ λόγοι ἰωάθαμ καὶ
ὁ πόλεμος καὶ ἡ πρᾶξις αὐτοῦ, ἰδοὺ γεγραμμένοι ἐπὶ βιβλίων βα-
σιλέων ἰούδα καὶ ἰσραήλ. υἱὸς εἴκοσι καὶ πέντε ἐτῶν ἦν βα-
σιλεύσας. καὶ ἑξκαίδεκα ἔτη ἐβασίλευσεν ἐν ἱερουσαλήμ.

Καὶ ἐκοιμήθη ἰωάθαμ μετὰ τῶν πατέρων αὐτοῦ, καὶ ἐτάφη ἐν πόλει δαβίδ. καὶ ἐβασίλευσεν ἄχαζ υἱὸς αὐτοῦ ἀντ᾽ αὐτοῦ. υἱὸς εἴκοσι καὶ πέντε ἐτῶν ἦν ἄχαζ ἐν τῷ βασιλεύειν αὐτόν. καὶ ἑξκαίδεκα ἔτη ἐβασίλευσεν ἐν ἱερουσαλήμ. καὶ οὐκ ἐποίησε τὸ εὐθὲς ἐνώπιον κυρίου, ὡς δαβὶδ ὁ πατὴρ αὐτοῦ. ἀλλ᾽ ἐπορεύθη κατὰ τὰς ὁδοὺς βασιλέων ἰσραήλ. καὶ γὰρ γλυπτὰ ἐποίησε. καὶ τοῖς εἰδώλοις αὐτῶν ἔθυσεν ἐν γῇ ἐννόμ. καὶ ἤγαγε τὰ τέκνα αὐτοῦ διὰ πυρὸς κατὰ τὰ βδελύγματα ἃ ἐξωλόθρευσε κύριος ἀπὸ προσώπου υἱῶν ἰσραήλ. καὶ ἐθυμία ἐπὶ τῶν ὑψηλῶν καὶ ἐπὶ τῶν δωμάτων καὶ ὑποκάτω παντὸς ξύλου ἀλσώδους, καὶ παρέδωκεν αὐτὸν κύριος ὁ θεὸς αὐτοῦ, διὰ χειρὸς βασιλέως συρίας. καὶ ἐπάταξεν ἐν αὐτῷ καὶ ᾐχμαλώτευσεν ἐξ αὐτῶν αἰχμαλωσίαν πολλήν. καὶ ἤγαγεν εἰς δαμασκόν, καὶ εἰς χεῖρας βασιλέως ἰσραὴλ παρέδωκεν αὐτὸν καὶ ἐπάταξεν ἐν αὐτῷ ᾐχμαλώτευσεν ἐξ αὐτῶν αἰχμαλωσίαν πολλήν, καὶ ἤγαγεν εἰς δαμασκόν. καὶ εἰς τὰς χεῖρας βασιλέως ἰσραὴλ παρέδωκεν αὐτὸν καὶ ἐπάταξεν ἐν αὐτῷ πληγὴν μεγάλην. καὶ ἀπέκτεινε φακεὲ ὁ τοῦ ῥομελίου βασιλεὺς ἰσραὴλ ἐν ἰούδα ἐν μιᾷ ἡμέρᾳ ἑκατὸν χιλιάδας: ἀνδρῶν δυνατῶν ἰσχύι. ἐν τῷ καταλιπεῖν αὐτοὺς κύριον τὸν θεὸν τῶν πατέρων αὐτῶν. καὶ ἀπέκτεινε ζεχρὶ ὁ δυνατὸς τοῦ ἐφραὶμ ἀμασίαν τὸν υἱὸν τοῦ βασιλέως. καὶ τὸν ἐζρικὰμ ἡγούμενον τοῦ οἴκου αὐτοῦ. καὶ τὸν ἐλκανὰ τὸν διάδοχον τοῦ βασιλέως. καὶ ᾐχμαλώτευσαν οἱ υἱοὶ ἰσραὴλ ἀπὸ τῶν ἀδελφῶν αὐτῶν, ὀκτακοσίας χιλιάδας γυναῖκας. καὶ υἱοὺς καὶ θυγατέρας. καὶ σκῦλα πολλὰ ἐσκύλευσαν ἐξ αὐτῶν. καὶ ἤνεγκαν τὰ σκῦλα εἰς σαμάρειαν καὶ ἐκεῖ ἦν ὁ προφήτης τοῦ κυρίου, ὠδήδ, ὄνομα αὐτῷ. καὶ ἐξῆλθεν εἰς ἀπάντησιν τῆς δυνάμεως τῶν ἐρχομένων εἰς σαμάρειαν. καὶ εἶπεν αὐτοῖς. ἰδοὺ ὀργὴ κυρίου θεοῦ τῶν πατέρων ἡμῶν ἐπὶ ἰούδαν καὶ παρέδωκεν αὐτοὺς εἰς τὰς χεῖρας ἡμῶν. καὶ ἀπεκτείνατε ἐν αὐτοῖς ἐν ὀργῇ καὶ ἕως τῶν οὐρα-

νῶν ἔφθακε. καὶ νῦν τοὺς υἱοὺς ἰούδα καὶ ἱερουσαλὴμ ὑμεῖς λέ-
γετε κατακτήσασθαι εἰς δούλους. οὐκ ἰδοὺ εἰμὶ μεθ' ὑμῶν μαρ-
τυρῆσαι κυρίῳ θεῷ ὑμῶν; νῦν οὖν ἀκούσατέ μου, καὶ ἀποστρέψα-
τε τὴν αἰχμαλωσίαν ἣν ᾐχμαλωτεύσατε τῶν ἀδελφῶν ὑμῶν.
ὅτι ὀργὴ θυμοῦ κυρίου ἐφ' ὑμῖν. Καὶ ἀνέστησαν οἱ ἄρχοντες ἀπὸ τῶν
υἱῶν ἐφραίμ. ἀζαρίας ὁ τοῦ ἰωνᾶ, καὶ βαραχίας ὁ τοῦ βασαλημώθ
καὶ ἐζεκίας ὁ τοῦ σελλοὺμ. καὶ ἀμασίας ὁ τοῦ ἐλδαὶ ἐπὶ τοὺς ἐρ-
χομένους ἀπὸ τοῦ πολέμου, καὶ εἶπαν αὐτοῖς. οὐ μὴ εἰσαγάγητε τὴν
αἰχμαλωσίαν ὧδε πρὸς ἡμᾶς. ὅτι εἰς τὸ ἁμαρτάνειν κυρίῳ ἐφ'
ἡμᾶς ὑμεῖς λέγετε προσθεῖναι ἐπὶ τὰς ἁμαρτίας ἡμῶν, καὶ
ἐπὶ τὴν ἄγνοιαν ἡμῶν. ὅτι πολλὴ ἡ ἁμαρτία ἡμῶν. καὶ ὀρ-
γὴ κυρίου ἐπὶ τὸν ἰσραήλ. καὶ ἀφῆκαν οἱ πολεμισταὶ τὴν αἰ-
χμαλωσίαν, καὶ τὰ σκῦλα ἐναντίον τῶν ἀρχόντων, καὶ πά-
σης τῆς ἐκκλησίας. καὶ ἀνέστησαν οἱ ἄνδρες οἳ ἐπεκλήθησαν ἐν
ὀνόματι κυρίου, καὶ ἀντελάβοντο τῆς αἰχμαλωσίας. καὶ πάν-
τας τοὺς γυμνοὺς περιέβαλον ἀπὸ τῶν σκύλων καὶ ἐνέδυσαν
αὐτοὺς καὶ ὑπέδυσαν αὐτοὺς καὶ ἔδωκαν φαγεῖν, καὶ ἀλεῖψα-
σθαι. καὶ ἀντελάβοντο ἐν ὑποζυγίοις παντὸς ἀσθενοῦντος, καὶ
κατέστησαν αὐτοὺς εἰς ἱεριχὼ πόλιν φοινίκων, πρὸς τοὺς ἀδελ-
φοὺς αὐτῶν. καὶ ἐπέστρεψαν εἰς σαμάρειαν. ἐν τῷ καιρῷ ἐκεί-
νῳ, ἀπέστειλεν ὁ βασιλεὺς ἄχαζ πρὸς βασιλέα ἀσσοὺρ βοηθῆσαι
αὐτῷ, καὶ ἐν τούτῳ. ὅτι οἱ ἰδουμαῖοι ἐπέθεντο. καὶ ἐπάταξαν ἐν
ἰούδα καὶ ᾐχμαλώτευσαν αἰχμαλωσίαν. καὶ οἱ ἀλλόφυλοι ἐπέθεν-
το αἰχμαλωτεῦσαι τὰς πόλεις τῆς πεδινῆς καὶ ἀπὸ λιβὸς τοῦ ἰούδα
καὶ ἔλαβον τὴν βαιθσαμὶς, καὶ τὰ ἐν οἴκῳ κυρίου καὶ τὰ ἐν οἴκῳ
τοῦ βασιλέως, καὶ τῶν ἀρχόντων, καὶ ἔδωκαν τῷ βασιλεῖ,
τὴν αἰλὼν καὶ τὴν γαδηρὼν, καὶ τὴν σωχὼ καὶ τὰς κώμας αὐ-
τῆς. καὶ τὴν γαμζαί, καὶ τὰς κώμας αὐτῆς. καὶ τὴν θαμνὰ καὶ τὰς
κώμας αὐτῆς. καὶ κατῴκησαν ἐκεῖ, ὅτι ἐταπείνωσε κύριος τὸν
ἰούδαν διὰ ἄχαζ βασιλέα ἰούδα, ὅτι ἀπέστη ἀποστάσει ἀπὸ κυ-

καὶ ἦλθε πρὸς αὐτὸν θαγλαθ φαλλασὰρ βασιλεὺς ἀσσοὺρ, καὶ ἐπάταξεν αὐτόν. καὶ ἀπῴκισε τοὺς ἐν δαμασκῷ εἰς μηδίαν ἐκ δὲ τῆς συρίας μετῴκισεν εἰκεῖ τὴν δαμασκόν.

Κεφάλαιον. ιβ. 12.

Αἰ ἔλαβεν ἄχαζ τὰ ἐν οἴκῳ κυρίου. καὶ τὰ ἐν οἴ-
x κῳ τοῦ βασιλέως καὶ τῶν ἀρχόντων καὶ ἔδωκε τῷ
βασιλεῖ ἀσσοὺρ, καὶ οὐκ εἰς βοήθειαν αὐτῷ ἦν ἀλλ'
ἢ τοῦ θλιβῆναι αὐτόν. καὶ προσέθηκε τοῦ ἀποστῆναι ἀπὸ κυρίου
καὶ εἶπεν ὁ βασιλεὺς ἄχαζ. ἐκζητήσω τοὺς θεοὺς δαμασκοῦ τοὺς
τύπτοντάς με. καὶ εἶπεν. ὅτι θεοὶ βασιλέως συρίας αὐτοὶ κατι-
σχύσουσιν. αὐτοῖς τοίνυν θύσω, καὶ ἀντιλήψονταί μου, καὶ αὐ-
τοὶ ἐγένοντο αὐτῷ, εἰς κῶλον καὶ παντὶ ἰσραὴλ, καὶ ἀπέστησεν
ἄχαζ τὰ σκεύη οἴκου κυρίου καὶ κατέκοψεν αὐτά. καὶ ἔκλεισε
τὰς θύρας, οἴκου κυρίου καὶ ἐποίησεν ἑαυτῷ θυσιαστήρια ἐν
πάσῃ γωνίᾳ ἐν ἱερουσαλήμ. καὶ ἐν πάσῃ πόλει. καὶ πόλει
ἐν ἰούδα ἐποίησεν ὑψηλὰ θυμιᾶν θεοῖς ἀλλοτρίοις ἐν τοῖς ὑψη-
λοῖς, καὶ παρώργισαν τὸν κύριον θεὸν τῶν πατέρων αὐτῶν. καὶ
οἱ λοιποὶ λόγοι αὐτοῦ, καὶ αἱ πράξεις αὐτοῦ αἱ πρῶται, καὶ ἔ-
σχαται ἰδοὺ γεγραμμέναι ἐπὶ βιβλίῳ βασιλέων ἰούδα, καὶ ἰ-
σραήλ. καὶ ἐκοιμήθη ἄχαζ μετὰ τῶν πατέρων αὐτοῦ. καὶ ἐ-
τάφη ἐν πόλει δαβίδ. ὅτι οὐκ εἰσήνεγκαν αὐτὸν εἰς τοὺς τά-
φους τῶν βασιλέων ἰσραήλ. καὶ ἐβασίλευσεν ἐζεκίας υἱὸς αὐ-
τοῦ ἀντ' αὐτοῦ. καὶ ἐζεκίας ἐβασίλευσεν ὢν εἴκοσι καὶ πέντε
ἐτῶν καὶ εἴκοσι ἐννέα ἔτη, ἐβασίλευσεν ἐν ἱερουσαλήμ. ὄνομα
τῇ μητρὶ αὐτοῦ ἀβιὰ θυγάτηρ ζαχαρίου. καὶ ἐποίησε τὸ εὐθὲς ἐ-
νώπιον κυρίου. κατὰ πάντα ὅσα ἐποίησε δαβὶδ ὁ πατὴρ αὐ-
τοῦ. καὶ ἐγένετο ὡς ἔστη ἀρχὴ τῆς βασιλείας αὐτοῦ, ἐν τῷ μηνὶ τῷ
πρώτῳ ἀνέῳξε τὰς θύρας οἴκου κυρίου. καὶ ἐπεσκεύασεν αὐ-
τάς. καὶ εἰσήγαγε τοὺς ἱερεῖς καὶ τοὺς λευίτας καὶ κατέστησεν αὐ-

τοὺς εἰς τὸ κλίτος τὸ πρὸς ἀνατολὰς, καὶ εἶπεν αὐτοῖς· ἀκούσατε
οἱ λευῖται· νῦν ἁγνίσθητε, καὶ ἁγνίσατε τὸν οἶκον κυρίου θεοῦ τῶν
πατέρων ὑμῶν· καὶ ἐκβάλετε τὴν ἀκαθαρσίαν ἐκ τῶν ἁγίων·
ὅτι ἀπέστησαν οἱ πατέρες ἡμῶν, καὶ ἐποίησαν τὸ πονηρὸν ἐναν-
τίον κυρίου θεοῦ ἡμῶν, καὶ ἐγκατέλιπον αὐτὸν, καὶ ἀπέστρε-
ψαν τὸ πρόσωπον αὐτῶν, ἀπὸ τῆς σκηνῆς κυρίου, καὶ ἔδωκαν
αὐχένα, καὶ ἀπέκλεισαν τὰς θύρας τοῦ ναοῦ. καὶ ἔσβεσαν τοὺς λύ-
χνους, καὶ θυμίαμα οὐκ ἐθυμίασαν. καὶ ὁλοκαυτώματα οὐ προ-
σήνεγκαν τῷ ἁγίῳ θεῷ ἰσραήλ. καὶ ὠργίσθη θυμῷ κύριος
ἐπὶ τὸν ἰούδαν καὶ ἐπὶ τὴν ἱερουσαλήμ, καὶ ἔδωκεν αὐτοὺς
εἰς ἔκστασιν καὶ εἰς ἀφανισμὸν, καὶ εἰς συρισμὸν, ὡς ὑμεῖς ὁρᾶ-
τε τοῖς ὀφθαλμοῖς ὑμῶν. καὶ ἰδοὺ πεπλήγασιν οἱ πατέρες ἡ-
μῶν ἐν μαχαίρᾳ. καὶ οἱ υἱοὶ ἡμῶν, καὶ αἱ θυγατέρες ἡμῶν
καὶ αἱ γυναῖκες ἡμῶν ἐν αἰχμαλωσίᾳ ἐν γῇ οὐκ αὐτῶν. καὶ
νῦν ἐστὶν ἐπὶ τούτοις. νῦν οὖν θέσθε ἐπὶ καρδίας ὑμῶν, τοῦ δια-
θέσθαι διαθήκην μετὰ τοῦ κυρίου θεοῦ ἰσραήλ. καὶ ἀποστρέ-
ψει τὴν ὀργὴν τοῦ θυμοῦ αὐτοῦ, ἀφ' ὑμῶν. καὶ νῦν μὴ διαλίπη-
τε, ὅτι ἐν ὑμῖν ᾑρέτικε κύριος στῆναι ἐναντίον αὐτοῦ λειτουργεῖν
καὶ εἶναι αὐτῷ λειτουργοῦντας καὶ θυμιῶντας. καὶ ἀνέστησαν
οἱ λευῖται· μαὰλ ὁ τοῦ ἀμασὶ, καὶ ἰωὴλ ὁ τοῦ ζαχαρίου ἐκ τῶν υἱ-
ῶν καὰθ, καὶ ἐκ τῶν υἱῶν μεραρί· καὶ κεὶς ὁ τοῦ ἀβδί· καὶ ἀζα-
ρίας ὁ τοῦ ἰλαελήλ. καὶ ἀπὸ τῶν γεδσωνὶ, ἰωαδὰδ ὁ τοῦ ζεμμὰ
καὶ ἰωαδάμ. οὗτοι υἱοὶ ἰωαχαδ. καὶ τῶν υἱῶν ἐλισαφὰν σαμα-
ρὶ, καὶ ἰεὴλ, καὶ τῶν υἱῶν ἀσὰφ ζαχαρίας καὶ μαθθανίας. καὶ
τῶν υἱῶν αἰμὰν, ἰεὴλ καὶ σεμεῒ, καὶ τῶν υἱῶν ἰδιθοὺμ, σαμαι-
θίας καὶ ὀζιήλ. καὶ συνήγαγον τοὺς ἀδελφοὺς αὐτῶν, καὶ ἡγνί-
σθησαν κατὰ τὴν ἐντολὴν τοῦ βασιλέως διὰ προστάγματος κυρί-
ου καθαρίσαι τὸν οἶκον κυρίου. καὶ εἰσῆλθον οἱ ἱερεῖς ἔσω εἰς τὸν
οἶκον κυρίου ἁγνίσαι. καὶ ἐξέβαλον πᾶσαν τὴν ἀκαθαρσίαν,
τὴν εὑρεθεῖσαν ἐν τῷ οἴκῳ κυρίου, καὶ εἰς τὴν αὐλὴν οἴκου κυ-

ρίου. καὶ ἐδέξαντο οἱ λευῖται ἐκβαλεῖν εἰς τὸν χειμάῤῥουν κέ-
δρων ἔξω. καὶ ἤρξαντο τῇ ἡμέρᾳ τῇ πρώτῃ νουμηνίᾳ τοῦ πρώ-
του μηνὸς ἁγνίσαι. καὶ τῇ ἡμέρᾳ τῇ ὀγδόῃ τοῦ μηνὸς, εἰσῆλθον
εἰς τὸν ναὸν κυρίου, καὶ ἥγνισαν τὸν οἶκον κυρίου ἐν ἡμέραις ὀ-
κτώ. καὶ τῇ ἡμέρᾳ τῇ ἑξκαιδεκάτῃ τοῦ μηνὸς τοῦ πρώτου συνε-
τέλεσαν. καὶ εἰσῆλθον ἔσω πρὸς ἐζεκίαν τὸν βασιλέα καὶ εἶπαν
ἡγνίσαμεν πάντα τὰ ἐν οἴκῳ κυρίου. τὸ θυσιαστήριον τῆς ὁλο-
καυτώσεως καὶ τὰ σκεύη αὐτοῦ καὶ τράπεζαν τῆς προθέσεως
καὶ τὰ σκεύη αὐτῆς, καὶ πάντα τὰ σκεύη ἃ ἐμίανεν ὁ βασιλεὺς
ἀχὰζ ἐν τῇ βασιλείᾳ αὐτοῦ ἐν τῇ ἀποστασίᾳ ἑαυτοῦ. καὶ ἡτοι-
μάσαμεν καὶ ἡγνίσαμεν καὶ ἰδού ἐστιν ἐναντίον τοῦ θυσιαστηρί-
ου κυρίου. καὶ ὤρθρισε καὶ συνήγαγεν ἐζεκίας ὁ βασιλεὺς τοὺς
ἄρχοντας τῆς πόλεως καὶ ἀνέβη εἰς οἶκον κυρίου, καὶ ἀνήγα-
γε μόσχους ἑπτὰ κριοὺς ἑπτὰ ἀμνοὺς ἑπτὰ χιμάῤῥους αἰγῶν πε-
ρὶ ἁμαρτίας, καὶ περὶ τῆς βασιλείας καὶ περὶ τῶν ἁγίων καὶ περὶ
ἰσραήλ. καὶ εἶπε τοῖς υἱοῖς ἀαρὼν τοῖς ἱερεῦσιν ἀναβαίνειν ἐπὶ
τὸ θυσιαστήριον κυρίου θύειν τοὺς μόσχους. καὶ ἐδέξαντο οἱ ἱερεῖς
τὸ αἷμα, καὶ προσέχεον ἐπὶ τὸ θυσιαστήριον. καὶ ἔθυσαν τοὺς κρι-
οὺς καὶ προσέχεον τὸ αἷμα ἐπὶ τὸ θυσιαστήριον. καὶ ἔθυσαν τοὺς
ἀμνοὺς, καὶ περιέχεον τὸ αἷμα τῷ θυσιαστηρίῳ. καὶ προσήγα-
γον τοὺς χιμάῤῥους τοὺς περὶ ἁμαρτίας ἐναντίον τοῦ βασιλέως
καὶ τῆς ἐκκλησίας. καὶ ἐπέθηκαν τὰς χεῖρας αὐτῶν ἐπ᾽ αὐτούς.
καὶ ἔθυσαν αὐτοὺς οἱ ἱερεῖς καὶ ἐξιλάσαντο τὸ αἷμα αὐτῶν πρὸς
τὸ θυσιαστήριον, καὶ ἐξιλάσαντο περὶ παντὸς ἰσραήλ. ὅτι εἶπεν
ὁ βασιλεὺς περὶ παντὸς ἰσραὴλ ἡ ὁλοκαύτωσις, καὶ τὰ περὶ
ἁμαρτίας. καὶ ἔστησε τοὺς λευΐτας ἐν οἴκῳ κυρίου ἐν κυμβά-
λοις, καὶ ἐννάβλαις καὶ ἐν κινύραις κατὰ τὴν ἐντολὴν δαβὶδ
τοῦ βασιλέως καὶ γὰδ τοῦ ὁρῶντος τοῦ βασιλέως. καὶ νάθαν τοῦ
προφήτου. ὅτι δι᾽ ἐντολῆς κυρίου τὸ πρόσταγμα ἐν χειρὶ τῶν
προφητῶν. καὶ ἔστησαν οἱ λευῖται ἐν ὀργάνοις δαβὶδ. καὶ οἱ ἱερεῖς ταῖς

σάλπιγξι. καὶ εἶπεν ἐζεκίας ἀνενέγκαι τὴν ὁλοκαύτωσιν ἐπὶ τὸ θυσιαστήριον. καὶ ἐν τῷ ἄρξασθαι ἀναφέρειν τὴν ὁλοκαύτωσιν. ἤρξαντο ᾄδειν τῷ κυρίῳ. καὶ αἱ σάλπιγγες πρὸς τὰ ὄργανα δαβὶδ βασιλέως ἰσραήλ. καὶ πᾶσα ἡ ἐκκλησία προσεφώνει. καὶ οἱ ψαλτῳδοὶ ᾄδοντες καὶ σάλπιγγες σαλπίζουσαι, ἕως ὅτου συνετελέσθη ἡ ὁλοκαύτωσις. καὶ ὡς συνετέλεσαν ἀναφέροντες, καὶ ἔκαμψεν ὁ βασιλεύς, καὶ πάντες οἱ εὑρεθέντες καὶ προσεκύνησαν τῷ κυρίῳ. καὶ εἶπεν ἐζεκίας ὁ βασιλεύς, καὶ οἱ ἄρχοντες τοῖς λευΐταις, ὑμνεῖν τὸν κύριον ἐν λόγοις δαβὶδ καὶ ἀσὰφ τοῦ προφήτου. καὶ ὕμνουν ἐν εὐφροσύνῃ, καὶ ἔπεσον καὶ προσεκύνησαν τῷ κυρίῳ. καὶ ἀπεκρίθη ἐζεκίας καὶ εἶπε. νῦν ἐπληρώσατε τὰς χεῖρας ὑμῶν κυρίῳ. καὶ προσαγάγετε καὶ ἀναφέρετε θυσίας αἰνέσεως εἰς οἶκον κυ. καὶ ἀνήνεγκεν ἡ ἐκκλησία θυσίας καὶ αἰνέσεως εἰς οἶκον κυρίου. καὶ πᾶς πρόθυμος τῇ καρδίᾳ ὁλοκαυτώσεις. καὶ ἐγένετο ὁ ἀριθμὸς τῆς ὁλοκαυτώσεως ἧς ἀνήνεγκεν ἡ ἐκκλησία. μόσχοι, ἑβδομήκοντα, κριοί, ἑκατὸν ἀμνοί, ὀκτακόσια εἰς ὁλοκαύτωσιν κυρίου πάντα ταῦτα. καὶ οἱ ἡγιασμένοι μόσχοι, ἑξακόσιοι πρόβατα τρισχίλια. ἀλλ᾽ ἢ οἱ ἱερεῖς ἦσαν ὀλίγοι, καὶ οὐκ ἠδύναντο δεῖραι τὴν ὁλοκαύτωσιν. καὶ ἀντελάβοντο αὐτῶν οἱ ἀδελφοὶ αὐτῶν οἱ λευῖται ἕως οὗ συνετελέσθη τὸ ἔργον, καὶ ἕως οὗ ἡγνίσθησαν οἱ ἱερεῖς. ὅτι οἱ λευῖται προθύμως ἡγνίσθησαν παρὰ τοὺς ἱερεῖς. καὶ ἡ ὁλοκαύτωσις πολλὴ ἐν τοῖς στέασι τῆς τελειώσεως τοῦ σωτηρίου, καὶ τῆς σπονδῆς τῆς ὁλοκαυτώσεως. καὶ κατωρθώθη τὸ ἔργον ἐν οἴκῳ κυρίου, καὶ εὐφράνθη ἐζεκίας, καὶ πᾶς ὁ λαὸς διὰ τὸ ἡτοιμακέναι τὸν θεὸν τῷ λαῷ. ὅτι ἐξάπινα ἐγένετο ὁ λόγος. καὶ ἀπέστειλεν ἐζεκίας ἐπὶ πάντα ἰσραήλ, καὶ ἰούδαν, καὶ ἐπιστολὰς ἔγραψεν ἐπὶ τὸν ἐφραὶμ, καὶ μανασῆ ἐλθεῖν εἰς οἶκον κυ, εἰς ἱλῆμ ποιῆσαι τῷ φασὲκ κω τῷ θεῷ ἰσραήλ. καὶ ἐβουλεύσατο ὁ βασιλεύς, καὶ οἱ ἄρχοντες καὶ πᾶσα ἡ ἐκκλησία ἐν ἱερουσαλὴμ ποιῆσαι τὸ φασὲκ τῷ μη-

νὶ τῷ δευτέρῳ, οὐ γὰρ ἠδυνάσθησαν ποιῆσαι αὐτὸ ἐν τῷ καιρῷ ἐκείνῳ· ὅτι οἱ ἱερεῖς οὐχ ἡγνίασθησαν ἱκανοί· καὶ ὁ λαὸς οὐ συνήχθη εἰς ἱερουσαλήμ. καὶ ἤρεσεν ὁ λόγος ἐναντίον τοῦ βασιλέως, καὶ ἐναντίον τῆς ἐκκλησίας. καὶ ἔστησαν λόγον διελθεῖν κήρυγμα ἐν παντὶ ἰσραὴλ ἀπὸ βηρσαβεὲ ἕως δὰν ἐλθόντας ποιῆσαι τὸ φασὲκ κυρίῳ θεῷ ἰσραὴλ εἰς ἱερουσαλήμ· ὅτι πλῆθος οὐκ ἐποίησε κατὰ τὴν γραφήν. καὶ ἐπορεύθησαν οἱ τρέχοντες σὺν ταῖς ἐπιστολαῖς παρὰ τοῦ βασιλέως, καὶ τῶν ἀρχόντων εἰς πάντα ἰσραὴλ καὶ ἰούδαν κατὰ τὸ πρόσταγμα τοῦ βασιλέως λέγοντες· υἱοὶ ἰσραὴλ ἐπιστρέψατε πρὸς κύριον θεὸν ἀβραὰμ καὶ ἰσαὰκ καὶ ἰακώβ. καὶ ἐπιστρέψει τοὺς ἀνασεσωσμένους τοὺς καταλειφθέντας ἀπὸ χειρὸς βασιλέως ἀσσούρ. καὶ μὴ γίνεσθε καθὼς καὶ οἱ πατέρες ὑμῶν. καὶ οἱ ἀδελφοὶ ὑμῶν οἳ ἀπέστησαν ἀπὸ κυρίου θεοῦ πατέρων αὐτῶν καὶ παρέδωκεν αὐτοὺς εἰς ἐρήμωσιν καθὼς ὑμεῖς ὁρᾶτε. καὶ μὴ σκληρύνητε τοὺς τραχήλους ὑμῶν, ὡς οἱ πατέρες ὑμῶν. δότε δόξαν κυρίῳ τῷ θεῷ ἰσραὴλ καὶ εἰσέλθετε εἰς τὸ ἁγίασμα αὐτοῦ ὃ ἡγίασεν εἰς τὸν αἰῶνα. καὶ δουλεύσατε κυρίῳ θεῷ ὑμῶν. καὶ ἀποστρέψει ἀφ' ὑμῶν θυμὸν ὀργῆς. ὅτι ἐν τῷ ἐπιστρέφειν ὑμᾶς πρὸς κύριον, οἱ ἀδελφοὶ ὑμῶν· καὶ τὰ τέκνα ὑμῶν, ἔσονται ἐν οἰκτιρμοῖς ἐναντίον πάντων τῶν αἰχμαλωτευσάντων αὐτούς, καὶ ἀποστρέψει ὑμᾶς εἰς τὴν γῆν ὑμῶν. ὅτι ἐλεήμων καὶ οἰκτίρμων κύριος ὁ θεὸς ἡμῶν. καὶ οὐκ ἀποστρέψει τὸ πρόσωπον αὐτοῦ ἀφ' ἡμῶν, ἐὰν ἐπιστρέψωμεν πρὸς αὐτόν.

Κεφ. ιγʹ. 13.

Καὶ ἦσαν οἱ τρέχοντες διαπορευόμενοι πόλιν ἐκ πό-
κ λεως ἐν τῷ ὄρει ἐφραίμ, καὶ μανασσῆ καὶ ἕως ζαβου-
λών. καὶ ἐγένοντο ὡς καταγελῶντες αὐτῶν καὶ καταμωκώμενοι. ἀλλ' ἢ ἄνθρωποι ἀσήρ, καὶ ἀπὸ μανασσῆ καὶ ἀπὸ ζαβουλών, ἐνετράπησαν καὶ ἦλθον εἰς ἱερουσαλήμ, καὶ εἰς ἰούδαν. καὶ ἐγένετο χεὶρ θεοῦ δοῦναι αὐτοῖς καρδίαν μίαν ἐλθεῖν

τοῦ ποιῆσαι κατὰ τὸ πρόσταγμα τοῦ βασιλέως, καὶ τῶν ἀρ-
χόντων ἐν λόγῳ κυρίου. καὶ συνήλθοσαν εἰς ἱερουσαλὴμ
λαὸς πολὺς τοῦ ποιῆσαι τὴν ἑορτὴν τῶν ἀζύμων ἐν τῷ μηνὶ
τῷ δευτέρῳ ἐκκλησία πολλὴ σφόδρα. καὶ ἀνέστησαν, καὶ κα-
θεῖλαν τὰ θυσιαστήρια τὰ ἐν ἱερουσαλήμ. καὶ πάντα ἐν οἷς ἐθυ-
μίων τοῖς ψευδέσι κατέσπασαν καὶ ἔρριψαν εἰς τὸν χειμάῤ-
ῥουν κέδρων. καὶ ἔθυσαν τὸ φασὲκ τῇ τεσσαρεσκαιδεκάτῃ
τοῦ μηνὸς τοῦ δευτέρου. καὶ οἱ ἱερεῖς, καὶ οἱ λευῖται, ἐνετράπησαν
καὶ ἡγνίσθησαν, καὶ εἰσήνεγκαν ὁλοκαυτώματα εἰς οἶκον κυρί-
ου. καὶ ἔστησαν ἐπὶ τὴν στάσιν αὐτῶν, κατὰ τὸ κρίμα ἑαυτῶν
κατὰ τὴν ἐντολὴν μωσέως ἀνθρώπου τοῦ θεοῦ. καὶ οἱ ἱερεῖς ἐ-
δέχοντο τὰ αἵματα ἐκ χειρὸς τῶν λευιτῶν. ὅτι πλεῖστον τῆς ἐκ-
κλησίας οὐχ ἡγνίσθη. καὶ οἱ λευῖται ἦσαν πλείους θύειν τὸ φα-
σὲκ παντὶ τῷ μὴ δυναμένῳ ἁγνισθῆναι τῷ κυρίῳ. ὅτι τὸ πλεῖ-
στον τοῦ λαοῦ ἀπὸ ἐφραίμ, καὶ μανασσῆ. καὶ ἰσαχὰρ καὶ ζαβου-
λὼν οὐχ ἡγνίσθησαν. ἀλλ᾽ ἔφαγον τὸ φασὲκ παρὰ τὴν γραφήν.
καὶ προσηύξατο ἐζεκίας περὶ αὐτῶν λέγων. κύριος ὁ θεὸς ἀ-
γαθὸς ἐξιλασάσθω ὑπὲρ πάσης καρδίας κατευθυνούσης τοῦ
ἐκζητῆσαι κύριον τὸν θεὸν τῶν πατέρων αὐτοῦ. καὶ οὐ κατὰ
τὴν ἁγνείαν τῶν ἁγίων. καὶ ἐπήκουσε κύριος τῷ ἐζεκίᾳ, καὶ
ἰάσατο τὸν λαόν. καὶ ἐποίησαν οἱ υἱοὶ ἰσραὴλ οἱ εὑρεθέντες
ἐν ἱερουσαλὴμ τὴν ἑορτὴν τῶν ἀζύμων ἑπτὰ ἡμέρας ἐν εὐφρο-
σύνῃ μεγάλῃ. καὶ καθυμνοῦντες τῷ κυρίῳ ἡμέραν καθ᾽ ἡμέ-
ραν. καὶ οἱ ἱερεῖς καὶ οἱ λευῖται ἐν ὀργάνοις τῷ κυρίῳ. καὶ ἐλά-
λησε κύριος ἐπὶ πᾶσαν καρδίαν τῶν λευιτῶν, καὶ τῶν συνιέντων σύ-
νεσιν ἀγαθὴν τῷ κυρίῳ. καὶ συνετέλεσαν τὴν ἑορτὴν τῶν ἀζύ-
μων, ἑπτὰ ἡμέρας θύοντες θυσίαν σωτηρίου. καὶ ἐξομολογού-
μενοι τῷ κυρίῳ θεῷ τῶν πατέρων ἑαυτῶν. καὶ ἐβουλεύσατο
ἡ ἐκκλησία ἅμα ποιῆσαι ἑπτὰ ἡμέρας ἄλλας. καὶ ἐποίησαν ἄλ-
λας ἑπτὰ ἡμέρας ἐν εὐφροσύνῃ. ὅτι ἐζεκίας ἀπήρξατο τῷ

ἰούδα ὅλῃ τῇ ἐκκλησίᾳ, χιλίους μόσχους, καὶ ἑπτακισχίλια
πρόβατα, καὶ οἱ ἄρχοντες ἀπήρξαντο τῷ λαῷ μόσχους χιλί-
ους καὶ προβάτων δέκα χιλιάδας καὶ τὰ ἅγια τῶν ἱερέων εἰς
πλῆθος. καὶ εὐφράνθη πᾶσα ἡ ἐκκλησία οἱ ἱερεῖς καὶ οἱ λευῖται καὶ
πᾶσα ἡ ἐκκλησία ἰούδα. καὶ οἱ εὑρεθέντες ἐξ ἱερουσαλήμ, καὶ οἱ
προσήλυτοι οἱ ἐλθόντες ἀπὸ γῆς ἰσραήλ, καὶ οἱ κατοικοῦντες ἐν
ἰούδα. καὶ ἐγένετο εὐφροσύνη μεγάλη ἐν ἱερουσαλήμ, ἀπὸ ἡμε-
ρῶν σολομῶν υἱοῦ δαβὶδ βασιλέως ἰσραήλ. οὐκ ἐγένετο τοιαύ-
τη ἑορτὴ ἐν ἱερουσαλήμ. καὶ ἀνέστησαν οἱ ἱερεῖς, καὶ οἱ λευῖται
καὶ εὐλόγησαν τὸν θεόν. καὶ ἐπηκούσθη ἡ φωνὴ αὐτῶν, καὶ ἦλ-
θεν ἡ προσευχὴ αὐτῶν εἰς τὸ κατοικητήριον τὸ ἅγιον αὐτοῦ εἰς
τὸν οὐρανόν. Καὶ ὡς συνετελέσθη πάντα ταῦτα, ἐξῆλθε πᾶς ἰσ-
ραὴλ οἱ εὑρεθέντες ἐν πόλεσι ἰούδα καὶ συνέτριψαν τὰς στήλας καὶ
ἐξέκοψαν τὰ ἄλση, καὶ κατέσπασαν τὰ ὑψηλὰ καὶ τοὺς βωμοὺς ἀ-
πὸ πάσης τῆς ἰουδαίας καὶ βενιαμὶν, καὶ ἐξ ἐφραὶμ καὶ ἀπὸ μα-
νασσῆ ἕως εἰς τέλος. καὶ ἐπέστρεψε πᾶς ἰσραὴλ ἕκαστος εἰς τὴν
κληρονομίαν αὐτοῦ, καὶ εἰς τὰς πόλεις ἑαυτῶν καὶ ἔταξεν ἐζεκί-
ας τὰς ἐφημερίας τῶν ἱερέων, καὶ τῶν λευιτῶν, καὶ τὰς ἐφη-
μερίας ἑκάστου κατὰ τὴν λειτουργίαν ἑαυτοῦ τοῖς ἱερεῦσι, καὶ
τοῖς λευίταις εἰς τὴν ὁλοκαύτωσιν, καὶ εἰς τὴν θυσίαν τοῦ σω-
τηρίου. καὶ αἰνεῖν καὶ ἐξομολογεῖσθαι καὶ λειτουργεῖν ἐν ταῖς
πύλαις αὐλῆς οἴκου κυρίου. καὶ μερὶς τοῦ βασιλέως ἐκ τῶν ὑ-
παρχόντων αὐτοῦ. εἰς τὴν ὁλοκαύτωσιν τὴν πρωϊνὴν, καὶ τὴν
δειλινὴν, καὶ τὰς ὁλοκαυτώσεις τὰς εἰς τὰ σάββατα, καὶ τὰς
νουμηνίας καὶ εἰς τὰς ἑορτὰς γεγραμμένας ἐν τῷ νόμῳ κυ-
ρίου. καὶ εἶπαν τῷ λαῷ καὶ τοῖς κατοικοῦσιν ἐν ἱερουσαλήμ.
δοῦναι τὴν μερίδα τῶν ἱερέων καὶ τῶν λευιτῶν, ὅπως κατι-
σχύσωσιν ἐν τῇ λειτουργίᾳ οἴκου κυρίου. καὶ ὡς προσέταξε τὸν λό-
γον, ἐπλεόνασαν οἱ υἱοὶ ἰσραὴλ ἀπαρχὴν σίτου, καὶ οἴνου, καὶ ἐλαί-
ου καὶ μέλιτος. καὶ πᾶν γέννημα ἀγροῦ καὶ ἐπιδέκατα τὰ πάντα

ἤνεγκαν εἰς πλῆθος οἱ υἱοὶ ἰσραὴλ καὶ ἰούδα καὶ οἱ κατοικοῦν-
τες ἐν ταῖς πόλεσιν ἰούδα καὶ αὐτοὶ ἤνεγκαν ἐπιδέκατα, μό-
σχων, καὶ προβάτων, καὶ ἐπιδέκατα αἰγῶν, καὶ ἡγίασαν τῷ
κυρίῳ θεῷ αὐτῶν, καὶ εἰσήνεγκαν καὶ ἔθηκαν σωροὺς σωρούς. ἐν
τῷ μηνὶ τῷ τρίτῳ ἤρξαντο οἱ σωροὶ θεμελιοῦσθαι. καὶ ἐν τῷ
μηνὶ τῷ ἑβδόμῳ συνετελέσθησαν. καὶ ἦλθεν ἐζεκίας, καὶ οἱ ἄρ-
χοντες καὶ εἶδον τοὺς σωροὺς, καὶ εὐλόγησαν τὸν κύριον καὶ τὸν
λαὸν αὐτοῦ ἰσραήλ. καὶ ἐπυνθάνετο ἐζεκίας τῶν ἱερέων, καὶ τῶν
λευιτῶν ὑπὲρ τῶν σωρῶν. καὶ εἶπε πρὸς αὐτὸν ἀζαρίας ὁ ἱερεὺς
ὁ ἄρχων εἰς οἶκον σαδώκ. ἐξ οὗ ἦρκται ἡ ἀπαρχὴ φέρεσθαι.
εἰς οἶκον κυρίου, ἐφάγομεν καὶ ἐπίομεν ἕως εἰς πλῆθος. ὅτι
κύριος εὐλόγησε τὸν λαὸν αὐτοῦ. καὶ κατελίπομεν ἔτι τὸ πλῆ-
θος τοῦτο. καὶ εἶπεν ἐζεκίας ἔτι ἑτοιμάσαι παστοφόρια εἰς οἶ-
κον κυρίου, καὶ ἡτοίμασαν καὶ εἰσήνεγκαν ἐκεῖ τὰς ἀπαρχὰς καὶ
τὰ ἐπιδέκατα ἐν πίστει. καὶ ἐπ᾽ αὐτῶν ἐπιστάτης χωνενίας ὁ λευ-
ίτης καὶ σεμεΐας ὁ ἀδελφὸς αὐτοῦ διαδεχόμενος. καὶ ἰεήλ.
καὶ ὀζαζίας, καὶ ναὶθ, καὶ ἀσαὴλ, καὶ ἰεριμὼθ, καὶ ἰωζαβὰδ, καὶ ἐ-
λιὴλ, καὶ ὁ σαμαχία. καὶ μαὰθ καὶ βαναΐας καὶ υἱοὶ αὐτοῦ καθε-
σταμένοι διὰ χωνενίου, καὶ σεμεῒ τοῦ ἀδελφοῦ αὐτοῦ, καθὼς
προσέταξεν ἐζεκίας ὁ βασιλεὺς, καὶ ἀζαρίας ὁ ἡγούμενος οἴ-
κου κυρίου. καὶ κωρὴ ὁ τοῦ ἰεμνὰ ὁ λευίτης ὁ πυλωρὸς κατὰ ἀ-
νατολὰς ἐπὶ τῶν δομάτων δοῦναι τὰς ἀπαρχὰς κυρίου, καὶ
τὰ ἅγια τῶν ἁγίων διὰ χειρὸς ἀδόντων, καὶ βενιαμὶν καὶ ἰη-
σοῦ, καὶ σεμεῒ, καὶ ἀμαρίας, καὶ σεχωνίας διὰ χειρὸς τῶν ἱε-
ρέων ἐν πίστει δοῦναι τοῖς ἀδελφοῖς αὐτῶν. κατὰ τὰς ἐφημερίας
κατὰ τὸν μικρὸν καὶ κατὰ τὸν μέγαν ἐκτὸς τῆς ἐπιγονῆς τῶν ἀρ-
σενικῶν ἀπὸ τριετοῦς, καὶ ἐπάνω παντὶ τῷ εἰσπορευομένῳ εἰς
οἶκον κυρίου, εἰς λόγον ἡμερῶν εἰς ἡμέραν εἰς λειτουργίαν ἐν
ἐφημερίαις διατάξεως αὐτῶν. οὗτος ὁ καταλογισμὸς τῶν ἱερέων
κατ᾽ οἴκους πατριῶν. καὶ οἱ λευῖται ἐν ταῖς ἐφημερίαις αὐ-

τῶν, ἀπὸ εἰκοσαετοῦς, καὶ ἐπάνω ἐν διατάξει ἐν καταλοχίαις ἐν πάσῃ ἐπιγονῇ υἱῶν αὐτῶν. καὶ θυγατέρων αὐτῶν εἰς πᾶν πλῆθος· ὅτι ἐν πίστει ἥγνισαν τὸ ἅγιον τοῖς υἱοῖς ἀαρὼν τοῖς ἱερατεύουσι. καὶ ἀπὸ τῶν πόλεων αὐτῶν ἐν πάσῃ πόλει ἄνδρες οἳ ὠνομάσθησαν ἐν ὀνόματι δοῦναι μερίδα παντὶ ἀρσενικῷ ἐν τοῖς ἱερεῦσι, καὶ παντὶ καταριθμουμένῳ ἐν τοῖς λευίταις. καὶ ἐποίησεν οὕτως ἐζεκίας ἐν παντὶ ἰούδα. καὶ ἐποίησε τὸ καλὸν καὶ τὸ εὐθὲς, ἐναντίον τοῦ κυρίου τοῦ θεοῦ αὐτοῦ, καὶ ἐν παντὶ ἔργῳ ἐν ᾧ ἤρξατο ἐν ἐργασίᾳ ἐν οἴκῳ κυρίου, καὶ ἐν τῷ νόμῳ, καὶ ἐν τοῖς προστάγμασιν ἐζήτησε τὸν θεὸν ἑαυτοῦ. καὶ ἐξ ὅλης τῆς ψυχῆς αὐτοῦ ἐποίησε, καὶ εὐοδώθη.

Κεφάλαιον ιδ΄. 14.

Αἰ μετὰ τοὺς λόγους τούτους, καὶ τὴν ἀλήθειαν ταύ-
κ τῃ ἦλθεν σενναχηρὶμ βασιλεὺς ἀσυρίων καὶ ἦλ-
θεν ἐπὶ ἰούδαν καὶ παρενέβαλεν ἐπὶ τὰς πόλεις τὰς τειχήρεις καὶ εἶπε προκαταλαβέσθαι αὐτάς. καὶ εἶδεν ἐζεκίας, ὅτι ἥκει σενναχηρὶμ κατὰ πρόσωπον αὐτοῦ τοῦ πολεμῆσαι ἐν ἱερουσαλήμ. καὶ ἐβουλεύσατο μετὰ τῶν πρεσβυτέρων αὐτοῦ καὶ τῶν δυνατῶν ἐμφράξαι τὰ ὕδατα τῶν πηγῶν, ἃ ἦν ἔξω τῆς πόλεως. καὶ συνεπίσχυσαν αὐτῷ καὶ συνήγαγε λαὸν πολὺν καὶ ἐνέφραξε τὰ ὕδατα τῶν πηγῶν, καὶ τὸν ποταμὸν τὸν διορίζοντα διὰ τῆς πόλεως λέγων. μὴ ἔλθῃ βασιλεὺς ἀσοὺρ καὶ εὕρῃ ὕδωρ πολὺ καὶ κατισχύσῃ. καὶ κατίσχυσεν ἐζεκίας. καὶ ᾠκοδόμησε πᾶν τὸ τεῖχος τὸ κατεσκαμμένον καὶ πύργους. καὶ ἔξω προτείχισμα ἄλλο. καὶ κατίσχυσε τὸ ἀνάλημμα τῆς πόλεως δαβίδ. καὶ κατεσκεύασεν ὅπλα πολλά. καὶ ἔθετο ἄρχοντας τοῦ πολέμου ἐπὶ τὸν λαόν. καὶ συνήχθησαν πρὸς αὐτὸν ἐπὶ τὴν πλατεῖαν τῆς πύλης τῆς φάραγγος. καὶ ἐλάλησεν ἐπὶ τὴν καρδίαν αὐτῶν λέγων. ἰσχύσατε καὶ ἀνδρίζεσθε καὶ μὴ φοβηθῆτε μηδὲ πτοηθῆτε ἀπὸ προσώπου βασιλέως ἀσοὺρ καὶ ἀπὸ παντὸς ἔθνους

προσώπου τοῦ μετ' αὐτοῦ. ὅτι μεθ' ἡμῶν πλείονες, ἢ μετ' αὐτοῦ.
μετὰ αὐτοῦ βραχίονες σάρκινοι. μεθ' ἡμῶν δὲ κύριος ὁ θεὸς ἡ-
μῶν τοῦ σώζειν, καὶ τοῦ πολεμεῖν τὸν πόλεμον ἡμῶν. καὶ κατεθάρση-
σεν ὁ λαὸς ἐπὶ τοῖς λόγοις ἐζεκίου βασιλέως ἰούδα. καὶ μετὰ ταῦ-
τα, ἀπέστειλε σενναχηρὶμ βασιλεὺς ἀσσυρίων τοὺς παῖδας ἑ-
αυτοῦ, ἐπὶ ἱερουσαλὴμ, καὶ αὐτὸς ἐπὶ λαχεῖς. καὶ πᾶσα ἡ στρα-
τιὰ αὐτοῦ καὶ ἀπέστειλε πρὸς ἐζεκίαν βασιλέα ἰούδα καὶ πρὸς
πάντα ἰούδα τὸν ἐν ἱερουσαλὴμ λέγων. οὕτως λέγει σενναχη-
ρὶμ βασιλεὺς ἀσσυρίων. ἐπὶ τίνι ὑμεῖς πεποίθατε. καὶ καθήσε-
σθε ἐν τῇ περιοχῇ ἐν ἱερουσαλήμ. οὐχὶ ἐζεκίας ἀπατᾷ ὑμᾶς τοῦ
παραδοῦναι ὑμᾶς εἰς θάνατον καὶ εἰς λιμὸν καὶ εἰς δίψαν λέ-
γων. κύριος ὁ θεὸς ἡμῶν σώσει ὑμᾶς ἐκ χειρὸς βασιλέως ἀσ-
σύρ; οὐχ οὗτός ἐστιν ἐζεκίας ὃς περιεῖλε τὰ θυσιαστήρια αὐτοῦ καὶ
τὰ ὑψηλὰ αὐτοῦ καὶ εἶπε τῷ ἰούδᾳ καὶ τοῖς κατοικοῦσιν ἱερου-
σαλὴμ λέγων, κατέναντι τοῦ θυσιαστηρίου τούτου προσκυνήσε-
τε καὶ ἐπ' αὐτῷ θυμιάσατε. οὐ γνώσεσθε τί ἐποίησα ἐγὼ καὶ οἱ
πατέρες μου πᾶσι τοῖς λαοῖς τῶν χωρῶν; μὴ δυνάμενοι ἐδύναν-
το οἱ θεοὶ τῶν ἐθνῶν πάσης τῆς γῆς σῶσαι τὸν λαὸν ἑαυτῶν ἐκ χειρός
μου. τίς ἐν πᾶσι τοῖς θεοῖς τῶν ἐθνῶν τούτων οὓς ἐξωλόθρευσαν οἱ πα-
τέρες μου. μὴ ἐδύναντο σῶσαι τὸν λαὸν αὐτῶν ἐκ χειρός μου ὅτι
δυνήσεται ὁ θεὸς ἡμῶν σῶσαι ὑμᾶς ἐκ χειρός μου. νῦν οὖν, μὴ ἀ-
πατάτω ὑμᾶς ἐζεκίας καὶ μὴ πεποιθέναι ὑμᾶς ποιείτω κατὰ ταῦ-
τα, καὶ μὴ πιστεύετε αὐτῷ. ὅτι οὐ μὴ δύνηται ὁ θεὸς παντὸς ἔθνους
καὶ βασιλείας τοῦ σῶσαι τὸν λαὸν αὐτοῦ ἐκ χειρός μου καὶ ἐκ χειρὸς πα-
τέρων μου, ὅτι ὁ θεὸς ὑμῶν, οὐ μὴ σώσῃ ὑμᾶς ἐκ χειρός μου. καὶ ἔτι
ἐλάλησαν οἱ παῖδες αὐτοῦ πρὸς κύριον θεὸν, καὶ πρὸς ἐζεκίαν παῖδα
αὐτοῦ. καὶ βιβλίον ἔγραψαν ὀνειδίζειν τὸν κύριον θεὸν ἰσραήλ. καὶ εἶπε περὶ
αὐτοῦ λέγων. ὡς οἱ θεοὶ τῶν ἐθνῶν τῆς γῆς, οὐκ ἐξείλοντο τοὺς λαοὺς αὐ-
τῶν ἐκ χειρός μου. οὕτως οὐ μὴ ἐξέληται ὁ θεὸς ἐζεκίου τὸν λαὸν αὐ-
τοῦ ἐκ χειρός μου. καὶ ἐβόησε φωνῇ μεγάλῃ ἰουδαϊστὶ πρὸς ἰσραὴλ

καὶ τὸν λαὸν τὸν ἐπὶ τοῦ τείχους τοῦ βοηθῆσαι αὐτοῖς, καὶ κατασπάσαι, ὅπως προκαταλάβωνται τὴν πόλιν. καὶ ἐλάλησαν ἐπὶ τὸν θεὸν ἰλὴμ, ὡς καὶ ἐπὶ θεοὺς λαῶν τῆς γῆς ἔργα χειρῶν τῶν ἀνθρώπων. καὶ προσηύξατο ἐζεκίας ὁ βασιλεὺς, καὶ ἠσαΐας υἱὸς ἀμὼς ὁ προφήτης περὶ τούτων καὶ ἐβόησαν εἰς τὸν οὐρανόν. καὶ ἀπέστειλε κύριος ἄγγελον καὶ ἐξέτριψε πάντα δυνατὸν πολεμιστὴν καὶ ἄρχοντα καὶ στρατηγὸν ἐν τῇ παρεμβολῇ βασιλέως ἀσσούρ. καὶ ἀπέστρεψε τὸ πρόσωπον μετὰ αἰσχύνης εἰς τὴν γῆν ἑαυτοῦ. καὶ ἦλθεν εἰς οἶκον τοῦ θεοῦ. καὶ ἐξελθόντες ἐκ κοιλίας αὐτοῦ, κατέβαλον αὐτὸν ἐν ῥομφαίᾳ. καὶ ἔσωσε κύριος τὸν ἐζεκίαν καὶ τοὺς κατοικοῦντας ἱερουσαλὴμ ἐκ χειρὸς σενναχηρὶμ βασιλέως ἀσσούρ, καὶ ἐκ χειρὸς πάντων. καὶ κατέπαυσεν αὐτοὺς κυκλόθεν. καὶ πολλοὶ ἔφερον δῶρα τῷ κυρίῳ εἰς ἱερουσαλὴμ καὶ δόματα τῷ ἐζεκίᾳ βασιλεῖ ἰούδα. καὶ ὑπερήρθη κατ' ὀφθαλμοὺς πάντων τῶν ἐθνῶν καὶ μετὰ ταῦτα. ἐν ταῖς ἡμέραις ἐκείναις, ἠῤῥώστησεν ἐζεκίας ὁ βασιλεὺς, ἕως θανάτου. καὶ προσηύξατο πρὸς κύριον καὶ ἐπήκουσεν αὐτοῦ καὶ σημεῖον ἔδωκεν αὐτῷ, καὶ οὐ κατὰ τὸ ἀνταπόδομα ὃ ἔδωκεν αὐτῷ, ἀνταπέδωκεν ἐζεκίας. καὶ ὑψώθη ἡ καρδία αὐτοῦ. καὶ ἐγένετο ἐπ' αὐτὸν ὀργὴ καὶ ἐπὶ ἰούδαν καὶ ἐπὶ ἱερουσαλήμ. καὶ ἐταπεινώθη ἐζεκίας ἀπὸ τοῦ ὕψους τῆς καρδίας αὐτοῦ, αὐτὸς καὶ οἱ κατοικοῦντες ἱερουσαλὴμ καὶ οὐκ ἐπῆλθεν ἐπ' αὐτοὺς ὀργὴ κυρίου ἐν ταῖς ἡμέραις ἐζεκίου. καὶ ἐγένετο τῷ ἐζεκίᾳ πλοῦτος καὶ δόξα πολλὴ σφόδρα. καὶ θησαυροὺς ἐποίησεν ἑαυτῷ ἀργυρίου καὶ χρυσίου καὶ τοῦ λίθου τοῦ τιμίου. καὶ ἀρώματα καὶ ὁπλοθήκας καὶ εἰς σκεύη ἐπιθυμητά. καὶ πόλεις τὰ γενήματα τοῦ σίτου καὶ οἴνου καὶ ἐλαίου. καὶ κώμας καὶ φάτνας παντὸς κτήνους. καὶ μάνδρας εἰς τὰ ποίμνια. καὶ πόλεις ἃς ᾠκοδόμησεν αὐτῷ καὶ ἀποσκευὴν προβάτων καὶ βοῶν εἰς πλῆθος. ὅτι ἔδωκεν αὐτῷ κύριος ἀποσκευὴν πολλὴν σφόδρα. αὐτὸς ἐζεκίας, ἐνέφραξε τὴν ἔξοδον τοῦ

ὕδατος σιὼν τὸ ἄνω· καὶ κατεύθυνεν αὐτὰ κάτω πρὸς λίβα
τῆς πόλεως δαβίδ. καὶ εὐοδώθη ἐζεκίας ἐν πᾶσι τοῖς ἔργοις
αὐτοῦ. καὶ οὕτως ἐν τοῖς πρεσβύταις τῶν ἀρχόντων τοῖς ἀπο-
σταλεῖσιν ἀπὸ βαβυλῶνος πρὸς αὐτὸν πυθέσθαι παρ᾽ αὐτοῦ τὸ τέ-
ρας ὃ ἐγένετο ἐπὶ τῆς γῆς· καὶ ἐγκατέλιπεν αὐτὸν κύριος πειρά-
σαι αὐτὸν, εἰδέναι τὰ ἐν τῇ καρδίᾳ αὐτοῦ. καὶ τὰ λοιπὰ τῶν λό-
γων ἐζεκίου καὶ τὸ ἔλεος αὐτοῦ, ἰδοὺ γέγραπται ἐν τῇ προφητείᾳ
ἠσαΐου υἱοῦ ἀμὼς τοῦ προφήτου. καὶ ἐπὶ βιβλίου βασιλέων ἰού-
δα καὶ ἰσραήλ. καὶ ἐκοιμήθη ἐζεκίας μετὰ τῶν πατέρων αὐτοῦ.
καὶ ἔθαψαν αὐτὸν ἐν ἀναβάσει τάφων υἱοῦ δαβίδ. καὶ δόξαν
καὶ τιμὴν ἔδωκαν αὐτῷ ἐν τῷ θανάτῳ αὐτοῦ πᾶς ἰούδα καὶ οἱ
κατοικοῦντες ἱερουσαλήμ. καὶ ἐβασίλευσεν μανασσῆς υἱὸς αὐ-
τοῦ ἀντ᾽ αὐτοῦ. ὢν δέκα καὶ δύο ἐτῶν μανασσῆς ἐν τῷ βασιλεῦ-
σαι αὐτόν. καὶ πεντήκοντα καὶ πέντε ἔτη ἐβασίλευσεν ἐν ἱερου-
σαλήμ. καὶ ἐποίησε τὸ πονηρὸν ἐναντίον κυρίου ἀπὸ πάντων τῶν
βδελυγμάτων τῶν ἐθνῶν, οὓς ἐξωλόθρευσε κύριος, ἀπὸ προσώ-
που τῶν υἱῶν ἰσραήλ. καὶ ἀπέστρεψε καὶ ᾠκοδόμησε τὰ ὑψηλὰ
ἃ κατέσπασεν ἐζεκίας ὁ πατὴρ αὐτοῦ. καὶ ἔστησε στήλας ταῖς
βααλείμ. καὶ ἐποίησεν ἄλση, καὶ προσεκύνησε πάσῃ τῇ στρα-
τιᾷ τοῦ οὐρανοῦ, καὶ ἐδούλευσεν αὐτοῖς. καὶ ᾠκοδόμησε θυσια-
στήριον ἐν οἴκῳ κυρίου οὗ εἶπεν κύριος ἐν ἱερουσαλὴμ, ἔσται τὸ ὄ-
νομά μου εἰς τὸν αἰῶνα. ᾠκοδόμησε θυσιαστήρια πάσῃ τῇ στρα-
τιᾷ τοῦ οὐρανοῦ ἐν ταῖς δυσὶν αὐλαῖς οἴκου κυρίου. καὶ αὐτὸς
διήγαγε τὰ τέκνα αὐτοῦ ἐν πυρὶ ἐν γῇ βενεννόμ. καὶ ἐκληδονίζετο
καὶ οἰωνίζετο καὶ ἐφαρμακεύετο. καὶ ἐποίησεν ἐγγαστριμύθους
καὶ ἐπαοιδούς. καὶ ἐπλήθυνε τοῦ ποιῆσαι τὸ πονηρὸν ἐναντίον
κυρίου τοῦ παροργίσαι αὐτόν. καὶ ἔθηκε τὸ γλυπτὸν καὶ τὸ χωνευ-
τὸν εἰκόνα, ἣν ἐποίησεν ἐν οἴκῳ κυρίου οὗ εἶπε κύριος πρὸς δα-
βὶδ καὶ πρὸς σολομῶν υἱὸν αὐτοῦ· ἐν τῷ οἴκῳ τούτῳ καὶ ἐν ἱερου-
σαλὴμ ἣν ἐξελεξάμην ἐκ πασῶν φυλῶν ἰσραὴλ, θήσω τὸ ὄνομά
μου

μου εἰς τὸν αἰῶνα. καὶ οὐ προσθήσω τοῦ σαλεῦσαι τὸν πόδα ἰσραὴλ ἀπὸ τῆς γῆς ἧς ἔδωκα τοῖς πατράσιν αὐτῶν πλὴν ἐὰν φυλάσσωνται τοῦ ποιῆσαι πάντα ἃ ἐνετειλάμην αὐτοῖς κατὰ πάντα τὸν νόμον καὶ τὰ προστάγματα καὶ τὰ κρίματα ἐν χειρὶ μωϋσέως.

Κεφάλαιον ιε. ιϛ.

Αἰ ἐπλάνησε μανασσῆς τὸν ἰούδαν, καὶ τοὺς κατοι-
κ κοῦντας ἐν ἱερουσαλὴμ τοῦ ποιῆσαι τὸ πονηρὸν ὑπὲρ πάντα τὰ ἔθνη ἃ ἐξῆρε κύριος, ἀπὸ προσώπου υἱῶν ἰσραήλ. καὶ ἐλάλησε κύριος ἐπὶ μανασσῆν καὶ ἐπὶ τὸν λαὸν αὐτοῦ. καὶ οὐκ ἐπήκουσαν. καὶ ἤγαγε κύριος ἐπ' αὐτοὺς τοὺς ἄρχοντας τῆς δυνάμεως τοῦ βασιλέως ἀσσοὺρ, καὶ κατέλαβον τὸν μανασσῆν ἐν δεσμοῖς. καὶ ἔδησαν αὐτὸν ἐν πέδαις καὶ ἤγαγον εἰς βαβυλῶνα. καὶ ὡς ἐθλίβη, ἐζήτησε τὸ πρόσωπον κυρίου τοῦ θεοῦ αὐτοῦ. καὶ ἐταπεινώθη σφόδρα ἀπὸ προσώπου τοῦ θεοῦ πατέρων αὐτοῦ, καὶ προσηύξατο πρὸς αὐτὸν, καὶ εἰσήκουσεν αὐτοῦ, καὶ ἐπήκουσε τῆς βοῆς αὐτοῦ, καὶ ἐπέστρεψεν αὐτὸν εἰς ἱερουσαλὴμ ἐπὶ τὴν βασιλείαν αὐτοῦ. καὶ ἔγνω μανασσῆς, ὅτι κύριος αὐτός ἐστιν ὁ θεὸς, καὶ μετὰ ταῦτα ᾠκοδόμησε τεῖχος ἔξω τῆς πόλεως δαβὶδ, ἀπὸ λιβὸς κατὰ νότον ἐν τῷ χειμάῤῥῳ, καὶ κατὰ τὴν εἴσοδον, τὴν διὰ τῆς πύλης τῆς ἰχθυϊκῆς. καὶ περιεκύκλωσε τὸ ἄδυτον ἐκπορευομένων τὴν πύλην τὴν κυκλόθεν. καὶ ἔθετο εἰς αὐτὴν ὅπλα. καὶ ὕψωσεν αὐτὴν σφόδρα. καὶ κατέστησεν ἄρχοντας τῆς δυνάμεως ἐπὶ πάσαις ταῖς πόλεσι ταῖς τειχήρεσιν ἐν ἰούδα. καὶ περιεῖλε τοὺς θεοὺς τοὺς ἀλλοτρίους, καὶ τὸ γλυπτὸν ἐξ οἴκου κυρίου, καὶ πάντα τὰ θυσιαστήρια, ἃ ᾠκοδόμησεν ἐν ὄρει οἴκου κυρίου καὶ ἐν ἱερουσαλήμ. καὶ ἔξω τῆς πόλεως. καὶ κατώρθωσε τὸ θυσιαστήριον κυρίου. καὶ ἐθυσίασεν ἐπ' αὐτὸ, θυσίαν σωτηρίου, καὶ αἰνέσεως. καὶ εἶπε τῷ ἰούδα τοῦ δουλεύειν κυρίῳ θεῷ ἰσραήλ. πλὴν ἔτι ὁ λαὸς ἐπὶ τῶν ὑψηλῶν ἐθυσίαζε. πλὴν εἰς κενὸν κυρίῳ θεῷ αὐτῶν. καὶ τὰ λοιπὰ τῶν λόγων μα-

νασῆ, καὶ ἡ προσευχὴ αὐτοῦ ἡ πρὸς τὸν θεὸν καὶ οἱ λόγοι τῶν
ὁρώντων τῶν λαλούντων πρὸς αὐτὸν ἐπ᾽ ὀνόματι κυρίου θεοῦ ἰ-
σραὴλ, ἰδοὺ ἐπὶ λόγων προσευχῆς αὐτοῦ, καὶ ὡς ἐπήκουσεν αὐ-
τοῦ. καὶ πᾶσαι αἱ ἁμαρτίαι αὐτοῦ καὶ αἱ ἀποστάσεις αὐτοῦ καὶ οἱ
τόποι ἐφ᾽ οἷς ᾠκοδόμησεν ἐν αὐτοῖς τὰ ὑψηλὰ καὶ ἔστησεν ἐ-
κεῖ ἄλση, καὶ γλυπτὰ πρὸ τοῦ ἐπιστρέψαι, ἰδοὺ γέγραπται ἐπὶ τῶν
λόγων τῶν ὁρώντων. καὶ ἐκοιμήθη μανασσῆς μετὰ τῶν πατέ-
ρων αὐτοῦ. καὶ ἔθαψαν αὐτὸν ἐν παραδείσῳ οἴκου αὐτοῦ. ἐβα-
σίλευσεν ἀμὼν υἱὸς αὐτοῦ ἀντ᾽ αὐτοῦ, ὢν ἐτῶν εἴκοσι καὶ δύο ἀ-
μὼν, ἐν τῷ βασιλεύειν αὐτὸν, καὶ δύο ἔτη ἐβασίλευσεν ἐν ἱλῆμ
καὶ ἐποίησε τὸ πονηρὸν ἐνώπιον κυρίου, ὡς ἐποίησε μανασσῆς ὁ
πατὴρ αὐτοῦ. καὶ πᾶσι τοῖς εἰδώλοις οἷς ἐποίησε μανασσῆς ὁ πα-
τὴρ αὐτοῦ ἔθυεν ἀμὼν, καὶ ἐδούλευσεν αὐτοῖς. καὶ οὐκ ἐταπεινώ-
θη ἐνώπιον τοῦ θεοῦ, ὡς ἐταπεινώθη μανασσῆς ὁ πατὴρ αὐτοῦ, ὅ-
τι υἱὸς αὐτοῦ ἀμὼν ἐπλήθυνε πλημμέλειαν. καὶ ἐπέθεντο αὐ-
τῷ οἱ παῖδες αὐτοῦ, καὶ ἐπάταξαν αὐτὸν ἐν οἴκῳ αὐτοῦ. καὶ ἐ-
πάταξεν ὁ λαὸς τῆς γῆς τοὺς ἐπιθεμένους ἐπὶ τὸν βασιλέα ἀ-
μῶς. καὶ ἐβασίλευσεν ὁ λαὸς τῆς γῆς, ἰωσίαν τὸν υἱὸν αὐτοῦ ἀντ᾽
αὐτοῦ. ὢν ὀκτὼ ἐτῶν ἰωσίας ἐν τῷ βασιλεύειν αὐτόν. καὶ τριά-
κοντα καὶ ἓν ἔτος ἐβασίλευσεν ἐν ἱερουσαλήμ. καὶ ἐποίησε τὸ εὐ-
θὲς ἐνώπιον κυρίου. καὶ ἐπορεύθη ἐν ὁδοῖς δαβὶδ τοῦ πατρὸς αὐ-
τοῦ καὶ οὐκ ἐξέκλινε δεξιὰ καὶ ἢ ἀριστερὰ, καὶ ἐν τῷ δεκάτῳ ἔ-
τει τῆς βασιλείας αὐτοῦ, καὶ αὐτὸς ἔτι παιδάριον ἤρξατο τοῦ ζητῆσαι
κύριον τὸν θεὸν δαβίδ. τοῦ πατρὸς αὐτοῦ καὶ ἐν τῷ δωδεκά-
τῳ ἔτει τῆς βασιλείας αὐτοῦ ἤρξατο τοῦ καθαρίσαι τὸν ἰούδαν
καὶ τὴν ἱερουσαλήμ. ἀπὸ τῶν ὑψηλῶν καὶ ἀπὸ τῶν ἀλσέων
καὶ ἀπὸ τῶν περιβωμίων καὶ ἀπὸ τῶν χωνευτῶν. καὶ κατέ-
σκαψαν κατὰ πρόσωπον αὐτοῦ τὰ θυσιαστήρια τῶν βααλείμ,
καὶ τὰ ὑψηλὰ τὰ ἐπ᾽ αὐτῶν, καὶ ἐξέκοψε τὰ ἄλση, καὶ τὰ γλυ-
πτὰ καὶ τὰ χωνευτὰ, συνέτριψε καὶ ἐλέπτυνε καὶ ἐχώνευσε.

καὶ ἔῤῥιψε κατὰ πρόσωπον τῶν μνημάτων τῶν θυσιαστηρίων
αὐτοῖς. καὶ ὀστᾶ ἱερέων κατέκαυσεν ἐπὶ τὰ θυσιαστήρια αὐτῶν
καὶ ἐκαθάρισε τὴν ἰούδαν, καὶ τὴν ἱερουσαλήμ. καὶ ἐν πόλεσι μα-
νασσῆ, καὶ ἐφραὶμ καὶ συμεὼν νεφθαλεὶμ, καὶ τοῖς τόποις αὐτῶν
κύκλῳ. καὶ κατέσπασε τὰ θυσιαστήρια αὐτῶν, καὶ τὰ ἄλση καὶ
εἴδωλα κατέκοψε λεπτὰ καὶ πάντα τὰ ὑψηλά. καὶ ἔκοψεν ἀπὸ
πάσης τῆς γῆς ἰσραήλ. καὶ ἐπέστρεψεν εἰς ἱερουσαλήμ. καὶ ἐν
τῷ ἔτει τῷ ὀκτωκαιδεκάτῳ τῆς βασιλείας αὐτοῦ, ὅτε ἐκέλευσε
τοῦ καθαρίσαι τὴν γῆν, καὶ τὸν οἶκον ἀπέστειλε τὸν σαφὰν υἱὸν ἐ-
σελία. καὶ τὸν ἀμεσίαν ἄρχοντα τῆς πόλεως, καὶ τὸν ἰωὰς υἱὸν ἰω-
άχαζ τὸν ὑπομνηματογράφον κραταιῶσαι τὸν οἶκον κυρίου τοῦ
θεοῦ ἑαυτοῦ. καὶ ἦλθον πρὸς χελκίαν τὸν ἱερέα τὸν μέγαν, καὶ
ἔδωκαν τὸ ἀργύριον τὸ εἰσενεχθὲν εἰς οἶκον κυρίου ὃ συνήγα-
γον οἱ λευῖται οἱ φυλάσσοντες τὴν φυλακὴν ἐκ χειρὸς μανασσῆ
καὶ ἐφραὶμ, καὶ τῶν ἀρχόντων καὶ ἀπὸ παντὸς καταλοίπου ἐν ἰσραήλ. καὶ
υἱῶν ἰούδα καὶ βενιαμὶν καὶ οἰκούντων ἐν ἱερουσαλήμ. καὶ ἔδω-
καν αὐτὸ ἐπὶ χεῖρα ποιούντων τὰ ἔργα, οἱ καθεσταμένοι ἐν οἴ-
κῳ κυρίου, καὶ ἔδωκαν αὐτὸ ποιοῦσι τὰ ἔργα οἳ ἐποίουν ἐν
οἴκῳ κυρίου ἐπισκευάσαι καὶ κατισχῦσαι τὸν οἶκον καὶ ἔδω-
καν τοῖς τέκτοσι καὶ τοῖς οἰκοδόμοις ἀγοράσαι λίθους τετρα-
πέδους καὶ ξύλα εἰς δοκοὺς στεγάσαι τοὺς οἴκους, οὓς ἐξωλόθρευσαν
βασιλεῖς ἰούδα. καὶ οἱ ἄνδρες ἐν πίστει ἐπὶ τῶν ἔργων, καὶ ἐπ' αὐτῶν
ἐπίσκοποι ἰεὲθ, καὶ ἀβδίας οἱ λευῖται ἐξ υἱῶν μεραρί. καὶ ζαχα-
ρίας καὶ μοσολλὰμ ἐκ τῶν υἱῶν καὰθ ἐπισκοπεῖν. καὶ πᾶς λευί-
της καὶ πᾶς συνιῶν ἐν ὀργάνοις ᾠδῶν. καὶ ἐπὶ τῶν νωτοφόρων καὶ
ἐπὶ πάντων τῶν ποιούντων τὰ ἔργα, ἐργασίᾳ καὶ ἐργασίᾳ. καὶ
ἀπὸ τῶν λευιτῶν γραμματεῖς καὶ κριταὶ καὶ πυλωροί. καὶ ἐν τῷ
ἐκφέρειν αὐτοὺς τὸ ἀργύριον εἰσοδιασθὲν εἰς οἶκον κυρίου, εὗρε
χελκίας ὁ ἱερεὺς βιβλίον νόμου κυρίου διὰ χειρὸς μωσέως. καὶ
ἀπεκρίθη χελκίας, καὶ εἶπε πρὸς σαφὰν τὸν γραμματέα. βιβλίον

νόμον εὗρον ἐν οἴκῳ κυρίου. καὶ ἔδωκε χελκίας τὸ βιβλίον τῷ σαφάν. καὶ εἰσήνεγκε σαφὰν τὸ βιβλίον πρὸς τὸν βασιλέα. καὶ ἀπέδωκεν ἔτι τῷ βασιλεῖ λέγων πᾶν τὸ ἀργύριον ἀπεδόθη ἐν χειρὶ τῶν παίδων σου τῶν ποιούντων τὰ ἔργα. καὶ ἐχώνευσαν τὸ ἀργύριον τὸ εὑρεθὲν ἐν οἴκῳ κυρίου. καὶ ἐπέδωκαν ἐπὶ χεῖρα τῶν ἐπισκόπων. καὶ ἐπὶ χεῖρα τῶν ποιούντων τὴν ἐργασίαν. καὶ ἀπήγγειλε σαφὰν ὁ γραμματεὺς τῷ βασιλεῖ λόγον λέγων βιβλίον δέδωκέ μοι χελκίας ὁ ἱερεὺς καὶ ἀνέγνω αὐτὸ σαφὰν ἐναντίον τοῦ βασιλέως καὶ ἐγένετο ὡς ἤκουσεν ὁ βασιλεὺς τοὺς λόγους τοῦ νόμου, καὶ διέρρηξε τὰ ἱμάτια αὐτοῦ. καὶ ἐνετείλατο ὁ βασιλεὺς τῷ χελκίᾳ, καὶ τῷ ἀχικὰμ υἱῷ σαφὰν καὶ τῷ ἀβδὼν υἱῷ μιχαία, καὶ σαφὰν τῷ γραμματεῖ καὶ τῷ ἀσαΐᾳ παιδὶ τοῦ βασιλέως λέγων. πορεύθητε καὶ ἐπιζητήσατε τὸν κύριον περὶ ἐμοῦ, καὶ περὶ παντὸς τοῦ καταλειφθέντος ἐν ἰσραὴλ καὶ ἰούδα περὶ τῶν λόγων, τοῦ βιβλίου τοῦ εὑρεθέντος. ὅτι μέγας ὁ θυμὸς τοῦ κυρίου ἐκκέκαυται ἐν ἡμῖν διότι οὐκ εἰσήκουσαν οἱ πατέρες ἡμῶν τῶν λόγων κυρίου. τοῦ ποιῆσαι κατὰ πάντα τὰ γεγραμμένα ἐν τῷ βιβλίῳ τούτῳ. καὶ ἐπορεύθη χελκίας καὶ οἷς εἶπεν ὁ βασιλεὺς πρὸς ὀλδὰν τὴν προφῆτιν γυναῖκα σελλὴμ υἱοῦ θεκουὲ υἱοῦ ἐσερὴ ἱματιοφύλακος, φυλάσσουσαν τὰς ἐντολάς. καὶ αὐτὴ κατῴκει ἐν ἱερουσαλὴμ ἐν μασανᾶ. καὶ ἐλάλησαν αὐτῇ κατὰ ταῦτα. καὶ εἶπεν αὐτοῖς. οὕτως εἶπε κύριος ὁ θεὸς ἰσραήλ. εἴπατε τῷ ἀνδρὶ τῷ ἀποστείλαντι ὑμᾶς πρός με. οὕτω λέγει κύριος. ἰδοὺ ἐγὼ ἐπάγω ἐπὶ τὸν τόπον τοῦτον κακά, τοὺς πάντας λόγους τοὺς γεγραμμένους ἐν τῷ βιβλίῳ τῷ ἀναγνωσμένῳ ἐναντίον τοῦ βασιλέως ἰούδα. ἀνθ' ὧν ἐγκατέλιπόν με καὶ ἐθυμίασαν θεοῖς ἀλλοτρίοις, ἵνα παροργίσωσί με ἐν πᾶσι τοῖς ἔργοις τῶν χειρῶν αὐτῶν. καὶ ἐξεκαύθη ὁ θυμός μου ἐν τῷ τόπῳ τούτῳ. καὶ οὐ σβεσθήσεται. καὶ ἐπὶ βασιλέα ἰούδα τὸν ἀποστείλαντα ὑμᾶς τοῦ ζητῆσαι τὸν κύριον, οὕτως ἐρεῖτε

ῶυ τῷ. οὕτω λέγει κύριος ὁ θεὸς ἰσραήλ. τοὺς λόγους, οὓς ἤκουσας, καὶ ἐνετράπη ἡ καρδία σου καὶ ἐταπεινώθης ἀπὸ προσώπου μου ἐν τῷ ἀκοῦσαί σε τοὺς λόγους μου ἐπὶ τὸν τόπον τοῦτον, καὶ ἐπὶ τοὺς κατοικοῦντας αὐτόν. καὶ ἐταπεινώθης ἐναντίον μου. καὶ διέρρηξας τὰ ἱμάτιά σου καὶ ἔκλαυσας κατενώπιον μου καὶ ἐγὼ ἤκουσα φησὶ κύριος. ἰδοὺ προστίθημί σε πρὸς τοὺς πατέρας σου, καὶ προστεθήσῃ πρὸς τὰ μνήματά σου ἐν εἰρήνῃ. καὶ οὐκ ὄψονται οἱ ὀφθαλμοί σου ἐν πᾶσι τοῖς κακοῖς οἷς ἐγὼ ἐπάγω ἐπὶ τὸν τόπον τοῦτον καὶ ἐπὶ τοὺς κατοικοῦντας αὐτόν. καὶ ἀπέδωκαν τῷ βασιλεῖ λόγον. καὶ ἀπέστειλεν ὁ βασιλεύς. καὶ συνήγαγε τοὺς πρεσβυτέρους ἰούδα καὶ ἱερουσαλὴμ καὶ ἀνέβη ὁ βασιλεὺς ἰούδα, εἰς οἶκον κυρίου, καὶ πᾶς ἰούδα καὶ οἱ κατοικοῦντες ἱερουσαλὴμ. καὶ οἱ ἱερεῖς καὶ οἱ λευῖται καὶ πᾶς ὁ λαὸς ἀπὸ μικροῦ ἕως μεγάλου. καὶ ἀνέγνω ἐν ὠσὶν αὐτῶν πάντας τοὺς λόγους τοῦ βιβλίου τῆς διαθήκης τοὺς εὑρεθέντας ἐν οἴκῳ κυρίου καὶ ἔστη ὁ βασιλεὺς ἐπὶ τῶν στύλων. καὶ διέθετο διαθήκην ἐν οἴκῳ κυρίου ἐναντίον κυρίου, τοῦ πορευθῆναι ἐνώπιον κυρίου. τοῦ φυλάσσειν τὰς ἐντολὰς αὐτοῦ καὶ τὰ κρίματα αὐτοῦ καὶ τὰ προστάγματα αὐτοῦ ἐν ὅλῃ καρδίᾳ καὶ ἐν ὅλῃ ψυχῇ ὥστε ποιεῖν τοὺς λόγους τῆς διαθήκης τοὺς γεγραμμένους ἐπὶ τῷ βιβλίῳ τούτῳ. καὶ ἔστησε πάντας τοὺς εὑρεθέντας ἐν ἱερουσαλὴμ, καὶ ἐν ἰούδα καὶ βενιαμίν. καὶ ἐποίησαν οἱ κατοικοῦντες ἐν ἱερουσαλὴμ διαθήκην ἐν οἴκῳ κυρίου θεοῦ πατέρων αὐτῶν. καὶ περιεῖλεν ἰωσίας πάντα τὰ βδελύγματα ἐκ πάσης τῆς γῆς. ἣ ἦν τῶν υἱῶν ἰσραήλ. καὶ ἐποίησε πάντας τοὺς εὑρεθέντας ἐν ἱερουσαλὴμ καὶ ἐν ἰσραήλ, τοῦ δουλεύειν κυρίῳ τῷ θεῷ ἑαυτῶν πάσας τὰς ἡμέρας αὐτοῦ. οὐκ ἐξέκλινεν ἀπὸ ὄπισθε κυρίου θεοῦ πατέρων αὐτοῦ.

Κεφάλαιον λε. 36.

Καὶ ἐποίησεν ἰωσίας τὸ φασὲκ τῷ κυρίῳ θεῷ αὐτοῦ
κ καὶ ἔθυσε τὸ φασὲκ τῇ τεσσαρεσκαιδεκάτῃ ἡμέρᾳ
τοῦ μηνὸς τοῦ πρώτου. καὶ ἔστησε τοὺς ἱερεῖς ἐπὶ τὰς φυλακὰς αὐτῶν καὶ κατίσχυσεν αὐτοὺς εἰς τὰ ἔργα οἴκου κυρίου. καὶ εἶπε τοῖς λευίταις τοῖς δυνατοῖς, ἐν παντὶ ἰσραὴλ τοῦ ἁγιασθῆναι αὐτοὺς τῷ κυρίῳ, καὶ τοῦ δοῦναι τὴν κιβωτὸν τὴν ἁγίαν ἐν οἴκῳ κυρίου. καὶ ἔθηκαν τὴν κιβωτὸν τὴν ἁγίαν εἰς τὸν οἶκον ὃν ᾠκοδόμησε σαλωμὼν υἱὸς δαβὶδ τοῦ βασιλέως ἰσραήλ. καὶ εἶπεν ὁ βασιλεὺς οὐκ ἔστιν ὑμῖν ἐπ' ὤμων ἆραι οὐδέν, νῦν οὖν λειτουργήσατε τῷ κυρίῳ θεῷ ὑμῶν. καὶ τῷ λαῷ αὐτοῦ ἰσραήλ. καὶ ἑτοιμάσθητε κατ' οἴκους πατριῶν ὑμῶν καὶ κατὰ τὰς ἐφημερίας ὑμῶν. κατὰ τὴν γραφὴν δαβὶδ βασιλέως ἰσραήλ. καὶ διὰ χειρὸς σαλωμὼν υἱοῦ αὐτοῦ καὶ στῆτε τῷ ἐν οἴκῳ κατὰ τὰς διαιρέσεις οἴκων πατριῶν ὑμῶν τοῖς ἀδελφοῖς ὑμῶν υἱοῖς τοῦ λαοῦ. καὶ μερὶς οἴκου πατριᾶς τοῖς λευίταις. καὶ θύσατε τὸ φασέκ. καὶ τὰ ἅγια ἑτοιμάσατε τοῖς ἀδελφοῖς ὑμῶν, τοῦ ποιῆσαι κατὰ τὸν λόγον κυρίου διὰ χειρὸς μωϋσέως. καὶ ἀπήρξατο ἰωσίας τοῖς υἱοῖς τοῦ λαοῦ πρόβατα καὶ ἀμνοὺς καὶ ἐρίφους ἀπὸ τῶν τέκνων τῶν αἰγῶν, πάντα τὰ εἰς τὸ φασέκ. καὶ πάντας τοὺς εὑρεθέντας εἰς τὸν ἀριθμὸν τριάκοντα χιλιάδας. καὶ μόσχων τρεῖς χιλιάδας. ταῦτα ἀπὸ τῆς ὑπάρξεως τοῦ βασιλέως. καὶ οἱ ἄρχοντες αὐτοῦ ἀπήρξαντο τῷ λαῷ καὶ τοῖς ἱερεῦσι καὶ τοῖς λευίταις. ἔδωκε δὲ καὶ χελκίας καὶ ζαχαρίας καὶ ἰεὴλ οἱ ἄρχοντες τοῖς ἱερεῦσιν οἴκου τοῦ θεοῦ. καὶ αὐτοὶ ἔδωκαν εἰς τὸ φασὲκ πρόβατα καὶ ἀμνοὺς καὶ ἐρίφους δισχιλίους ἑξακοσίους. καὶ μόσχους τριακοσίους. καὶ χωνενίας καὶ βαναίας καὶ σεμείας καὶ ναθαναὴλ ἀδελφὸς αὐτοῦ καὶ ἀσαβιὰ καὶ ἰεὴλ καὶ ἰωζαβὰδ ἄρχοντες τῶν λευιτῶν, ἀπήρξαντο τοῖς λευίταις εἰς τὸ φασέκ. πρόβατα πεντακισχίλια καὶ μόσχους πεντακοσίους καὶ κατωρθώθη ἡ λειτουργία. καὶ ἔστησαν οἱ ἱερεῖς ἐπὶ τὴν στάσιν αὐτῶν

καὶ οἱ λευῖται ἐπὶ τὰς διαιρέσεις αὐτῶν κατὰ τὴν ἐντολὴν τοῦ βασιλέως, καὶ ἔθυσαν τὸ φασέκ. καὶ προσέχεαν οἱ ἱερεῖς τὸ αἷμα ἐκ χειρὸς αὐτῶν. καὶ οἱ λευῖται ἐξέδειραν καὶ ἡτοίμασαν τὴν ὁλοκαύτωσιν παραδοῦναι αὐτοῖς. κατὰ τὴν διαίρεσιν κατ᾽ οἴκους πατριῶν τοῖς υἱοῖς τοῦ λαοῦ τοῦ προσάγειν τὰ ὁλοκαυτώματα τῷ κυρίῳ, ὡς γέγραπται ἐν βιβλίῳ νόμου μωσέως. καὶ οὕτως εἰς τὸ πρωΐ. καὶ ὤπτησαν τὸ φασὲκ ἐν πυρὶ κατὰ τὴν κρίσιν. καὶ τὰ ἅγια ἥψησαν ἐν τοῖς χαλκείοις καὶ ἐν τοῖς λέβησι. καὶ εὐοδώθη καὶ ἔδραμον πρὸς τοὺς υἱοὺς τοῦ λαοῦ πάντας. καὶ μετὰ τὸ ἑτοιμάσαι αὐτοῖς καὶ τοῖς ἱερεῦσιν, ὅτι οἱ ἱερεῖς ἐν τῷ ἀναφέρειν τὰ ὁλοκαυτώματα καὶ τὰ στέατα ἕως νυκτός. καὶ οἱ λευῖται ἡτοίμασαν αὐτοῖς καὶ τοῖς ἀδελφοῖς αὐτῶν υἱοῖς ἀαρών. καὶ οἱ ψαλτῳδοὶ υἱοὶ ἀσὰφ ἐπὶ τῆς στάσεως αὐτῶν, κατὰ τὰς ἐντολὰς δαβὶδ καὶ ἀσάφ. καὶ αἰμὰν καὶ ἰδιθοὺμ οἱ προφῆται τοῦ βασιλέως. καὶ οἱ ἄρχοντες καὶ οἱ πυλωροὶ πύλης καὶ πύλης, οὐκ ἦν αὐτοῖς κινεῖσθαι ἀπὸ τῆς λειτουργίας τῶν ἁγίων. ὅτι οἱ ἀδελφοὶ αὐτῶν οἱ λευῖται ἡτοίμασαν αὐτοῖς καὶ κατωρθώθη καὶ ἡτοιμάσθη πᾶσα ἡ λειτουργία ἐν τῇ ἡμέρᾳ ἐκείνῃ τοῦ ποιῆσαι τὸ φασέκ. καὶ ἀνήνεγκαν ὁλοκαυτώματα ἐπὶ τὸ θυσιαστήριον κυρίου, κατὰ τὴν ἐντολὴν τοῦ βασιλέως ἰωσίου. καὶ ἐποίησαν οἱ υἱοὶ ἰσραὴλ οἱ εὑρεθέντες, τὸ φασὲκ ἐν τῷ καιρῷ ἐκείνῳ, καὶ τὴν ἑορτὴν τῶν ἀζύμων, ἑπτὰ ἡμέρας. καὶ οὐκ ἐγένετο φασὲκ ὅμοιον αὐτῷ ἐν ἰσραήλ, ἀπὸ ἡμερῶν σαμουὴλ τοῦ προφήτου. καὶ πάντες βασιλεῖς ἰσραήλ, οὐκ ἐποίησαν τὸ φασέκ, ὃ ἐποίησεν ἰωσίας, καὶ οἱ ἱερεῖς καὶ οἱ λευῖται καὶ πᾶς ἰούδα καὶ ἰσραήλ, οἱ εὑρεθέντες καὶ οἱ κατοικοῦντες ἱερουσαλὴμ τῷ κυρίῳ. ἐν τῷ ὀκτωκαιδεκάτῳ ἔτει τῆς βασιλείας ἰωσίου, ἐποιήθη τὸ φασὲκ τοῦτο. μετὰ ταῦτα πάντα ἃ ἔδρασεν ἰωσίας ἐν τῷ οἴκῳ καὶ τοὺς ἐγγαστριμύθους καὶ τοὺς γνωστὰς καὶ τὰ θεραφὶν, καὶ τὰ εἴδωλα καὶ τὰ καρεσὶμ ἃ ἦν ἐν τῇ γῇ ἰούδα καὶ ἱερουσαλὴμ ἐνεπύρισεν ὁ βασιλεὺς

ἰωσίας, ἵνα στήσῃ τοὺς λόγους τοῦ νόμου τοὺς γεγραμμένους ἐπὶ
τοῦ βιβλίου οὗ εὗρε χελκίας ὁ ἱερεὺς ἐν τῷ οἴκῳ κυρίου. ὅ-
μοιος αὐτῷ οὐκ ἐγενήθη ἔμπροσθεν αὐτοῦ. ὃς ἐπέστρεψε πρὸς
κύριον ἐν ὅλῃ καρδίᾳ ἑαυτοῦ. καὶ ἐν ὅλῃ ψυχῇ ἑαυτοῦ καὶ ἐν ὅλῃ
ἰσχύϊ ἑαυτοῦ, κατὰ πάντα τὸν νόμον μωσέως, καὶ μετὰ τοῦτον. οὐκ
ἀνέστη ὅμοιος αὐτῷ, πλὴν οὐκ ἀπεστράφη κύριος ἀπὸ ὀργῆς θυ-
μοῦ αὐτοῦ τοῦ μεγάλου οὗ ὠργίσθη θυμῷ κύριος ἐν τῷ ἰούδᾳ ἐπὶ
πάντα τὰ παροργίσματα αὐτοῦ ἃ παρώργισε μανασσῆς. καὶ
εἶπε κύριος. καί γε τὸν ἰούδαν ἀποστήσω ἀπὸ προσώπου μου,
καθὼς ἀπέστησα τὸν οἶκον ἰσραήλ. καὶ ἀπωσάμην τὴν πόλιν ἣν ἐξελε-
ξάμην τὴν ἱερουσαλήμ. καὶ τὸν οἶκον ὃν εἶπα ἔσται τὸ ὄνομά μου ἐ-
κεῖ. καὶ ἀνέβη φαραὼ νεχαὼ βασιλεὺς αἰγύπτου ἐπὶ τὸν βασιλέα
ἀσσυρίων, ἐπὶ ποταμὸν εὐφράτην, καὶ ἐπορεύθη ὁ βασιλεὺς
ἰωσίας, εἰς συνάντησιν αὐτῷ. καὶ ἀπέστειλε πρὸς αὐτὸν ἀγγέλους
λέγων. τί ἐμοὶ καὶ σοὶ βασιλεῦ ἰούδα. οὐκ ἐπὶ σὲ ἥκω σήμε-
ρον πόλεμον ποιῆσαι ἀλλ' ἐπὶ τὸν τόπον τοῦ πολέμου. καὶ ὁ θε-
ὸς εἶπε τοῦ κατασπεῦσαί με πρόσεχε ἀπὸ τοῦ θεοῦ τοῦ μετ' ἐμοῦ μὴ
καταφθείρῃ σε. καὶ οὐκ ἀπέστρεψεν ἰωσίας τὸ πρόσωπον ἀπ'
αὐτοῦ. ἀλλ' ἢ πολεμεῖν αὐτὸν ἐκραταιώθη. καὶ οὐκ ἤκουσε τῶν λό-
γων νεχαὼ διὰ στόματος θεοῦ, καὶ ἦλθε τοῦ πολεμῆσαι ἐν τῷ
πεδίῳ μαγεδδώ. καὶ ἐτόξευσαν οἱ τοξόται ἐπὶ βασιλέα ἰω-
σίαν. καὶ εἶπεν ὁ βασιλεὺς τοῖς παισὶν αὐτοῦ. ἐξαγάγετέ με
ὅτι ἐπόνεσα σφόδρα. καὶ ἐξήγαγον αὐτὸν οἱ παῖδες αὐτοῦ, ἀπὸ
τοῦ ἅρματος. καὶ ἀνεβίβασαν αὐτὸν ἐπὶ τὸ ἅρμα τὸ δευτερεῦον ὃ ἦν αὐτῷ
καὶ ἤγαγον αὐτὸν εἰς ἱερουσαλήμ, καὶ ἀπέθανε. καὶ ἐτάφη μετὰ τῶν πα-
τέρων αὐτοῦ. καὶ πᾶς ἰούδα καὶ ἱερουσαλήμ, ἐπένθησαν ἐπὶ ἰωσίαν καὶ
ἐθρήνησεν ἱερεμίας ἐπὶ ἰωσίαν, καὶ εἶπον πάντες οἱ ἄρχοντες
καὶ αἱ ἄρχουσαι θρῆνον ἐπὶ ἰωσίαν, ἕως τῆς σήμερον. καὶ ἔδω-
καν αὐτὸν εἰς πρόσταγμα ἐπὶ ἰσραήλ. ἰδοὺ γέγραπται ἐπὶ τῶν θρή-
νων. καὶ ἦσαν οἱ λοιποὶ λόγοι ἰωσίου καὶ ἡ ἐλπὶς αὐτοῦ γεγραμμένα

ἐν νόμῳ κυρίου. καὶ οἱ λόγοι αὐτοῦ οἱ πρῶτοι καὶ οἱ ἔσχατοι, ἰδοὺ γεγραμμένοι ἐπὶ βιβλίων βασιλέων ἰσραὴλ καὶ ἰούδα. καὶ ἔλαβεν ὁ λαὸς τῆς γῆς, τὸν ἰωάχαζ υἱὸν ἰωσίου, καὶ ἔχρισαν αὐτόν. καὶ κατέστησαν αὐτὸν, ἀντὶ τοῦ πατρὸς αὐτοῦ εἰς βασιλέα ἐπὶ ἱερουσαλήμ. υἱὸς εἴκοσι καὶ τριῶν ἐτῶν ἦν ἰωάχαζ ἐν τῷ βασιλεύειν αὐτόν. καὶ τρίμηνον ἐβασίλευσεν ἐπὶ ἱερουσαλήμ. καὶ ὄνομα τῆς μητρὸς αὐτοῦ, ἀμιτάλ· θυγάτηρ ἱερεμίου ἐκ λοβνά. καὶ ἐποίησε τὸ πονηρὸν ἐνώπιον κυρίου, κατὰ πάντα ἃ ἐποίησαν οἱ πατέρες αὐτοῦ. καὶ ἔδησεν αὐτὸν ἰωάχαζ φαραὼ νεχαὼ ἐν δεβλαθὰ ἐν γῇ αἰθάμ, τοῦ μὴ βασιλεύειν αὐτὸν ἐν ἱερουσαλήμ. καὶ μετήγαγεν ὁ βασιλεὺς εἰς αἴγυπτον. καὶ ἐπέβαλε φόρον ἐπὶ τὴν γῆν ἑκατὸν τάλαντα ἀργυρίου καὶ τάλαντον χρυσίου. καὶ κατέστησε φαραὼ νεχαὼ τὸν ἐλιακεὶμ υἱὸν ἰωσίου. βασιλέα ἐπὶ ἰούδα ἀντὶ ἰωσίου τοῦ πατρὸς αὐτοῦ. καὶ μετέστρεψε τὸ ὄνομα αὐτοῦ, ἰωακίμ. καὶ ἔλαβε φαραὼ νεχαὼ τὸν ἰωάχαζ ἀδελφὸν ἰωακὶμ, καὶ εἰσήγαγεν αὐτὸν εἰς αἴγυπτον καὶ ἀπέθανεν ἐκεῖ, καὶ τὸ ἀργύριον καὶ τὸ χρυσίον ἔδωκαν τῷ φαραῷ. τότε ἤρξατο ἡ γῆ φορολογεῖσθαι τοῦ δοῦναι τὸ ἀργύριον ἐπὶ στόμα φαραώ. καὶ ἕκαστος κατὰ δύναμιν ἀπῄτει τὸ ἀργύριον καὶ τὸ χρυσίον παρὰ τοῦ λαοῦ τῆς γῆς δοῦναι αὐτῷ φαραῷ νεχαῷ, ὢν εἴκοσι καὶ πέντε ἐτῶν ἰωακεὶμ ἐν τῷ βασιλεύειν αὐτὸν, καὶ ἕνδεκα ἔτη ἐβασίλευσεν ἐν ἱερουσαλήμ, καὶ ὄνομα τῇ μητρὶ αὐτοῦ ζεχωρά. θυγάτηρ νηρίου ἐκ ῥαμᾶ. καὶ ἐποίησε τὸ πονηρὸν ἐναντίον κυρίου κατὰ πάντα ὅσα ἐποίησαν οἱ πατέρες αὐτοῦ. ἐν ταῖς ἡμέραις τοῦ ἰωακὶμ, ἦλθε ναβουχοδονόσορ ὁ βασιλεὺς βαβυλῶνος εἰς τὴν γῆν. καὶ ἦν αὐτῷ δουλεύων τρία ἔτη. καὶ ἀπέστη ἀπ' αὐτοῦ. καὶ ἀπέστειλε κύριος ἐπ' αὐτοὺς τοὺς χαλδαίους καὶ λῃστήρια σύρων καὶ λῃστήρια μωαβιτῶν καὶ υἱῶν ἀμμὼν καὶ τῆς σαμαρίας καὶ ἀπέστησαν μετὰ τὸν λόγον τοῦτον κατὰ τὸν λόγον κυρίου ἐν χειρὶ τῶν παίδων αὐτοῦ τῶν προφητῶν. πλὴν θυμὸς κυρίου ἦν ἐπὶ ἰούδαν τοῦ ἀποστῆσαι αὐτὸν ἀπὸ προ

σώπου αὐτοῦ, διὰ τὰς ἁμαρτίας μανασσῆ ἐν πᾶσιν οἷς ἐποίησε. καὶ ἐν αἵματι ἀθώῳ ᾧ ἐξέχεεν ἰωακίμ. καὶ ἔπλησε τὴν ἱερουσαλὴμ αἵματος ἀθώου. καὶ οὐκ ἠθέλησε κύριος ἐξολοθρεῦσαι αὐτούς. καὶ ἀνέβη ἐπ' αὐτὸν ναβουχοδονόσορ βασιλεὺς βαβυλῶνος. καὶ ἔδησεν αὐτὸν χαλκαῖς πέδαις, καὶ ἤγαγεν εἰς βαβυλῶνα. καὶ μέρος τῶν σκευῶν οἴκου κυρίου ἀπήνεγκεν εἰς βαβυλῶνα. καὶ ἔθηκεν αὐτὰ ἐν τῷ ναῷ αὐτοῦ ἐν βαβυλῶνι. καὶ τὰ λοιπὰ τῶν λόγων ἰωακὶμ καὶ πάντα ἃ ἐποίησεν, ἰδοὺ ταῦτα γεγραμμένα ἐν βιβλίῳ λόγων τῶν ἡμερῶν τοῖς βασιλεῦσιν ἰούδα. καὶ ἐκοιμήθη ἰωακεὶμ μετὰ τῶν πατέρων αὐτοῦ. καὶ ἐτάφη ἐν γανοζαὴ μετὰ τῶν πατέρων αὐτοῦ καὶ ἐβασίλευσεν ἰεχονίας υἱὸς αὐτοῦ ἀντ' αὐτοῦ. υἱὸς ὀκτωκαίδεκα ἐτῶν ἰεχονίας ἐν τῷ βασιλεύειν αὐτόν. καὶ τρίμηνον καὶ δέκα ἡμέρας ἐβασίλευσεν ἐν ἱερουσαλήμ. καὶ ἐποίησε τὸ πονηρὸν ἐνώπιον κυρίου. καὶ ἐπιστραφέντος τοῦ ἐνιαυτοῦ, ἀπέστειλεν ὁ βασιλεὺς ναβουχοδονόσορ καὶ εἰσήνεγκεν αὐτὸν εἰς βαβυλῶνα μετὰ τῶν σκευῶν τῶν ἐπιθυμητῶν οἴκου κυρίου. καὶ ἐβασίλευσεν τὸν σεδεκίαν ἀδελφὸν πατρὸς αὐτοῦ, ἐπὶ ἰούδαν καὶ ἱερουσαλήμ, ἐτῶν εἴκοσι υἱὸς καὶ ἑνὸς ἐτοὺς σεδεκίας ἐν τῷ βασιλεύειν αὐτόν. καὶ ἕνδεκα ἔτη ἐβασίλευσεν ἐν ἱερουσαλήμ, καὶ ἐποίησε τὸ πονηρὸν ἐνώπιον κυρίου θεοῦ αὐτοῦ. καὶ οὐκ ἐνετράπη ἀπὸ προσώπου ἱερεμίου τοῦ προφήτου καὶ ἐκ στόματος κυρίου, ἐν τῷ τὰ πρὸς τὸν βασιλέα ναβουχοδονόσορ ἀθετῆσαι, ἃ ὥρκισεν αὐτὸν κατὰ τοῦ θεοῦ, καὶ ἐσκλήρυνε τὸν τράχηλον αὐτοῦ, καὶ τὴν καρδίαν αὐτοῦ κατίσχυσε τοῦ μὴ ἐπιστρέψαι πρὸς κύριον θεὸν ἰσραήλ. καὶ πάντες οἱ ἔνδοξοι ἰούδα καὶ οἱ ἱερεῖς καὶ ὁ λαὸς τῆς γῆς, ἐπλήθυναν τοῦ ἀθετῆσαι ἀθετήματα, κατὰ βδελύγματα τῶν ἐθνῶν. καὶ ἐμίαναν τὸν οἶκον κυρίου τὸν ἐν ἱερουσαλήμ, καὶ ἐξαπέστειλε κύριος ὁ θεὸς τῶν πατέρων αὐτῶν ἐν χειρὶ τῶν προφητῶν αὐτοῦ ὀρθρίζων, καὶ ἀποστέλλων τοὺς ἀγγέλους αὐτοῦ, ὅτι ἦν φειδόμενος τοῦ λαοῦ αὐτοῦ.

καὶ τοῦ ἁγιάσματος αὐτοῦ. καὶ ἦσαν μυκτηρίζοντες τοὺς ἀγγέλους αὐτοῦ. καὶ ἐξουθενοῦντες τοὺς λόγους αὐτοῦ. καὶ ἐμπαίζοντες ἐν τοῖς προφήταις αὐτοῦ, ἕως ἀνέβη ὁ θυμὸς κυρίου ἐν τῷ λαῷ αὐτοῦ, ἕως οὐκ ἦν ἴαμα. καὶ ἐπήγαγεν ἐπ᾽ αὐτοὺς τὸν βασιλέα τῶν χαλδαίων, καὶ ἀπέκτεινε τοὺς νεανίσκους αὐτῶν ἐν ῥομφαίᾳ ἐν οἴκῳ ἁγιάσματος αὐτοῦ. καὶ οὐκ ἐφείσατο τοῦ σεδεκίου. καὶ τὰς παρθένους αὐτῶν οὐκ ἠλέησε. καὶ τοὺς πρεσβυτέρους αὐτῶν ἀπήγαγε. τὰ πάντα παρέδωκεν εἰς τὰς χεῖρας αὐτῶν. καὶ πάντα τὰ σκεύη οἴκου τοῦ θεοῦ τὰ μεγάλα καὶ τὰ μικρὰ καὶ τοὺς θησαυροὺς οἴκου κυρίου καὶ πάντας τοὺς θησαυροὺς τοῦ βασιλέως. καὶ τῶν μεγιστάνων, πάντα εἰσήνεγκεν εἰς βαβυλῶνα. καὶ ἐνέπρησε τὸν οἶκον κυρίου. καὶ κατέσκαψε τὸ τεῖχος ἱερουσαλήμ. καὶ τὰς βάρεις αὐτῆς ἐνέπρησεν ἐν πυρί. καὶ πᾶν σκεῦος ὡραῖον, ἔθετο εἰς ἀφανισμόν. καὶ ἀπῴκισε τοὺς καταλοίπους εἰς βαβυλῶνα. καὶ ἦσαν αὐτῷ καὶ τοῖς υἱοῖς αὐτοῦ εἰς δούλους ἕως βασιλείας μήδων, τοῦ πληρωθῆναι λόγον κυρίου διὰ στόματος ἱερεμίου, ἕως τοῦ προσδέξασθαι τὴν γῆν τὰ σάββατα αὐτῆς. τοῦ σαββατίσαι πάσας τὰς ἡμέρας ἐρημώσεως αὐτῆς. ἐσαββάτισεν εἰς συμπλήρωσιν ἑβδομήκοντα ἐτῶν. ἔτους πρώτου κύρου τοῦ βασιλέως περσῶν, μετὰ τὸ πληρωθῆναι ῥῆμα κυρίου διὰ στόματος ἱερεμίου. ἐξήγειρε κύριος τὸ πνεῦμα κύρου βασιλέως περσῶν. καὶ παρήγγειλε κηρύξαι ἐν πάσῃ τῇ βασιλείᾳ αὐτοῦ ἐν γραπτῷ λέγων τάδε λέγει κύριος ὁ βασιλεὺς περσῶν. πάσας τὰς βασιλείας τῆς γῆς, ἔδωκέ μοι κύριος ὁ θεὸς τοῦ οὐρανοῦ. καὶ αὐτὸς ἐνετείλατό μοι οἰκοδομῆσαι αὐτῷ οἶκον ἐν ἱερουσαλὴμ τῇ ἐν τῇ ἰουδαίᾳ. τίς ἐξ ὑμῶν ἐκ παντὸς τοῦ λαοῦ αὐτοῦ. ἔσται κύριος ὁ θεὸς αὐτοῦ μετ᾽ αὐτοῦ. καὶ ἀναβήτω.

Τέλος Παραλειπομένων βασιλειῶν τοῦ β.

α Καὶ ἐν τῷ πρώτῳ ἔτει κύρρου βασιλέως περσῶν
β Καὶ ἀνέστησαν οἱ ἄρχοντες τῶν πατριῶν ἰούδα.
γ Καὶ ὁ βασιλεὺς κῦρος ἐξήνεγκε τὰ σκεύη οἴκου κυρίου
δ Καὶ οὗτοι οἱ υἱοὶ τῆς χώρας οἱ ἀναβάντες ἀπὸ τῆς αἰ-
χμαλωσίας.
ε Καὶ οὗτοι οἱ ἀναβάντες ἀπὸ θελμεχὲλ
ς Καὶ ἀπὸ τῶν υἱῶν τῶν ἱερέων
ζ Καὶ ἀπὸ ἀρχόντων πατριῶν
η Καὶ ἐκάθισαν οἱ ἱερεῖς καὶ οἱ λευῖται
θ Καὶ ἔφθασεν ὁ μὴν ὁ ἕβδομος
ι Καὶ συνήχθη ὁ λαὸς, ὡς ἀνὴρ εἷς
ια Καὶ ἀνέστη ἰησοῦς ὁ τοῦ ἰωσεδὲκ
ιβ Ἐν ἡμέρᾳ μιᾷ τοῦ μηνὸς τοῦ ἑβδόμου.
ιγ Καὶ ὁ οἶκος κυρίου οὐκ ἐθεμελιώθη
ιδ Καὶ ἔδωκαν ἀργύριον τοῖς λατόμοις
ιε Καὶ ἐν τῷ ἔτει τῷ δευτέρῳ.
ις Καὶ ἔστη ἰησοῦς καὶ οἱ υἱοὶ αὐτοῦ.
ιζ Καὶ ἔστησαν οἱ ἱερεῖς ἐστολισμένοι.
ιη Καὶ πᾶς ὁ λαὸς ἐσήμαινε φωνῇ μεγάλῃ.
ιθ Καὶ πολλοὶ ἀπὸ τῶν ἱερέων, καὶ τῶν λευιτῶν.
κ Καὶ οὐκ ἦν ὁ λαὸς ἐπιγινώσκων τὴν φωνὴν τῆς σημα-
σίας.
κα Καὶ ἡ φωνὴ ἦν ἠκούετο ἕως ἀπὸ μακρόθεν.
κβ Καὶ εἶπε πρὸς αὐτοὺς ζοροβάβελ.
κγ Καὶ ἦν ὁ λαὸς τῆς γῆς ἐκλύων τὰς χεῖρας τοῦ λαοῦ ἰ-
ούδα.
κδ Ἐν βασιλείᾳ ἀσσουήρου
κε Ρουβααλτὰμ
κς Καὶ ἀπέστειλεν ὁ βασιλεὺς πρὸς ῥεουμβααλτάμ.
κζ Καὶ τότε ὁ φορολόγος τοῦ ἀρθασθὰ βασιλέως
κη Καὶ προεφήτευσεν ἀγγαῖος ὁ προφήτης, καὶ ζα-

χαρίας.
κθ Τότε ἀνέστησαν ζοροβάβελ ὁ τοῦ σαλαθιὴλ, καὶ ἰησοῦς.
λ Εν αὐτῷ τῷ καιρῷ ἦλθεν ἐπ' αὐτοὺς θαθθαναὶ ὁ ἔπαρχος.
λά Διασάφησις ἐπιστολῆς ἧς ἀπέστειλε θαθθαναὶ ἔπαρχος.
λβ Τότε δαρεῖος ὁ βασιλεὺς ἔθηκε γνώμην.
λγ Τότε θαθθαναὶ ἔπαρχος
λδ Καὶ ἐποίησαν οἱ υἱοὶ ἰσραὴλ. ὁ ἱερεὺς, καὶ οἱ λευῖται
λε Καὶ μετὰ τὰ ῥήματα ταῦτα ἐν βασιλείᾳ ἀρθασασθὰ βασιλέως περσῶν ἀνέβη ἔσδρας.
λς Καὶ αὕτη ἡ διασάφησις τοῦ διατάγματος.
λζ Εὐλογητὸς κύριος ὁ θεὸς τῶν πατέρων ἡμῶν.
λή Εγὼ ἐκραταιώθην, ὡς χεὶρ κυρίου.
λθ Εν τῷ καιρῷ ἐκείνῳ οἱ ἐλθόντες ἀπὸ τῆς αἰχμαλωσίας.
μ Καὶ συνήχθησαν πρός με πᾶς ὁ διώκων λόγον κυρίου
μά Καὶ ὡς προσηύξατο ἔσδρας
μβ καὶ εὑρέθησαν ἀπὸ τῶν υἱῶν τῶν ἱερέων λόγοι νεεμίου ἀχαλία
μγ Καὶ ἐγένετο ἐν μηνὶ χασελεῦ ἔτους εἰκοστοῦ
μδ Καὶ ἐγένετο ἐν μηνὶ νισάν.
μέ Καὶ ἤκουσε σαναβαλλατουαρώμ
μς Καὶ ἐπέστρεψα αὐτοῖς λόγον.
μζ Καὶ ἀνέστη ἐλιασοὺβ.
μή Καὶ ἐπὶ χεῖρα υἱῶν ἀνδρῶν ἱεριχώ
μθ Καὶ ἐγένετο, ὡς ἤκουσε σαναβαλλὰ, καὶ τωβία, καὶ οἱ ἄραβες, καὶ οἱ ἀμμανῖται.
ν Εγένετο ἡνίκα ἤκουσαν οἱ ἐχθροὶ ἡμῶν.
νά Εν τῷ καιρῷ ἐκείνῳ εἶπε τῷ λαῷ.
νβ Οἱ ἀδελφοί μου, καὶ οἱ γνωστοί μου.
νγ Καὶ ἐκάλεσα τοὺς ἱερεῖς.

νδ Καὶ ἐγένετο καθὼς ἤκουσε τοῦ σαναβαλλάτ.
νε Κἀγὼ εἰσῆλθον εἰς οἶκον σεμεΐ
νς Καὶ τωβίας, καὶ σαναβαλλάτ.
νζ Καὶ ἐτελέσθη τὸ τεῖχος.
νη Καὶ ἐγένετο ἡνίκα ᾠκοδομήθη τὸ τεῖχος.
νθ Καὶ ἔδωκεν ὁ θεὸς εἰς τὴν καρδίαν μου.
ξ Καὶ οὗτοι ἀνέβησαν ἀπὸ θεραμμαχέλ.
ξα Καὶ ἐκάθισαν οἱ ἱερεῖς
ξβ Καὶ ἔστη ἔσδρας ὁ ἱερεὺς ἐπὶ βήματος ξυλίνου.
ξγ Καὶ ἰησοῦς καὶ σαβαννάϊας, καὶ σαραβία ἦσαν συνετίζον
ξδ Καὶ εἶπε νεεμίας (τες τὸν λαὸν
ξε Καὶ οἱ λευῖται.
ξς Καὶ ἀπῆλθεν ὁ λαὸς φαγεῖν, καὶ πιεῖν,
ξζ καὶ ἐν τῇ ἡμέρᾳ τῇ δευτέρᾳ συνήχθησαν οἱ ἄρχοντες.
ξη καὶ ἐν ἡμέρᾳ κδ τοῦ μηνὸς τούτου συνήχθησαν οἱ υἱοὶ
ἰσραήλ
ξθ καὶ ἔστη ἐπὶ ἀναβάσει τῶν λευιτῶν ἰησοῦς.
ο καὶ εἶπεν ἔσδρας· σὺ εἶ αὐτὸς κύριος μόνος.
οα καὶ ἐκάθισαν οἱ ἄρχοντες τῆς χώρας
οβ καὶ οὗτοι ἄρχοντες τοῦ λαοῦ.
ογ καὶ οὗτοι ἱερεῖς καὶ λευῖται.
οδ καὶ ἐν ἡμέραις ἰωακεὶμ οἱ ἀδελφοὶ αὐτῶν.
οε καὶ οἱ υἱοὶ κασμιὴλ οἱ ἀδελφοὶ αὐτῶν.
ος καὶ ἀπὸ τῶν υἱῶν τῶν ἱερέων.
οζ καὶ κατέστησαν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ.
οη Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἀνεγνώσθη ἐν βιβλίῳ μωϋσῆ.
οθ Ἐν ταῖς ἡμέραις ἐκείναις εἶδον ἐν ἰούδα πατοῦντας τοὺς
ληνοὺς ἐν σαββάτῳ.
π καὶ ἐν ταῖς ἡμέραις ἐκείναις εἶδον τοὺς ἰουδαίους οἳ ἐ
κάθισαν γυναῖκας ἀζωτίας.

# ΕΣΔΡΑΣ

Κεφάλαιον ά.

Καὶ ἐν τῷ πρώτῳ ἔτει κύρου βασιλέως περσῶν τοῦ τελεσθῆναι λόγον κυρίου ἀπὸ στόματος ἱερεμίου, ἐξήγειρε κύριος τὸ πνεῦμα κύρου βασιλέως περσῶν. καὶ παρήγγειλε φωνὴν ἐν πάσῃ βασιλείᾳ αὐτοῦ, καί γε ἐν γραπτῷ λέγων. οὕτως εἶπε κῦρος ὁ βασιλεὺς περσῶν. πάσας τὰς βασιλείας τῆς γῆς ἔδωκέ μοι κύριος ὁ θεὸς τοῦ οὐρανοῦ. καὶ αὐτὸς ἐπεσκέψατο ἐπ' ἐμὲ τοῦ οἰκοδομῆσαι οἶκον αὐτῷ ἐν ἱερουσαλὴμ τῇ ἐν τῇ ἰουδαίᾳ. τίς ἐν ὑμῖν ἀπὸ παντὸς τοῦ λαοῦ αὐτοῦ. καὶ ἔσται ὁ θεὸς αὐτοῦ μετ' αὐτοῦ καὶ ἀναβήσεται εἰς ἱερουσαλὴμ τὴν ἐν τῇ ἰουδαίᾳ, καὶ οἰκοδομησάτω τὸν οἶκον θεοῦ ἰσραήλ. αὐτὸς ὁ θεὸς ὁ ἐν ἱερουσαλήμ, καὶ πᾶς ὁ καταλειπόμενος ἀπὸ πάντων τῶν τόπων οὗ αὐτὸς παροικεῖ ἐκεῖ. καὶ λήψονται αὐτὸν ἄνδρες τοῦ τόπου αὐτοῦ ἐν ἀργυρίῳ, καὶ χρυσίῳ καὶ ἐν ἀποσκευῇ, καὶ κτήνεσι μετὰ τοῦ ἑκουσίου εἰς οἶκον τοῦ θεοῦ τοῦ ἐν ἱερουσαλήμ.

β. Καὶ ἀνέστησαν ἄρχοντες τῶν πατριῶν τῶν ἰούδα καὶ βενιαμίν. καὶ οἱ ἱερεῖς καὶ οἱ λευῖται πάντων ὧν ἐξήγειρεν ὁ θεὸς τὸ πνεῦμα αὐτῶν τοῦ ἀναβῆναι οἰκοδομῆσαι τὸν οἶκον κυρίου ἐν ἱερουσαλήμ. καὶ πάντες οἱ κυκλόθεν ἐνίσχυσαν ἐν χερσὶν αὐτῶν ἐν σκεύεσιν ἀργυρίου ἐν χρυσῷ καὶ ἐν ἀποσκευῇ καὶ ἐν κτήνεσι, καὶ ἐν ξενίοις πάρεξ τῶν ἐν ἑκουσίοις.

ζ. Καὶ ὁ βασιλεὺς κῦρος ἐξήνεγκε τὰ σκεύη οἴκου κυ-
ρίου ἃ ἔλαβεν ναβουχοδονόσορ ἀπὸ ἱερουσαλήμ. καὶ ἔδωκεν αὐ-
τὰ ἐν οἴκῳ θεοῦ αὐτοῦ καὶ ἐξήνεγκεν αὐτὰ κῦρος ὁ βασιλεὺς περ-
σῶν ἐπὶ χεῖρα μιθριδάτου γαρβαρηνοῦ καὶ ἠρίθμησεν αὐτὰ τῷ
σαβασὰρ τῷ ἄρχοντι τοῦ ἰούδα. καὶ οὗτος ὁ ἀριθμὸς αὐτῶν ψυ-
κτῆρες χρυσοῖ τριάκοντα. καὶ ψυκτῆρες ἀργυροῖ χίλιοι. παρηλ-
λαγμένα ἐννέα καὶ εἴκοσι. καὶ κεφουροὶ χρυσοῖ τριάκοντα καὶ ἀρ-
γυροῖ. καὶ σκεύη ἕτερα χίλια πάντα τὰ σκεύη τῷ χρυσῷ καὶ
τῷ ἀργυρῷ πεντακισχίλια τετρακόσια. τὰ πάντα ἀναβαίνον-
τα μετὰ σασαβασὰρ ἀπὸ τῆς ἀποικίας ἐκ βαβυλῶνος εἰς ἱε-
ρουσαλήμ. Κεφ. β. 2.

δ Αἱ οὗτοι οἱ υἱοὶ τῆς χώρας οἱ ἀναβαίνοντες ἀπὸ τῆς
κ αἰχμαλωσίας τῆς ἀποικίας ἧς ἀπῴκισε ναβουχοδο-
νόσορ βασιλεὺς βαβυλῶνος εἰς βαβυλῶνα. καὶ ἐπέστρε-
ψαν εἰς ἱερουσαλήμ, καὶ ἰούδα ἀνὴρ εἰς πόλιν αὐτοῦ οἳ ἦλθον με-
τὰ ζοροβάβελ. ἰησοῦς νεεμίας σαραΐας ῥεελίας. μαρδοχαῖος
βαλασάν. μασφαρβαγουαί. ῥεούμ βαανά. ἀνδρῶν ἀριθμὸς λαοῦ
ἰσραήλ. υἱοὶ φόρος δισχίλιοι ἑκατὸν ἑβδομηκονταδύο. υἱοὶ σαβ-
βατία τριακόσιοι ἑβδομηκονταδύο. υἱοὶ ἀρὲς ἑπτακόσιοι ἑβδο-
μήκοντα πέντε. υἱοὶ φαὰθ μωὰβ τοῖς υἱοῖς ἰησοῦ ἰωὰβ δισχίλι-
οι ὀκτακόσιοι δέκα δύο. υἱοὶ αἰλάμ. χίλιοι διακόσιοι πεντή-
κοντα τέσσαρες. υἱοὶ ζαθθουὰ ἐννακόσιοι τεσσαράκοντα πέντε
υἱοὶ ζαχοὺ ἑπτακόσιοι ἑξήκοντα. υἱοὶ βανουὶ ἑξακόσιοι τεσσα-
ράκοντα δύο. υἱοὶ βαβαὶ ἑξακόσιοι εἴκοσι τρεῖς. υἱοὶ ἀβγὰδ χί-
λιοι διακόσιοι εἴκοσι δύο. υἱοὶ ἀδονικὰμ ἑξακόσιοι ἑξήκοντα
ἕξ υἱοὶ βαγουὲ δισχίλιοι πεντήκοντα ἕξ υἱοὶ ἀδδὶν τετρακόσιοι
πεντηκοντατέσσαρες. υἱοὶ ἀτήρ. τῷ ἐζεχίᾳ ἐνενήκοντα ὀκτώ.
υἱοὶ βασοῦ τριακόσιοι εἴκοσι τρεῖς. υἱοὶ ἰωρὰ ἑκατὸν δέκα δύο υἱοὶ
ἀσοὺμ διακόσιοι εἴκοσι τρεῖς. υἱοὶ γαβὲρ ἐννήκοντα πέντε. υἱοὶ
βεθλεὲμ ἑκατὸν εἴκοσι τρεῖς. υἱοὶ νετωφά. πεντήκοντα ἕξ. υἱοὶ ἀνα-
θὼθ

θὼθ ἑκατὸν κη΄, υἱοὶ ἀζμὼθ, τεσσαράκοντα τρεῖς. υἱοὶ καριαθιαρ-
ρὶμ. χαφιρὰ. καὶ βηρὼθ, ἑπτακόσιοι μγ΄. υἱοὶ τῆς ῥαμὰ καὶ γα-
βαὰ ἑξακόσιοι εἴκοσι εἷς. ἄνδρες μαχμὰς, ἑκατὸν εἴκοσι δύο.
ἄνδρες βαιθὴλ καὶ αἰὰ τετρακόσιοι εἴκοσι τρεῖς. υἱοὶ ναβὰ. νβ΄
υἱοὶ μαγεβεὶς ἑκατὸν πεντήκοντα ἕξ. υἱοὶ ἠλαμὰρ χίλιοι διακ-
κόσιοι νδ΄. υἱοὶ ἠρὰμ τριακόσιοι εἴκοσι. υἱοὶ λυδδῶν ἀδδὶ
καὶ ὠνῶ ἑπτακόσιοι εἴκοσι πέντε. υἱοὶ ἱεριχὼ τριακόσιοι με΄. υἱ-
οὶ σενναὰ τρισχίλιοι ἑξακόσιοι λ΄. καὶ οἱ ἱερεῖς υἱοὶ ἰεδουὰ τοῦ
οἴκου ἰησοῦ ἐννακόσιοι ἑβδομήκοντα τρεῖς. υἱοὶ ἐμμὴρ χίλιοι νβ΄
υἱοὶ φασοὺρ χίλιοι διακόσιοι μζ΄. υἱοὶ ἠρὲμ καὶ οἱ λευῖται. υἱοὶ
ἰησοῦ καὶ καδμιὴλ τοῖς υἱοῖς ὠδουΐα. οδ΄. οἱ ᾄδοντες υἱοὶ ἀσὰφ
ἑκατὸν. κη΄. υἱοὶ τῶν πυλωρῶν. υἱοὶ σελλούμ. υἱοὶ ἀτήρ. υἱοὶ τελμὼν
υἱοὶ ἀκούβ υἱοὶ ἀτιτὰ υἱοὶ σωβαΐ. οἱ πάντες ἑκατὸν. λθ΄. οἱ να-
θιναῖοι. υἱοὶ σουὰ, υἱοὶ ἀσυφαὶ. υἱοὶ ταββαὼθ. υἱοὶ κηρὰς υἱοὶ
σηρσὰ, υἱοὶ φαδών. υἱοὶ λαβανὼ υἱοὶ ἀγαβὰ. υἱοὶ ἀκουβ. υἱοὶ ἀ-
γὰβ υἱοὶ σελαμὴ υἱοὶ ἀνὰν, υἱοὶ γεδδὴλ, υἱοὶ γαὰρ, υἱοὶ ῥαιὰ,
υἱοὶ ῥασὼν, υἱοὶ νεκωδά. υἱοὶ γαζὰμ υἱοὶ ἀζώ. υἱοὶ φασή. υἱοὶ βη-
σί. υἱοὶ ἀσενναὰ. υἱοὶ μουνὶ υἱοὶ νεφουσίμ. υἱοὶ βακβούκ. υἱοὶ ἀκου-
φά. υἱοὶ ἀρούρ. υἱοὶ βασαλώθ. υἱοὶ μεϊδὰ. υἱοὶ ἀρσά. υἱοὶ βαρ-
κός. υἱοὶ σισαρά. υἱοὶ θεμά. υἱοὶ νασθιέ. υἱοὶ ἀτιφά. υἱοὶ δούλων
σαλωμών. υἱοὶ σωταΐ. υἱοὶ σεφηρά. υἱοὶ ἰεηλά. υἱοὶ ἐρκών. υἱοὶ
γεδδήλ. υἱοὶ σαφατία. υἱοὶ ἀττίλ. υἱοὶ φαχεράθ. ἀσεβωείμ. υἱοὶ
ἠμεί, πάντες οἱ ναθανὶν ἅμα. καὶ υἱοὶ ἀβδησελμὰ, τριακόσι-
οι ἐννενήκοντα δύο.
ε Καὶ οὗτοι οἱ ἀναβάντες ἀπὸ θελμελὲχ θελαρίσα χεροὺβ
ἠδὰν ἐμμήρ. καὶ οὐκ ἐδυνήθησαν τοῦ ἀναγγεῖλαι οἶκον πατρι-
ᾶς αὐτῶν καὶ σπέρμα αὐτῶν εἰ ἐξ ἰσραήλ. εἰσίν. υἱοὶ δαλαΐα.
υἱοὶ τωβίου υἱοὶ νεγωδὰ ἑξακόσιοι νβ΄.
ϛ΄ Καὶ ἀπὸ τῶν υἱῶν τῶν ἱερέων, καὶ οἱ υἱοὶ ἀβαΐα υἱοὶ ἀκ-
κούς. υἱοὶ βερζελλαΐ, ὃς ἔλαβεν ἀπὸ τῶν θυγατέρων βερζελλαῒ

τοῦ γαλααδίτου γυναῖκα. καὶ ἐκλήθη ἐπὶ τῷ ὀνόματι αὐ-
τῶν, οὗτοι ὧν ἐζήτησαν γραφὴν αὐτῶν οἱ μηθωεσὶμ, καὶ οὐχ
εὑρέθησαν καὶ ἠγκιστεύθησαν ἀπὸ τῆς ἱερατείας. καὶ εἶπεν
θρσαθὰ αὐτοῖς τοῦ μὴ φαγεῖν ἀπὸ τοῦ ἁγίου τῶν ἁγίων ἕως
ἀναστῇ ἱερεὺς τοῖς φωτίζουσιν καὶ τοῖς τελείοις. πᾶσα δὲ ἡ
ἐκκλησία ὁμοῦ ὡσεὶ τέσσαρες μυριάδες δισχίλιοι ἑξή-
κοντα χωρὶς δούλων αὐτῶν καὶ παιδισκῶν αὐτῶν. οὗτοι
ἑπτακισχίλιοι τριακόσιοι λζ'. καὶ οὗτοι ᾄδοντες καὶ ᾄδου-
σαι διακόσιοι. ἵπποι αὐτῶν ἑπτακόσιοι λϛ'. ἡμίονοι αὐτῶν
διακόσιοι με'. κάμηλοι αὐτῶν τετρακόσιοι λε'. ὄνοι αὐτῶν
ἑξακισχίλιοι ἑπτακόσιοι εἴκοσι.

ζ καὶ ἀπὸ ἀρχόντων πατριῶν. ἐν τῷ εἰσελθεῖν αὐτοὺς εἰς οἶ-
κον κυρίου τὸν ἐν ἱερουσαλὴμ ἠκουσιάσαντο εἰς οἶκον τοῦ θεοῦ τοῦ στῆσαι
αὐτὸν κατὰ τὴν ἑτοιμασίαν αὐτοῦ, ὅση ἡ δύναμις αὐτῶν ἔδωκαν
εἰς θησαυρὸν τοῦ ἔργου, χρυσίου δραχμῶν ἓξ μυριάδας καὶ χι-
λίας. καὶ ἀργυρίου μνᾶς πεντακισχιλίους καὶ χιτῶνας τῶν ἱε-
ρέων ἑκατόν.

η καὶ ἐκάθισαν οἱ ἱερεῖς καὶ οἱ λευῖται καὶ οἱ ἀπὸ τοῦ λαοῦ
καὶ οἱ ᾄδοντες. καὶ οἱ πυλωροὶ καὶ οἱ ναθινεὶμ ἐν πόλε-
σιν αὐτῶν, καὶ πᾶς ἰσραὴλ ἐν πόλεσιν αὐτῶν.

θ καὶ ἔφθασεν ὁ μὴν ὁ ἕβδομος καὶ οἱ υἱοὶ ἰσραὴλ ἐν πόλεσιν
αὐτῶν. Κεφάλαιον. γ'. 3.

ι Καὶ συνήχθη ὁ λαὸς ὡς ἀνὴρ εἷς εἰς ἱερουσαλήμ.
ια κ καὶ ἀνέστη ἰησοῦς ὁ τοῦ ἰωσεδὲκ καὶ οἱ ἀδελφοὶ αὐ-
τοῦ ἱερεῖς καὶ ζοροβάβελ ὁ τοῦ σαλαθιὴλ καὶ οἱ ἀδελφοὶ
αὐτοῦ, καὶ ᾠκοδόμησαν τὸ θυσιαστήριον θεοῦ ἰσραὴλ τοῦ ἀνενέγ-
και ἐπ᾽ αὐτῷ ὁλοκαυτώσεις κατὰ τὰ γεγραμμένα ἐν νόμῳ
μωϋσῆ ἀνθρώπου τοῦ θεοῦ. καὶ ἡτοίμασαν τὸ θυσιαστήριον ἐπὶ τὴν ἑτοιμα-
σίαν αὐτοῦ, ὅτι ἐγκατεπλήξει ἐπ᾽ αὐτοὺς ἀπὸ τῶν λαῶν τῆς γαί-
ων καὶ ἀνέβη ἐπ᾽ αὐτοῦ ὁλοκαυτώσεις τῷ κυρίῳ τὸ πρωῒ καὶ εἰς

ἑσπέραν. καὶ ἐποίησαν τὴν ἑορτὴν τῶν σκηνῶν κατὰ τὸ γε
γραμμένον. καὶ ὁλοκαυτώσεις ἡμέραν ἐν ἡμέρᾳ ἐν ἀριθμῷ
ὡς ἡ κρίσις λόγον ἡμέρας ἐν ἡμέρᾳ αὐτοῦ. καὶ μετὰ τοῦτο ὁ
λοκαυτώσεις ἐνδελεχισμοῦ. καὶ εἰς τὰς νουμηνίας, καὶ εἰς τὰς
ἑορτὰς τοῦ κυρίου τὰς ἡγιασμένας καὶ παντὶ ἑκουσιαζομέ
νῳ ἑκούσιον τοῦ κυρίου.
νβʹ Ἐν ἡμέρᾳ μιᾷ τοῦ μηνὸς τοῦ ἑβδόμου. ἤρξαντο ἀνα
φέρειν ὁλοκαυτώσεις τοῦ κυρίου.
νγʹ καὶ ὁ οἶκος τοῦ κυρίου. οὐκ ἐθεμελιώθη.
νδʹ καὶ ἔδωκαν ἀργύριον τοῖς λατόμοις καὶ τοῖς τέκτοσι καὶ
βρώματα καὶ πώματα, καὶ ἔλαιον τοῖς σιδονίοις, καὶ τοῖς τυ
ρίοις, τοῦ ἐξενέγκαι ξύλα κέδρινα ἀπὸ τοῦ λιβάνου πρὸς θαλ
λασσαν ἰόππης κατ' ἐπιχώρησιν κύρου βασιλέως περσῶν ἐπ'
αὐτούς.
νεʹ καὶ ἐν τῷ ἔτει τῷ δευτέρῳ τοῦ ἐλθεῖν αὐτοὺς εἰς οἶκον κυ
ρίου τοῦ θεοῦ τὸν ἐν ἱερουσαλήμ, ἐν μηνὶ τῷ δευτέρῳ ἤρξατο ζο
ροβάβελ ὁ τοῦ σαλαθιὴλ καὶ ἰησοῦς ὁ τοῦ ἰωσεδέκ. καὶ οἱ κατά
λοιποι τῶν ἀδελφῶν αὐτῶν οἱ ἱερεῖς καὶ οἱ λευῖται, καὶ πάντες
οἱ ἐρχόμενοι ἀπὸ τῆς αἰχμαλωσίας εἰς ἱερουσαλήμ. καὶ ἔστη
σαν τοὺς λευίτας ἀπὸ εἰκοσαετοῦς. καὶ ἐπάνω τοῦ νικοποιεῖν
ἐπὶ τοὺς ποιοῦντας τὰ ἔργα ἐν οἴκῳ κυρίου.
νϛʹ καὶ ἔστη ἰησοῦς καὶ οἱ υἱοὶ αὐτοῦ καὶ οἱ ἀδελφοὶ καδωήλ. καὶ
οἱ υἱοὶ αὐτοῦ υἱοὶ ἰούδα ἐπὶ τοὺς ποιοῦντας τὰ ἔργα ἐν οἴκῳ τοῦ
θεοῦ. υἱοὶ ἠναδάδ. υἱοὶ αὐτῶν. καὶ οἱ ἀδελφοὶ αὐτῶν. οἱ λευῖται
καὶ ἐθεμελίωσαν τοῦ οἰκοδομῆσαι τὸν οἶκον κυρίου.
νζʹ καὶ ἔστησαν οἱ ἱερεῖς ἐστολισμένοι ἐν σάλπιγξι. καὶ οἱ λευ
ῖται υἱοὶ ἀσὰφ ἐν κυμβάλοις τοῦ αἰνεῖν τὸν κύριον ἐπὶ χεῖρας
δαβὶδ βασιλέως ἰσραήλ. καὶ ἀπεκρίθησαν ἐν αἴνῳ καὶ ἀν
θομολογήσει τῷ κυρίῳ ὅτι ἀγαθὸν, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλε
ος αὐτοῦ ἐπὶ ἰσραήλ.

ιη Καὶ πᾶς ὁ λαὸς ἐσήμανε φωνῇ μεγάλῃ αἰνῶν τῷ κυ
ρίῳ ἐπὶ τῇ θεμελιώσει τοῦ οἴκου κυρίου,
ιθ Καὶ πολλοὶ ἀπὸ τῶν ἱερέων, καὶ τῶν λευιτῶν καὶ ἀρ
χόντων τῶν πατριῶν οἱ πρεσβύτεροι οἱ ἑωρακότες τὸν οἶκον τὸν
πρότερον ἐν θεμελιώσει αὐτοῦ. καὶ τοῦτον τὸν οἶκον ὀφθαλμοῖς
ἑαυτῶν ἔκλαιον φωνῇ μεγάλῃ καὶ ὁ ὄχλος ἐν σημασίᾳ μετ'
εὐφροσύνης τοῦ ὑψῶσαι ᾠδήν.
κ Καὶ οὐχ ἦν ὁ λαὸς ἐπιγινώσκων τὴν φωνὴν τῆς σημα
σίας τῆς εὐφροσύνης ἀπὸ τῆς φωνῆς τοῦ κλαυθμοῦ τοῦ λαοῦ
ὅτι ὁ λαὸς ἐκραύγασε φωνῇ μεγάλῃ.

Κεφάλαιον. δ. ε.

κά Αἱ ἡ φωνὴ μεγάλη ἠκούετο ἕως ἀπὸ μακρόθεν.
κ καὶ ἤκουσαν οἱ θλίβοντες ἰούδα καὶ βενιαμὶν. ὅτι
υἱοὶ τῆς ἀποικίας οἰκοδομοῦσιν οἶκον τῷ κυρίῳ
θεῷ ἰσραήλ. καὶ ἤγγισαν πρὸς ζοροβάβελ καὶ πρὸς τοὺς ἄρχοντας τῶν
πατριῶν. καὶ εἶπον αὐτοῖς. οἰκοδομήσομεν μεθ' ὑμῶν, ὅτι ὡς
ὑμεῖς ἐκζητοῦμεν τῷ θεῷ ὑμῶν. καὶ αὐτῷ ἡμεῖς θυσιάζομεν ἀπὸ
ἡμερῶν ἀσβακαφὰθ βασιλέως ἀσσυρίων τοῦ ἐνέγκαντος ἡμᾶς ὧδε.
κβ καὶ εἶπεν πρὸς αὐτοὺς ζοροβάβελ καὶ ἰησοῦς καὶ οἱ κατάλοι
ποι τῶν ἀρχόντων τῶν πατριῶν τοῦ ἰσραήλ. οὐχ ἡμῖν καὶ ὑμῖν τοῦ οἰκοδομῆ
σαι οἶκον τῷ θεῷ ἡμῶν ὅτι ἡμεῖς αὐτοὶ μόνοι οἰκοδομή
σομεν τῷ κυρίῳ θεῷ ἡμῶν ὡς ἐνετείλατο ἡμῖν κύριος ὁ βασι
λεὺς περσῶν.
κγ καὶ ἦν ὁ λαὸς τῆς γῆς ἐκλύων τὰς χεῖρας τοῦ λαοῦ ἰούδα καὶ
ἐνεπόδιζον αὐτοῖς τοῦ οἰκοδομεῖν καὶ μισθούμενοι ἐπ' αὐτοὺς
βουλόμενοι τοῦ διασκεδάσαι βουλὴν αὐτῶν πάσας τὰς ἡμέρας
κύρου βασιλέως περσῶν καὶ ἕως βασιλείας δαρείου βασιλέως.
κδ καὶ ἐν βασιλείᾳ ἀσουήρου, καὶ ἐν ἀρχῇ βασιλείας αὐ
τοῦ ἔγραψαν ἐπιστολὴν ἐπὶ οἰκοῦντας ἰούδα, καὶ ἱερουσαλήμ. καὶ
ἐν ταῖς ἡμέραις ἀρθασασθὰ ἔγραψεν ἐν εἰρήνῃ μιθριδάτης

ταβεὴλ σὺν καὶ τοῖς λοιποῖς συνδούλοις αὐτοῦ πρὸς ἀρθα-
σασθὰ βασιλέα περσῶν· ἔγραψεν ὁ φορολόγος γραφὴν συ-
ριστὶ καὶ ἡρμηνευμένην.
κέ Ῥεουμβαλταάμ καὶ Σαμψὰ ὁ γραμματεὺς ἔγραψαν
ἐπιστολὴν μίαν κατὰ ἱερουσαλήμ. τῷ ἀρταθὰ βασιλεῖ. τά-
δε ἔκρινε, ῥεουβαλτάμ. καὶ Σαμψὰ ὁ γραμματεὺς καὶ οἱ κα-
τάλοιποι σύνδουλοι ἡμῶν δεινᾶοι. ἀφαρσαθαχαῖοι. ταρ-
φαλαῖοι ἀρφασαῖοι. ἀρχυναῖοι βαβυλώνιοι σουσαναχαῖοι
δαυαῖοι καὶ οἱ κατάλοιποι ἐθνῶν ὧν ἀπώκισεν ἀσσεναφὰρ
ὁ μέγας καὶ ὁ τίμιος. καὶ κατῴκισεν αὐτοὺς ἐν πόλεσι τῆς
σομόρρων καὶ τὸ κατάλοιπον πέραν τοῦ ποταμοῦ. αὕτη ἡ διά-
ταγὴ τῆς ἐπιστολῆς ἧς ἀπέστειλαν πρὸς αὐτὸν πρὸς ἀρθασα-
σθὰ βασιλέα οἱ παῖδές σου ἄνδρες πέραν τοῦ ποταμοῦ.
γνωστὸν ἔστω τῷ βασιλεῖ. ὅτι οἱ ἰουδαῖοι οἱ ἀναβάντες ἀπὸ
σοῦ πρὸς ἡμᾶς ἤλθοσαν εἰς ἱερουσαλήμ, τὴν πόλιν τὴν ἀπο-
στάτιν καὶ πονηράν. ἣν οἰκοδομοῦσι. καὶ τὰ τείχη αὐτῆς κατηρ-
τισμένοι εἰσί. καὶ θεμελίους αὐτῆς ἀνύψωσαν. νῦν οὖν γνωστὸν
ἔστω τῷ βασιλεῖ, ὅτι ἐὰν ἡ πόλις ἐκείνη ἀνοικοδομηθῇ, καὶ
τὰ τείχη αὐτῆς καταρτισθῶσι φόροι οὐκ ἔσονταί σοι οὐδὲ δώσου-
σι καὶ τοὺς βασιλεῖς κακοποιεῖ, καὶ ἀσχημοσύνην βασιλέως οὐκ
ἔξεστιν ἡμῖν ἰδεῖν, διὰ τοῦτο ἐπέμψαμεν καὶ ἐγνωρίσαμεν τῷ
βασιλεῖ ἵνα ἐπισκέψηται ἐν βίβλῳ ὑπομνηματισμοῦ τῶν πα-
τέρων σου. καὶ εὑρήσεις καὶ γνώσῃ ὅτι ἡ πόλις ἐκείνη πόλις ἀ-
ποστάτις καὶ κακοποιοῦσα βασιλεῖς, καὶ χώρας καὶ φυγαδεῖαι
δούλων γίνονται, ἐν μέσῳ αὐτῆς ἀπὸ χρόνων αἰῶνος. διὰ τοῦ-
το ἡ πόλις αὕτη, ἠρήμωται. γνωρίζομεν οὖν ἡμεῖς τῷ βασιλεῖ
ὅτι ἂν ἡ πόλις ἐκείνη οἰκοδομηθῇ, καὶ τὰ τείχη αὐτῆς κα-
ταρτισθῇ οὐκ ἔστι σοι εἰρήνη.
κς Καὶ ἀπέστειλεν ὁ βασιλεὺς πρὸς ῥεουμβαλτάμ καὶ
Σαμψαὶ γραμματέα καὶ τοὺς καταλοίπους συνδούλους αὐτῶν

τοὺς οἰκοῦντας ἐν Σαμαρείᾳ καὶ τοὺς καταλοίπους πέραν τοῦ
ποταμοῦ εἰρήνην καὶ φησίν. ὁ φορολόγος ὃν ἀπεστείλατε πρὸς
ἡμᾶς, ἐκλήθη ἔμπροσθεν ἐμοῦ. καὶ [illegible]
καὶ ἐπεσκεψάμεθα καὶ εὕρομεν. ὅτι ἡ πόλις ἐκείνη ἀφ' ἡμε-
ρῶν αἰῶνος ἐπὶ βασιλεῖς ἐπαίρεται καὶ ἀποστάσεις καὶ φυγα-
δεῖαι γίνονται ἐν αὐτῇ. καὶ βασιλεῖς ἰσχυροὶ γίνονται ἐν ἱε-
ρουσαλήμ. καὶ ἐπικρατοῦντος ὅλης τῆς ἑσπέρας τοῦ ποταμοῦ καὶ
φόροι πλήρεις καὶ μέρος δίδοται αὐτοῖς. καὶ νῦν θέτε γνώ-
μην καταργῆσαι, τοὺς ἄνδρας ἐκείνους καὶ ἡ πόλις ἐκείνη οὐκ οἰ-
κοδομηθήσεται οὐκ ἔτι. ὅπως ἀπὸ τῆς γνώμης πεφυλαγμένοι
ἄνεσιν ποιῆσαι περὶ τούτου. μήποτε πληθυνθῇ ἀφανισμὸς.
εἰς κακοποίησιν βασιλεῦσι.

κζ Τότε ὁ φορολόγος τοῦ ἀρθασασθὰ βασιλέως ἀνέγνω
ἐνώπιον ῥεουμβαλτααμ καὶ σαμψαὶ γραμματέως συνδού-
λων ἑαυτοῦ. καὶ ἐπορεύθησαν σπουδῇ εἰς ἱερουσαλήμ. καὶ ἐν
ἰούδα, καὶ κατήργησαν αὐτοὺς ἐν ἵπποις καὶ δυνάμει. τότε
ἤργησε τὸ ἔργον οἴκου τοῦ θεοῦ τὸ ἐν ἱερουσαλήμ. καὶ ἦν ἀργοῦν
ἕως δευτέρου ἔτους τῆς βασιλείας δαρείου βασιλέως περσῶν.

Κεφάλαιον ε. 5.

κη Αἰ προεφήτευσεν ἀγγαῖος ὁ προφήτης καὶ ζαχα-
κ ρίας ὁ τοῦ ἀδδὼ προφητείαν ἐπὶ τοὺς ἰουδαίους τοὺς ἐν ἰού-
δα καὶ ἱερουσαλήμ. ἐν ὀνόματι θεοῦ ἰσραὴλ ἐπ' αὐτούς.
κθ Τότε ἀνέστησαν ζοροβάβελ ὁ τοῦ σαλαθιὴλ καὶ ἰησοῦς υἱὸς
ἰωσεδέκ, καὶ ἤρξαντο οἰκοδομῆσαι τὸν οἶκον τοῦ θεοῦ τὸν ἐν ἱερ-
ουσαλήμ. καὶ μετ' αὐτῶν οἱ προφῆται τοῦ θεοῦ βοηθοῦντες αὐτοῖς.
λ Ἐν αὐτῷ τῷ καιρῷ ἦλθεν ἐπ' αὐτοὺς θαθθαναὶ ἔπαρχος
πέραν τοῦ ποταμοῦ καὶ σαθαρβουζαναί, καὶ οἱ σύνδουλοι αὐ-
τῶν καὶ τοιάδε εἶπον αὐτοῖς, τίς ἔθηκεν ὑμῖν γνώμην τὸν οἰκο-
δομῆσαι τὸν οἶκον τοῦτον καὶ τὴν χορηγίαν ταύτην καταρτί-
σασθαι. τότε ταῦτα εἴπον αὐτοῖς. τίνα ἐστὶ τὰ ὀνόματα τῶν

ἀνδρῶν τῶν οἰκοδομούντων τὴν πόλιν ταύτην καὶ οἱ ὀ-
φθαλμοὶ τοῦ θεοῦ ἐπὶ τὴν αἰχμαλωσίαν ἰούδα καὶ οὐ κα-
τήργησαν αὐτοὺς ἕως γνώμη τῷ δαρείῳ ἀπηνέχθη καὶ τό-
τε ἀπεστάλη τῷ φορολόγῳ περὶ τούτων διασάφησις ἐπι-
στολῆς ἧς ἀπέστειλε θαθθαναῖ ὁ ἔπαρχος τοῦ πέραν τοῦ ποταμοῦ.
λά Καὶ σαθαρβουζάνης, καὶ οἱ σύνδουλοι αὐτῶν ἀφαρ-
σαχαῖοι οἱ ἐν τῷ πέραν τοῦ ποταμοῦ, δαρείῳ τῷ βασι-
λεῖ ῥήμασιν ἀπέστειλαν πρὸς αὐτόν. καὶ τὰ δὲ γέγραπται
ἐν αὐτῷ. Δαρείῳ τῷ βασιλεῖ εἰρήνη πᾶσα. Γνωστὸν ἔ-
στω βασιλεῖ ὅτι ἐπορεύθημεν εἰς τὴν ἰουδαίαν χώραν, εἰς
οἶκον τοῦ θεοῦ τοῦ μεγάλου. καὶ αὐτὸς οἰκοδομεῖται λίθοις
ἐκλεκτοῖς, καὶ ξύλα ἐντίθεται ἐν τοῖς τοίχοις. καὶ τὸ ἔρ-
γον ἐκεῖνο ἐπιδέξιον γίνεται, καὶ εὐοδοῦται ἐν χερσὶν αὐ-
τῶν. τότε ἠρωτήσαμεν τοὺς πρεσβυτέρους ἐκείνους, καὶ
οὕτως εἴπαμεν αὐτοῖς. τίς τε ἔθηκεν ὑμῖν γνώμην τὸν οἶκον
τοῦτον οἰκοδομῆσαι. καὶ τὴν χορηγίαν ταύτην καταρτίσα-
σθαι. καὶ τὰ ὀνόματα αὐτῶν ἠρωτήσαμεν αὐτοὺς γνωρίσαι
σοι. ὥστε γράψαι σοι τὰ ὀνόματα τῶν ἀνδρῶν τῶν ἀρχόν-
των αὐτῶν. καὶ τοιοῦτο ῥῆμα ἀπεκρίθησαν ἡμῖν λέγον-
τες. ἡμεῖς ἐσμὲν δοῦλοι τοῦ θεοῦ τοῦ οὐρανοῦ καὶ τῆς γῆς
καὶ οἰκοδομοῦμεν τὸν οἶκον ὃς ἦν ᾠκοδομημένος πρὸ τού-
του ἔτη πολλά. καὶ βασιλεὺς τοῦ ἰσραὴλ μέγας ᾠκοδό-
μησεν αὐτόν. καὶ κατηρτίσατο αὐτὸν αὐτοῖς. ἀφότε δὲ πα-
ρώργισαν οἱ πατέρες ἡμῶν τοῦ θεοῦ τοῦ οὐρανοῦ, ἔδωκεν
αὐτοὺς εἰς χεῖρας ναβουχοδονόσορ βασιλέως βαβυλῶνος
τοῦ χαλδαίου. καὶ τὸν οἶκον τοῦτον κατέλυσε καὶ τὸν λαὸν ἀπώκισεν
εἰς βαβυλῶνα. ἀλλ᾽ ἐν ἔτει πρώτῳ κύρου τοῦ βασιλέως, κύ-
ρος ὁ βασιλεὺς ἔθετο γνώμην τὸν οἶκον τοῦ θεοῦ τοῦτον
οἰκοδομηθῆναι καὶ τὰ σκεύη τοῦ οἴκου τοῦ θεοῦ τὰ χρύ-
σια καὶ τὰ ἀργυρᾶ ἃ ναβουχοδονόσορ ἐξήνεγκεν ἀπὸ

τοῦ οἴκου τοῦ ἐν ἱερουσαλὴμ· καὶ ἀπήνεγκεν αὐτὰ εἰς τὸν ναὸν τοῦ
βασιλέως· ἐξήνεγκεν αὐτὰ κῦρος ὁ βασιλεὺς ἀπὸ τοῦ ναοῦ τοῦ
βασιλέως, καὶ ἔδωκε τῷ σαναβασάρῳ τῷ θησαυροφύλακι, τῷ
ἐπὶ τοῦ θησαυροῦ· καὶ εἶπεν αὐτῷ, πάντα τὰ σκεύη λάβε· καὶ πο-
ρεύου· θὲς αὐτὰ ἐν τῷ οἴκῳ τῷ ἐν ἱερουσαλὴμ· εἰς τὸν τόπον αὐ-
τῶν. τότε σαναβασὰρ ἐκεῖνος ἦλθε καὶ ἔδωκε θεμελίους τοῦ
οἴκου τοῦ θεοῦ ἐν ἱερουσαλὴμ· καὶ ἀπὸ τότε ἕως τοῦ νῦν ᾠκοδομή-
θη καὶ οὐκ ἐτελέσθη· καὶ νῦν, ᾠκοδομήθη καὶ οὐκ ἐτελέσθη· καὶ νῦν
εἰ ἐπὶ τὸν βασιλέα ἀγαθὸν ἐπισκεπτέτω ἐν τῷ οἴκῳ τῆς γάζης τοῦ
βασιλέως βαβυλῶνος, ὅπως γνῷς ὅτι ἀπὸ τοῦ βασιλέως κύ-
ρου ἐτέθη γνώμη οἰκοδομῆσαι τὸν οἶκον τοῦ θεοῦ ἐκεῖνον τὸν ἐν ἱε-
ρουσαλὴμ, καὶ γνοὺς ὁ βασιλεὺς περὶ τούτου, πεμψάτω πρὸς
ἡμᾶς.

## Κεφάλαιον. ϛ. 6.

λβ Τότε δαρεῖος ὁ βασιλεὺς ἔθηκε γνώμην καὶ ἐπεσκέψα-
το ἐν ταῖς βιβλιοθήκαις ὅπου ἡ γάζα κεῖται ἐν βαβυλῶνι·
καὶ εὑρέθη ἐν ἀμαθὰ πόλει ἐν τῇ βάρει τῶν μήδων πόλεως κεφα-
λὶς μία· καὶ τοῦτο ἦν γεγραμμένον ἐν αὐτῇ ὑπόμνημα. Ἐν ἔτει
πρώτῳ κύρου βασιλέως· κῦρος ὁ βασιλεὺς ἔθηκε γνώμην πε-
ρὶ οἴκου τοῦ θεοῦ τοῦ ἐν ἱερουσαλήμ. Οἶκος οἰκοδομηθήτω, καὶ
τόπος οὗ θυσιάζουσι τὰ θυσιάσματα· καὶ ἔθηκεν ἔπαρμα ὕψος
πήχεις ἑξήκοντα· πλάτος αὐτοῦ πήχεων ἑξήκοντα· καὶ δόμοι λί-
θινοι κραταιοὶ τρεῖς· καὶ δόμος ξύλινος εἷς· καὶ ἡ δαπάνη ἐξ
οἴκου τοῦ βασιλέως δοθήσεται· καὶ τὰ σκεύη οἴκου τοῦ θεοῦ τὰ ἀρ-
γυρᾶ καὶ τὰ χρυσᾶ ἃ ναβουχοδονόσορ ἐξήνεγκεν ἀπὸ τοῦ οἴκου
τοῦ ἐν ἱερουσαλὴμ· καὶ ἐκόμισαν εἰς βαβυλῶνα καὶ δοθήτω
καὶ ἀπελθέτω εἰς τὸν ναὸν τὸν ἐν ἱερουσαλὴμ, ἐπὶ τόπου οὗ ἐ-
τέθη ἐν οἴκῳ τοῦ θεοῦ. νῦν δώσετε ἔπαρχοι πέραν τοῦ ποταμοῦ μα-
κρὰν ὄντες σαθαρβουζαναί, καὶ οἱ σύνδουλοι αὐτῶν ἀφαρσαχαῖοι οἱ
ἐν τῷ πέραν τοῦ ποταμοῦ μακρὰν ὄντες ἐκεῖθεν, καὶ νῦν ἄφετε τὸ ἔρ-

γον οἴκου τοῦ θεοῦ οἱ ἀφηγούμενοι τῶν ἰουδαίων. καὶ οἱ πρεσβύτεροι τῶν
ἰουδαίων οἶκον τοῦ θεοῦ ἐκεῖνον οἰκοδομήθησαν ἐπὶ τοῦ τόπου αὐτοῦ.
καὶ ἀπ᾽ ἐμοῦ γνώμη ἐτέθη μήποτε τί ποιήσητε μετὰ τῶν πρεσβυ
τέρων τῶν ἰουδαίων τοῦ οἰκοδομηθῆναι οἶκον τοῦ θεοῦ ἐκεῖνον. καὶ
ἀπὸ ὑπαρχόντων βασιλέως τῶν φόρων πέραν τοῦ ποταμοῦ. ἐ
πιμελῶς δαπάνη ἔστω διδομένη τοῖς ἀνδράσιν ἐκείνοις τὸ μὴ
καταργηθῆναι. καὶ ὃ ἂν ὑστέρημα καὶ υἱοὺς βοῶν καὶ κριῶν καὶ ἀ
μνοὺς εἰς ὁλοκαυτώσεις τῷ θεῷ τοῦ οὐρανοῦ. πυροὺς. ἅλας οἶ
νον ἔλαιον κατὰ τὸ ῥῆμα τῶν ἱερέων τῶν ἐν ἱερουσαλήμ. ἔστω δι
δόμενον αὐτοῖς ἡμέραν ἐξ ἡμέρας ὃ ἐὰν αἰτήσωσιν ἵνα ὦσιν
εὐωδίας προσφέροντες τῷ θεῷ τοῦ οὐρανοῦ. καὶ προσεύχων
ται εἰς ζωὴν τοῦ βασιλέως καὶ τῶν υἱῶν αὐτοῦ. καὶ ἀπ᾽ ἐμοῦ ἐτέ
θη γνώμη ὅτι πᾶς ἄνθρωπος ὃς ἀλλάξει τὸ ῥῆμα τοῦτο, καθαιρε
θήσεται ξύλον ἐκ τῆς οἰκίας αὐτοῦ. καὶ ὠρθωμένος παγήσε
ται ἐπ᾽ αὐτοῦ. καὶ ὁ οἶκος αὐτοῦ τὸ κατ᾽ ἐμὲ ποιηθήσεται. καὶ ὁ
θεὸς οὗ κατασκηνοῖ τὸ ὄνομα ἐκεῖ καταστρέψαι πάντα βασιλέα
καὶ λαὸν ὃς ἐκτενεῖ τὴν χεῖρα αὐτοῦ ἀλλάξαι, καὶ ἀφανίσαι τὸν
οἶκον τοῦ θεοῦ ἐκεῖνον τὸν ἐν ἱερουσαλήμ. ἐγὼ δαρεῖος ἔθηκα γνώ
μην ἐπιμελῶς ἔσται.

λγ' Τότε θαθαναῒ ὁ ἔπαρχος πέραν τοῦ ποταμοῦ σαθαρ
βουζαναῒ, καὶ οἱ σύνδουλοι αὐτοῦ πρὸς ἃ ἀπέστειλε δαρεῖος βα
σιλεὺς οὕτως ἐποίησαν ἐπιμελῶς. καὶ οἱ πρεσβύτεροι τῶν ἰουδαί
ων ᾠκοδόμησαν καὶ οἱ λευῖται ἐν προφητείᾳ τοῦ ἀγγαίου προφή
του, καὶ ζαχαρίου υἱοῦ ἀδδώ. καὶ ἀνῳκοδόμησαν καὶ κατηρτί
σαντο ἀπὸ γνώμης θεοῦ ἰσραὴλ, καὶ ἀπὸ γνώμης κύρου καὶ δα
ρείου καὶ ἀρθασασθὰ βασιλέως περσῶν. καὶ ἐτέλεσαν τὸν οἶκον
τοῦτον ἕως ἡμέρας τρίτης μηνὸς ἀδώρ. ὅ ἐστιν ἔτος ἕκτον τῆς βα
σιλείας δαρείου τοῦ βασιλέως.

λδ' Καὶ ἐποίησαν οἱ υἱοὶ ἰσραήλ. οἱ ἱερεῖς καὶ οἱ λευῖ
ται, καὶ οἱ κατάλοιποι υἱῶν ἀποικεσίας ἐγκαίνια τοῦ οἴκου τοῦ

θεοῦ μετὰ εὐφροσύνης καὶ προσήνεγκαν εἰς τὰ ἐγκαίνια τοῦ οἴ-
κου τοῦ θεοῦ μόσχους ἑκατόν· κριοὺς διακοσίους· ἀμνοὺς τετρακο-
σίους· χιμάῤῥους αἰγῶν ὑπὲρ ἁμαρτίας ὑπὲρ παντὸς ἰσραὴλ
δώδεκα εἰς ἀριθμὸν φυλῶν ἰσραήλ. καὶ ἔστησαν τοὺς ἱερεῖς ἐν
διαιρέσεσιν αὐτῶν· καὶ τοὺς λευίτας ἐν μερισμοῖς αὐτῶν ἐπὶ δου-
λείας οἴκου τοῦ θεοῦ τοῦ ἐν ἱερουσαλήμ· κατὰ τὴν γραφὴν βίβλου
μωϋσῆ· καὶ ἐποίησαν οἱ υἱοὶ τῆς ἀποικεσίας τὸ πάσχα τῇ τεσσαρ-
εσκαιδεκάτῃ τοῦ μηνὸς τοῦ πρώτου· ὅτι ἐκαθαρίσθησαν οἱ ἱερεῖς.
καὶ λευῖται ἕως εἷς, πάντες καθαροὶ καὶ ἔσφαξαν τὸ πάσχα τοῖς πᾶ-
σιν υἱοῖς τῆς ἀποικεσίας καὶ τοῖς ἀδελφοῖς αὐτῶν τοῖς ἱερεῦσι
καὶ ἑαυτοῖς· καὶ ἔφαγον υἱοὶ ἰσραὴλ τὸ πάσχα οἱ ἀπὸ τῆς ἀποικε-
σίας καὶ πᾶς ὁ χωριζόμενος τῆς ἀκαθαρσίας ἐθνῶν τῆς γῆς
πρὸς αὐτοὺς τοῦ ἐκζητῆσαι κύριον θεὸν ἰσραήλ. καὶ ἐποίησαν
τὴν ἑορτὴν τῶν ἀζύμων ἑπτὰ ἡμέρας μετὰ εὐφροσύνης, ὅτι εὐ-
φρανεν αὐτοὺς κύριος. καὶ κς ἀπέστρεψε καρδίαν βασιλέως
ἀσσοὺρ ἐπ' αὐτοὺς κραταιῶσαι τὰς χεῖρας αὐτῶν ἐν ἔργοις
οἴκου τοῦ θεοῦ ἰσραήλ.

λε Κεφάλαιον ζ.

Αἱ μετὰ τὰ ῥήματα ταῦτα ἐν βασιλείᾳ ἀρθασασθὰ
υ βασιλέως περσῶν ἀνέβη ἔσδρας· υἱὸς σαραίου υἱοῦ
ἀζαρίου υἱοῦ χελκία· υἱοῦ σαλούμ· υἱοῦ σαδδοὺκ υἱ-
οῦ ἀχιτώ, υἱοῦ ἀμαρία· υἱοῦ ἐζραΐα υἱοῦ ἐζυία· υἱοῦ βοκκί· υἱοῦ ἀβι-
σουέ· υἱοῦ φινεές· υἱοῦ ἐλεαζάρ· υἱοῦ ἀαρὼν τοῦ ἱερέως τοῦ πρώτου· αὐτὸς
ἔσδρας ἀνέβη ἐκ βαβυλῶνος· καὶ αὐτὸς γραμματεὺς ταχὺς ἐν νό-
μῳ μωϋσῆ ὃν ἔδωκε κύριος ὁ θεὸς ἰσραήλ· καὶ ἔδωκεν αὐτῷ ὁ
βασιλεύς, ὅτι χεὶρ κυρίου θεοῦ αὐτοῦ ἐπ' αὐτὸν ἐν πᾶσιν οἷς ἐζήτει αὐ-
τός· καὶ ἀνέβησαν ἀπὸ τῶν υἱῶν ἰσραὴλ καὶ ἀπὸ τῶν ἱερέων· καὶ ἀπὸ
τῶν λευιτῶν· καὶ οἱ ᾄδοντες καὶ οἱ πυλωροὶ· καὶ ναθινιὶμ, εἰς ἱερου-
σαλὴμ ἐν ἔτει ἑβδόμῳ τοῦ ἀρθασασθὰ τῷ βασιλεῖ· καὶ ἦλθον εἰς
ἱερουσαλὴμ τοῦ μηνὶ τοῦ πέμπτῳ· τοῦτο ἔτος ἕβδομον τοῦ

βασιλεῖ· ὅτι ἐν μιᾷ τοῦ μηνὸς τοῦ πρώτου, αὐτὸς ἐθεμελίωσε τὴν ἀνάβασιν τὴν ἀπὸ βαβυλῶνος· ἐν δὲ τῇ πρώτῃ τοῦ μηνὸς τοῦ πέμπτου ἦλθον εἰς ἱερουσαλήμ· ὅτι χεὶρ θεοῦ αὐτοῦ ἦν ἀγαθὴ ἐπ' αὐτόν, ὅτι ἔσδρας ἔδωκεν ἐν καρδίᾳ αὐτοῦ ζητῆσαι τὸν νόμον καὶ ποιεῖν καὶ διδάσκειν ἐν ἱερουσαλήμ, προστάγματα καὶ κρίματα.

λε' Καὶ αὕτη ἡ διασάφησις τοῦ διατάγματος οὗ ἔδωκεν ἀρθασασθὰ τῷ ἔσδρᾳ τῷ ἱερεῖ τῷ γραμματεῖ βιβλίου λόγων ἐντολῶν κυρίου καὶ προσταγμάτων αὐτοῦ ἐπὶ τὸν ἰσραήλ. Ἀρθασασθὰ βασιλεὺς βασιλέων ἔσδρᾳ γραμματεῖ νόμου κυρίου τοῦ θεοῦ τοῦ οὐρανοῦ τετέλεσται λόγος καὶ ἡ ἀπόκρισις ἀπ' ἐμοῦ ἐτέθη γνώμη ὅτι πᾶς ὁ ἑκουσιαζόμενος ἐν βασιλείᾳ μου ἀπὸ λαοῦ ἰσραὴλ ἱερέων λευιτῶν πορευθῆναι εἰς ἱερουσαλὴμ μετὰ σοῦ πορευθῆναι ἀπὸ προσώπου τοῦ βασιλέως, καὶ τῶν ἑπτὰ συμβούλων ἀπεστάλη ἐπισκέψασθαι ἐπὶ τὴν ἰουδαίαν καὶ ἱερουσαλὴμ νόμῳ θεοῦ αὐτῶν τῷ ἐν χειρί σου· καὶ εἰς οἶκον κυρίου ἀργύριον καὶ χρυσίον ὃ ὁ βασιλεὺς καὶ οἱ σύμβουλοι ἑκουσιάσθησαν τῷ θεῷ τοῦ ἰσραὴλ τῷ ἐν ἱερουσαλὴμ κατασκηνοῦντι καὶ πᾶν ἀργύριον καὶ χρυσίον ὅτι ἂν εὕρῃς ἐν πάσῃ χώρᾳ βαβυλῶνος μετὰ ἑκουσιασμοῦ τοῦ λαοῦ καὶ ἱερέων τῶν ἑκουσιαζομένων εἰς οἶκον τοῦ θεοῦ τὸν ἐν ἱερουσαλήμ· καὶ πάντα προσπορευόμενον τοῦτον ἑτοίμως ἔνταξον ἐν βιβλίῳ τούτῳ, μόσχους, κριούς. ἀμνούς· καὶ θυσίας αὐτῶν καὶ σπονδὰς αὐτῶν· καὶ προσοίσεις αὐτὰ ἐπὶ τοῦ θυσιαστηρίου τοῦ οἴκου τοῦ θεοῦ ἡμῶν, τοῦ ἐν ἱερουσαλήμ· καὶ εἴ τι ἐπὶ σὲ καὶ τοὺς ἀδελφούς σου ἀγαθυνθῇ ἐν καταλοίπῳ τοῦ ἀργυρίου καὶ χρυσίου ποιῆσαι ὡς ἀρεστὸν τῷ θεῷ ἡμῶν ποιήσατε· καὶ τὰ σκεύη τὰ διδόμενά σοι εἰς λειτουργίαν οἴκου τοῦ θεοῦ παράδος ἐνώπιον τοῦ θεοῦ ἐν ἱερουσαλήμ· καὶ τὸ κατάλοιπον χρείας οἴκου θεοῦ σου ὃ ἂν φανῇ σοι δοῦναι δώσεις ἀπὸ οἴκου γάζης βασιλέως· καὶ ἀπ' ἐμοῦ· ἐγὼ ἀρθασασθὰ βασιλεὺς

ἔθηκα γνώμην πάσαις ταῖς γάζαις ταῖς ἐν πέραν τοῦ ποταμοῦ· ὅ-
τι πᾶν ὃ ἂν αἰτήσῃ ὑμᾶς ἔσδρας ὁ ἱερεὺς καὶ γραμματεὺς τοῦ
νόμου τοῦ θεοῦ τοῦ οὐρανοῦ ἑτοίμως γινέσθω, ἕως ἀργυρίου τα-
λάντων ἑκατόν. καὶ ἕως πυροῦ κόρων ἑκατόν. καὶ ἕως οἴνου βα-
τῶν ἑκατόν. καὶ ἕως ἐλαίου βατῶν ἑκατόν. καὶ ἅλας οὐκ ἔστι γρα-
φή. πᾶν ὅ ἐστιν ἐν γνώμῃ τοῦ θεοῦ τοῦ οὐρανοῦ γινέσθω. προσέχετε μή-
τις ἐπιχειρήσῃ εἰς τὸν οἶκον θεοῦ τοῦ οὐρανοῦ μήποτε γένηται ὀρ-
γὴ ἐπὶ τὴν βασιλείαν τοῦ βασιλέως καὶ τῶν υἱῶν αὐτοῦ. καὶ ὑμῖν
ἐγνώρισται ἐν πᾶσι τοῖς ἱερεῦσι καὶ τοῖς λευίταις ᾄδουσι πυ-
λωροῖς. ναθινείμ. καὶ λειτουργοῖς οἴκου θεοῦ τούτου φόρος μὴ ἔ-
στω σοι. οὐκ ἐξουσιάσεις καταδουλοῦσθαι αὐτούς. καὶ σὺ ἔσδρα
ὡς ἡ σοφία τοῦ θεοῦ ἐν χειρί σου κατάστησον γραμματεῖς, καὶ
κριτὰς ἵνα ὦσι κρίνοντες παντὶ τῷ λαῷ τῷ ἐν πέραν τοῦ ποτα-
μοῦ πᾶσι τοῖς εἰδόσιν νόμον τοῦ θεοῦ σου. καὶ τοῖς μὴ εἰδόσι γνωριεῖ-
τε. καὶ πᾶς ὃς ἂν μὴ ᾖ ποιῶν τὸν νόμον τοῦ θεοῦ καὶ τὸν νόμον τοῦ
βασιλέως. ἑτοίμως τὸ κρίμα ἔσται γινόμενον ἐξ αὐτοῦ. ἐάν τε εἰς
θάνατον, ἐάν τε εἰς παιδείαν ἐάν τε εἰς ζημίαν τοῦ βίου. ἐάν τε
εἰς δεσμά.

λζ' Εὐλογητὸς κύριος ὁ θεὸς τῶν πατέρων ἡμῶν, ὃς ἔ-
δωκεν ἐν καρδίᾳ τοῦ βασιλέως οὕτως τοῦ δοξάσαι τὸν οἶκον κυ-
ρίου τὸν ἐν ἱερουσαλήμ. καὶ ἐπ' ἐμὲ ἔκλινεν ἔλεος ἐν ὀφθαλμοῖς
τοῦ βασιλέως καὶ τῶν συμβούλων αὐτοῦ. καὶ πάντων τῶν ἀρ-
χόντων τοῦ βασιλέως. τῶν ἐπηρμένων.

λή Καὶ ἐγὼ ἐκραταιώθην ὡς χεὶρ θεοῦ ἡ ἀγαθὴ ἐπ' ἐ-
μέ. καὶ συνῆξα ἀπὸ ἰσραὴλ ἄρχοντας ἀναβῆναι μετ' ἐμοῦ.

κεφάλαιον η'. ς.

Καὶ οὗτοι οἱ ἄρχοντες πατριῶν αὐτῶν οἱ ὁδηγοὶ ἀνα-
α βαίνοντες μετ' ἐμοῦ ἐν βασιλείᾳ ἀρθασασθὰ τοῦ βα-
σιλέως βαβυλῶνος. ἀπὸ υἱῶν φινεὲς γηρσώμ. ἀπὸ υἱ-
ῶν ἰθάμαρ δανιήλ. ἀπὸ υἱῶν δαυὶδ ἀττούς. ἀπὸ υἱῶν σεχανία. ἀπὸ

υἱῶν φόρος ζαχαρίας· καὶ μετ' αὐτοῦ τὸ σύστρεμμα ἑκατὸν πεν-
τήκοντα. ἀπὸ υἱῶν φααθμωὰβ ἐλιανὰ υἱὸς σαραΐα καὶ μετ' αὐ-
τοῦ διακόσιοι τὰ ἀρσενικά. καὶ ἀπὸ υἱῶν ζαθόης ἐχενίας υἱὸς ἀ-
ζιὴλ καὶ μετ' αὐτοῦ τριακόσια τὰ ἀρσενικά. καὶ ἀπὸ τῶν υἱῶν
ἀδδὶν ὠβὴν υἱὸς ἰωνάθαν καὶ μετ' αὐτοῦ πεντήκοντα τὰ ἀρσε-
νικά. καὶ ἀπὸ υἱῶν αἰλάμ. ἠσαΐας υἱὸς ἀθελία. καὶ μετ' αὐτοῦ ἑ-
βδομήκοντα τὰ ἀρσενικὰ καὶ ἀπὸ υἱῶν σαφατία ζαβδίας υἱ-
ὸς μιχαὴλ καὶ μετ' αὐτοῦ ὀγδοήκοντα τὰ ἀρσενικά. καὶ ἀπὸ υἱ-
ῶν ἰωὰβ ἀβδία υἱὸς ἰεϊὴλ. καὶ μετ' αὐτοῦ διακόσιοι δεκαοκτὼ τὰ
ἀρσενικὰ καὶ ἀπὸ τῶν υἱῶν βαανὶ σελιμοὺθ ἰωσεφία. καὶ μετ' αὐτοῦ
ἑκατὸν ἑξήκοντα τὰ ἀρσενικά. καὶ ἀπὸ υἱῶν βαβὶ ζαχαρίας υἱ-
ὸς βαβεί. καὶ μετ' αὐτοῦ εἴκοσι ὀκτὼ, τὰ ἀρσενικά. καὶ ἀπὸ υἱ-
ῶν ἀσγὰδ. ἰωνὰν υἱὸς ἀκατάν. καὶ μετ' αὐτοῦ ἑκατὸν δέκα τὰ
ἀρσενικὰ, καὶ ἀπὸ υἱῶν ἀδωνικὰμ ἔσχατοι καὶ ταῦτα τὰ ὀνόμα-
τα αὐτῶν ἐλιφαλὰτ ἰεὴλ καὶ σαμμαΐα καὶ μετ' αὐτῶν ἑξήκον-
τα τὰ ἀρσενικά. καὶ ἀπὸ υἱῶν βαγουαὶ οὐθαὶ καὶ ζαβούδ. καὶ μετ'
αὐτοῦ ἑβδομήκοντα τὰ ἀρσενικά. καὶ συνῆξα αὐτοὺς πρὸς πο-
ταμὸν τὸν ἐρχόμενον πρὸς τὸν εὐΐ. καὶ παρενεβάλομεν ἐκεῖ ἡμέ-
ρας τρεῖς. καὶ συνῆκα ἐν τῷ λαῷ καὶ ἐν τοῖς ἱερεῦσι. καὶ ἀπὸ υἱῶν
λευὶ οὐχ εὗρον ἐκεῖ καὶ ἀπέστειλα τῷ ἐλεάζαρ. τῷ ἀριὴλ τῷ σε-
μεΐα καὶ τῷ μαωνὰν καὶ τῷ ἰαρίβ. καὶ τῷ ἐλναθάμ. καὶ τῷ νάθαν
καὶ τῷ ζαχαρίᾳ, καὶ τῷ μεσαλάμ. καὶ τῷ ἰωρεὶμ, καὶ τῷ ἐλνα-
θὰν συνιέντας καὶ ἐξήνεγκα αὐτοὺς ἐπὶ ἄρχοντας ἐν ἀργυρίῳ τοῦ τό-
που καὶ ἔθηκα ἐν στόματι αὐτῶν λόγους λαλῆσαι πρὸς τοὺς ἀ-
δελφοὺς αὐτῶν τῶν ἀθινείμ, ἐν ἀργυρίῳ τόπου τοῦ ἐνέγκαι ἡμῖν
ᾄδοντας εἰς οἶκον θεοῦ ἡμῶν. καὶ ἤλθοσαν ἡμῖν ὡς χεὶρ θεοῦ ἡ-
μῶν ἀγαθὴ ἐφ' ἡμᾶς ἀνὴρ σαχῶν ἀπὸ υἱῶν μοολὶ τοῦ λευὶ τοῦ
ἰσραήλ. καὶ ἀρχὴν ἦλθον οἱ υἱοὶ αὐτοῦ καὶ ἀδελφοὶ αὐτοῦ δε-
καοκτώ. καὶ τὸν ἀσεβία. καὶ τὸν ἡσαΐα ἀπὸ τῶν υἱῶν μεραρί. ἀδελ-
φοὶ αὐτοῦ καὶ υἱοὶ αὐτοῦ εἴκοσι καὶ ἀπὸ τῶν ναθινείμ. ὧν ἔδωκε δα-

δαδ καὶ οἱ ἄρχοντες εἰς δουλείαν τῶν λευιτῶν ναθινεὶμ, διακό-
σιοι εἴκοσι πάντες συνήχθησαν ἐν ὀνόμασι καὶ ἐκάλεσα ἐκεῖ-
νηστείαν ἐπὶ τὸν ποταμὸν ἀοὺρ τοῦ ταπεινωθῆναι ἐνώπιον τοῦ θεοῦ ἡ-
μῶν ζητῆσαι παρ' αὐτοῦ ὁδὸν εὐθεῖαν ἡμῖν καὶ τοῖς τέκνοις ἡμῶν,
καὶ πάσῃ τῇ κτήσει ἡμῶν ὅτι ἰσχύνθην αἰτήσασθαι περὶ τοῦ βα-
σιλέως δύναμιν καὶ ἱππεῖς σῶσαι ἡμᾶς· ἀπὸ ἐχθροῦ ἐν τῇ ὁ-
δῷ· ὅτι εἴπομεν τῷ βασιλεῖ λέγοντες· χεὶρ τοῦ θεοῦ ἡμῶν ἐπὶ
πάντας τοὺς ζητοῦντας αὐτὸν εἰς ἀγαθὸν καὶ κράτος αὐτοῦ, καὶ
θυμὸς αὐτοῦ ἐπὶ πάντας τοὺς ἐγκαταλείποντας αὐτόν· καὶ
ἐνηστεύσαμεν καὶ ἐζητήσαμεν παρὰ τοῦ θεοῦ ἡμῶν περὶ τού-
του· καὶ ἐπήκουσεν ἡμῖν καὶ διέστειλα ἀπὸ ἀρχόντων ἱερέων
δώδεκα· τῷ σαραίᾳ τῷ ἀσαβίᾳ· καὶ μετ' αὐτῶν ἀπὸ ἀδελ-
φῶν αὐτῶν δέκα· καὶ ἔστησα αὐτοῖς τὸ ἀργύριον καὶ τὸ χρυσίον
καὶ τὰ σκεύη ἀπ' ἀρχῆς οἴκου θεοῦ ἡμῶν ἃ ὕψωσεν ὁ βασιλεὺς
καὶ οἱ σύμβουλοι αὐτοῦ καὶ οἱ ἄρχοντες αὐτῆς, καὶ πᾶς ἰσρα-
ὴλ οἱ εὑρισκόμενοι· καὶ ἔστησα ἐπὶ χεῖρας αὐτῶν ἀργυρίου τά-
λαντα ἑξακόσια πεντήκοντα· καὶ σκεύη ἀργυρᾶ ἑκατόν· καὶ τά-
λαντα χρυσίου ἑκατόν· καὶ χαφουροὶ χρυσοῖ εἴκοσιν εἰς τὴν ὁ-
δὸν δραχμῶν χιλίων· καὶ σκεύη χαλκοῦ στίλβοντος ἀγαθοῦ δι-
άφορα ἐπιθυμητὰ ἐν χρυσίῳ καὶ εἶπα πρὸς αὐτοὺς ὑμεῖς ἅγιοι
κυρίῳ τῷ θεῷ καὶ τὰ σκεύη ἅγια καὶ τὸ ἀργύριον καὶ τὸ χρυσί-
ον ἑκούσια τῷ κυρίῳ θεῷ τῶν πατέρων ἡμῶν· ἀγρυπνεῖτε καὶ
τηρεῖτε ἕως στῆτε ἐνώπιον τῶν ἀρχόντων τῶν ἱερέων, καὶ τῶν λευιτῶν
ἀρχόντων τῶν πατριῶν ἐν ἱερουσαλήμ· εἰς σκηνὰς οἴκου κυρίου·
καὶ ἐδέξαντο οἱ ἱερεῖς καὶ οἱ λευῖται σταθμὸν τοῦ ἀργυρίου καὶ τοῦ
χρυσίου, καὶ τῶν σκευῶν ἐνεγκεῖν εἰς ἱερουσαλὴμ εἰς οἶκον τοῦ
θεοῦ ἡμῶν· καὶ ἐξήραμεν ἀπὸ τοῦ ποταμοῦ τοῦ δαουὲς ἐν δωδε-
κάτῃ τοῦ μηνὸς τοῦ πρώτου τοῦ ἐλθεῖν εἰς ἱερουσαλήμ· καὶ χεὶρ
θεοῦ ἡμῶν ἐφ' ἡμῖν· καὶ ἐρρύσατο ἡμᾶς ἐκ χειρὸς ἐχθροῦ καὶ
πολεμίου ἐν τῇ ὁδῷ· καὶ ἤλθομεν εἰς ἱερουσαλήμ, καὶ ἐκαθί-

σαμεν ἐκεῖ ἡμέρας τρεῖς. καὶ ἐγενήθη τῇ ἡμέρᾳ τῇ τετάρτῃ ἐ-
στήσαμεν τὸ ἀργύριον καὶ τὸ χρυσίον καὶ τὰ σκεύη ἐν οἴκῳ τοῦ
θεοῦ ἡμῶν ἐπὶ χεῖρα μαρειμὼθ, υἱοῦ οὐρία τοῦ ἱερέως καὶ μετ᾽ αὐ-
τοῦ ἐλεάζαρ υἱὸς φινεὲς καὶ μετ᾽ αὐτῶν ἰωζαβὰδ, υἱὸς ἰησοῦ. καὶ
νωαδία υἱὸς βαανία οἱ λευῖται. ἐν ἀριθμῷ καὶ ἐν σταθμῷ τὰ πάν-
τα. καὶ ἐγράφη πᾶς ὁ σταθμός.
λθ΄ Ἐν τῷ καιρῷ ἐκείνῳ οἱ ἐλθόντες ἀπὸ τῆς αἰχμα-
λωσίας οἱ υἱοὶ τῆς παροικίας προσήνεγκαν ὁλοκαυτώσεις τῷ
θεῷ ἰσραὴλ μόσχους δώδεκα περὶ παντὸς ἰσραήλ. κριοὺς ἐνενή-
κοντα ἕξ, ἀμνοὺς ἑβδομήκοντα ἑπτὰ χιμάρους περὶ ἁμαρτίας
δώδεκα. τὰ πάντα ὁλοκαυτώματα τῷ κυρίῳ. καὶ ἔδωκαν τὸ
νόμισμα τοῦ βασιλέως τοῖς διοικηταῖς τοῦ βασιλέως, καὶ ἐ-
πάρχοις πέραν τοῦ ποταμοῦ. καὶ ἐδόξασαν τὸν λαὸν καὶ τὸν
οἶκον τοῦ θεοῦ.

## Κεφάλαιον θ΄. 9.

Αἰ ὡς ἐτελέσθη ταῦτα, ἤγγισαν πρός με οἱ ἄρχοντες
κ λέγοντες. οὐχ ἐχωρίσθη ὁ λαὸς ἰσραὴλ, καὶ οἱ ἱε-
ρεῖς, καὶ οἱ λευῖται ἀπὸ λαῶν τῶν γαιῶν ἐν μακρύμμα-
σιν αὐτῶν τῷ χανανί. ὁ ἐθθὶ ὁ φερεζὶ ὁ ἰεβουσί. ὁ ἀμμανί. ὁ μωα-
βί. καὶ ὁ ἀμμωρί. οἱ ἐλάβοσαν ἀπὸ θυγατέρων αὐτῶν ἑαυτοῖς καὶ
τοῖς υἱοῖς αὐτῶν. καὶ ἐπαρήχθη σπέρμα τὸ ἅγιον ἐν λαοῖς τῶν γαι-
ῶν, καὶ χεὶρ τῶν ἀρχόντων ἐν τῇ ἀσυνθεσίᾳ ταύτῃ ἐν ἀρχῇ.
καὶ ὡς ἤκουσα τῶν λόγων τούτων διέρρηξα τὰ ἱμάτιά μου καὶ
ἐπαλλόμην. καὶ ἔτιλλον τὰς τρίχας τῆς κεφαλῆς μου. καὶ ἀπὸ τοῦ
πώγωνός μου. καὶ ἐκαθήμην ἠρεμάζων.
μ΄ Καὶ συνήχθησαν πρός με πᾶς διώκων λόγον θε-
οῦ ἰσραήλ. ἐπὶ ἀσυνθεσίᾳ τῆς ἀποικεσίας. κἀγὼ καθήμε-
νος ἠρεμάζων ἕως τῆς θυσίας τῆς ἑσπερινῆς καὶ ἐν θυσίᾳ τῇ
ἑσπερινῇ. ἀνέστην ἀπὸ τῆς ταπεινώσεώς μου. καὶ ἐν τῷ δι-
ερρῆξαί με τὰ ἱμάτιά μου, καὶ ἐπαλλόμην. καὶ κλίνω ἐπὶ τὰ

γόνατά μου καὶ ἐκπετάζω τὰς χεῖράς μου πρὸς κύριον τὸν θεόν, καὶ εἶπα· κύριε ᾐσχύνθην, καὶ ἐνετράπην τοῦ ὑψῶσαι θεέ μου τὸ πρόσωπόν μου, πρὸς σέ, ὅτι αἱ ἀνομίαι ἡμῶν ἐπληθύνθησαν ὑπὲρ κεφαλῆς ἡμῶν· καὶ ἐπιμέλειαι ἡμῶν ἐμεγαλύνθησαν ἕως εἰς τὸν οὐρανόν· ἀπὸ ἡμερῶν πατέρων ἡμῶν ἐσμὲν ἐν πλημμελείᾳ μεγάλῃ ἕως τῆς ἡμέρας ταύτης· καὶ ἐν ταῖς ἀνομίαις ἡμῶν παρεδόθημεν ἡμεῖς, καὶ οἱ βασιλεῖς ἡμῶν καὶ οἱ υἱοὶ ἡμῶν ἐν χειρὶ βασιλέων τῶν ἐθνῶν· ἐν ῥομφαίᾳ καὶ ἐν αἰχμαλωσίᾳ καὶ ἐν διαρπαγῇ καὶ ἐν αἰσχύνῃ προσώπου ἡμῶν ὡς ἡ ἡμέρα αὕτη· καὶ νῦν ἐπιεικεύσατο ἡμῶν κύριος τοῦ καταλιπεῖν ἡμῖν εἰς σωτηρίαν· καὶ δοῦναι ἡμῖν στήριγμα ἐν τόπῳ ἁγιάσματος αὐτοῦ· τοῦ φωτίσαι ὀφθαλμοὺς ἡμῶν· καὶ δοῦναι ζωοποίησιν μικρὰν ἐν τῇ δουλείᾳ ἡμῶν· ὅτι δοῦλοι ἐσμὲν καὶ ἐν τῇ δουλείᾳ ἡμῶν, οὐκ ἐγκατέλιπεν ἡμᾶς κύριος ὁ θεὸς ἡμῶν· καὶ ἔκλινεν ἐφ' ἡμᾶς ἔλεος ἐνώπιον βασιλέων περσῶν δοῦναι ἡμῖν ζωοποίησιν τοῦ ὑψῶσαι αὐτοὺς τὸν οἶκον τοῦ θεοῦ ἡμῶν· καὶ ἀναστῆσαι τὰ ἔρημα αὐτῆς· καὶ τοῦ δοῦναι ἡμῖν φραγμὸν ἐν ἰούδα καὶ ἱερουσαλήμ· τί εἴπωμεν ὁ θεὸς ἡμῶν μετὰ τοῦτο ὅτι ἐγκατελίπομεν ἐντολάς σου ἃς ἔδωκας ἡμῖν· ἐν χειρὶ τῶν προφητῶν λέγων· ἡ γῆ εἰς ἣν εἰσπορεύεσθε ἐκεῖ κληρονομῆσαι αὐτήν γῆ μετακινουμένη ἐστὶν ἐν μετακινήσει λαῶν τῶν ἐθνῶν ἐν μακρύμασιν αὐτῶν, ὧν ἔπλησαν αὐτὴν ἀπὸ στόματος ἐπὶ στόμα ἐν ἀκαθαρσίαις αὐτῶν· καὶ νῦν τὰς θυγατέρας ὑμῶν μὴ δότε τοῖς υἱοῖς αὐτῶν καὶ ἀπὸ τῶν θυγατέρων αὐτῶν μὴ λάβητε τοῖς υἱοῖς ἡμῶν, καὶ οὐκ ἐκζητήσετε εἰρήνην αὐτῶν, καὶ ἀγαθὸν αὐτῶν ἕως αἰῶνος ὅπως ἐνισχύσητε, καὶ φάγητε τὰ ἀγαθὰ τῆς γῆς, καὶ κληροδοτήσητε τοῖς υἱοῖς ὑμῶν ἕως τοῦ αἰῶνος, καὶ μετὰ πᾶν τὸ ἐρχόμενον ἐφ' ἡμᾶς ἐν ποιήμασιν ἡμῶν, τοῖς πονηροῖς καὶ ἐν πλημμελείᾳ ἡμῶν τῇ μεγάλῃ, ὅτι οὐκ ἔστιν ὡς ὁ θεὸς ἡμῶν, ὅτι ἐκούφισας ἡμῶν τὰς ἀνομίας, καὶ ἔδωκας ἡμῖν σωτηρίαν· ὅτι ἐπεστρέ-

ψαμεν

ψαμεν διασκεδάσαι ἐντολάς σου, καὶ ἐπιγαμβρεῦσαι τοῖς λα-
οῖς τῶν γαιῶν, μὴ παροξυνθῇς ἐν ἡμῖν ἕως συντελείας τοῦ μὴ
εἶναι ἐγκατάλειμμα, καὶ διασωζόμενον κύριε ὁ θεὸς ἰσραὴλ δί-
καιος σύ, ὅτι κατελείφθημεν διασωζόμενοι. ὡς ἡ ἡμέρα αὕτη
ἰδοὺ ἡμεῖς πάντες ἐναντίον σου ἐν πλημμελείαις ἡμῶν. ὅτι οὐκ
ἔστι στῆναι ἐνώπιόν σου ἐπὶ τούτῳ.

Κεφάλαιον ι. 10

μά. Αὶ ὡς προσηύξατο ἔσδρας, καὶ ὡς ἐξηγόρευσε κλαί-
κ ων καὶ προσευχόμενος ἐνώπιον οἴκου τοῦ θεοῦ συν-
ήχθησαν πρὸς αὐτὸν ἀπὸ ἰσραὴλ ἐκκλησία πολλὴ
σφόδρα ἄνδρες καὶ γυναῖκες καὶ νεανίσκοι, ὅτι ἔκλαυσεν
ὁ λαός. καὶ ὕψωσε κλαίων. καὶ ἀπεκρίθη σεχονίας ἱὸς ἰεὴλ ἀ-
πὸ τῶν ἠλάμ. καὶ εἶπε τῷ ἔσδρᾳ ἡμεῖς ἠσυνθετήσαμεν τῷ
θεῷ ἡμῶν. καὶ ἐκαθίσαμεν γυναῖκας ἀλλοτρίας ἀπὸ τῶν λα-
ῶν τῆς γῆς. καὶ νῦν ἐστιν ὑπομονὴ τῷ ἰσραὴλ ἐπὶ τούτῳ. καὶ
νῦν διαθώμεθα διαθήκην τῷ θεῷ ἡμῶν ἐκβαλεῖν πάσας τὰς
γυναῖκας, καὶ τὰ γενόμενα ἐξ αὐτῶν, ὡς ἂν βούλῃ. ἀνάστηθι
καὶ φοβέεσον αὐτοὺς ἐν ἐντολαῖς θεοῦ ἡμῶν. καὶ ὡς ὁ νό-
μος γενηθήτω ἀνάστηθι, ἐπὶ σὲ τὸ ῥῆμα καὶ ἡμεῖς μετὰ σοῦ.
κραταιοῦ καὶ ποίησον. καὶ ἀνέστη ἔσδρας καὶ ὥρκισε τοὺς ἄρ-
χοντας τοὺς ἱερεῖς καὶ λευίτας καὶ πάντα ἰσραὴλ τοῦ ποιῆσαι
κατὰ τὸ ῥῆμα τοῦτο, καὶ ὤμοσαν, καὶ ἀνέστη ἔσδρας ἀπὸ προ-
σώπου οἴκου τοῦ θεοῦ. καὶ ἐπορεύθη εἰς γαζοφυλάκιον ἰωνὰν υἱ-
οῦ ἐλιασύβ, καὶ ηὐλίσθη ἐκεῖ. ἄρτον οὐκ ἔφαγεν καὶ ὕδωρ οὐκ ἔ-
πιεν, ὅτι ἐπένθει ἐπὶ τῇ ἀσυνθεσίᾳ τῆς ἀποικίας, καὶ παρήνε-
γκαν φωνὴν ἐν ἰουδαίᾳ, καὶ ἐν ἱερουσαλήμ. πᾶσι τοῖς υἱοῖς τῆς ἀ-
ποικίας τοῦ συναθροισθῆναι εἰς ἱερουσαλήμ. πᾶς ὃς ἂν μὴ ἔλθῃ
εἰς τρεῖς ἡμέρας ὡς ἂν ἡ βουλὴ τῶν ἀρχόντων καὶ τῶν πρεσβυ-
τέρων ἀνατεματισθήσεται πᾶσα ἡ ὕπαρξις αὐτοῦ. καὶ αὐτὸς
διαπελύσεται ἀπὸ ἐκκλησίας τῆς ἀποικίας. καὶ συνήχθησαν

πάντες ἄνδρες ἰούδα καὶ βενιαμὶν εἰς ἱερουσαλὴμ εἰς τὰς τρεῖς
ἡμέρας· οὗτος ὁ μὴν ὁ ἔνατος ἐν εἰκάδι τοῦ μηνὸς ἐκάθισε
πᾶς ὁ λαὸς ἐν πλατείᾳ οἴκου τοῦ θεοῦ ἀπὸ τοῦ θορύβου αὐτῶν
περὶ τοῦ ῥήματος, καὶ ἀπὸ τοῦ χειμῶνος· καὶ ἀνέστη ἔσδρας ὁ ἱ-
ερεὺς, καὶ εἶπε πρὸς αὐτούς· ὑμεῖς ἠσυνθετήκατε καὶ ἐκαθίσα-
τε γυναῖκας ἀλλοτρίας τοῦ προσθεῖναι ἐπὶ πλημμέλειαν ἱερου-
σαλήμ· καὶ νῦν δότε αἴνεσιν κυρίῳ θεῷ τῶν πατέρων ἡμῶν·
καὶ ποιήσατε τὸ ἀρεστὸν ἐνώπιον αὐτοῦ, καὶ διαστάλητε ἀπὸ λα-
ῶν τῆς γῆς ἀπὸ γυναικῶν τῶν ἀλλοτρίων· καὶ ἀπεκρίθησαν πᾶ-
σα ἡ ἐκκλησία φωνῇ μεγάλῃ, καὶ εἶπον· μέγα τοῦτο τὸ ῥῆμά
σου ἐφ' ἡμᾶς ποιῆσαι· ἀλλὰ ὁ λαὸς πολὺς καὶ ὁ καιρὸς χειμε-
ρινὸς, καὶ οὐκ ἔστι δύναμις στῆναι ἔξω· καὶ τὸ ἔργον οὐκ εἰς ἡμέ-
ραν μίαν οὐδὲ δύο, ὅτι ἐπληθύναμεν τοῦ ἀθετῆσαι ἐν τῷ ῥήμα-
τι τούτῳ· στήτωσαν δὲ οἱ ἄρχοντες ἡμῶν τῇ πάσῃ ἐκκλησίᾳ,
καὶ πᾶσι τοῖς ἐν πόλεσιν ἡμῶν ὃς ἐκάθισε γυναῖκας ἀλλο-
τρίας ἐλθέτωσαν εἰς καιροὺς ἀπὸ συναγωγῶν· καὶ μετ' αὐτῶν
πρεσβύτεροι πόλεως, καὶ πόλεως κριταὶ τοῦ ἀποστρέψαι ὀργὴν
θυμοῦ θεοῦ ἡμῶν ἐξ ἡμῶν περὶ τοῦ ῥήματος τούτου· πλὴν ἰωνάθαν
υἱὸς ἀσαὴλ, καὶ ἰασαίας, υἱὸς θεκωὲ μετ' ἐμοῦ, καὶ μεσολλὰμ
καὶ σαββαθαὶ ὁ λευίτης βοηθῶν αὐτοῖς· καὶ ἐποίησαν οὕτως οἱ
υἱοὶ τῆς ἀποικίας, καὶ διεστάλησαν ἔσδρας ὁ ἱερεὺς καὶ ἄν-
δρες ἄρχοντες πατριῶν τῶν οἴκων, καὶ πάντες ἐν ὀνόμασιν, ὅτι
ἀπέστρεψαν ἐν ἡμέρᾳ μιᾷ τοῦ μηνὸς τοῦ δεκάτου ἐκζητῆσαι τὸ ῥῆ-
μα· καὶ ἐτέλεσαν ἐν πᾶσιν ἀνδράσιν, οἳ ἐκάθισαν γυναῖκας ἀλ-
λοτρίας· ἕως ἡμέρας μιᾶς τοῦ μηνὸς τοῦ πρώτου.

μβ΄ Καὶ εὑρέθησαν ἀπὸ υἱῶν τῶν ἱερέων οἳ ἐκάθισαν γυ-
ναῖκας ἀλλοτρίας ἀπὸ υἱῶν ἰησοῦ υἱοῦ ἰωσεδέκ· ἀδελφοὶ αὐτοῦ
μαασηία, καὶ ἐλιέζερ, καὶ ἰαρείμ· καὶ γαδαλία, καὶ ἔδωκαν χεῖ-
ρα αὐτῶν τοῦ ἐξενέγκαι γυναῖκας ἑαυτῶν, καὶ πλημμελείας
κριὸν ἐκ προβάτων περὶ πλημμελήσεως αὐτῶν· καὶ ἀπὸ υἱῶν

ἐμμὴρ· ἀνανία· καὶ ζαβδία, καὶ ἀπὸ υἱῶν ἠράμ· μασσίας, καὶ
ἐλεία, καὶ σεμαΐα, καὶ ἰωὴλ· καὶ ὀζία· καὶ ἀπὸ υἱῶν πασούρ ἐλι-
ωναιμαμασία, καὶ ἰσμαὴλ καὶ ναθαναὴλ· καὶ ἰωναβὰδ καὶ
ἠλασὰ καὶ ἀπὸ τῶν λευιτῶν ἰωζαβὰδ, καὶ σαμοῦ· καὶ κωλία,
αὐτὸς κωλίτας, καὶ φεθεΐα· καὶ ἰούδας, καὶ ἐλιέζερ, καὶ ἀπὸ τῶν ἀ-
δόντων ἐλισάβ· καὶ ἀπὸ τῶν θυρωρῶν σελμὼν, καὶ τελμὼν, καὶ
ὠδουέ· καὶ ἀπὸ ἰσραὴλ ἀπὸ υἱῶν φόρος ῥαμία· καὶ ἀζία· καὶ μελ-
χία· καὶ μελμὶν· καὶ ἐλιάζαρ· καὶ ἀσαβία· καὶ βαννάια· καὶ ἀ-
πὸ υἱῶν ἠλάμ· μαθθανία· καὶ ζαχαρία· καὶ ἀϊὴλ· καὶ ἀβδία, καὶ
ἱερειμὼθ· καὶ ἠλία· καὶ ἀπὸ υἱῶν· ζαθθουά· ἐλιωηναΐ· ἐλισούβ·
μαθθαναΐ· καὶ ἀρμὼθ· καὶ ζαβάδ· καὶ ὀζιβά· καὶ ἀπὸ υἱῶν βα-
βί· ἰωνὰν, ἀνανία· καὶ ζαβοῦ· καὶ θαλὶ, καὶ ἀπὸ υἱῶν βανὶ μο-
σολλὰμ, καὶ λοὺχ· ἀδαΐας· ἰασούβ, καὶ σαὰλ· καὶ ῥημώθ· καὶ
ἀπὸ υἱῶν φαάθ· μωάβ· ἐδνέ· καὶ χαλὴλ· καὶ βαναΐα· μαασήα·
μαθανία· βεσελὴλ, καὶ βανουΐ, καὶ μανασσῆ, καὶ ἀπὸ υἱῶν ἠ-
ράμ· ἐλιέζερ· ἰεσεΐα μελχία· σαμαΐας· σεμεών· βενιαμίν· μα-
λούχ· σαμαρία· καὶ ἀπὸ υἱῶν ἀσήμ· μεθθαναΐα· μεθθαθά· ζα-
βάδ· ἐλιφάλθ· ἱεραμί· μανασσῆ· σεμεΐ· καὶ ἀπὸ υἱῶν βανεί· βου-
δία· ἀμράμ· καὶ οὐὴλ· βανάια· βαδδαΐα· χελία· οὐουανία· με-
ριμώθ· ἐλιασίβ· μαθθανία, καὶ ἐποίησαν οἱ υἱοὶ βανουΐ· καὶ οἱ
υἱοὶ σεμεΐ· καὶ σελεμίας καὶ ναθὰν, καὶ ἀδαΐας μαχναδά· ἀ-
βουσεσεί· ἀρουεζριὴλ· καὶ σελεμίας· καὶ σαμαρίας· σελ-
λούμ· ἀμαρίας ἰωσήφ· ἀπὸ υἱῶν ναβουΐ· ἐϊὴλ·
μαθθαθίας· ζαβάδ· ζεβεννάς· ἰαδαί· καὶ
ἰωὴλ· καὶ βαναία· πάντες οὗ-
τοι ἔλαβον γυναῖκας
ἀλλοτρίας, καὶ
ἐγέννησαν
ἐξ αὐτῶν υἱούς.

# ΛΟΓΟΙ ΝΕΕΜΙΑ, ΥΙΟΥ ΑΧΑΛΙΑ

Κεφάλαιον α΄. 1.

ΚΑΙ ἐγένετο ἐν μηνὶ χασελεῦ ἔτους
εἰκοστοῦ· καὶ ἐγὼ ἤμην ἐν σουσὰν ἀβ-
βιρᾶ· καὶ ἦλθεν ἀνανὶ εἷς ἀπὸ ἀδελ-
φῶν μου αὐτὸς, καὶ ἄνδρες ἰούδα,
καὶ ἠρώτησα αὐτοὺς περὶ τῶν σω-
θέντων· οἳ κατελείφθησαν ἀπὸ τῆς
αἰχμαλωσίας καὶ περὶ ἱερουσαλὴμ
καὶ εἶπον πρός με οἱ καταλειπόμενοι ἀπὸ τῆς αἰχμαλωσίας ἐ-
κεῖ ἐν τῇ χώρᾳ ἐν πονηρίᾳ μεγάλῃ, καὶ ἐν ὀνειδισμῷ, καὶ τεί-
χη ἱερουσαλὴμ καθῃρημένα, καὶ πύλαι αὐτῆς ἐνεπρήσθησαν ἐν
πυρί. καὶ ἐγένετο ἐν τῷ ἀκοῦσαί με τοὺς λόγους τούτους, ἐκάθισα
καὶ ἔκλαυσα καὶ ἐπένθησα ἡμέρας, καὶ ἤμην νηστεύων, καὶ προ-
σευχόμενος ἐνώπιον τοῦ θεοῦ τοῦ οὐρανοῦ. καὶ εἶπα, μὴ δὴ κύ-
ριε ὁ θεὸς τοῦ οὐρανοῦ, ὁ ἰσχυρὸς καὶ μέγας καὶ φοβερὸς φυλάσ-
σων τὴν διαθήκην, καὶ τὸ ἔλεος τοῖς ἀγαπῶσιν αὐτὸν, καὶ
τοῖς φυλάσσουσι τὰς ἐντολὰς αὐτοῦ. ἔστω δὴ τὸ οὖς σου προσέχον
καὶ οἱ ὀφθαλμοί σου ἀνεῳγμένοι τοῦ ἀκοῦσαι προσευχὴν τοῦ δού-
λου σου ἣν ἐγὼ προσεύχομαι ἐνώπιόν σου σήμερον ἡμέραν καὶ
νύκτα περὶ υἱῶν ἰσραὴλ δούλων σου. καὶ ἐξαγορεύσω ἐπὶ ἁ-
μαρτίαις υἱῶν ἰσραὴλ αἷς ἡμάρτομεν σοι. καὶ ἐγὼ καὶ ὁ οἶκος
τοῦ πατρός μου ἡμάρτομεν διαλύσει διελυσάμεθα πρὸς σὲ καὶ
οὐκ ἐφυλάξαμεν τὰς ἐντολὰς, καὶ τὰ προστάγματα, καὶ τὰ κρί-
ματα ἃ ἐνετείλω τῷ μωϋσῇ παιδί σου. μνήσθητι δὴ τὸν λόγον

ὃν ἐνετείλω τῷ μωϋσῇ παιδί σου λέγων· ἐὰν ἀσυνθετήσητε ὑ-
μεῖς ἐγὼ διασκορπιῶ ὑμᾶς, ἐν τοῖς λαοῖς· καὶ ἐὰν ἐπιστρέψητε
πρός με, καὶ φυλάξητε τὰς ἐντολάς μου, καὶ ποιήσητε αὐτάς·
καὶ ἐὰν ᾖ, ἡ διασπορὰ ὑμῶν ἀπ' ἄκρου τοῦ οὐρανοῦ· ἐκεῖθεν συ-
νάξω αὐτοὺς καὶ εἰσάξω αὐτοὺς εἰς τὸν τόπον ὃν ἐξελεξάμην κα-
τασκηνῶσαι τὸ ὄνομά μου ἐκεῖ· καὶ αὐτοὶ παῖδές σου, καὶ λα-
ός σου οὓς ἐλυτρώσω ἐν τῇ δυνάμει σου τῇ μεγάλῃ, καὶ ἐν τῇ χει-
ρί σου τῇ κραταιᾷ· μηδή· ἀλλὰ ἔσω τὸ οὖς σου προσέχον εἰς τὴν
προσευχὴν τοῦ δούλου σου, καὶ εἰς τὴν προσευχὴν παίδων
σου τῶν θελόντων φοβεῖσθαι τὸ ὄνομά σου· καὶ εὐόδωσον δὴ τῷ
παιδί σου σήμερον, καὶ δὸς αὐτὸν εἰς οἰκτιρμοὺς ἐνώπιον τοῦ ἀν-
δρὸς τούτου, καὶ ἐγὼ ἤμην οἰνοχόος τῷ βασιλεῖ.

Κεφάλαιον β'. 2.

μθ' Αὶ ἐγένετο ἐν μηνὶ νισὰν ἔτους εἰκοστοῦ ἀρθασασθὰ
κ βασιλεῖ· καὶ ἦν ὁ οἶνος ἐνώπιον ἐμοῦ· καὶ ἔλαβον τὸν
οἶνον, καὶ ἔδωκα τῷ βασιλεῖ· καὶ οὐκ ἦν ὁ οἶνος ἐ-
νώπιον ἐμοῦ, καὶ ἔλαβον τὸν οἶνον, καὶ ἔδωκα τῷ βασιλεῖ· καὶ οὐκ
ἦν ἕτερος ἐνώπιον αὐτοῦ· καὶ εἶπέ μοι ὁ βασιλεύς, διὰ τί τὸ πρό-
σωπόν σου πονηρόν, καὶ οὐκ εἶ μεριάζων καὶ οὐκ ἔστι τοῦτο εἰ μὴ πονη-
ρία καρδίας, καὶ ἐφοβήθην σφόδρα, καὶ εἶπα τῷ βασιλεῖ· ὁ βα-
σιλεὺς εἰς τὸν αἰῶνα ζήτω· διὰ τί οὐ μὴ γένηται πονηρὸν τὸ πρό-
σωπόν μου, διότι ἡ πόλις οἶκος μνημείων πατέρων μου ἠρημώ-
θη· καὶ αἱ πύλαι αὐτῆς κατεβρώθησαν ἐν πυρί· καὶ εἶπέ μοι ὁ βα-
σιλεύς· περὶ τίνος τοῦτο σὺ ζητεῖς, καὶ προσηυξάμην πρὸς κύ-
ριον θεὸν τοῦ οὐρανοῦ· καὶ εἶπα τῷ βασιλεῖ· εἰ ἐπὶ τὸν βασι-
λέα ἀγαθόν· καὶ εἰ ἀγαθυνθήσεται ὁ παῖς σου ἐνώπιόν σου, ὥσ-
τε ἐκπέμψαι αὐτὸν ἐν ἰούδα εἰς πόλιν μνημείων πατέρων μου·
καὶ ἀνοικοδομήσω αὐτήν· καὶ εἶπέ μοι ὁ βασιλεύς, καὶ ἡ παλ-
λακὴ ἡ καθημένη ἐχόμενα αὐτοῦ· ἕως πότε ἔσαι ἡ πορεία σου,
καὶ πότε ἐπιστρέψεις, καὶ ἠγαθύνθη ἐνώπιον τοῦ βασιλέως, καὶ

ἀπέστειλέ με, καὶ ἔδωκα αὐτῷ ὅρον καὶ εἶπα τῷ βασιλεῖ· εἰ ἐπὶ τὸν βασιλέα ἀγαθὸν, δότω μοι ἐπιστολὰς πρὸς τοὺς ἐπάρχους πέραν τοῦ ποταμοῦ ὥστε παραγαγεῖν με ἕως ἔλθω ἐπὶ ἰουδὰν· καὶ ἐπιστολὴν ἐπὶ ἀσὰφ φύλακα τοῦ παραδείσου ὅς ἐστι τῷ βασιλεῖ· ὥστε δοῦναί μοι ξύλα στεγάσαι τὰς πύλας καὶ εἰς τὸ τεῖχος τῆς πόλεως, καὶ εἰς οἶκον ὃν εἰσελεύσομαι πρὸς αὐτόν· καὶ ἔδωκέ μοι ὁ βασιλεὺς, ὡς χεὶρ θεοῦ ἡ ἀγαθὴ, καὶ ἦλθον πρὸς τοὺς ἐπάρχους πέραν τοῦ ποταμοῦ· καὶ ἔδωκα αὐτοῖς τὰς ἐπιστολὰς τοῦ βασιλέως, καὶ ἀπέστειλε μετ' ἐμοῦ ὁ βασιλεὺς, ἀρχηγοὺς δυνάμεως, καὶ ἱππεῖς.

μέ· Καὶ ἤκουσε σαναβαλλὰτ, ὁ ἀρωνὶ καὶ τωβία ὁ δοῦλος ὁ ἀμμωνὶ· καὶ πονηρὸν αὐτοῖς ἐγένετο· ὅτι ἥκει ὁ ἄνθρωπος ζητῆσαι ἀγαθὸν τοῖς υἱοῖς ἰσραήλ· καὶ ἦλθον εἰς ἱερουσαλήμ· καὶ ἤμην ἐκεῖ ἡμέρας τρεῖς· καὶ ἀνέστην νυκτὸς ἐγὼ καὶ ἄνδρες ὀλίγοι μετ' ἐμοῦ· καὶ οὐκ ἀπήγγειλα ἀνθρώπῳ. ὅτι ὁ θεὸς δίδωσιν εἰς καρδίαν μου τοῦ ποιῆσαι μετὰ τοῦ ἰσραήλ· καὶ κτῆνος οὐκ ἔστι μετ' ἐμοῦ εἰ μὴ τὸ κτῆνος ὃ ἐγὼ ἐπιβαίνω ἐπ' αὐτῷ· καὶ ἐξῆλθον ἐν πύλῃ τοῦ γωληλὰ πρὸς στόμα πηγῆς τῶν συκῶν, καὶ εἰς πύλην τῆς κοπρίας· καὶ ἤμην συντρίβων ἐν τῷ τείχει ἱερουσαλὴμ ὃ αὐτοὶ καθαιροῦσι, καὶ πύλαι αὐτῆς κατεβρώθησαν πυρί· καὶ παρῆλθον ἐπὶ πύλην τοῦ αἶν, καὶ εἰς κολυμβήθραν τοῦ βασιλέως καὶ οὐκ ἦν τόπος τῷ κτήνει παρελθεῖν ὑποκάτω μου· καὶ ἤμην ἀναβαίνων ἐν τῷ τείχει χειμάῤῥου νυκτός· καὶ ἤμην συντρίβων ἐν τῷ τείχει· καὶ ἤμην ἐν τῇ πύλῃ τῆς φάραγγος καὶ ἐπέστρεψα καὶ οἱ φυλάσσοντες οὐκ ἔγνωσαν τί ἐπορεύθην, καὶ τί ἐγὼ ποιῶ καὶ τοῖς ἰουδαίοις, καὶ τοῖς ἱερεῦσι, καὶ τοῖς ἐντίμοις, καὶ τοῖς στρατηγοῖς τοῖς καταλοίποις τοῖς ποιοῦσι τὰ ἔργα, ἕως τότε οὐκ ἀπήγγειλα· καὶ εἶπα πρὸς αὐτούς· ὑμεῖς βλέπετε τὴν πονηρίαν ταύτην ἐν ᾗ ἐσμὲν ἐν αὐτῇ· πῶς ἱερουσαλὴμ ἔρημος, καὶ αἱ πύλαι αὐτῆς, ἐδόθησαν πυρί· δεῦτε, καὶ διοικοδομήσωμεν τὸ τεῖ-

χος ἱερουσαλὴμ, καὶ οὐκ ἐσόμεθα ἔτι ὄνειδος, καὶ ἀπήγγειλα
αὐτοῖς τὴν χεῖρα τοῦ θεοῦ ἥ ἐστιν ἀγαθὴ ἐπ᾽ ἐμὲ, καὶ τοὺς λόγους
τοῦ βασιλέως οὓς εἶπέ μοι· καὶ εἶπα ἀναστῶμεν καὶ οἰκοδομήσω
μεν· καὶ ἐκραταιώθησαν αἱ χεῖρες αὐτῶν εἰς τὸ ἀγαθὸν, καὶ ἤκου-
σε σαναβαλλὰτ ὁ ἀρωνὶ, καὶ τωβία ὁ δοῦλος ὁ ἀμμωνὶ, καὶ γη-
σὰμ ὁ ἀραβὶ, καὶ ἐξεγέλασαν ἡμᾶς· καὶ ἦλθον ἐφ᾽ ἡμᾶς· καὶ εἶπον
τί τὸ ῥῆμα ὃ ὑμεῖς ποιεῖτε, ἦ πρὸς τὸν βασιλέα ὑμεῖς ἀποστατεῖτε;
μς΄ Καὶ ἐπέστρεψα αὐτοῖς λόγον καὶ εἶπα αὐτοῖς· ὁ θε-
ὸς τοῦ οὐρανοῦ αὐτὸς εὐοδώσει ἡμῖν· καὶ ἡμεῖς δοῦλοι αὐτοῦ
καθαροὶ, καὶ οἰκοδομήσομεν· καὶ ὑμῖν οὐκ ἔστι μερὶς καὶ δικαι-
οσύνη καὶ μνημόσυνον ἐν ἱερουσαλήμ.

Κεφάλαιον γ΄. 3.

μζ΄. Καὶ ἀνέστη ἐλιασοὺβ ὁ ἱερεὺς ὁ μέγας, καὶ οἱ ἀδελ-
φοὶ αὐτοῦ οἱ ἱερεῖς· καὶ ᾠκοδόμησαν τὴν πύλην τὴν προβατι-
κήν· αὐτοὶ ἁγίασαν αὐτὴν καὶ ἔστησαν θύρας αὐτῆς· καὶ ἕως πύρ-
γου τῶν ἑκατὸν ἡγίασαν· ἕως πύργου ἀναμεὴλ.
μή Καὶ ἐπὶ χεῖρας ἀνδρῶν ἱεριχώ· καὶ ἐπὶ χεῖρας υἱῶν ζακχοῦ· υἱ-
οῦ ἀμανί· καὶ τὴν πύλην τὴν ἰχθυηρὰν ᾠκοδόμησαν υἱοὶ ἀσανά
αὐτοὶ ἐστέγασαν αὐτήν· καὶ ἐστέγασαν θύρας αὐτῆς καὶ κλεῖθρα αὐ-
τῆς· καὶ μοχλοὺς αὐτῆς καὶ ἐπὶ χεῖρας αὐτῶν κατέσχον ἀ-
πὸ ῥαμὼθ, υἱοῦ οὐρία· υἱοῦ ἀκκῶς, καὶ ἐπὶ χεῖρα αὐτῶν κατέ-
σχε μοσολλὰμ, υἱὸς βραχίου· υἱοῦ μαζεβὴλ, καὶ ἐπὶ χεῖρα αὐ-
τῶν κατέσχε σαλανού· υἱὸς βαανά· καὶ ἐπὶ χεῖρα αὐτῶν κατέ-
σχον οἱ θεκωεὶμ, καὶ ἀδωρεὶμ οὐκ εἰσήνεγκαν τράχηλον αὐτῶν εἰς
δουλείαν αὐτῶν, καὶ τὴν πύλην τὴν ἰασαναὶ ἐκράτησαν οἰδὰ, υἱὸς
φασὲκ, καὶ μεσουλάμ· υἱὸς βασωδία αὐτοὶ ἐστέγασαν αὐτὴν
καὶ ἔστησαν θύρας αὐτῆς, καὶ κλεῖθρα αὐτῆς καὶ μοχλοὺς αὐτῆς.
καὶ ἐπὶ χεῖρα αὐτῶν ἐκράτησε μαλτίας ὁ γαβαωνίτης, καὶ
εὐάρων ὁ μηρωνωθίτης· ἄνδρες τῆς γαβαὼν, καὶ τῆς μασφὰ ἕ-
ως θρόνου τοῦ ἄρχοντος τοῦ πέραν τοῦ ποταμοῦ, καὶ παρ᾽ αὐτὸν

παρησφαλίσατο ὁ ἐζιὴλ, υἱὸς ἀραχίου πυρωτῶν, καὶ ἐπὶ χεῖ-
ρα αὐτῶν ἐκράτησεν ἀνανίας ἕως τοῦ ῥωκεείμ, καὶ κατέλι-
πον ἱερουσαλήμ. ἕως τοῦ τείχους τοῦ πλατέος, καὶ ἐπὶ χεῖρα
αὐτῶν ἐκράτησε ῥαφαΐα. υἱὸς σοὺρ ἄρχων ἡμίσους περιχώρου
ἱερουσαλήμ. καὶ ἐπὶ χεῖρας αὐτῶν ἐκράτησεν ἰεδαϊά. υἱὸς ἐρω-
μαμὰθ, καὶ κατέναντι οἰκίας αὐτοῦ, καὶ ἐπὶ χεῖρα αὐτοῦ ἐκράτη-
σεν ἀττούθ. υἱὸς ἀσαβανία. καὶ δεύτερος ἐκράτησε μελχίας. υἱ-
ὸς ἠράμ. καὶ ἀσούβ, υἱὸς φαὰτ μωάβ. καὶ ἕως πύργου τῶν θανα-
ρίμ. καὶ ἐπὶ χεῖρα αὐτοῦ ἐκράτησε σαλλούμ. υἱὸς σαλλώης, ἄρ-
χων ἡμίσους περιχώρου ἱερουσαλήμ, αὐτὸς, καὶ αἱ θυγατέρες
αὐτοῦ τὴν πύλην τῆς φάραγγος ἐκράτησαν ἀνούν. καὶ οἱ κατοι-
κοῦντες ζανῶ αὐτοὶ ᾠκοδόμησαν αὐτήν. καὶ ἔστησαν θύρας αὐ-
τῆς καὶ κλεῖθρα αὐτῆς, καὶ μοχλοὺς αὐτῆς. καὶ χίλιοι πήχεις ἐν
τῷ τείχει ἕως τῆς πύλης τῆς κοπρίας. καὶ τὴν πύλην τῆς κοπρί-
ας ἐκράτησε μελχία, υἱὸς ῥηχὰβ ἄρχων περιχώρου βηθακράμ
αὐτὸς καὶ υἱοὶ αὐτοῦ. καὶ ἐσκέπασαν αὐτὴν, καὶ ἔστησαν θύρας
αὐτῆς. καὶ κλεῖθρα αὐτῆς, καὶ μοχλοὺς αὐτῆς. τὴν δὲ πύλην
τῆς πηγῆς ἠσφαλίσατο σολομὼν υἱὸς χαλεζὲ ἄρχων μέρους τῆς
μασφᾶ. αὐτὸς ἐξῳκοδόμησεν αὐτὴν, καὶ ἐστέγασεν αὐτὴν,
καὶ ἔστησε τὰς θύρας αὐτῆς καὶ μοχλοὺς αὐτῆς. καὶ τὸ τεῖχος κολυμβή-
θρας τῶν κωδίων τῇ κουρᾷ τοῦ βασιλέως καὶ ἕως τῶν κλιμάκων τῶν
καταβαινουσῶν ἀπὸ πόλεως δαβίδ. ὀπίσω αὐτοῦ ἐκράτησεν νε-
εμίας, υἱὸς ζαβοὺχ. ἄρχων ἡμίσους περιχώρου βηθσούρ ἕως κήπου
τάφου δαβίδ. καὶ ἕως τῆς κολυμβήθρας τῆς γεγονυίας, καὶ ἕως
βηθαγαβαρὶμ ὀπίσω αὐτοῦ ἐκράτησαν οἱ λευῖται ῥαούμ υἱὸς
βανεὶμ ἐπὶ χεῖρα αὐτοῦ ἐκράτησεν ἀσαβία ἄρχων ἡμίσους
περιχώρου κεειλὰ τῷ περιχώρῳ αὐτοῦ. καὶ μετ' αὐτὸν ἐ-
κράτησαν ἀδελφοὶ αὐτῶν βενεὶ υἱὸς ἠδανὰδ ἄρχων ἡμίσους
περιχώρου κεειλά. καὶ ἐκράτησεν ἐπὶ χεῖρα αὐτοῦ ἀζοὺρ υἱὸς ἰη-
σοῦ. ἄρχων τοῦ μασφὲ μέτρον δεύτερον πύργου ἀναβάσεως τῆς

συναπτούσης τῆς γωνίας, καὶ μετ' αὐτὸν ἐκράτησε βαρούχ·
υἱὸς ζαβοῦ μέτρον δεύτερον ἀπὸ τῆς γωνίας ἕως θύρας βηθελι-
ασοὺβ τοῦ ἱερέως τοῦ μεγάλου. μετ' αὐτὸν ἐκράτησε μερα-
μώθ. υἱὸς οὐρία υἱοῦ ἀκκὼς μέτρον δεύτερον ἀπὸ θύρας βηθελι-
σοὺβ ἕως ἐκλείψεως βηθελιασοῦ. καὶ μετ' αὐτὸν ἐκράτησαν
οἱ ἱερεῖς ἄνδρες ἀχχεχάρ. καὶ μετ' αὐτὸν ἐκράτησε βενιαμὶν
καὶ ἀσοὺβ, κατέναντι οἴκου αὐτοῦ, καὶ μετ' αὐτὸν ἐκράτησεν ἀ-
ζαρίας υἱὸς μαασίου υἱοῦ ἀνανία ἐχόμενα οἴκου αὐτοῦ. μετ' αὐ-
τὸν ἐκράτησε βανεὶ υἱὸς ἀδὰδ μέτρον δεύτερον ἀπὸ βηθαρία ἕ-
ως τῆς γωνίας καὶ ἕως τῆς κάμπης φαλάχ. υἱοῦ οὐζαὶ ἐξεναν-
τίας τῆς γωνίας, καὶ ὁ πύργος ἐξέχων ἐκ τοῦ οἴκου τοῦ βασι-
λέως ἀνώτερος ὁ τῆς αὐλῆς τῆς φυλακῆς. καὶ μετ' αὐτὸν φα-
δαΐα, υἱὸς φόρος, καὶ οἱ ναθινεὶμ ἦσαν οἰκοῦντες ἐν τῷ ὠφαλ
ἕως κήπου πύλης τοῦ ὕδατος εἰς ἀνατολὰς, καὶ ὁ πύργος ὁ ἐ-
ξέχων. καὶ μετ' αὐτὸν ἐκράτησαν οἱ θεκωεὶ μέτρον δεύτερον
ἐξεναντίας τοῦ πύργου τοῦ μεγάλου τοῦ ἐξέχοντος καὶ ἕως τοῦ
τείχους τοῦ ὀφλὰ ἀνώτερον πύλης τῶν ἵππων ἐκράτησαν οἱ ἱε-
ρεῖς ἀνὴρ ἐξεναντίας οἴκου ἑαυτοῦ. καὶ μετ' αὐτὸν ἐκράτησε
σαδδοὺκ υἱὸς ἐμμὴρ ἐξεναντίας οἴκου ἑαυτοῦ, καὶ μετ' αὐτὸν
ἐκράτησε σαμαΐα, υἱὸς σεχενία φύλαξ τῆς πύλης τῆς ἀνατο-
λῆς. μετ' αὐτὸν ἐκράτησεν ἀνανία, υἱὸς σελεμία, καὶ ἀνώμ,
υἱὸς σελὲφ ὁ ἕκτος μέτρον δεύτερον. μετ' αὐτὸν ἐκράτησε με-
σουλλάμ. υἱὸς βαραχία ἐξεναντίας γαζοφυλακίου αὐτοῦ. μετ'
αὐτὸν ἐκράτησε μελχία. υἱὸς τοῦ σαρεφὶ ἕως βηθαναθινὶ, καὶ
οἱ ῥωποπῶλαι ἀπέναντι πύλης τοῦ ἀμαφεκὰδ, καὶ ἕως ἀναβά-
σεως τῆς κάμπης, καὶ ἀνὰ μέσον τῆς πύλης τῆς προβατικῆς,
ἐκράτησαν οἱ χαλκεῖς, καὶ οἱ ῥωποπῶλαι.

Κεφάλαιον δ΄. 4.

Κ Αὶ ἐγένετο ἡνίκα ἤκουσε σαναβαλλὰτ, ὅτι ἡμεῖς οἰ-
κοδομοῦμεν τὸ τεῖχος, καὶ πονηρὸν ἦν αὐτῷ καὶ

ὠργίσθη ἐπὶ πολὺ, καὶ ἐξεγέλα ἐπὶ τοῖς ἰουδαίοις. καὶ εἶπεν ἐ-
νώπιον τῶν ἀδελφῶν αὐτοῦ. αὕτη ἡ δύναμις σομόρων καὶ εἶπεν
ὅτι οἱ ἰουδαῖοι οὗτοι οἰκοδομοῦσι τὴν ἑαυτῶν πόλιν ἆρα θυσι-
άζουσιν, ἆρα δυνήσονται; καὶ σήμερον ἰάσονται τοὺς λίθους
μετὰ τὸ χῶμα γενέσθαι γῆς καυθέντας; καὶ τωβίας ὁ ἀμανίτης
ἐχόμενα αὐτοῦ ἦλθε, καὶ εἶπον πρὸς ἑαυτούς. μὴ θυσιάζουσιν
ἢ φάγονται ἐπὶ τοῦ τόπου αὐτῶν, οὐχὶ ἀναβήσεται ἀλώπηξ
καὶ καθελεῖ τὸ τεῖχος λίθων αὐτῶν; ἄκουσον ὁ θεὸς ἡμῶν,
ὅτι ἐγενήθημεν εἰς μυκτηρισμὸν, καὶ ἐπίστρεψον ὀνειδισμὸν
αὐτῶν εἰς κεφαλὴν αὐτῶν, καὶ δὸς αὐτοὺς εἰς μυκτηρισμὸν
ἐν γῇ αἰχμαλωσίας. καὶ μὴ καλύψῃς ἐπὶ ἀνομίαν.

μβ΄ Καὶ ἐγένετο ὡς ἤκουσεν σαναβαλλὰτ, καὶ τωβία
καὶ οἱ ἄραβες, καὶ οἱ ἀμμανῖται. ὅτι ἀνέβη ἡ φυὴ τοῖς τείχε-
σιν ἱερουσαλήμ. ὅτι ἤρξαντο αἱ διασφαγαὶ ἀναφράσσεσθαι.
καὶ πονηρὸν αὐτοῖς ἐφάνη σφόδρα. συνήχθησαν πάντες ἐπὶ
ταυτὸ, ἐλθεῖν, καὶ παρατάξασθαι ἐν ἱερουσαλὴμ, καὶ προσηυ-
ξάμεθα πρὸς τὸν θεὸν ἡμῶν. καὶ ἐστήσαμεν προφύλακας ἐπ' αὐ-
τοὺς ἡμέρας, καὶ νυκτὸς, ἀπὸ προσώπου αὐτῶν, καὶ εἶπεν ἰούδας
συνετρίβη ἡ ἰσχὺς τῶν ἐχθρῶν, καὶ ὁ χοῦς πολὺς, καὶ ἡμεῖς οὐ
δυνησόμεθα οἰκοδομεῖν ἐν τῷ τείχει. καὶ εἶπον οἱ θλίβον-
τες ἡμᾶς. οὐ γνώσονται. καὶ οὐκ ὄψονται ἕως ὅτου ἔλθωμεν εἰς μέ-
σον αὐτῶν καὶ φονεύσωμεν αὐτοὺς καὶ καταπαύσωμεν τὸ ἔργον.
καὶ ἐγένετο ὡς ἦλθοσαν οἱ ἰουδαῖοι οἱ οἰκοῦντες ἐχόμενα αὐτῶν,
καὶ εἶπον ἡμῖν ἀναβαίνουσιν ἐκ πάντων τῶν ἐθνῶν ἐφ' ἡμᾶς. καὶ ἔστη-
σα εἰς τὰ κατώτατα τοῦ τόπου κατόπισθεν τοῦ τείχους ἐν τοῖς σκε-
πεινοῖς, καὶ ἔστησα τὸν λαὸν κατὰ δήμους μετὰ ῥομφαιῶν αὐτῶν
λόγχαι αὐτῶν, καὶ τόξα αὐτῶν, καὶ εἶδον καὶ ἀνέστην, καὶ εἶπον
πρὸς τοὺς ἐντίμους, καὶ πρὸς τοὺς στρατηγοὺς, καὶ πρὸς τοὺς καταλοί-
πους τοῦ λαοῦ. μὴ φοβηθῆτε ἀπὸ προσώπου αὐτῶν μνήσθητε τοῦ
θεοῦ ἡμῶν, τοῦ μεγάλου, καὶ φοβεροῦ. καὶ παρατάξασθε

περὶ τῶν ἀδελφῶν ὑμῶν, υἱῶν ὑμῶν, καὶ θυγατέρων ὑμῶν. καὶ
γυναικῶν ὑμῶν καὶ οἴκων ὑμῶν.
ν Καὶ ἐγένετο ἡνίκα ἤκουσαν οἱ ἐχθροὶ ἡμῶν, ὅτι ἐγνώ-
σθη ἡμῖν καὶ διεσκέδασεν ὁ θεὸς τὴν βουλὴν αὐτῶν. καὶ ἐπε-
στρέψαμεν πάντες ἡμεῖς εἰς τὸ τεῖχος. ἀνὴρ εἰς τὸ ἔργον αὐτοῦ,
καὶ ἐγένετο ἀπὸ τῆς ἡμέρας ἐκείνης ἥμισυ τῶν ἐκτετιναγμένων ἐποίει-
ουν τὸ ἔργον καὶ ἥμισυ αὐτῶν ἀντείχοντο καὶ λόγχαι, καὶ θυρεοὶ καὶ
τόξα, καὶ οἱ θώρακες, καὶ οἱ ἄρχοντες ὀπίσω παντὸς οἴκου ἰούδα
οἰκοδομούντων ἐν τῷ τείχει. καὶ οἱ αἴροντες ἐν τοῖς ἀρτῆρσιν
ἔνοπλοι. ἐν μιᾷ χειρὶ ἐποίει αὐτοῦ τὸ ἔργον. καὶ ἐν μιᾷ ἐκράτει
τὴν βολίδα. καὶ οἱ οἰκοδόμοι ἀνὴρ ῥομφαίαν αὐτοῦ ἐζωσμέ-
νος ἐπὶ τὴν ὀσφὺν αὐτοῦ, καὶ ᾠκοδόμησαν. καὶ ὁ σαλπίζων ἐν
τῇ κερατίνῃ ἐχόμενα αὐτοῦ. καὶ εἶπον πρὸς τοὺς ἐντίμους, καὶ
πρὸς τοὺς ἄρχοντας καὶ πρὸς τοὺς καταλοίπους τοῦ λαοῦ. τὸ ἔργον πλα-
τὺ, καὶ πολὺ, καὶ ἡμεῖς σκορπιζόμεθα ἐπὶ τοῦ τείχους μακρὰν ἀ-
νὴρ ἀπὸ τοῦ ἀδελφοῦ αὐτοῦ, ἐν τόπῳ οὗ ἐὰν ἀκούσητε τὴν φω-
νὴν τῆς κερατίνης. ἐκεῖ συναχθήσεσθε πρὸς ἡμᾶς. καὶ ὁ θεὸς ἡμῶν
πολεμήσει περὶ ἡμῶν, τὸ ἔργον, καὶ ἥμισυ ποιοῦντες καὶ ἥμισυ αὐ-
τῶν κρατοῦντες τὰς λόγχας ἀπὸ ἀναβάσεως τοῦ ὄρθρου ἕως ἐ-
ξόδου τῶν ἄστρων.
να Καὶ ἐν τῷ καιρῷ ἐκείνῳ εἶπα τῷ λαῷ. ἕκαστος μετὰ τοῦ
νεανίσκου αὐτοῦ αὐλισθήσεται ἐν μέσῳ ἱερουσαλήμ, καὶ ἔστω ὑμῖν
ἡ νὺξ προφυλακή, καὶ ἡμέρα ἔργον. καὶ ἤμην ἐγὼ καὶ οἱ ἄνδρες τῆς
προφυλακῆς ὀπίσω μου. καὶ οὐκ ἦν ἐξ ἡμῶν ἐκεῖ. ἐκδιδυσκόμε-
νος ἀνὴρ τὰ ἱμάτια ἑαυτοῦ. Κεφάλαιον. ε. ς.
Καὶ ἦ κραυγὴ τοῦ λαοῦ καὶ γυναικῶν αὐτῶν μεγάλη πρὸς τοὺς
ἀδελφοὺς ἑαυτῶν, τοὺς ἰουδαίους, καὶ ἦσαν τινὲς λέγοντες ἐν
υἱοῖς ἡμῶν, καὶ ἐν θυγατράσιν ἡμῶν ἡμεῖς πολλοί, καὶ ληψόμεθα
σῖτον, καὶ φαγόμεθα ζησόμεθα. καὶ εἰσὶ τινὲς λέγοντες ἀγροὶ ἡμῶν
καὶ ἀμπελῶνες ἡμῶν καὶ οἰκίαι ἡμῶν ἡμεῖς διεγγυῶμεν καὶ ληψόμεθα

σῖτον, καὶ φαγόμεθα. καὶ εἰσί τινες λέγοντες ἐδανεισάμεθα ἀργύριον εἰς φόρους τοῦ βασιλέως ἀγροὶ ἡμῶν, καὶ ἀμπελῶνες ἡμῶν. καὶ οἰκίαι ἡμῶν, καὶ νῦν ὡς σὰρξ ἀδελφῶν ἡμῶν σὰρξ ἡμῶν. ὡς υἱοὶ αὐτῶν υἱοὶ ἡμῶν, καὶ ἡμεῖς καταδυναστεύομεν τοὺς υἱοὺς ἡμῶν, καὶ τὰς θυγατέρας ἡμῶν, εἰς δούλους, καὶ εἰσὶν ἀπὸ θυγατέρων ἡμῶν καταδυναστευόμεναι, καὶ οὐκ ἔστι δύναμις χειρῶν ἡμῶν, καὶ ἀγροὶ ἡμῶν. καὶ ἀμπελῶνες ἡμῶν τοῖς ἐντίμοις. καὶ ἐλυπήθην σφόδρα καθὼς ἤκουσα τὴν κραυγὴν αὐτῶν. καὶ τοὺς λόγους τούτους καὶ ἐβουλεύσατο καρδία μου ἐπ' ἐμέ, καὶ ἐμαχεσάμην πρὸς τοὺς ἐντίμους, καὶ τοὺς ἄρχοντας, καὶ εἶπον αὐτοῖς. ἀπαιτήσει ἀνὴρ τὸν ἀδελφὸν αὐτοῦ ὑμεῖς ποιεῖτε, καὶ ἔδωκα ἐπ' αὐτοὺς ἐκκλησίαν μεγάλην, καὶ εἶπον αὐτοῖς. ἡμεῖς κεκτήμεθα τοὺς ἀδελφοὺς ἡμῶν τοὺς ἰουδαίους τοὺς πωλουμένους, τοῖς ἔθνεσιν ἐν ἑκουσίῳ ἡμῶν. καὶ ὑμεῖς πωλεῖτε τοὺς ἀδελφοὺς ὑμῶν, καὶ παραδοθήσονται ἡμῖν; καὶ ἡσύχασαν, καὶ οὐχ εὗρον λόγον. καὶ εἶπα οὐκ ἀγαθὸς ὁ λόγος ὃν ὑμεῖς ποιεῖτε. οὐχ οὕτως, ἐν φόβῳ θεοῦ ἡμῶν ἀπελεύσεσθε ἀπὸ ὀνειδισμοῦ τῶν ἐθνῶν τῶν ἐχθρῶν ἡμῶν.

ιβ Καὶ οἱ ἀδελφοί μου, καὶ οἱ γνωστοί μου, καὶ ἐγώ, ἐθήκαμεν ἑαυτοῖς ἀργύριον, καὶ σῖτον ἐγκαταλείπομεν δὴ τὴν ἀπαίτησιν ταύτην. ἐπιστρέψατε δὴ αὐτοῖς ὡς σήμερον ἀγροὺς αὐτῶν, καὶ ἀμπελῶνας αὐτῶν καὶ ἐλαιῶνας αὐτῶν. καὶ οἰκίας αὐτῶν, καὶ ἀπὸ τοῦ ἀργυρίου τὸν σῖτον, καὶ τὸν οἶνον καὶ τὸ ἔλαιον ἐξενέγκατε ἑαυτοῖς, καὶ εἶπον ἀποδώσομεν, καὶ παρ' αὐτῶν οὐ ζητήσομεν. οὕτως ποιήσομεν καθὼς σὺ λέγεις.

ιγ Καὶ ἐκάλεσα τοὺς ἱερεῖς, καὶ ὥρκισα αὐτοὺς ποιῆσαι, ὡς τὸ ῥῆμα τοῦτο. καὶ τὴν ἀναβολήν μου ἐξετίναξα. καὶ εἶπον. οὕτως ἐκτινάξαι ὁ θεὸς πάντα ἄνδρα ὃς οὐ στήσει τὸν λόγον τοῦτον ἐκ τοῦ οἴκου αὐτοῦ, καὶ ἐκ κόπου αὐτοῦ. καὶ ἔσται οὕτως ἐκτετιναγμένος καὶ κενός. καὶ εἶπε πᾶσα ἡ ἐκκλησία ἀμήν.

καὶ ᾔνεσαν τὸν κύριον. καὶ ἐποίησεν ὁ λαὸς τὸ ῥῆμα τοῦτο. ἀπὸ τῆς
ἡμέρας ἧς ἐνετείλατό μοι εἶναι εἰς ἄρχοντα αὐτῶν ἐν γῇ ἰού-
δα, ἀπὸ ἔτους εἰκοστοῦ, καὶ ἕως ἔτους τριακοστοῦ, καὶ δευτέρου τῷ
ἀρθασασθὰ ἔτη δώδεκα. καὶ ἐγὼ καὶ οἱ ἀδελφοί μου βίαν αὐ-
τῶν οὐκ ἔφαγον. καὶ τὰς βίας τὰς πρώτας ἃς πρὸ ἐμοῦ ἐβάρυ-
ναν ἐπ᾽ αὐτούς. καὶ ἔλαβον παρ᾽ αὐτῶν, ἐν ἄρτοις καὶ ἐν οἴ-
νῳ ἔχαβον ἀργύριον δίδραγμα τεσσαράκοντα, καὶ οἱ ἐντετι-
ναγμένοι αὐτῶν ἐξουσιάζονται ἐπὶ τὸν λαόν. κἀγὼ οὐκ ἐποίη-
σα οὕτως ἀπὸ προσώπου φόβου κυρίου, καὶ ἐν ἔργῳ τοῦ τεί-
χους τούτων οὐκ ἐκράτησα. ἀγρὸν οὐκ ἐκτησάμην, καὶ πάντες
οἱ συνηγμένοι ἐκεῖ ἐπὶ τὸ ἔργον. καὶ οἱ ἰουδαῖοι ἑκατὸν πεντή-
κοντα ἄνδρες καὶ ἐρχόμενοι πρὸς ἡμᾶς. ἀπὸ τῶν ἐθνῶν τῶν
κύκλῳ ἡμῶν ἐπὶ τράπεζάν μου. καὶ ἦν γινόμενον εἰς ἡμέραν
μίαν μόσχος εἷς, καὶ πρόβατα ἐκλεκτά. καὶ χίμαρρος ἐγί-
νοντό μοι. καὶ ἀνὰ μέσον τῶν δώδεκα ἡμερῶν ἐν πᾶσιν οἶνος
τῷ πλήθει. καὶ σὺν τούτοις ἄρτον τῆς βίας οὐκ ἐζήτησα, ὅτι βα-
ρεῖα ἡ δουλεία ἐπὶ τὸν λαὸν τοῦτον. μνήσθητί μου ὁ θεὸς εἰς ἀγα-
θὸν πάντα ὅσα ἐποίησα τῷ λαῷ τούτῳ.

Κεφάλαιον ς. 6.

ιδ' Καὶ ἐγένετο καθὼς ἠκούσθη τῷ σαναβαλλὰτ.
καὶ τωβίᾳ. καὶ τῷ γησὰμ τῷ ἄραβι, καὶ τοῖς κα-
ταλοίποις τῶν ἐχθρῶν ἡμῶν, ὅτι ᾠκοδόμησα
τὸ τεῖχος. καὶ οὐ κατελείφθη ἐν αὐτοῖς πνοή. καὶ ἐγὼ ἕως τοῦ
καιροῦ ἐκείνου, θύρας οὐκ ἐπέστησα ἐν ταῖς πύλαις. καὶ ἀπέστειλε
σαναβαλλὰτ, καὶ γησὰμ πρός με λέγων. δεῦρο καὶ συνα-
χθῶμεν ἐπιτοαυτὸ ἐν ταῖς κώμαις ἐν πεδίῳ ὠνῷ. καὶ αὐτοὶ
λογιζόμενοί μοι ποιῆσαι πονηρίαν, καὶ ἀπέστειλα ἐπ᾽ αὐτοὺς
ἀγγέλους λέγων. ἔργον μέγα ἐγὼ ποιῶ, καὶ οὐ δυνήσομαι
καταβῆναι, μή ποτε καταπαύσῃ τὸ ἔργον. ὡς ἂν τελειώσω αὐ-
τὸ καταβήσομαι πρὸς ὑμᾶς, καὶ ἀπέστειλαν πρός με ὡς τὸ ῥῆ-

μα τοῦτο. καὶ ἀπέστειλα αὐτοῖς κατὰ ταῦτα καὶ ἀπέστειλε πρός με σαναβαλλὰτ τὸν πέμπτον τὸν παῖδα ἑαυτοῦ, καὶ ἐπιστολὴν ἀνεωγμένην, ἐν χειρὶ αὐτοῦ. καὶ ἦν γεγραμμένον ἐν αὐτῇ ἐν ἔθνεσιν ἠκούσθη, καὶ γησὰμ εἶπεν ὅτι σὺ καὶ ἰουδαῖοι λογίζεσθε ἀποστατῆσαι, διὰ τοῦτο σὺ οἰκοδομεῖς τὸ τεῖχος, καὶ σὺ γίνῃ αὐτοῖς εἰς βασιλέα. καὶ πρὸς τούτοις. προφήτας ἔστησας σεαυτῷ. ἵνα καθίσῃς ἐν ἱερουσαλὴμ εἰς βασιλέα ἐν ἰουδαίᾳ. καὶ νῦν ἀπαγγελήσονται τῷ βασιλεῖ οἱ λόγοι οὗτοι. καὶ νῦν δεῦρο βουλευσώμεθα ἐπὶ τὸ αὐτό. καὶ ἀπέστειλα πρὸς αὐτὸν λέγων, οὐκ ἐγενήθη, ὡς οἱ λόγοι οὗτοι, ὡς σὺ λέγεις, ὅτι ἀπὸ καρδίας σὺ ψεύδῃ αὐτοῦ, ὅτι πάντες φοβερίζουσιν ἡμᾶς λέγοντες. ἐκλυθήσονται αἱ χεῖρες αὐτῶν ἀπὸ τοῦ ἔργου τούτου. καὶ οὐ ποιηθήσεται, καὶ νῦν ἐκραταίωσα τὰς χεῖράς μου.

νε. Κἀγὼ εἰς οἶκον σεμεῒ υἱοῦ δαλαΐα υἱοῦ μεταβεήλ, καὶ αὐτὸς συνεχόμενος καὶ εἶπεν. συναχθῶμεν εἰς οἶκον τοῦ θεοῦ ἐν μέσῳ αὐτοῦ, καὶ κλείσωμεν τὰς θύρας αὐτοῦ, ὅτι ἔρχονται νυκτὸς φονεῦσαί σε. καὶ εἶπε. τίς ἐστιν ἀνὴρ οἷος ἐγὼ φεύξεται. ἢ τίς οἷος ἐγὼ εἰσελεύσεται εἰς τὸν οἶκον, καὶ ζήσεται. καὶ ἐπέγνων καὶ ἰδοὺ ὁ θεὸς οὐκ ἀπέστειλεν αὐτόν, ὅτι ἡ προφητεία λόγος κατ' ἐμοῦ.

νϛ Καὶ τωβίας καὶ σαναβαλλὰτ ἐμισθώσαντο ἐπ' ἐμὲ ὄχλον ὅπως φοβηθῶ, καὶ ποιήσω οὕτως, καὶ ἁμαρτῶ, καὶ γένωμαι αὐτοῖς εἰς ὄνομα πονηρόν, ὅπως ὀνειδίσωσί με. μνήσθητι ὁ θεὸς τῷ τωβίᾳ, καὶ τῷ σαναβαλλὰτ, ὡς τὰ ποιήματα αὐτοῦ ταῦτα, καὶ τῷ νωαδίᾳ τῷ προφήτῃ, καὶ τοῖς καταλοίποις τῶν προφητῶν, οἳ ἦσαν φοβερίζοντές με.

νζ Καὶ ἐτελέσθη τὸ τεῖχος πέμπτῃ, καὶ εἰκάδι τοῦ ἐλοὺλ μηνὸς εἰς πεντήκοντα δύο ἡμέρας. καὶ ἐγένετο ἡνίκα ἤκουσαν πάντες οἱ ἐχθροὶ ἡμῶν, καὶ ἐφοβήθησαν πάντα τὰ ἔθνη τὰ κύκλῳ ἡμῶν. καὶ ἐπέπεσε φόβος μέγας σφόδρα ἐν ὀφθαλ-

μοῖς αὐτῶν. καὶ ἔγνωσαν, ὅτι παρὰ τοῦ θεοῦ ἡμῶν ἐγενήθη τε-
λειωθῆναι τὸ ἔργον τοῦτο, καὶ ἐν ταῖς ἡμέραις ἐκείναις ἀπὸ
πολλῶν ἐντίμων ἰούδα ἐπιστολαὶ ἐπορεύοντο πρὸς τωβίαν,
καὶ αἱ τωβία ἤρχοντο πρὸς αὐτοὺς ὅτι πολλοὶ ἐν ἰούδα ἔνορ-
κοι ἦσαν αὐτῷ, ὅτι γαμβρὸς ἦν τοῦ σεχενία υἱοῦ ἠρὰε. καὶ
ἰωνάθαν. υἱὸς αὐτοῦ ἔλαβε τὴν θυγατέρα μεσουλὰμ, υἱοῦ βα-
ραχία εἰς γυναῖκα. καὶ τοὺς λόγους αὐτῆς ἦσαν λέγοντες πρὸς
με. καὶ λόγους μου ἦσαν ἐκφέροντες αὐτῷ, καὶ ἐπιστολὰς ἀπέ-
στειλε τωβία φοβερίσαι με.

## Κεφάλαιον. ϛ'. 7.

Αἰ ἐγένετο ἡνίκα ᾠκοδομήθη τὸ τεῖχος, καὶ ἔστησα τὰς
* θύρας, καὶ ἐπεσκέπησαν οἱ πυλωροί. καὶ οἱ ᾄδοντες,
καὶ οἱ λευῖται, καὶ ἐνετειλάμην τῷ ἀνανίᾳ τῷ ἀδελφῷ
μου, καὶ τῷ ἀνανίᾳ ἄρχοντι τῆς βειρὰ ἐν ἱερουσαλὴμ, ὅτι αὐτὸς ἦν ὡς ἀ-
νὴρ ἀγαθὸς, καὶ φοβούμενος τὸν θεὸν παρὰ πολλοὺς, καὶ εἶπον αὐ-
τοῖς, οὐκ ἀνοιγήσονται πύλαι ἱερουσαλὴμ, ἕως ἅμα τῷ ἡλίῳ,
καὶ ἔτι αὐτῶν γρηγορούντων. κλειέσθωσαν αἱ θύραι, καὶ σφη-
νούσθωσαν, καὶ στῆσον προφύλακας οἰκούντων ἐν ἱερουσαλὴμ
ἀνὴρ ἐν προφυλακῇ ἑαυτοῦ, καὶ ἀνὴρ ἀπέναντι οἰκίας ἑαυτοῦ
καὶ ἡ πόλις πλατεῖα, καὶ μεγάλη. καὶ ὁ λαὸς ὀλίγος ἐν αὐτῇ
καὶ οὐκ ἦσαν οἰκίαι ᾠκοδομημέναι.

νϐ Καὶ ἔδωκεν ὁ θεὸς εἰς τὴν καρδίαν μου, καὶ συνῆ-
ξα τοὺς ἐντίμους, καὶ τοὺς ἄρχοντας, καὶ τὸν λαὸν εἰς συνοδίας,
καὶ εὗρον βιβλίον τῆς συνοδίας οἱ ἀνέβησαν ἐν πρώτοις. καὶ
εὗρον γεγραμμένον ἐν αὐτῷ, καὶ οὗτοι οἱ υἱοὶ τῆς χώρας οἱ
ἀναβάντες ἀπὸ τῆς αἰχμαλωσίας τῆς ἀποικίας ἧς ἀπῴκισε
ναβουχοδονόσορ ὁ βασιλεὺς τῆς βαβυλῶνος, καὶ ἀπέστρεψαν εἰς
ἱερουσαλὴμ καὶ εἰς ἰούδα ἀνὴρ εἰς πόλιν ἑαυτοῦ μετὰ ζοροβάβελ,
καὶ ἰησοῦ. καὶ νεεμία, ἀζαρία, καὶ βεελμαναεμὰν, μαρδοχαῖε
βασσὰν, μασφαρὰθ. ἔσδρας. βογουία. ἰναούμ. βαανά.

μασφαρ, ἄνδρες λαοῦ ἰσραήλ. υἱοὶ φόρος. δισχίλιοι ἑκατὸν ἑ-
βδομήκοντα δύο. υἱοὶ σαφατία τριακόσιοι ἑβδομήκοντα δύο
υἱοὶ ἠρὰ ἑξακόσιοι πεντήκοντα δύο. υἱοὶ φααθμωὰμ τοῖς υἱοῖς
ἰησοῦ, καὶ ἰωὰφ, δισχίλιοι ἑξακόσιοι ὀκτωκαίδεκα. υἱοὶ ἀλὰμ
χίλιοι διακόσιοι πεντήκοντα τέσσαρες. υἱοὶ ζαθουία ὀκτα-
κόσιοι τεσσαράκοντα πέντε. υἱοὶ ζακχοῦ ἑπτακόσιοι ἑξήκοντα
υἱοὶ βανουῒ ἑξακόσιοι τεσσαράκοντα ὀκτώ. υἱοὶ βηβεὶ ἑξακόσι-
οι εἴκοσι ὀκτώ. υἱοὶ γετὰδ δισχίλιοι τριακόσιοι εἴκοσι δύο. υἱ-
οὶ ἀδωνιὰμ ἑξακόσιοι ἑξήκοντα ἑπτά. υἱοὶ γαβουὶ δισχίλιοι ἑ-
ξήκοντα ἑπτά. υἱοὶ ἠδὶν ἑξακόσιοι πεντήκοντα τέσσαρες. υἱοὶ
ἀτὴρ τῷ ἐζεκίᾳ ἐνενηκονταοκτώ. υἱοὶ ἠσὰμ τριακόσιοι εἴκο-
σι ὀκτώ. υἱοὶ βασεὶ τριακόσιοι εἴκοσι τέσσαρες. υἱοὶ ἀρὶφ ἑ-
κατὸν δέκα δύο. υἱοὶ ἀσὲν, διακόσιοι εἴκοσι τρεῖς. υἱοὶ γαβα-
ὼν ἓξ πέντε. υἱοὶ βαιθαλὲμ ἑκατὸν εἴκοσι τρεῖς. υἱοὶ ἀτωφὰ, πεν-
τήκοντα ἕξ. υἱοὶ ἀναθὼθ, ἑκατὸν εἴκοσι ὀκτώ. υἱοὶ ἀζαμὼθ, ἄν-
δρες βὴθ τεσσαράκοντα δύο. ἄνδρες καριαθιρὶμ καφιρὰ, καὶ
βηρὼθ, ἑπτακόσιοι τεσσαράκοντα τρεῖς. ἄνδρες ἀραμὰ, καὶ γα-
βαὰ ἑξακόσιοι εἴκοσι. ἄνδρες μαχμὰς ἑκατὸν εἴκοσι δύο. ἄν-
δρες βαιθὴλ, καὶ αἲ ἑκατὸν εἴκοσι τρεῖς. ἄνδρες ἀναβία ἑκατὸν
πεντήκοντα δύο. υἱοὶ μαγεβὼς ἑκατὸν πεντήκοντα ἕξ. ἄνδρες
ἠλαμαὰὶ χίλιοι διακόσιοι πεντήκοντα δύο. υἱοὶ ἠρὰμ τρια-
κόσιοι εἴκοσι. υἱοὶ ἱεριχὼ τριακόσιοι τεσσαράκοντα πέντε.
υἱοὶ λοδαδὶδ, καὶ ὠνὼ, ἑπτακόσιοι. κ΄, εἷς. υἱοὶ ἀνανὰ τρισχίλι-
οι ἐννακόσιοι. λ΄. οἱ ἱερεῖς υἱοὶ ἰωδαὲ εἰς οἶκον ἰησοῦ ἐννακόσιοι
ἑβδομήκοντα τρεῖς. υἱοὶ ἐμμὴρ, χίλιοι πεντήκοντα δύο. υἱοὶ
φασεὺρ, χίλιοι διακόσιοι τεσσαράκοντα ἑπτά. υἱοὶ ἠρὰμ, χί-
λιοι ἑπτακαίδεκα. οἱ λευῖται υἱοὶ ἰησοῦ τοῦ καδμιὴλ τοῖς υἱοῖς τοῦ
οὐδουὴλ ἑβδομήκοντα τέσσαρες. οἱ ᾄδοντες. υἱοὶ ἀσὰφ, ἑκατὸν
εἴκοσι ὀκτώ. οἱ πυλωροὶ, υἱοὶ σελλούμ. υἱοὶ ἀτήρ. υἱοὶ τολμὼν
υἱοὶ ἀκούβ. υἱοὶ τιτὰ. υἱοὶ σαβεὶ, ἑκατὸν τριάκοντα ὀκτώ. οἱ να-
θείμ.

θέμ. υἱοὶ ἠλά. υἱοὶ ἀσιφά. υἱοὶ ζαβαώθ. υἱοὶ κηρᾶς. υἱοὶ σισαΐα.
υἱοὶ φαδῶν. υἱοὶ λαβάνα. υἱοὶ ἀγαβά. υἱοὶ ἀκοὺβ. υἱοὶ οὐτᾶ. υἱοὶ
κιτάρ. υἱοὶ γάβ. υἱοὶ σελμεΐ. υἱοὶ ἀνάν. υἱοὶ σαδηκά. υἱοὶ γάαρ.
υἱοὶ ῥααΐα. υἱοὶ ῥασών. υἱοὶ νεκωδά. υἱοὶ γηζάμ, υἱοὶ ὀζί. υἱοὶ φε-
σή. υἱοὶ βησῒ, υἱοὶ μεϊνών. υἱοὶ νεφωσαΐ. υἱοὶ βακβούκ. υἱοὶ ἀχι-
φά. υἱοὶ ἀροόρ. υἱοὶ βασαλώθ, υἱοὶ μιδά. υἱοὶ ἀδάσαν, υἱοὶ βαρ-
κοὺβ. υἱοὶ σισαράθ. υἱοὶ θημά. υἱοὶ νησιά. υἱοὶ ἀτιφά. υἱοὶ δού-
λων σαλωμών. υἱοὶ σουτεΐ. υἱοὶ σαφαράτ. υἱοὶ φειδά. υἱοὶ λε-
ηλά. υἱοὶ δορκών. υἱοὶ γαδαήλ. υἱοὶ φαραχὰς. υἱοὶ σαβαΐν. υἱοὶ
ἠμμέρ. πάντες οἱ ἀναθινεὶμ. καὶ υἱοὶ οἱ δοῦλοι σαλωμὼν τριακό-
σιοι ἐνενηκονταδύο.

ξ. Καὶ οὗτοι ἀνέβησαν ἀπὸ χερμελὲχ θελασάρ. χε-
ρούβ. ἠρών. ἰεμμήρ. καὶ οὐκ ἠδυνάσθη ἀπαγγεῖλαι οἴκους πα-
τριῶν αὐτῶν, καὶ σπέρμα αὐτῶν, εἰ ἀπὸ ἰερουσαλὴμ εἰσίν.
υἱοὶ δαλαΐα. υἱοὶ βουαὶ. υἱοὶ τωβία. υἱοὶ νεκωδὰ ἑξακόσιοι τεσ-
σαράκοντα δύο. καὶ ἀπὸ τῶν ἱερέων, υἱοὶ ἀβία. υἱοὶ ἀκκῶς. υἱοὶ βερ-
ζελλαΐ, ὅτι ἔλαβον ἀπὸ θυγατέρων βερζελλαΐ τοῦ γαλαδίτου γυ-
ναῖκας, καὶ ἐκλήθησαν ἐπ' ὀνόματι αὐτῶν. οὗτοι ἐζήτησαν γρα-
φὴν ἑαυτῶν τῆς συνοδίας, καὶ οὐχ εὑρέθη καὶ ἠχισεύθησαν ἀ-
πὸ τῆς ἱερατείας, καὶ εἶπεν ἀθερσαθὰ αὐτοῖς ἵνα μὴ φάγω-
σιν ἀπὸ τοῦ ἁγίου τῶν ἁγίων ἕως οὗ ἀναστῇ ἱερεὺς φωτίσων. καὶ
ἐγένετο πᾶσα ἡ ἐκκλησία εἰς τέσσαρας μυριάδας δισχιλίους
τριακοσίους ἑξήκοντα πάρεξ δούλων αὐτῶν, καὶ παιδισκῶν
ἵπποι διακόσιοι τριάκοντα ἕξ. οὗτοι ἑπτακισχίλιοι τριακόσιοι τρι-
άκοντα ἑπτά. καὶ ᾄδοντες, καὶ ᾄδουσαι, διακόσιοι τριάκοντα
ἕξ. ἡμίονοι διακόσιοι τεσσαράκοντα πέντε, κάμηλοι τριάκον-
τα πέντε ὄνοι ἑξακισχίλιοι ἑπτακόσιοι εἴκοσι. καὶ ἀπὸ μέρους
ἀρχηγῶν τῶν πατριῶν ἔδωκαν εἰς τὸ ἔργον ἀθερσαθὰ ἔδωκαν
εἰς θησαυρὸν χρυσοῦς χιλίους φιάλας πεντήκοντα καὶ χωθω-
νὼθ τῶν ἱερέων τριάκοντα, καὶ ἀπὸ ἀρχηγῶν τῶν πατριῶν ἔδω-

καὶ εἰς θησαυροὺς τοῦ ἔργου χρυσοῦ νομίσματος, δύο μυριά-
δας, καὶ ἀργυρίου μνᾶς, δισχιλίας τριακοσίας. καὶ ἔδωκαν
οἱ κατάλοιποι τοῦ λαοῦ χρυσίου δύο μυριάδας, καὶ ἀργυρίου
μνᾶς δισχιλίας διακοσίας, καὶ χοθωνὼθ τῶν ἱερέων. ξζ΄.
ξα. Καὶ ἐκάθισαν οἱ ἱερεῖς, καὶ λευῖται καὶ οἱ πυλωροί,
καὶ οἱ ᾄδοντες καὶ οἱ ἀπὸ τοῦ λαοῦ, καὶ οἱ ναθινείμ. καὶ πᾶς
ἰσραὴλ ἐν πόλεσιν αὐτῶν.

Κεφάλαιον η. ϛ.

Αἰ ἔφθασεν ὁ μὴν ὁ ἕβδομος, καὶ οἱ υἱοὶ ἰσραὴλ ἐν
κ πόλεσιν αὐτῶν. καὶ συνήχθησαν πᾶς ὁ λαὸς, ὡς ἀνὴρ
εἷς εἰς τὸ πλάτος τὸ ἔμπροσθεν πύλης τοῦ ὕδατος, καὶ εἶπον
τῷ ἔσδρᾳ τῷ γραμματεῖ ἐνέγκαι τὸ βιβλίον νόμου μωϋσῆ ὃν ἐν-
ετείλατο κύριος τῷ ἰσραήλ. καὶ ἤνεγκεν ἔσδρας ὁ ἱερεὺς τὸν νό-
μον ἐνώπιον τῆς ἐκκλησίας ἀπὸ ἀνδρὸς ἕως γυναικὸς, καὶ πᾶς
ὁ συνιῶν ἀκούειν ἐν ἡμέρᾳ μιᾷ τοῦ μηνὸς τοῦ ἑβδόμου. καὶ ἀνέγνω
ἐν αὐτῷ ἀπὸ τῆς ὥρας τοῦ διαφωτίσαι τὸν ἥλιον ἕως μεσούσης
τῆς ἡμέρας ἀπέναντι ἀνδρῶν, καὶ γυναικῶν. καὶ αὐτοὶ συνιέντες
καὶ ὦτα παντὸς τοῦ λαοῦ εἰς τὸ βιβλίον τοῦ νόμου.
ξβ. Καὶ ἔστη ἔσδρας ὁ γραμματεὺς ἐπὶ βήματος ξυ-
λίνου, καὶ ἔστησαν ἐχόμενα αὐτοῦ ματταθίας, καὶ σαμαίας
καὶ ἀνανίας. καὶ οὐρίας, καὶ χελκία, καὶ μαασία ἐκ δεξι-
ῶν αὐτοῦ, καὶ ἐξ εὐωνύμων φαδαίας, καὶ μισαὴλ, καὶ μελ-
χίας, καὶ ὠσάμ, καὶ ἀσαβαδμὰ, καὶ ζαχαρίας, καὶ μεσολ-
λὰμ, καὶ ἤνοιξεν ἔσδρας τὸ βιβλίον ἐνώπιον παντὸς τοῦ λαοῦ.
ὅτι αὐτὸς ἦν ἐπάνω τοῦ λαοῦ, καὶ ἐγένετο ἡνίκα ἤνοιξεν αὐτὸ
ἔστη πᾶς ὁ λαὸς, καὶ εὐλόγησεν ἔσδρας κύριον τὸν θεὸν τὸν μέ-
γαν. καὶ ἀπεκρίθη πᾶς ὁ λαὸς, καὶ εἶπον ἀμήν. ἐπάραντες
τὰς χεῖρας αὐτῶν. καὶ ἔκυψαν, καὶ προσεκύνησαν τῷ κυρίῳ
ἐπὶ πρόσωπον ἐπὶ τὴν γῆν.
ξγ. Καὶ ἰησοῦς, καὶ βαναίας, καὶ σαραβίας, ἦσαν συν-

νεπίζοντες ἀκοὺ σαββαθαῖος κάμπτας ἀζαρίας. ἰωζαβαδὰν ἀ-
νιφανές. καὶ οἱ λευῖται ὑπεδίδασκον τὸν λαὸν εἰς τὸν νόμον, καὶ
ὁ λαὸς ἐν τῇ στάσει αὐτοῦ. καὶ ἀνέγνωσαν ἐν τῷ βιβλίῳ τοῦ νό-
μου τοῦ θεοῦ, καὶ ἐδίδασκεν ἔσδρας, καὶ διέστελλεν ἐν ἐπιστή-
μῃ κυρίου, καὶ συνῆκεν ὁ λαὸς ἐν τῇ ἀναγνώσει.

ξδʹ. Καὶ εἶπε νεεμίας καὶ ἔσδρας ὁ ἱερεὺς καὶ γραμμα-
τεὺς, καὶ οἱ λευῖται, καὶ οἱ συνετίζοντες τὸν λαόν. καὶ εἶπεν παν-
τὶ τῷ λαῷ. ἡμέρα ἁγία ἐστὶ τῷ κυρίῳ θεῷ ἡμῶν, μὴ πενθεῖτε
μηδὲ κλαίετε. ὅτι ἔκλαιε πᾶς ὁ λαὸς ὡς ἤκουσε τοὺς λόγους τοῦ
νόμου. καὶ εἶπεν αὐτοῖς. πορεύεσθε, καὶ φάγετε λιπάσματα.
καὶ πίετε γλυκάσματα, καὶ ἀποστείλατε μερίδας τοῖς μὴ ἔχου-
σιν. ὅτι ἁγία ἐστὶν ἡ ἡμέρα κυρίῳ τῷ θεῷ ἡμῶν. καὶ μὴ διαπέ-
σητε, ὅτι ἡ χαρὰ κυρίου αὕτη ἐστὶν ἰσχὺς ἡμῶν.

ξεʹ. Καὶ οἱ λευῖται κατεσιώπων πάντα τὸν λαὸν λέγον-
τες. σιωπᾶτε ὅτι ἡμέρα ἁγία, καὶ μὴ καταπίπτετε.

ξςʹ. Καὶ ἀπῆλθε πᾶς ὁ λαὸς φαγεῖν, καὶ πιεῖν, καὶ ἀπο-
στέλλειν μερίδας, καὶ ποιῆσαι εὐφροσύνην μεγάλην. ὅτι συνῆ-
καν ἐν τοῖς λόγοις οἷς ἐγνώρισεν αὐτοῖς.

ξζʹ. Καὶ ἐν τῇ ἡμέρᾳ τῇ δευτέρᾳ, συνήχθησαν οἱ
ἄρχοντες τῶν πατριῶν τῷ παντὶ λαῷ οἱ ἱερεῖς, καὶ οἱ λευῖ-
ται πρὸς ἔσδραν τὸν γραμματέα ἐπιστῆσαι πρὸς πάντας τοὺς
λόγους τοῦ νόμου, καὶ εὕροσαν γεγραμμένον, ἐν τῷ νόμῳ ᾧ ἐ-
νετείλατο κύριος τῷ μωϋσῇ. ὅπως κατοικήσωσιν οἱ υἱοὶ ἰσρα-
ὴλ ἐν σκηναῖς ἐν ἑορτῇ ἐν μηνὶ τῷ ἑβδόμῳ. καὶ ὅπως σημά-
νωσιν ἐν σάλπιγξιν ἐν πάσαις ταῖς πόλεσιν αὐτῶν, καὶ ἐν ἱερου-
σαλήμ. καὶ εἶπεν ἔσδρας. ἐξέλθετε εἰς τὸ ὄρος, καὶ ἐνέγκατε
φύλλα ἐλαίας, καὶ φύλλα ξύλων κυπαρισσίνων. καὶ φύλλα μυρ-
σίνης. καὶ φύλλα φοινίκων. καὶ φύλλα ξύλου δασέως ποιῆσαι σκη-
νὰς κατὰ τὸ γεγραμμένον. καὶ ἐξῆλθεν ὁ λαὸς, καὶ ἤνεγκαν, καὶ
ἐποίησαν ἑαυτοῖς σκηνὰς ἀνὴρ ἐπὶ τοῦ δώματος αὐτοῦ. καὶ

ἐν ταῖς αὐλαῖς αὐτῶν, καὶ ἐν αὐλαῖς οἴκου τοῦ θεοῦ, καὶ ἐν πλα-
τείαις τῆς πόλεως, καὶ ἕως οἴκου ἐφραίμ. καὶ ἐποίησαν πᾶσα
ἡ ἐκκλησία οἱ ἐπιστρέψαντες ἀπὸ τῆς αἰχμαλωσίας σκηνάς.
καὶ ἐκάθισαν ἐν σκηναῖς, ὅτι οὐκ ἐποίησαν ἀπὸ ἡμερῶν ἰησοῦ
υἱοῦ ναυῆ οὕτως οἱ υἱοὶ ἰσραήλ, ἕως τῆς ἡμέρας ἐκείνης. καὶ ἐγέ-
νετο εὐφροσύνη μεγάλη. καὶ ἀνέγνω ἐν βιβλίῳ νόμου τοῦ θεοῦ
ἡμέρα ἐν ἡμέρᾳ ἀπὸ τῆς ἡμέρας τῆς πρώτης ἕως τῆς ἡμέ-
ρας τῆς ἐσχάτης. καὶ ἐποίησαν ἑορτὴν ἑπτὰ ἡμέρας. καὶ τῇ
ἡμέρᾳ τῇ ὀγδόῃ ἐξόδιον κατὰ τὸ κρίμα.

Κεφάλαιον θ. 9.

ξθ. Αἱ ἐν ἡμέρᾳ εἰκοστῇ τετάρτῃ τοῦ μηνὸς τούτου, συ-
κ νήχθησαν οἱ υἱοὶ ἰσραὴλ ἐν νηστείᾳ, καὶ ἐν σάκκοις
καὶ σποδῷ ἐπὶ κεφαλῆς αὐτῶν. καὶ ἐχωρίσθησαν
οἱ υἱοὶ ἰσραὴλ ἀπὸ παντὸς υἱοῦ ἀλλοτρίου, καὶ ἔστησαν καὶ ἐξη-
γόρευσαν τὰς ἁμαρτίας αὐτῶν, καὶ τὰς ἀνομίας τῶν πατέ-
ρων αὐτῶν. καὶ ἔστησαν ἐπὶ τῇ στάσει αὐτῶν. καὶ ἀνέγνωσαν ἐν
βιβλίῳ νόμου κυρίου θεοῦ αὐτῶν.

ξθ. Καὶ ἦσαν ἐξαγορεύοντες τῷ κυρίῳ καὶ προσκυνοῦν-
τες τῷ κυρίῳ θεῷ αὐτῶν, καὶ ἔστη ἐπὶ ἀναβάσει τῶν λευιτῶν ἰη-
σοῦς, καὶ οἱ υἱοὶ καδμιὴλ σαχανιὰ υἱὸς σαραβία. υἱοὶ χανανί.
καὶ ἐβόησαν φωνῇ μεγάλῃ πρὸς κύριον τὸν θεὸν αὐτῶν. καὶ εἶ-
πον οἱ λευῖται ἰησοῦς, καὶ καδμιήλ. ἀνάστητε, καὶ εὐλογεῖτε
τὸν κύριον θεὸν ἡμῶν ἀπὸ τοῦ αἰῶνος, καὶ ἕως τοῦ αἰῶνος. καὶ εὐ-
λογήσουσιν ὄνομα δόξης σου, καὶ ὑψώσουσιν ἐπὶ πάσῃ εὐλογίᾳ
καὶ αἰνέσει. Καὶ εἶπεν ἔσδρας σὺ εἶ αὐτὸς κύριος μόνος.
σὺ ἐποίησας τὸν οὐρανὸν καὶ τὸν οὐρανὸν τοῦ οὐρανοῦ. καὶ πᾶσαν
τὴν στάσιν αὐτῶν τὴν γῆν, καὶ πάντα ὅσα ἐστὶν ἐν αὐτῇ. τὰς
θαλάσσας, καὶ πάντα τὰ ἐν αὐταῖς. καὶ σὺ ζωοποιεῖς τὰ πάν-
τα. καὶ σοὶ προσκυνοῦσιν αἱ στρατιαὶ τῶν οὐρανῶν. σὺ εἶ κύ-
ριε ὁ θεός. σὺ ἐξελέξω ἀβραάμ. καὶ ἐξήγαγες αὐτὸν ἐκ τῆς χώ-

ρας τῶν χαλδαίων· καὶ ἐπέθηκας αὐτῷ ὄνομα ἀβραάμ· καὶ εὗ-
ρες τὴν καρδίαν αὐτοῦ πιστὴν ἐνώπιόν σου, καὶ διέθου πρὸς
αὐτὸν διαθήκην δοῦναι αὐτῷ τὴν γῆν τῶν χαναναίων, καὶ χετ-
ταίων, καὶ ἀμορραίων· καὶ φερεζαίων, καὶ ἰεβουσαίων· καὶ γεργε-
σαίων· καὶ τῷ σπέρματι αὐτοῦ· καὶ ἔστησας τοὺς λόγους σου,
ὅτι δίκαιος σύ, καὶ εἶδες τὴν ταπείνωσιν τῶν πατέρων ἡμῶν
ἐν αἰγύπτῳ· καὶ τὴν κραυγὴν αὐτῶν ἤκουσας ἐπὶ θάλασσαν ἐ-
ρυθράν· καὶ ἔδωκας σημεῖα ἐν αἰγύπτῳ ἐν φαραῷ· καὶ ἐν πᾶσι
τοῖς παισὶν αὐτοῦ, καὶ ἐν παντὶ τῷ λαῷ τῆς γῆς αὐτοῦ· ὅτι ἔ-
γνως· ὅτι ὑπερεφάνησαν ἐπ' αὐτούς, καὶ ἐποίησας σεαυτῷ ὄνο-
μα ὡς ἡμέρα αὕτη· καὶ τὴν θάλασσαν ἔρρηξας ἐνώπιον αὐτῶν, καὶ
παρήλθοσαν ἐν μέσῳ τῆς θαλάσσης ἐν ξηρασίᾳ· καὶ τοὺς καταδιώ-
κοντας αὐτοὺς ἔρριψας εἰς βόθυνον ὡσεὶ λίθον ἐν ὕδατι σφο-
δρῷ· καὶ ἐν στύλῳ νεφέλης ὡδήγησας αὐτοὺς ἡμέρας, καὶ ἐν στύ-
λῳ πυρὸς τὴν νύκτα, τοῦ φωτίσαι αὐτοῖς τὴν ὁδὸν ἐν ᾗ πορεύ-
σονται ἐν αὐτῇ· καὶ ἐπὶ ὄρος σινὰ κατέβης, καὶ ἐλάλησας πρὸς
αὐτοὺς ἐξ οὐρανοῦ, καὶ ἔδωκας αὐτοῖς κρίματα εὐθέα, καὶ νό-
μους ἀληθείας· προστάγματα, καὶ ἐντολὰς ἀγαθάς· καὶ τὸ σάβ-
βατόν σου τὸ ἅγιον ἐγνώρισας αὐτοῖς· ἐντολάς, καὶ προστάγμα-
τα καὶ νόμον ἐνετείλω αὐτοῖς, ἐν χειρὶ μωϋσῆ τοῦ δούλου σου·
καὶ ἄρτον ἐξ οὐρανοῦ ἔδωκας αὐτοῖς εἰς σιτοδοσίαν αὐτῶν· καὶ
ὕδωρ ἐκ πέτρας ἐξήνεγκας αὐτοῖς εἰς δίψαν αὐτῶν· καὶ εἶπας
αὐτοῖς εἰσελθεῖν κληρονομῆσαι τὴν γῆν εἰς ἣν ἐξέτεινας
τὴν χεῖρά σου δοῦναι αὐτοῖς· καὶ αὐτοὶ καὶ οἱ πατέρες ἡ-
μῶν ὑπερηφανεύσαντο, καὶ ἐσκλήρυναν τὸν τράχηλον αὐ-
τῶν· καὶ οὐκ ἤκουσαν τῶν ἐντολῶν σου, καὶ ἀνένευσαν τοῦ εἰ-
σακοῦσαι· καὶ οὐκ ἐμνήσθησαν τῶν θαυμασίων σου ὧν ἐποίη-
σας ἐν αὐτοῖς· καὶ ἐσκλήρυναν τὸν τράχηλον ἑαυτῶν, καὶ ἔδωκαν
ἀρχὴν ἐπιστρέψαι εἰς δουλείαν αὐτῶν ἐν αἰγύπτῳ· καὶ σὺ ὁ
θεὸς ἀφίων ἁμαρτίας, ἐλεήμων, καὶ οἰκτίρμων μακρόθυμος,

καὶ πολυέλεως, καὶ οὐκ ἐγκατέλιπες αὐτούς. ἔτι δὲ καὶ ἐποίησαν
αὐτοῖς μόσχον χωνευτὸν, καὶ εἶπαν. οὗτοι οἱ θεοὶ οἱ ἐξάγον-
τες ἡμᾶς ἐξ αἰγύπτου. καὶ ἐποίησαν παροργισμοὺς μεγάλους
καὶ σὺ ἐν οἰκτιρμοῖς σου τοῖς μεγάλοις, οὐκ ἐγκατέλιπες αὐ-
τοὺς ἐν τῇ ἐρήμῳ. τὸν στύλον τῆς νεφέλης οὐκ ἐξέκλινας ἀπ᾽ αὐ-
τῶν ἡμέρας ὁδηγῆσαι αὐτοὺς ἐν τῇ ὁδῷ. καὶ τὸν στύλον τοῦ
πυρὸς τὴν νύκτα. φωτίζειν αὐτοὺς τὴν ὁδὸν. ἐν ᾗ πορεύσον-
ται ἐν αὐτῇ. καὶ τὸ πνεῦμά σου τὸ ἀγαθὸν ἔδωκας συνετίσαι
αὐτούς. καὶ τὸ μάννα σου οὐκ ἀφιστέρησας ἀπὸ στόματος αὐ-
τῶν. καὶ ὕδωρ ἔδωκας αὐτοῖς ἐν τῷ δίψει αὐτῶν. καὶ τεσσα-
ράκοντα ἔτη διέθρεψας αὐτοὺς ἐν τῇ ἐρήμῳ. οὐχ ὑστέρησεν αὐ-
τοῖς οὐδέν. ἱμάτια αὐτῶν οὐκ ἐπαλαιώθησαν. καὶ ὑποδήματα αὐ-
τῶν οὐ διεῤῥάγησαν. καὶ ἔδωκας αὐτοῖς βασιλείας, καὶ λαοὺς
διεμέρισας αὐτοῖς. καὶ ἐκληρονόμησαν τὴν γῆν σηὼν βασι-
λέως ἐσεβών, καὶ τὴν γῆν ὢγ βασιλέως τῆς βασάν. καὶ τοὺς υἱ-
οὺς αὐτῶν ἐπλήθυνας ὡς τοὺς ἀστέρας τοῦ οὐρανοῦ, καὶ εἰσήγα-
γες αὐτοὺς εἰς τὴν γῆν ἣν εἶπας τοῖς πατράσιν αὐτῶν, καὶ ἐκλη-
ρονόμησαν αὐτήν. καὶ ἐξέτριψας ἐνώπιον αὐτῶν τοὺς κατοικοῦν-
τας τὴν γῆν τῶν χαναναίων. καὶ ἔδωκας αὐτοὺς εἰς τὰς χεῖρας αὐ-
τῶν, καὶ τοὺς βασιλεῖς αὐτῶν καὶ τοὺς λαοὺς τῆς γῆς ποιῆσαι
αὐτοῖς ὡς ἀρεστὸν ἐνώπιον αὐτῶν. καὶ κατελάβοσαν πόλεις ὑψη-
λάς, καὶ ἐκληρονόμησαν οἰκίας πλήρεις πάντων ἀγαθῶν. λάκ-
κους λελατομημένους. ἀμπελῶνας, καὶ ἐλαιῶνας, καὶ πᾶν
ξύλον βρώσιμον εἰς πλῆθος, καὶ ἔφαγοσαν καὶ ἐνεπλήσθη-
σαν, καὶ ἐλιπάνθησαν, καὶ ἐτρύφησαν ἐν ἀγαθωσύνῃ σου τῇ
μεγάλῃ. καὶ ἤλλαξαν, καὶ ἀπέστησαν ἀπὸ σοῦ καὶ ἔῤῥιψαν τὸν
νόμον σου ὀπίσω σώματος αὐτῶν. καὶ τοὺς προφήτας σου ἀ-
πέκτειναν οἳ διεμαρτύροντο ἐν αὐτοῖς ἐπιστρέψαι αὐτοὺς πρὸς
σέ. καὶ ἐποίησαν παροργισμοὺς μεγάλους. καὶ ἔδωκας αὐ-
τοὺς ἐν χειρὶ θλιβόντων αὐτούς. καὶ ἔθλιψαν αὐτούς, καὶ ἀνε-

βόησαν πρὸς σὲ ἐν καιρῷ θλίψεως αὐτῶν, καὶ σὺ ἐξ οὐρανοῦ σου
ἤκουσας, καὶ ἐν οἰκτιρμοῖς σου τοῖς μεγάλοις ἔδωκας αὐ-
τοῖς σωτηρίαν, καὶ ἔσωσας αὐτοὺς ἐκ χειρὸς θλιβόντων αὐ-
τούς, καὶ ὡς ἀνεπαύσαντο· ἐπέστρεψαν ποιῆσαι τὸ πονηρὸν ἐ-
νώπιόν σου, καὶ ἐγκατέλιπες αὐτοὺς εἰς χεῖρας ἐχθρῶν αὐ-
τῶν· καὶ κατῆρξαν ἐν αὐτοῖς· καὶ πάλιν ἀνεβόησαν πρός σε· καὶ
σὺ ἐξ οὐρανοῦ εἰσήκουσας· καὶ ἐρρύσω αὐτοὺς ἐν οἰκτιρμοῖς
σου πολλοῖς· καὶ ἐπεμαρτύρω αὐτοῖς ἐπιστρέψαι αὐτοὺς εἰς τὸν
νόμον σου, καὶ οὐκ ἤκουσαν, ἀλλ' ἐν ταῖς ἐντολαῖς σου, καὶ κρίμα-
σιν ἡμάρτοσαν· ἃ ποιήσας αὐτὰ ἄνθρωπος ζήσεται ἐν αὐτοῖς·
καὶ ἔδωκαν νῶτον ἀπειθοῦντα· καὶ τράχηλον αὐτῶν ἐσκλήρυ-
ναν, καὶ οὐκ ἤκουσαν· καὶ εἵλκυσας ἐπ' αὐτοὺς ἔτη πολλά· καὶ ἐπε-
μαρτύρω αὐτοῖς ἐν πνεύματί σου· ἐν χειρὶ προφητῶν σου·
καὶ οὐκ ἐνωτίσαντο· καὶ ἔδωκας αὐτοὺς ἐν χειρὶ λαῶν τῆς γῆς
καὶ σὺ ἐν οἰκτιρμοῖς σου, τοῖς πολλοῖς οὐκ ἐποίησας αὐτοὺς εἰς
συντέλειαν, καὶ οὐκ ἐγκατέλιπες αὐτούς, καὶ ὅτι ἰσχυρὸς εἶ καὶ
ἐλεήμων, καὶ οἰκτίρμων· καὶ νῦν ὁ θεὸς ἡμῶν ὁ ἰσχυρός, ὁ μέγας
ὁ κραταιός· καὶ ὁ φοβερὸς φυλάσσων τὴν διαθήκην· καὶ τὸ ἔ-
λεός σου· μὴ ὀλιγωθήτω ἐνώπιόν σου πᾶς ὁ μόχθος ὃς εὗρεν
ἡμᾶς καὶ τοὺς βασιλεῖς ἡμῶν· καὶ τοὺς ἄρχοντας ἡμῶν καὶ τοὺς
ἱερεῖς ἡμῶν· καὶ τοὺς προφήτας ἡμῶν, καὶ τοὺς πατέρας ἡ-
μῶν, καὶ ἐν παντὶ τῷ λαῷ σου, ἀπὸ ἡμερῶν βασιλέων ἀσ-
σούρ, καὶ ἕως τῆς ἡμέρας ταύτης, καὶ σὺ δίκαιος εἶ ἐπὶ πᾶσι τοῖς
ἐρχομένοις ἐφ' ἡμᾶς· ὅτι ἀλήθειαν ἐποίησας· καὶ ἡμεῖς ἐξημάρ-
τομεν, καὶ οἱ βασιλεῖς ἡμῶν καὶ οἱ ἄρχοντες ἡμῶν, καὶ οἱ ἱερεῖς
ἡμῶν· καὶ οἱ πατέρες ἡμῶν οὐκ ἐποίησαν τὸν νόμον σου· καὶ
οὐ προσέσχον τὰς ἐντολάς σου, καὶ τὰ μαρτύριά σου, ἃ διε-
μαρτύρω αὐτοῖς, καὶ αὐτοὶ ἐν βασιλείᾳ σου· καὶ ἐν ἀγαθω-
σύνῃ σου τῇ πολλῇ· ᾗ ἔδωκας αὐτοῖς· καὶ ἐν τῇ γῇ πλατείᾳ· καὶ
λιπαρᾷ ᾗ ἔδωκας ἐνώπιον αὐτῶν οὐκ ἐδούλευσάν σοι, καὶ οὐκ

ἐπέστρεψαν ἀπὸ ἐπιτηδευμάτων αὐτῶν τῶν πονηρῶν. ἰδοὺ
σήμερόν ἐσμεν δοῦλοι, καὶ ἡ γῆ ἣν ἔδωκας τοῖς πατράσιν ἡ-
μῶν φαγεῖν τὸν καρπὸν αὐτῆς τοῖς βασιλεῦσιν οἷς ἔδωκας ἐφ'
ἡμᾶς ἐν ἁμαρτίαις ἡμῶν καὶ ἐπὶ τὰ σώματα ἡμῶν ἐξουσιά-
ζουσι. καὶ ἐν κτήνεσιν ἡμῶν ὡς ἀρεστὸν αὐτοῖς, καὶ ἐν θλίψει με-
γάλῃ ἐσμέν. καὶ ἐν πᾶσι τούτοις ἡμεῖς διατιθέμεθα πίστιν, καὶ
γράφομεν, καὶ ἐπισφραγίζουσι πάντες ἄρχοντες ἡμῶν λευῖ-
ται ἡμῶν, ἱερεῖς ἡμῶν. Κεφ. ι. 10

Αἱ ἐπὶ τῶν σφραγιζόντων νεεμίας. ἀρθασασθά, υἱὸς
κ ἀχαλία, καὶ σεδεκίας, υἱὸς ἀραία, καὶ ἀζαρία, καὶ
ἱερεμίας, φασούρ. ἀμαρία, μελχία, ἀττοῖς, σαβανί,
μαλλούχ. ἰράμ, μεραμώθ, ἀβδία, δανιήλ, γανναθών, βαρούχ, με-
σουλάμ, ἀβδία, μιαμίν. μααζία, βελγαΐ, σαμαία, οὗτοι ἱερεῖς.
καὶ οἱ λευῖται. ἰησοῦς, υἱὸς ἀζαρία βαναίου ἀπὸ υἱῶν ἠναλάδ
καδμιήλ. καὶ οἱ ἀδελφοὶ αὐτοῦ. σαβανία. ὠδουία. καλιτάν.
φελεϊά. ἀνάν. μιχαρώβ. ἀσεβίας. ζακχώρ. σαραβία. σεβανία,
ὠδανά, υἱοὶ βανουναὶ ἄρχοντες λαοῦ φόρος φααθμωάβ. ἠ-
λάμ. ζαθθουία. υἱοὶ βανεί. ἀσγάγ. βηβαΐ, ἀανία. βαγοί. ἠδινά-
τήρ. ἐζεκία. ἀζζούρ. ὠδουία, ἠσάμ. βησιαρίφ, ἀναθώθ. νωβαΐ,
μεγαφής, μεσουλάμ, ἠζιρμεσώ, ζεβήλ. σαδούκ, ἰεδδουά, φαλ-
τία, ἀνάν, ἀνανία, ὠσηέ, ἀνανία, ἀσούβ, ἀδώ, φαλαί. σωβήκ.
ῥαούμ. ἐσαβανά, μαασία. καὶ ἀΐα, ἀνάν, ἠνάμ, μαλούχ. ῥηούμ
βαανά. καὶ οἱ κατάλοιποι τοῦ λαοῦ. οἱ ἱερεῖς οἱ λευῖται, οἱ πυ-
λωροί, οἱ ᾄδοντες, οἱ ναθανειμί. καὶ πᾶς ὁ προσπορευόμενος
ἀπὸ τοῦ λαοῦ τῆς γῆς πρὸς τὸν νόμον τοῦ θεοῦ γυναῖκες αὐτῶν.
υἱοὶ αὐτῶν θυγατέρες αὐτῶν. πᾶς ὁ εἰδὼς καὶ συνιὼν ἐνίσχυον
ἐπὶ τοὺς ἀδελφοὺς αὐτῶν, καὶ κατηράσαντο αὐτούς, καὶ εἰσῆλ-
θον ἐν ἀρᾷ, καὶ ἐν ὅρκῳ τοῦ πορεύεσθαι ἐν νόμῳ τοῦ θεοῦ ὃς ἐδό-
θη ἐν χειρὶ μωϋσῆ δούλου τοῦ θεοῦ φυλάσσεσθαι καὶ ποιεῖν πάν-
τας τὰς ἐντολὰς κυρίου, καὶ κρίματα αὐτοῦ τοῦ μὴ δοῦναι θυ-

γατέρας ἡμῶν τοῖς λαοῖς τῆς γῆς· καὶ τὰς θυγατέρας αὐτῶν οὐ ληψόμεθα τοῖς υἱοῖς ἡμῶν. καὶ λαοὶ τῆς γῆς οἱ φέροντες τοὺς ἀγορασμούς, καὶ πᾶσαν πρᾶσιν ἐν ἡμέρᾳ τοῦ σαββάτου ἀποδόσθαι οὐκ ἀγοράσωμεν παρ' αὐτῶν ἐν σαββάτῳ, καὶ ἐν ἡμέρᾳ ἁγίᾳ καὶ ἀνήσωμεν τὸ ἔτος τὸ ἕβδομον, καὶ ἀπαίτησιν πάσης χειρός, καὶ στήσωμεν ἐφ' ἡμᾶς, ἐντολὰς δοῦναι ἐφ' ἡμᾶς τρίτον τοῦ διδράχμου κατ' ἐνιαυτὸν εἰς δουλείαν οἴκου τοῦ θεοῦ ἡμῶν εἰς ἄρτους τοῦ προσώπου, καὶ θυσίαν τοῦ ἐνδελεχισμοῦ, καὶ εἰς ὁλοκαύτωμα τοῦ ἐνδελεχισμοῦ τῶν σαββάτων τῶν νουμηνιῶν εἰς τὰς ἑορτὰς καὶ εἰς τὰ ἅγια καὶ τὰ περὶ ἁμαρτίας ἐξιλάσασθαι περὶ ἰσραὴλ καὶ εἰς ἔργα οἴκου τοῦ θεοῦ ἡμῶν, καὶ κλήρους ἐβάλομεν περὶ κλήρου ξυλοφορίας. οἱ ἱερεῖς, καὶ οἱ λευῖται καὶ ὁ λαὸς ἐνέγκαι εἰς οἶκον θεοῦ ἡμῶν εἰς οἴκους πατριῶν ἡμῶν. εἰς καιροὺς ἀπὸ χρόνων ἐνιαυτῶν κατ' ἐνιαυτὸν ἐκκαῦσαι ἐπὶ τὸ θυσιαστήριον κυρίου τοῦ θεοῦ ἡμῶν ὡς γέγραπται ἐν τῷ νόμῳ καὶ ἐνέγκαι τὰ πρωτογενήματα τῆς γῆς ἡμῶν καὶ πρωτογενήματα καρποῦ παντὸς ξύλου ἐνιαυτὸν κατ' ἐνιαυτὸν εἰς οἶκον κυρίου. καὶ τὰ πρωτότοκα υἱῶν ἡμῶν καὶ κτηνῶν ἡμῶν, ὡς γέγραπται ἐν τῷ νόμῳ, καὶ τὰ πρωτότοκα τῶν βοῶν ἡμῶν, καὶ ποιμνίων ἡμῶν ἐνέγκαι εἰς οἶκον θεοῦ ἡμῶν τοῖς ἱερεῦσι τοῖς λειτουργοῦσιν ἐν οἴκῳ θεοῦ ἡμῶν. καὶ τὴν ἀπαρχὴν σίτων ἡμῶν, καὶ τὸν καρπὸν παντὸς ξύλου οἴνου καὶ ἐλαίου οἴσομεν τοῖς ἱερεῦσιν εἰς τὸ γαζοφυλάκιον οἴκου τοῦ θεοῦ, καὶ δεκάτας γῆς ἡμῶν τοῖς λευίταις. καὶ αὐτοὶ οἱ λευῖται δεκατοῦντες ἐν πάσαις πόλεσι δουλείας ἡμῶν. καὶ ἔσται ὁ ἱερεὺς υἱὸς ἀαρὼν μετὰ τοῦ λευίτου ἐν τῇ δεκάτῃ τοῦ λευίτου, καὶ οἱ λευῖται ἀνοίσουσι τὴν δεκάτην τῆς δεκάτης εἰς οἶκον θεοῦ ἡμῶν εἰς γαζοφυλάκια εἰς οἶκον τοῦ θεοῦ, ὅτι εἰς τοὺς θησαυροὺς εἰσοίσουσιν οἱ υἱοὶ ἰσραήλ, καὶ οἱ υἱοὶ τοῦ λευὶ τὰς ἀπαρχὰς τοῦ σίτου, καὶ τοῦ οἴνου, καὶ τοῦ ἐλαίου. καὶ ἐκεῖ σκεύη τὰ ἅγια, καὶ οἱ

ἱερεῖς οἱ λειτουργοί, καὶ οἱ πυλωροὶ καὶ οἱ ᾄδοντες καὶ οὐκ ἐγκα-
ταλείψομεν τὸν οἶκον τοῦ θεοῦ ἡμῶν.

Κεφάλαιον ια. 11.

οα Αἰ ἐκάθισαν οἱ ἄρχοντες τοῦ λαοῦ ἐν ἱερουσαλήμ· καὶ
κ οἱ κατάλοιποι τοῦ λαοῦ ἔλαβον κλήρους ἐνέγκαι ἕνα
ἀπὸ τῶν δέκα καθίσαι ἐν ἱερουσαλὴμ τῇ πόλει τῇ
ἁγίᾳ· καὶ ἐννέα μέρη ἐν ταῖς πόλεσι, καὶ εὐλόγησεν ὁ λαὸς τοὺς
πάντας ἄνδρας τοὺς ἑκουσιαζομένους καθίσαι ἐν ἱερουσαλήμ.
οβ Καὶ οὗτοι οἱ ἄρχοντες τῆς χώρας οἳ ἐκάθισαν ἐν ἱε-
ρουσαλήμ, καὶ ἐν πόλεσιν ἰούδα ἐκάθισεν ἀνὴρ ἐν κατασχέσει
αὐτοῦ ἐν πόλεσιν αὐτῶν, ἰσραήλ, οἱ ἱερεῖς καὶ οἱ λευῖται, καὶ οἱ
ναθιναῖοι, καὶ υἱοὶ δούλων σαλωμών. καὶ ἐν ἱερουσαλὴμ ἐκάθισαν
ἀπὸ υἱῶν ἰούδα, καὶ ἀπὸ υἱῶν βενιαμίν. καὶ ἀπὸ υἱῶν ἰούδα ἀθαι-
αὶ υἱὸς ἀζία. υἱὸς ζαχαρίου. υἱὸς σαμαρία. υἱὸς σαφατίου.
υἱὸς μασεήλ, καὶ ἀπὸ τῶν υἱῶν φαρές, καὶ μααλία. υἱὸς βαρούχ.
υἱὸς χαλαζά. υἱὸς ὀζία. υἱὸς ἀδαΐα. υἱὸς ἰωαρείμ. υἱὸς ζαχαρίου.
υἱὸς τοῦ σηλωνί. πάντες υἱοὶ φαρές, οἱ καθήμενοι ἐν ἱερουσαλὴμ
τετρακόσιοι ἑξηκονταοκτὼ ἄνδρες δυνάμεως καὶ οὗτοι υἱοὶ βενια-
μίν. σηλώ. υἱὸς μεσουλά. υἱὸς ἰωάδ. υἱὸς φαδαΐα. υἱὸς κωλεία.
υἱὸς μαασίου. υἱὸς ἐθιήλ. υἱὸς ἰωσαΐ. καὶ ὀπίσω αὐτοῦ γηβηλὶ ἐν-
νακόσιοι εἴκοσι ὀκτώ, καὶ ἰωήλ. υἱὸς ζεχρὶ ἐπίσκοπος ἐπ' αὐτοὺς
καὶ ἰούδα. υἱὸς ἀσανὰ ἀπὸ τῆς πόλεως δεύτερος ἀπὸ τῶν ἱερέων, καὶ
ἰαδία. υἱὸς ἰωαρίμ. ἰαχὶν σαραία υἱὸς ἐλχίνα. υἱὸς μεσουλάμ.
υἱὸς ἀλούκ. υἱὸς μαριώθ. υἱὸς αὐτῶβ ἀπέναντι οἴκου τοῦ θεοῦ. καὶ οἱ
ἀδελφοὶ αὐτοῦ ποιοῦντες τὸ ἔργον οἴκου, ὀκτακόσιοι εἴκοσι δύο.
καὶ ἀδαΐα. υἱὸς ἱεροάμ. υἱοῦ φαλαλία. υἱοῦ ναμάσι. υἱοὶ ζαχα-
ρία. υἱὸς φασεθοὺρ. υἱὸς μελχία, καὶ ἀδελφοὶ αὐτοῦ ἄρχοντες
πατριῶν, διακόσιοι τεσσαράκοντα δύο. καὶ μαασαὶ υἱὸς ἐ-
σριήλ. υἱοῦ μεσαειμίθ. υἱοῦ ἐμήρ, καὶ ἀδελφοὶ αὐτοῦ δυνα-
τοὶ παρατάξεως, ἑκατὸν εἴκοσι ὀκτώ, καὶ ἐπίσκοπος ἐπ' αὐτῶν

σεκριήλ. υἱὸς τῶν μεγάλων, καὶ ἀπὸ τῶν λευιτῶν σαμαΐα. υἱὸς
ἀσσούβ. υἱὸς ἐσρὶ, καὶ μαθθανίας. υἱὸς μιχαὶ. καὶ ἰωβήβ. υἱὸς σα
μουὶ διακόσιοι ὀγδοήκοντα τέσσαρες. καὶ οἱ πυλωροὶ ἀκούβ.
τελαμὶν, καὶ οἱ ἀδελφοὶ αὐτῶν ἑκατὸν ἑβδομήκοντα δύο.
καὶ ἐπίσκοπος λευιτῶν. υἱὸς βανί. υἱὸς ὀζί. υἱὸς σαβία. υἱὸς μι
χά. ἀπὸ υἱῶν ἀσάφ. τῶν ᾀδόντων ἀπέναντι ἔργου οἴκου τοῦ θε
οῦ. ὅτι ἐντολὴ τοῦ βασιλέως ἐπ' αὐτούς, καὶ φαταΐα. υἱὸς βασι
ζὰ πρὸς χεῖρα τοῦ βασιλέως εἰς πᾶν ῥῆμα τῷ λαῷ, καὶ πρὸς
τὰς ἐπαύλεις ἐν ἀγρῷ αὐτῶν, καὶ ἀπὸ υἱῶν ἰούδα ἐκάθησαν
ἐν καριαθαρβὼκ, καὶ ἐν ἰησοῦ, καὶ ἐν βηρσαβεὲ, καὶ ἐπαύλεις
αὐτῶν λαχὶς, καὶ οἱ ἀγροὶ αὐτῆς, καὶ παρενεβάλοσαν ἐν βηρσα
βεὲ, καὶ οἱ υἱοὶ βενιαμὶν, ἀπὸ γαβὰδ μαχαμὰς, καὶ ἀπὸ τῶν
λευιτῶν μερίδες ἰούδα τῷ βενιαμίν.

Κεφάλαιον ιβ. 12.

ογ' Αἱ οὗτοι οἱ ἱερεῖς. καὶ οἱ λευῖται οἱ ἀναβάντες με
κ τὰ ζοροβάβελ υἱοῦ σαλαθιήλ. καὶ ἰησοῦ σαραΐα ἱερε
μία. ἔσδρα. ἀμαρία. μαλούχ. σελχενία. οὗτοι οἱ ἄρ
χοντες τῶν ἱερέων καὶ ἀδελφοὶ αὐτῶν ἐν ἡμέραις ἰησοῦ καὶ οἱ
λευῖται ἰησοῦ. βανουὶ καδμιήλ. σαραβία. ἰωδαὲ, μαθθανίας ἐπὶ
τῶν χειρῶν αὐτὸς καὶ οἱ ἀδελφοὶ αὐτῶν εἰς τὰς ἐφημερίας. καὶ
ἰησοῦς ἐγέννησε τὸν ἰωακεὶμ, καὶ ἰωακεὶμ ἐγέννησε τὸν ἐλιασὶβ
καὶ ἐλιασὶβ τὸν ἰωδαέ. καὶ ἰωδαὲ ἐγέννησε τὸν ἰωνάθαν, καὶ ἰω
νάθαν ἐγέννησε τὸν ἀδδού.

οδ' Καὶ ἐν ἡμέραις ἰωακεὶμ ἀδελφοὶ αὐτοῦ οἱ ἱερεῖς καὶ
οἱ ἄρχοντες τῶν πατριῶν τῷ σαραΐα. ἀμαρία τῷ ἱερεμίᾳ
ἀνανίᾳ τῷ ἔσδρᾳ μεσουλάμ. τῷ ἀμαρίᾳ. ἰωνὰν τῷ ἀμα
λοὺχ ἰωνάθαν. τῷ σελχενίου. ἰωσὴφ τῷ ἀρὰμ μαννὰς, τῷ μαερ
ὼθ ἑλκὲ τῷ ἀδαδαΐ. ζαχαρία τῷ γαναθὼθ. μεσολλὰμ. τῷ ἀβι
ὰ ζεχρὶ τῷ βενιαμίν. κέρος τῷ φελλετὶ τῷ βαλγὰς μαμοῦ σεμε
ία ἰωνάθαν τῷ ἰαρίμ. μαθθαναί. ζῷ ἐδίῳ. ὀζὶ τῷ σαλαί. καλλαί

κάβδιὴλ τοῦ ἐλκία ἀσεβίας ἰωνάθαν. σεέλ. οἱ λευῖται ἐν ἡμέ-
ραις ἐλιασίβ. ἰωαδά. καὶ ἰωὰ, καὶ ἰωάνναν. καὶ ἰδάα. γεγραμ-
μένοι ἄρχοντες τῶν πατριῶν. καὶ ἱερεῖς ἐν βασιλείᾳ δαρείου
τοῦ πέρσου υἱοὶ δὲ λευὶ ἄρχοντες τῶν πατριῶν γεγραμμένοι ἐ-
πὶ βιβλίου λόγων τῶν ἡμερῶν. καὶ ἕως ἡμερῶν ἰονὰν υἱοῦ ἐλισουὲ
καὶ οἱ ἄρχοντες τῶν λευιτῶν ἀραβία καὶ σαραβία καὶ ἰησοῦ.
οε Καὶ υἱοὶ καδμιήλ. καὶ ἀδελφοὶ αὐτῶν κατεναντίον
αὐτῶν εἰς αἰνεῖν καὶ ὑμνεῖν ἐν ἐντολῇ δαβὶδ ἀνθρώπου τοῦ θεοῦ
ἐφημερία πρὸς ἐφημερίαν ἐν τῷ συνάγειν με τοὺς πυλωροὺς
ἐν ἡμέραις ἰωακεὶμ υἱοῦ ἰησοῦ. υἱοῦ ἰωσεδέκ. καὶ ἐν ἡμέραις νε-
εμίᾳ. καὶ ἔσδρα ἱερέως, καὶ γραμματέως, καὶ ἐν ἐγκαινίοις
τείχους ἱερουσαλήμ. ἐζήτησαν τοὺς λευίτας ἐν τοῖς τόποις αὐ-
τῶν τοῦ ἐνέγκαι αὐτοὺς εἰς ἱερουσαλήμ. ποιῆσαι ἐγκαίνια καὶ
εὐφροσύνην ἐν θωδαθὰ, καὶ ἐν ᾠδαῖς κυμβαλίζοντες. καὶ
ψαλτήρια, καὶ κινύραι καὶ συνήχθησαν υἱοὶ τῶν ᾀδόντων καὶ
ἀπὸ τῆς περιχώρου κυκλόθεν εἰς ἱερουσαλήμ. καὶ ἀπὸ ἐπαύλε-
ων καὶ ἀπὸ ἀγρῶν ὅτι ἐπαύλεις ᾠκοδόμησαν ἑαυτοῖς οἱ ᾄδον-
τες ἐν ἱερουσαλήμ. καὶ ἐκαθαρίσθησαν οἱ ἱερεῖς καὶ οἱ λευῖται
καὶ ἐκαθάρισαν τὸν λαὸν καὶ τοὺς πυλωροὺς καὶ τὸ τεῖχος. καὶ
ἀνήνεγκαν τοὺς ἄρχοντας ἰούδα ἐπάνω τοῦ τείχους καὶ ἔστησαν
δύο περὶ αἰνέσεως μεγάλους. καὶ διῆλθον ἐκ δεξιῶν ἐπάνω
τοῦ τείχους τῆς κοπρίας καὶ ἐπορεύθησαν ὀπίσω αὐτῶν ὠσαΐας
καὶ ἥμισυ ἀρχόντων ἰούδα, καὶ ἀζαρίας, καὶ ἔσδρα καὶ μισολ-
λαμ. ἰούδα καὶ βενιαμὶν καὶ σαλμαίας καὶ ἱερεμίας.
ος Καὶ ἀπὸ τῶν υἱῶν τῶν ἱερέων ἐν σάλπιγξι ζαχαρί-
ας, υἱὸς ἰωνάθαν υἱὸς σεμαΐαν. υἱὸς μαθθανία. υἱὸς μαχαΐαν.
υἱὸς ζαμχούρ. υἱὸς ἀσάφ. καὶ ἀδελφοὶ αὐτοῦ σεμαΐα, καὶ ὀζιὴλ
γελὼν ἰαμαΐα. ναθαναὴλ. καὶ ἰούδας αὐανὶ τοῦ αἰνεῖν ἐν ᾠδαῖς
δαβὶδ ἀνθρώπου τοῦ θεοῦ. καὶ ἔσδρας ὁ γραμματεὺς ἔμπρο-
σθεν αὐτῶν ἐπὶ πύλης τοῦ αἰνεῖν κατέναντι αὐτῶν καὶ ἀνέβησαν

ἐπὶ κλίμακας πόλεως δαβὶδ ἐν ἀναβάσει τοῦ τείχους ἐπάνωθεν τοῦ οἴκου δαβὶδ καὶ ἕως τῆς πύλης τοῦ ὕδατος κατ' ἀνατολάς. καὶ περὶ συνέσεως ἡ δευτέρα ἐξεπορεύετο συναντῶσα αὐτοῖς καὶ ἐγὼ ὀπίσω αὐτῆς καὶ τὸ ἥμισυ τοῦ λαοῦ ἐπάνω τοῦ τείχους, ὑπὲρ ἄνω τοῦ πύργου τῶν θεννουρίμ. καὶ ἕως τοῦ τείχους τοῦ πλατέος. καὶ ὑπὲρ ἄνω τοῦ τείχους ἐφραὶμ, καὶ ἐπὶ τὴν πύλην εἰς τὴν ἰανὰ καὶ ἐπὶ πύλην τὴν ἰχθηρὰν. καὶ πύργον ἀναμεὴλ καὶ ἀπὸ τοῦ πύργου τοῦ μέα καὶ ἕως πύλης τῆς προβατικῆς καὶ ἔστησαν ἐπὶ πύλης τῆς φυλακῆς καὶ ἔστησαν αἱ δύο τῆς συνέσεως ἐν οἴκῳ τοῦ θεοῦ καὶ ἐγὼ τὸ ἥμισυ τῶν στρατηγῶν μετ' ἐμοῦ. καὶ οἱ ἱερεῖς ἐλιακεὶμ μασίας. βενιαμίν. μιχαίας. ἐλιωηνά. ζαχαρίας. ἀνανίας. καὶ σεμεΐας. καὶ ἐλεάζαρ. καὶ ὀζία. καὶ ἰωανὰ καὶ ἐμελχίας καὶ ἐλαμίας. καὶ ἐζοὺρ καὶ ἠκούσθησαν οἱ ᾄδοντες. καὶ ἰεζρίας καὶ ἐπεσκέφθησαν καὶ ἐπευφήμησαν. καὶ ἔθυσαν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ θυσιάσματα μεγάλα καὶ εὐφράνθησαν. ὅτι ὁ θεὸς εὔφρανεν αὐτοὺς μεγάλως. καὶ αἱ γυναῖκες αὐτῶν καὶ τὰ τέκνα αὐτῶν εὐφράνθησαν, καὶ ἠκούσθη εὐφροσύνη ἐν ἱερουσαλὴμ μακρόθεν.

ος' Καὶ κατέστησαν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἄνδρας ἐπὶ τῶν γαζοφυλακίων τοῖς θησαυροῖς ταῖς ἀπαρχαῖς καὶ ταῖς δεκάταις. καὶ τοῖς συνηγμένοις ἐν αὐτοῖς ἄρχουσι τῶν πόλεων μερίδας τοῖς ἱερεῦσι καὶ τοῖς λευΐταις ὅτι εὐφροσύνη ἦν ἐν ἰούδα καὶ ἐπὶ τοὺς ἱερεῖς. καὶ ἐπὶ τοὺς λευΐτας τοὺς ἑστῶτας. καὶ ἐφύλαξαν φυλακὰς οἴκου τοῦ θεοῦ αὐτῶν καὶ φυλακὰς τοῦ καθαρισμοῦ. καὶ τοὺς ᾄδοντας, καὶ τοὺς πυλωροὺς ὡς ἐντολαὶ δαβὶδ, καὶ σαλομὼν υἱοῦ αὐτοῦ ὅτι ἐν ἡμέραις δαβὶδ ἀσὰφ ἀπαρχῆς πρῶτος τῶν ᾀδόντων. καὶ ὕμνον καὶ αἴνεσιν τῷ θεῷ καὶ πᾶς ἰσραὴλ ἐν ἡμέραις ζοροβάβελ. καὶ ἐν ταῖς ἡμέραις νεεμίου διδόντες μερίδας τῶν ᾀδόντων, καὶ τῶν πυλωρῶν λόγος ἡμέρας ἐν ἡμέρᾳ αὐτοῦ. καὶ ἁγιάζοντες τοῖς λευΐταις. καὶ οἱ

λευῖται ἁγιάζοντες τοῖς υἱοῖς ἀαρών.

Κεφάλαιον. ιγ΄. 13.

ού Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἀνεγνώσθη ἐν βιβλίῳ μωϋσῆ ἐν
ὠσὶ τοῦ λαοῦ. καὶ εὑρέθη γεγραμμένον ἐν αὐτῷ ὅ-
πως μὴ εἰσέλθωσιν ἀμμανῖται, καὶ μωαβῖται ἐν
ἐκκλησίᾳ θεοῦ ἕως αἰῶνος· ὅτι οὐ συνήντησαν τοῖς υἱοῖς ἰσρα-
ὴλ ἐν ἄρτοις καὶ ὕδατι. καὶ ἐμισθώσαντο ἐπ' αὐτὸν τὸν βαλαὰμ, κα-
ταράσασθαι. καὶ ἐπέστρεψεν ὁ θεὸς ἡμῶν τὴν κατάραν εἰς εὐλο-
γίαν. καὶ ἐγένετο ὡς ἤκουσαν τὸν νόμον. καὶ ἐχωρίσθησαν πᾶς ἐπί-
μικτος ἐν ἰσραήλ. καὶ πρὸ τούτου ἐλιασὶβ ὁ ἱερεὺς οἰκῶν ἐν γαζο-
φυλακίῳ οἴκου θεοῦ ἡμῶν ἁγίου τοῦ τωβίᾳ. καὶ ἐποίησεν αὐτῷ
γαζοφυλάκιον μέγα. καὶ ἐκεῖ ἦσαν πρότερον διδόντες τὴν μα-
ναὰ, καὶ τὸν λίβανον, καὶ τὰ σκεύη καὶ τὴν δεκάτην τοῦ σίτου, καὶ τοῦ
οἴνου καὶ τοῦ ἐλαίου, ἐντολὴν τῶν λευιτῶν καὶ τῶν ᾀδόντων καὶ τῶν πυ-
λωρῶν καὶ ἀπαρχὰς τῶν ἱερέων. καὶ ἐν παντὶ τούτῳ οὐκ ἤμην ἐν
ἱερουσαλήμ. ὅτι ἐν ἔτει τριακοστῷ καὶ δευτέρῳ τοῦ ἀρθασα-
σθὰ βασιλέως βαβυλῶνος ἦλθον πρὸς τὸν βασιλέα. καὶ μετὰ τὸ
τέλος τῶν ἡμερῶν ᾐτησάμην παρὰ τοῦ βασιλέως. καὶ ἦλθον εἰς
ἱερουσαλήμ. καὶ συνῆκα ἐν τῇ πονηρίᾳ ᾗ ἐποίησεν ἐλιασὶβ, τῷ
τωβίᾳ ποιῆσαι αὐτῷ γαζοφυλάκιον ἐν αὐλῇ οἴκου τοῦ θεοῦ. καὶ
πονηρόν μοι ἐφάνη σφόδρα. καὶ ἔρριψα πάντα τὰ σκεύη οἴκου
τωβία ἔξω ἀπὸ τοῦ γαζοφυλακίου καὶ εἶπα, καὶ ἐκαθάρισαν τὰ γα-
ζοφυλάκια καὶ ἐπέστρεψα ἐκεῖ σκεύη οἴκου τοῦ θεοῦ τὴν μανα-
άρ. καὶ τὸν λίβανον. καὶ ἔγνων ὅτι μερίδες τῶν λευιτῶν οὐκ ἐδόθη-
σαν. καὶ ἐφύγοσαν ἀνὴρ εἰς ἀγρὸν ἑαυτοῦ οἱ λευῖται. καὶ οἱ ᾄ-
δοντες ποιοῦντες τὸ ἔργον. καὶ ἐμαχεσάμην τοῖς στρατηγοῖς καὶ
εἶπον διατί ἐγκατελείφθη, ὁ οἶκος τοῦ θεοῦ. καὶ συνήγαγον αὐ-
τοὺς καὶ ἔστησαν αὐτοὺς ἐπὶ τῇ στάσει αὐτῶν. καὶ πᾶς ἰούδα ἤ-
νεγκαν δεκάτην τοῦ πυροῦ καὶ τοῦ οἴνου καὶ τοῦ ἐλαίου εἰς τοὺς θη-
σαυροὺς ἐπὶ χεῖρας σελεμία τοῦ ἱερέως καὶ σαδὼκ τοῦ γραμ-

ματίας. καὶ φαδαΐα ἀπὸ τῶν λευιτῶν. καὶ ἐπὶ χεῖρα αὐτῶν
ἀνὰν υἱὸς ζαχοὺρ υἱὸς μαθθανίου. ὅτι πιστοὶ ἐλογίσθησαν ἐπ'
αὐτοὺς μερίζειν τοῖς ἀδελφοῖς αὐτῶν. μνήσθητί μου ὁ θεὸς ἐν
ταύτῃ καὶ μὴ ἐξαλειφθήτω ἔλεός μου ὃ ἐποίησα ἐν οἴκῳ κυρίου τοῦ θεοῦ.
οθ Καὶ ἐν ταῖς ἡμέραις ἐκείναις εἶδον ἐν ἰούδα πατοῦν-
τας ληνοὺς ἐν σαββάτῳ καὶ φέροντας δράγματα καὶ ἐπιγεμί-
ζοντας ἐπὶ τὰς ὄνους καὶ οἶνον καὶ σταφυλὴν καὶ σῦκα. καὶ πᾶν βά-
σταγμα καὶ φέροντας εἰς ἱερουσαλὴμ, ἐν ἡμέρᾳ σαββάτου. καὶ ἐπε-
μαρτυράμην ἐν ἡμέρᾳ πράσεως αὐτῶν ὅτι ἐπώλουν ἐπισιτι-
σμὸν καὶ οἱ τύριοι. καὶ ἐκάθισαν ἐν αὐτῇ φέροντες ἰχθὺν καὶ
πᾶσαν πρᾶσιν πωλοῦντες τῷ σαββάτῳ τοῖς υἱοῖς ἰούδα, καὶ
ἐν ἱερουσαλήμ. καὶ ἐμαχεσάμην τοῖς υἱοῖς ἰούδα τοῖς ἐλευθέ-
ροις. καὶ εἶπα αὐτοῖς. τίς ὁ λόγος οὗτος ὁ πονηρὸς, ὃν ὑμεῖς ποι-
εῖτε καὶ βεβηλοῦτε τὴν ἡμέραν τοῦ σαββάτου. οὐχὶ οὕτως ἐποί-
ησαν οἱ πατέρες ἡμῶν. καὶ ἤνεγκεν ἐπ' αὐτοὺς ὁ θεὸς ἡμῶν, καὶ
ἐφ' ἡμᾶς πάντα τὰ κακὰ ταῦτα καὶ ἐπὶ τὴν πόλιν ταύτην; καὶ ὑ-
μεῖς προστίθετε ὀργὴν ἐπὶ ἰσραὴλ βεβηλῶσαι τὸ σάββατον. καὶ ἐ-
γένετο ἡνίκα κατέστησαν πύλαι ἐν ἱερουσαλὴμ πρὸ τοῦ σαββάτου. καὶ
εἶπα καὶ ἔκλεισαν τὰς πύλας. καὶ εἶπα ὥστε μὴ ἀνοῖξαι αὐ-
τὰς ἕως ὀπίσω τοῦ σαββάτου. καὶ ἐκ τῶν παιδαρίων μου ἔστησα
ἐπὶ τὰς πύλας. ὥστε μὴ αἴρειν βαστάγματα ἐν ἡμέρᾳ τοῦ σαβ-
βάτου. καὶ ηὐλίσθησαν πάντες καὶ ἐποίησαν πρᾶσιν ἔξω ἱερουσα-
λὴμ, ἅπαξ καὶ δὶς, καὶ διεμαρτυράμην αὐτοῖς. καὶ εἶπον
πρὸς αὐτοὺς διατί ὑμεῖς αὐλίζεσθε ἀπέναντι τοῦ τείχους ἐὰν
δευτερώσητε ἐκτενῶ τὴν χεῖρά μου ἐν ὑμῖν. ἀπὸ τοῦ καιροῦ ἐκεί-
νου οὐκ ἤλθοσαν ἐν σαββάτῳ, καὶ εἶπα τοῖς λευίταις οἳ ἦσαν
καθαριζόμενοι, καὶ ἐρχόμενοι φυλάσσοντες τὰς πύλας ἁγιάζειν
τὴν ἡμέραν τοῦ σαββάτου.
π Πρὸς ταῦτα μνήσθητί μου ὁ θεὸς καὶ φεῖσαί μου κατὰ
τὸ πλῆθος τοῦ ἐλέους σου. καὶ ἐν ταῖς ἡμέραις ἐκείναις εἶδον

τοὺς ἰουδαίους οἳ ἐκάθισαν γυναῖκας ἀζωτίας ἀμμανίτιδας,
μωαβίτιδας καὶ οἱ υἱοὶ αὐτῶν ἥμισυ λαλοῦσιν ἀζωτιστί· καὶ
οὐκ εἰσὶν ἐπιγινώσκοντες λαλεῖν ἰουδαϊστί· καὶ ἐμαχεσάμην
μετ᾽ αὐτῶν καὶ κατηρασάμην αὐτούς· καὶ ἐπάταξα ἐν αὐτοῖς ἄν-
δρας καὶ ἐμαδάρωσα αὐτούς· καὶ ὥρκισα αὐτοὺς ἐν τῷ θεῷ ἐὰν
δῶτε τὰς θυγατέρας ἡμῶν τοῖς υἱοῖς αὐτῶν· καὶ ἐὰν λάβητε ἀπὸ
τῶν θυγατέρων αὐτῶν τοῖς υἱοῖς ὑμῶν· οὐχ οὕτως ἥμαρτεν σαλω-
μὼν βασιλεὺς ἰσραήλ, καὶ ἐν ἔθνεσι πολλοῖς οὐκ ἦν ὁ βασιλεὺς
ὅμοιος αὐτῷ· καὶ ἀγαπώμενος τῷ θεῷ ἦν καὶ ἔδωκεν αὐτὸν
ὁ θεὸς εἰς βασιλέα ἐπὶ πάντα ἰσραήλ· καὶ τοῦτον ἐξέκλιναν αἱ γυ-
ναῖκες αἱ ἀλλότριαι; καὶ ὑμῶν μὴ ἀκουσόμεθα ποιῆσαι τὴν πᾶ-
σαν πονηρίαν ταύτην ἀσυνθετῆσαι ἐν τῷ θεῷ ἡμῶν καθίσαι
γυναῖκας ἀλλοτρίας, καὶ ἀπὸ υἱῶν ἰωαδὰ τοῦ ἐλιασὶβ τοῦ ἱερέως
τοῦ μεγάλου νυμφίου τοῦ σαναβαλλὰτ τοῦ ὠρανίτου· καὶ ἐξέβρασα
αὐτὸν ἀπ᾽ ἐμοῦ. μνήσθητι αὐτοῖς ὁ θεὸς ἐπὶ ἀγχιστείᾳ τῆς ἱερα-
τείας, καὶ τοὺς λευίτας καὶ ἐκαθάρισα αὐτοὺς ἀπὸ πάσης
ἀλλοτριώσεως, καὶ ἔστησα ἐφημερίας τοῖς ἱερεῦσιν
καὶ τοῖς λευίταις ἀνὴρ ὡς τὸ ἔργον αὐτοῦ
καὶ τὸ δῶρον τῶν ξυλοφόρων
ἐν καιροῖς ἀπὸ χρό-
νων, καὶ ἐν τοῖς
βακ-
χουρίοις· μνή-
σθητί μου ὁ θεὸς ἡμῶν
εἰς ἀγαθωσύ-
νην.

Τέλος τοῦ Νεεμίου.

α Ἔτους δευτέρου βασιλεύοντος ἀρταξέρξου.
β Καὶ ἐγένετο μετὰ τοὺς λόγους τούτους.
γ καὶ ἄνθρωπος ἦν ἰουδαῖος ἐν σούσοις τῇ πόλει, καὶ ὄνομα αὐτῷ μαρδοχαῖος.
δ καὶ εἰσῆλθεν ἐσθὴρ πρὸς ἀρταξέρξην, τὸν βασιλέα.
ε Καὶ ἐλυπήθησαν οἱ δύο εὐνοῦχοι τοῦ βασιλέως οἱ ἀρχισωματοφύλακες.
ς καὶ μετὰ ταῦτα ἐδόξασεν ὁ βασιλεὺς ἀρταξέρξης ἀμάν.
ζ Καὶ ὑπέδειξεν αὐτοῖς ὁ μαρδοχαῖος, ὅτι ἰουδαῖός ἐστι.
η Καὶ ἐλάλησε πρὸς τὸν βασιλέα ἀρταξέρξην λέγων.
θ Βασιλεὺς μέγας ἀρταξέρξης τοῖς ἀπὸ τῆς ἰνδικῆς ἕως τῆς αἰθιοπίας.
ι Ὁ δὲ μαρδοχαῖος ἐπιγνοὺς τὸ συντελούμενον.
ια Καὶ εἰσῆλθον αἱ ἅβραι, καὶ οἱ εὐνοῦχοι τῆς βασιλίσσης, καὶ ἀπήγγειλαν αὐτῇ.
ιβ Ἡ δὲ ἐσθὴρ προσεκαλέσατο ἀχραθαῖον τὸν εὐνοῦχον αὐτοῦ.
ιγ Εἰσελθὼν δὲ ὁ ἀχραθαῖος ἐλάλησεν αὐτῇ.
ιδ Εἶπε δὲ ἐσθὴρ πρὸς τὸν ἀχραθαῖον.
ιε καὶ ἀπήγγειλεν ἀχραθαῖος μαρδοχαίῳ.
ις Καὶ εἶπε μαρδοχαῖος πρὸς ἀχραθαῖον.
ιζ καὶ ἀπέστειλεν ἐσθὴρ τὸν ἥκοντα πρὸς αὐτόν.
ιη καὶ βαδίσας μαρδοχαῖος ἐποίησεν ὅσα ἐνετείλατο αὐτῷ ἐσθήρ.
ιθ Καὶ ἐσθὴρ βασίλισσα κατέφυγεν ἐπὶ τὸν κύριον.
κ καὶ ἐγενήθη ἐν τῇ ἡμέρᾳ τῇ τρίτῃ.
κα καὶ αὐτὸς ἐκάθητο ἐπὶ τοῦ θρόνου.

κβʹ Καὶ ἔπεσον ἡ βασίλισσα.

κγʹ καὶ μετέβαλεν ὁ θεὸς τὸ πνεῦμα τοῦ βασιλέως εἰς πραΰτητα.

κδʹ καὶ εἶπεν αὐτῷ εἶδόν σε κύριε ὡς ἄγγελον θεοῦ.

κεʹ Ἐν τῷ διαλέγεσθαι αὐτήν.

κϛʹ καὶ εἶπεν ὁ βασιλεὺς τί θέλεις ἐσθήρ.

κζʹ Εἶπε δὲ ἐσθὴρ ἡμέρα μου ἐπίσημος σήμερόν ἐστιν

κηʹ καὶ εἶπεν ὁ βασιλεὺς κατασπεύσατε ἀμάν.

κθʹ καὶ ἐξῆλθεν ἀμὰν ἀπὸ τοῦ βασιλέως ὑπερχαρὴς

λʹ καὶ εἶπε πρὸς αὐτὸν ζωσάρα ἡ γυνὴ αὐτοῦ.

λαʹ καὶ ἤρεσε τὸ ῥῆμα τῷ ἀμάν.

λβʹ Ὁ δὲ κύριος ἀπέστησε τὸν ὕπνον ἀπὸ τοῦ βασιλέως.

λγʹ ἐν δὲ τῷ πυνθάνεσθαι τὸν βασιλέα περὶ τῆς εὐνοίας τοῦ μαρδοχαίου.

λδʹ Εἶπε δὲ ὁ βασιλεὺς τῷ ἀμάν. τί ποιήσω τῷ ἀνθρώπῳ, ὃν ἐγὼ θέλω, δοξάσαι

λεʹ Εἶπε δὲ ὁ βασιλεὺς τῷ ἀμὰν καλῶς ἐλάλησας.

λϛʹ ἔλαβε δὲ ἀμὰν τὴν στολήν, καὶ τὸν ἵππον καὶ ἐστόλισε τὸν μαρδοχαῖον.

λζʹ Ἀμὰν δὲ ὑπέστρεψεν εἰς τὰ ἴδια.

ληʹ Ἔτι αὐτῶν λαλούντων.

λθʹ Εἶπε δὲ ὁ βασιλεὺς ἐσθὴρ τῇ δευτέρᾳ ἐν τῷ πότῳ.

μʹ καὶ ἀποκριθεῖσα εἶπεν.

μαʹ Εἶπε δὲ ὁ βασιλεὺς τί οὗτος.

μβʹ Εἶπε δὲ ἐσθὴρ ἄνθρωπος ἐχθρὸς ἀμάν.

μγʹ καὶ ὁ βασιλεὺς ἐξανέστη ἐκ τοῦ συμποσίου εἰς τὸν κῆπον

μδʹ ἐπέστρεψε δὲ ὁ βασιλεὺς ἀπὸ τοῦ κήπου

μεʹ Εἶπε δὲ βουχαθάν, εἷς τῶν εὐνούχων πρὸς τὸν βασιλέα,

μϛʹ Εἶπε δὲ ὁ βασιλεὺς στρωθήτω ἐπ' αὐτό.

μζʹ καὶ εἶπεν ὁ βασιλεὺς ἐσθὴρ τῇ βασιλίσσῃ.

μη' Ἐκλήθησαν δὲ οἱ γραμματεῖς ἐν τῷ πρώτῳ μηνί.
μθ' Βασιλεὺς μέγας Ἀρταξέρξης τοῖς ἀπὸ τῆς Ἰνδικῆς ἕως τῆς Αἰθιοπίας.
ν' Οἱ μὲν οὖν ἱππεῖς ἐξῆλθον σπεύδοντες.
να' καὶ εἶπεν Ἐσθὴρ τῷ βασιλεῖ δοθήτω τοῖς Ἰουδαίοις χρῆσθαι ὡσαύτως, καὶ τὴν αὔριον.
νβ' Ἔγραψε δὲ ὁ Μαρδοχαῖος τοὺς λόγους τούτους εἰς τὸ βιβλίον.
νγ' Καὶ ἔγραψεν Ἐσθὴρ ἡ βασίλισσα θυγάτηρ Ἀμιναδάβ.
νδ' Ἔγραψε δὲ ὁ βασιλεὺς ἐπὶ τὴν βασιλείαν τῆς τε γῆς, καὶ τῆς θαλάσσης.
νε' Ἔτους τετάρτου βασιλεύοντος Πτολεμαίου, καὶ Κλεοπάτρας.

# ΕΣΘΗΡ.

Ἔτους δευτέρου βασιλεύοντος Ἀρταξέρξου τοῦ μεγάλου τῇ μιᾷ τοῦ Νισὰν ἐνύπνιον εἶδε Μαρδοχαῖος ὁ τοῦ Ἰαΐρου τοῦ Σεμεΐου τοῦ Κισαίου ἐκ φυλῆς Βενιαμίν, ἄνθρωπος Ἰουδαῖος οἰκῶν ἐν Σούσοις τῇ πόλει, ἄνθρωπος μέγας θεραπεύων ἐν τῇ αὐλῇ τοῦ βασιλέως. ἦν δὲ ἐκ τῆς

αἰχμαλωσίας ἧς ᾐχμαλώτευσε ναβουχοδονόσορ ὁ βασιλεὺς βαβυλῶνος ἐξ ἱερουσαλὴμ μετὰ ἰεχονίου βασιλέως τῆς ἰουδαίας. καὶ τοῦτο αὐτοῦ τὸ ἐνύπνιον. καὶ ἰδοὺ φωνὴ θορύβου βρονταὶ καὶ σεισμὸς καὶ τάραχος ἐπὶ τῆς γῆς, καὶ ἰδοὺ δύο δράκοντες μεγάλοι ἕτοιμοι προῆλθον ἀμφότεροι παλαίειν. καὶ ἐγένετο αὐτῶν φωνὴ μεγάλη, καὶ τῇ φωνῇ αὐτῶν ἡτοιμάσθη πᾶν ἔθνος εἰς πόλεμον, ὥστε πολεμῆσαι δικαίων ἔθνος. καὶ ἰδοὺ ἡμέρα σκότους καὶ γνόφου. θλῖψις καὶ στενοχωρία καὶ κάκωσις τάραχος μέγας ἐπὶ τῆς γῆς, καὶ ἐταράχθη πᾶν ἔθνος δίκαιον φοβούμενοι τὰ ἑαυτῶν κακὰ καὶ ἡτοιμάσθησαν ἀπολέσθαι. καὶ ἐβόησαν πρὸς τὸν θεόν. ἀπὸ δὲ τῆς βοῆς αὐτῶν ἐγένετο ὡσανεὶ ἀπὸ μικρᾶς πηγῆς ποταμὸς μέγας ὕδωρ πολύ, καὶ φῶς, καὶ ὁ ἥλιος ἀνέτειλε καὶ οἱ ταπεινοὶ ὑψώθησαν καὶ κατέφαγον τοὺς ἐνδόξους. καὶ διεγερθεὶς μαρδοχαῖος ὁ ἑωρακὼς τὸ ἐνύπνιον τοῦτο καὶ ὁ θεὸς βεβούλευται ποιῆσαι εἶχε τὸ ἐνύπνιον τοῦτο ἐν τῇ καρδίᾳ καὶ ἐν παντὶ λόγῳ ἤθελεν ἐπιγνῶναι αὐτὸ ἕως τῆς νυκτός. καὶ ἡσύχασε μαρδοχαῖος ἐν τῇ αὐλῇ μετὰ γαβαθὰ καὶ θάῤῥα τῶν δύο εὐνούχων τοῦ βασιλέως τῶν φυλασσόντων τὴν αὐλήν. ἤκουσέ τε αὐτῶν τοὺς λογισμοὺς καὶ τὰς μερίμνας αὐτῶν ἐξηρεύνησε. καὶ ἔμαθεν ὅτι ἑτοιμάζουσι τὰς χεῖρας ἐπιβαλεῖν ἀρταξέρξῃ τῷ βασιλεῖ. καὶ ὑπέδειξε τῷ βασιλεῖ περὶ αὐτῶν. καὶ ἐξήτασεν ὁ βασιλεὺς τοὺς δύο εὐνούχους αὐτοῦ. καὶ ὁμολογήσαντες ἀπήχθησαν. καὶ ἔγραψεν ὁ βασιλεὺς τοὺς λόγους τούτους εἰς μνημόσυνον καὶ μαρδοχαῖος ἔγραψε, περὶ τῶν λόγων τούτων. καὶ ἐπέταξεν ὁ βασιλεὺς μαρδοχαίῳ θεραπεύειν ἐν τῇ αὐλῇ. καὶ ἔδωκεν αὐτῷ δόματα περὶ τούτου. καὶ ἦν ἀμὰν ἀμαδάθου βουγαῖος ἔνδοξος ἐνώπιον τοῦ βασιλέως καὶ ἐζήτησε κακοποιῆσαι τὸν μαρδοχαῖον καὶ τὸν λαὸν αὐτοῦ ὑπὲρ τῶν εὐνούχων δύο τοῦ βασιλέως.

Κεφάλαιον α. ι.

C Καὶ ἐγένετο μετὰ τοὺς λόγους τούτους ἐν ταῖς ἡμέ-
κ ραις ἀρταξέρξου. οὗτος ὁ ἀρταξέρξης ἀπὸ τῆς ἰνδι-
κῆς ἑκατὸν εἰκοσιεπτὰ χωρῶν ἐκράτησεν. ἐν δὲ ταύ-
ταις ταῖς ἡμέραις. ὅτε ἐνεθρονίσθη βασιλεὺς ἀρταξέρξης ἐν σού-
σοις τῇ πόλει ἐν τῷ τρίτῳ ἔτει βασιλεύοντος αὐτοῦ, δοχὴν
ἐποίησε τοῖς φίλοις καὶ τοῖς λοιποῖς ἔθνεσι, καὶ τῶν περσῶν
καὶ μήδων ἐνδόξοις, καὶ τοῖς ἄρχουσι τῶν σατραπῶν. καὶ μετὰ
ταῦτα μετὰ τὸ δεῖξαι αὐτοῖς τὸν πλοῦτον τῆς βασιλείας αὐ-
τοῦ καὶ τὴν δόξαν τῆς εὐφροσύνης αὐτοῦ ἐπὶ ἡμέρας ἑκατὸν ὀ-
γδοήκοντα. ὅτε δὲ ἀνεπληρώθησαν αἱ ἡμέραι τοῦ γάμου ἐποίη-
σεν ὁ βασιλεὺς πότον τοῖς ἔθνεσιν τοῖς εὑρεθεῖσιν εἰς τὴν πόλιν
ἐπὶ ἡμέρας ἕξ. ἐν αὐλῇ τοῦ οἴκου τοῦ βασιλέως κεκοσμημένῃ. βυσσί-
νοις καὶ καρπασίνοις τεταμένοις ἐπὶ σχοινίοις βυσσίνοις, καὶ πορφυ-
ροῖς ἐπὶ κύβοις. χρυσοῖς καὶ ἀργυροῖς ἐπὶ στύλοις παρίνοις καὶ λι-
θίνοις. κλίναι χρυσαῖ καὶ ἀργυραῖ ἐπὶ λιθοστρώτου σμαραγδί-
του λίθου. καὶ πινίνου, καὶ παρίνου λίθου. καὶ στρωμναὶ διαφα-
νεῖς ποικίλως διηνθισμέναι κύκλῳ ῥόδα πεπασμένα. ποτή-
ρια χρυσᾶ καὶ ἀργυρᾶ. καὶ ἀνθράκιον κυλίκιον προκείμενον
ἀπὸ ταλάντων τρισμυρίων. οἶνος πολὺς καὶ ἡδὺς ὃν αὐτὸς ὁ
βασιλεὺς ἔπινεν. ὁ δὲ πότος οὗτος οὐ κατὰ προκείμενον νό-
μον ἐγένετο. οὕτως δὲ ἠθέλησεν ὁ βασιλεὺς καὶ ἐπέταξε τοῖς οἰκο-
νόμοις ποιῆσαι τὸ θέλημα αὐτοῦ, καὶ τῶν ἀνθρώπων. καὶ ἀστὶν ἡ
βασίλισσα ἐποίησε πότον ταῖς γυναιξὶν ἐν τοῖς βασιλείοις ὅπου
ὁ βασιλεὺς ἀρταξέρξης. ἐν δὲ τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ ἡδέως γε-
νόμενος ὁ βασιλεὺς εἶπε τῷ ἀμὰν, καὶ βαζὰν, καὶ θαρρᾶ. καὶ
βαραζὴ καὶ ζαθολθὰ. καὶ ἀβαταζὰ καὶ θαραβὰ τοῖς ἑπτὰ εὐ-
νούχοις τοῦ βασιλέως ἀρταξέρξου εἰσαγαγεῖν τὴν βασίλισσαν
πρὸς αὐτὸν βασιλεύειν αὐτὴν καὶ περιθεῖναι αὐτῆς τὸ διάδημα
καὶ δεῖξαι αὐτὴν πᾶσι τοῖς ἄρχουσι τοῖς ἔθνεσι τὸ κάλλος

αὐτῆς ὅτι καλὴ ἦν καὶ οὐκ εἰσήκουσεν αὐτοῦ ἀστὶν ἡ βασίλισσα ἐλθεῖν μετὰ τῶν εὐνούχων καὶ ἐλυπήθη ὁ βασιλεὺς καὶ ὠργίσθη, καὶ εἶπε τοῖς φίλοις ἑαυτοῦ· κατὰ ταῦτα ἐλάλησεν ἀστὶν, ποιήσατε οὖν περὶ τούτου νόμον καὶ κρίσιν. καὶ προσῆλθεν αὐτῷ ἀρκεσαῖος καὶ σαρσαθαῖος καὶ μαλησεὰρ οἱ ἄρχοντες περσῶν καὶ μήδων οἱ ἐγγὺς τοῦ βασιλέως· οἱ πρῶτοι παρακαθήμενοι τῷ βασιλεῖ. καὶ ἀπήγγειλαν αὐτῷ κατὰ τοὺς νόμους ὡς δεῖ ποιῆσαι ἀστὶν τῇ βασιλίσσῃ. ὅτι οὐκ ἐποίησε τὰ ὑπὸ τοῦ βασιλέως προσταχθέντα διὰ τῶν εὐνούχων. καὶ εἶπεν ὁ μουχαῖος πρὸς τὸν βασιλέα καὶ πρὸς τοὺς ἄρχοντας· οὐ τὸν βασιλέα μόνον ἠδίκησεν ἀστὶν ἡ βασίλισσα, ἀλλὰ καὶ πάντας τοὺς ἄρχοντας, καὶ τοὺς ἡγουμένους τοῦ βασιλέως. καὶ γὰρ ἐπιδιηγήσατο αὐτοῖς τὰ ῥήματα τῆς βασιλίσσης. καὶ ὡς ἀντεῖπεν τῷ βασιλεῖ. ὡς οὖν ἀντεῖπε τῷ βασιλεῖ ἀρταξέρξῃ, οὕτως σήμερον αἱ τυραννίδες αἱ λοιπαὶ τῶν ἀρχόντων περσῶν, καὶ μήδων ἀκούσασαι τὰ τῷ βασιλεῖ λεχθέντα ὑπ' αὐτῆς τολμήσωσιν ὁμοίως ἀτιμάσαι τοὺς ἄνδρας αὐτῶν. εἰ οὖν δοκεῖ τῷ βασιλεῖ προσταξάτω βασιλικόν. καὶ γραφήτω κατὰ τοὺς νόμους μήδων, καὶ περσῶν. καὶ μὴ ἄλλως χρησάσθω. μὴ δὲ εἰσελθέτω ἔτι ἡ βασίλισσα πρὸς αὐτόν. καὶ τὴν βασιλείαν αὐτῆς δότω ὁ βασιλεὺς γυναικὶ κρείττονι αὐτῆς. καὶ ἀκουσθήτω ὁ νόμος ὁ ὑπὸ τοῦ βασιλέως ὃν ἐὰν ποιῇ ἐν τῇ βασιλείᾳ αὐτοῦ. καὶ οὕτως πᾶσαι αἱ γυναῖκες περιθήσουσι τιμὴν τοῖς ἀνδράσιν ἑαυτῶν ἀπὸ πτωχοῦ ἕως πλουσίου. καὶ ἤρεσεν ὁ λόγος τῷ βασιλεῖ, καὶ τοῖς ἄρχουσι, καὶ ἐποίησεν ὁ βασιλεὺς καθὰ ἐλάλησεν ὁ μουχαῖος καὶ ἀπέστειλεν εἰς πᾶσαν τὴν βασιλείαν κατὰ χώραν κατὰ τὴν λέξιν αὐτῆς ὥστε εἶναι φόβον αὐτοῖς ἐν ταῖς οἰκίαις αὐτῶν.

Κεφ. β'. 2.

Καὶ μετὰ τοὺς λόγους τούτους ἐκόπασεν ὁ βασιλεὺς
κ τοῦ θυμοῦ. καὶ οὐκ ἔτι ἐμνήσθη τῆς ἀστὶν μνημονεύων
ὅσα ἐλάλησε καὶ ὡς κατέκρινεν αὐτήν. καὶ εἶπον οἱ δι-

ἀκονοι τοῦ βασιλέως. ζητηθήτω τῷ βασιλεῖ κοράσια ἄφθορα κα-
λὰ τῷ εἴδει. καὶ καταστήσει ὁ βασιλεὺς κωμάρχας ἐν πάσαις ταῖς
χώραις τῆς βασιλείας αὐτοῦ. καὶ ἐπιλεξάτωσαν κοράσια παρθενι-
κὰ καλὰ τῷ εἴδει εἰς σοῦσαν τὴν πόλιν εἰς τὸν γυναικῶνα. καὶ πα-
ραδοθήτωσαν τῷ εὐνούχῳ τοῦ βασιλέως τῷ φύλακι τῶν γυναι-
κῶν. καὶ δοθήτω σμῆγμα, καὶ ἡ λοιπὴ ἐπιμέλεια. καὶ ἡ γυνὴ ἣ ἂν
ἀρέσῃ τῷ βασιλεῖ βασιλεύσει ἀντὶ ἀστίν. καὶ ἤρεσε τῷ βασιλεῖ
τὸ πρᾶγμα, καὶ ἐποίησεν οὕτως.

γ΄ Καὶ ἄνθρωπος ἦν ἰουδαῖος ἐν σούσοις τῇ πόλει καὶ
ὄνομα αὐτῷ μαρδοχαῖος ὁ τοῦ ἀΐρου τοῦ σεμείου τοῦ κισαίου
ἐκ φυλῆς βενιαμίν. ὃς ἦν αἰχμάλωτος ἐξ ἱερουσαλὴμ ἣν ᾐχμα-
λώτευσε ναβουχοδονόσορ ὁ βασιλεὺς βαβυλῶνος, καὶ ἦν τού-
τῳ παῖς θρεπτὴ θυγάτηρ ἀμιναδὰβ ἀδελφοῦ πατρὸς αὐτοῦ, καὶ ὄνο-
μα αὐτῇ ἐσθήρ. ἐν δὲ τῷ μεταλλάξαι αὐτῆς τοὺς γονεῖς. ἐπαίδευ-
σεν αὐτὴν ἑαυτῷ εἰς γυναῖκα. καὶ ἦν τὸ κοράσιον καλὸν τῷ εἴδει.
καὶ ὅτε ἠκούσθη τὸ τοῦ βασιλέως πρόσταγμα. συνήχθησαν πολ-
λὰ κοράσια εἰς σοῦσαν τὴν πόλιν ὑπὸ χεῖρα καὶ ἤχθη ἐσθὴρ πρὸς
γαὶ τὸν φύλακα τῶν γυναικῶν καὶ ἤρεσεν αὐτῷ τὸ κοράσιον, καὶ εὗρε
χάριν ἐνώπιον αὐτοῦ. καὶ ἐσπούδασεν δοῦναι αὐτῇ τὸ σμῆγμα, καὶ τὴν
μερίδα. καὶ τὰ ἑπτὰ κοράσια τὰ ἀποδεδειγμένα αὐτῇ ἐκ βασι-
λικοῦ. καὶ ἐχρήσατο αὐτῇ καλῶς, καὶ ταῖς ἅβραις αὐτῆς ἐν τῷ γυ-
ναικῶνι. καὶ οὐχ ὑπέδειξεν ἐσθὴρ τὸ γένος αὐτῆς οὐδὲ τὴν
πατρίδα, ὁ γὰρ μαρδοχαῖος ἐνετείλατο αὐτῇ μὴ ἀπαγγεῖλαι. κα-
θ' ἑκάστην δὲ ἡμέραν περιεπάτει ὁ μαρδοχαῖος κατὰ τὴν αὐλὴν
τὴν γυναικείαν ἐπισκοπῶν τί ἐσθὴρ συμβήσεται. οὗτος γὰρ ἦν
καιρὸς κορασίου εἰσελθεῖν πρὸς τὸν βασιλέα ὅταν ἀναπληρώ-
σῃ μῆνας δεκαδύο. οὕτως γὰρ ἀναπληροῦνται αἱ ἡμέραι τῆς θε-
ραπείας. μῆνας ἓξ. ἐν τοῖς ἀρώμασι. καὶ ἐν τοῖς σμήγμασι. τῶν
γυναικῶν. καὶ μῆνας ἓξ ἀλειφομέναις μυρινῷ ἐλαίῳ. καὶ τό-
τε εἰσπορεύονται πρὸς τὸν βασιλέα. καὶ ᾧ ἐὰν εἴπῃ παραδώσει αὐτὴν

συνεισέρχεσθαι αὐτῷ ἀπὸ τοῦ γυναικῶνος ἕως τῶν βασιλείων. δείλης εἰσπορεύεται, καὶ πρὸς ἡμέραν ἀποτρέχει εἰς τὸν γυναικῶνα τὸν δεύτερον οὗ γαὶ ὁ εὐνοῦχος τοῦ βασιλέως ὁ φύλαξ τῶν γυναικῶν καὶ οὐκ ἔτι εἰσπορεύεται πρὸς τὸν βασιλέα. ἐὰν μὴ κληθῇ ὀνόματι. ἐν δὲ τῷ ἀναπληροῦσθαι τὸν χρόνον ἐσθὴρ τῆς θυγατρὸς ἀμιναδὰβ ἀδελφοῦ πατρὸς μαρδοχαίου εἰσελθεῖν εἰς τὸν βασιλέα. οὐδὲν ἠθέτησεν ὧν ἐνετείλατο αὐτῇ ὁ εὐνοῦχος ὁ φύλαξ τῶν γυναικῶν. ἦν γὰρ ἐσθὴρ εὑρίσκουσα χάριν παρὰ πάντων τῶν βλεπόντων αὐτήν.

δ' Καὶ εἰσῆλθεν ἐσθὴρ πρὸς ἀρταξέρξην τὸν βασιλέα τῷ δωδεκάτῳ μηνί. ὅς ἐστιν ἀδάρ. τῷ ἑβδόμῳ ἔτει τῆς βασιλείας αὐτοῦ. καὶ ἠράσθη ὁ βασιλεὺς ἐσθὴρ καὶ εὗρε χάριν παρὰ πάσας τὰς παρθένους. καὶ ἐπέθηκεν αὐτῇ τὸ διάδημα τὸ γυναικεῖον. καὶ ἐποίησεν ὁ βασιλεὺς πότον πᾶσι τοῖς φίλοις αὐτοῦ. καὶ ταῖς δυνάμεσιν ἐπὶ ἡμέρας ἑπτά, καὶ ὕψωσε τοὺς γάμους ἐσθήρ. καὶ ἄφεσιν ἐποίησε τοῖς ὑπὸ τὴν βασιλείαν αὐτοῦ. ὁ δὲ μαρδοχαῖος ἐθεράπευεν ἐν τῇ αὐλῇ. ἡ δὲ ἐσθὴρ οὐχ ὑπέδειξε τὴν πατρίδα αὐτῆς. οὕτως γὰρ ἐνετείλατο αὐτῇ μαρδοχαῖος φοβεῖσθαι τὸν θεόν, καὶ ποιεῖν τὰ προστάγματα αὐτοῦ καθὼς ἦν μετ' αὐτοῦ. καὶ ἐσθὴρ οὐ μετήλλαξε τὴν ἀγωγὴν αὐτῆς.

ε. Καὶ ἐλυπήθησαν οἱ δύο εὐνοῦχοι τοῦ βασιλέως οἱ ἀρχισωματοφύλακες ὅτι προήχθη μαρδοχαῖος, καὶ ἐζήτουν ἀποκτεῖναι ἀρταξέρξην τὸν βασιλέα, καὶ ἐδηλώθη μαρδοχαίῳ ὁ λόγος. καὶ ἐσήμανεν ἐσθήρ. καὶ αὐτὴ ἐνεφάνισε τῷ βασιλεῖ τὰ τῆς ἐπιβουλῆς. ὁ δὲ βασιλεὺς ἤτασε τοὺς δύο εὐνούχους καὶ ἐκρέμασεν αὐτούς. καὶ ἐπέταξεν ὁ βασιλεὺς καταχωρίσαι εἰς μνημόσυνον ἐν τῇ βασιλικῇ βιβλιοθήκῃ ὑπὲρ τῆς εὐνοίας μαρδοχαίου ἐν ἐγκωμίῳ

Κεφάλαιον γ. 3.

ϛ' μ Ετὰ ταῦτα ἐδόξασεν ὁ βασιλεὺς ἀρταξέρξης ἀμὰν ἀμαδαθοῦ βουγαῖον καὶ ὕψωσεν αὐτὸν καὶ ἐπρωτοβάθρει πάντων τῶν φίλων αὐτοῦ. καὶ πάντες οἱ ἐν τῇ αὐλῇ προσεκύνουν αὐτῷ. οὕτως γὰρ προσέταξεν ὁ βασιλεὺς ποιῆσαι. ὁ δὲ μαρδοχαῖος οὐ προσεκύνει αὐτῷ. καὶ ἐλάλησαν οἱ ἐν τῇ αὐλῇ τοῦ βασιλέως μαρδοχαίῳ. μαρδοχαῖε τί παρακούεις τὰ ὑπὸ τοῦ βασιλέως λεγόμενα. καθ' ἑκάστην ἡμέραν ἐλάλουν αὐτῷ. καὶ οὐχ ὑπήκουεν αὐτῶν. καὶ ὑπέδειξαν τῷ ἀμὰν μαρδοχαῖον τοῖς τοῦ βασιλέως λόγοις ἀντιτασσόμενον καὶ ὑπέδειξεν αὐτοῖς ὁ μαρδοχαῖος ὅτι ἰουδαῖός ἐστι.

ζ' Καὶ ἐπιγνοὺς ἀμὰν ὅτι οὐ προσκυνεῖ αὐτῷ μαρδοχαῖος ἐθυμώθη σφόδρα, καὶ ἐβουλεύσατο ἀφανίσαι πάντας τοὺς ὑπὸ τὴν ἀρταξέρξου βασιλείαν ἰουδαίους. καὶ ἐποίησε ψήφισμα ἐν ἔτει δωδεκάτῳ τῆς βασιλείας ἀρταξέρξου. καὶ ἔβαλε κλήρους ἡμέραν ἐξ ἡμέρας, καὶ μῆνα ἐκ μηνός. ὥστε ἀπολέσαι ἐν μιᾷ ἡμέρᾳ τὸ γένος μαρδοχαίου. καὶ ἔπεσεν ὁ κλῆρος εἰς τὴν τεσσαρεσκαιδεκάτην τοῦ μηνὸς ὅς ἐστιν ἀδάρ.

η' Καὶ ἐλάλησε πρὸς τὸν βασιλέα ἀρταξέρξην λέγων. ὑπάρχει ἔθνος διεσπαρμένον ἐν τοῖς ἔθνεσιν ἐν πάσῃ τῇ βασιλείᾳ σου. οἱ δὲ νόμοι αὐτῶν ἔξαλλοι παρὰ πάντα τὰ ἔθνη. τῶν δὲ νόμων τοῦ βασιλέως παρακούουσι. καὶ οὐ συμφέρει τῷ βασιλεῖ ἐᾶσαι αὐτούς. εἰ δοκεῖ τῷ βασιλεῖ, δογματισάτω ἀπολέσαι αὐτούς. κἀγὼ διαγράψω εἰς τὸ γαζοφυλάκιον τοῦ βασιλέως, ἀργυρίου τάλαντα μύρια. καὶ περιελόμενος ὁ βασιλεὺς τὸ δακτύλιον ἔδωκεν εἰς χεῖρας τῷ ἀμὰν σφραγίσαι κατὰ τὸ γεγραμμένον κατὰ τῶν ἰουδαίων. καὶ εἶπεν ὁ βασιλεὺς τῷ ἀμάν. τὸ μὲν ἀργύριον ἔχε. τῷ δὲ ἔθνει χρῶ ὡς θέλεις. καὶ ἐκλήθησαν οἱ γραμματεῖς τοῦ βασιλέως μηνὶ πρώτῳ τῇ τρισκαιδεκάτῃ. καὶ ἔγραψαν ὡς ἐπέταξεν ἀμὰν τοῖς στρατηγοῖς.

καὶ τοῖς ἄρχουσι κατὰ πᾶσαν χώραν ἀπὸ ἰνδικῆς ἕως τῆς αἰθιοπίας, ταῖς ἑκατὸν εἴκοσι ἑπτὰ χώραις. τοῖς ἄρχουσι τῶν ἐθνῶν κατὰ τὴν αὐτῶν λέξιν διὰ ἀρταξέρξου τοῦ βασιλέως καὶ ἀπεστάλη διὰ βιβλιογράφων εἰς τὴν ἀρταξέρξου βασιλείαν ἀφανίσαι τὸ γένος τῶν ἰουδαίων ἐν ἡμέρᾳ μιᾷ μηνὸς δωδεκάτου ὅς ἐστιν ἀδάρ. καὶ διαρπάσαι τὰ ὑπάρχοντα αὐτῶν.

ϛ Τῆς δὲ ἐπιστολῆς ἐστὶ τὸ ἀντίγραφον τόδε. Βασιλεὺς μέγας ἀρταξέρξης τοῖς ἀπὸ τῆς ἰνδικῆς ἕως τῆς αἰθιοπίας ἑκατὸν εἴκοσι ἑπτὰ χωρῶν ἄρχουσι, καὶ τοπάρχαις ὑποτεταγμένοις τάδε γράφει. Πολλῶν ἐπάρξας ἐθνῶν, καὶ πάσης ἐπικρατήσας οἰκουμένης, ἐβουλήθην μὴ τῷ θράσει τῆς ἐξουσίας ἐπαιρόμενος, ἐπιεικέστερον δὲ καὶ μετὰ ἠπιότητος ἀεὶ διεξάγων τοὺς τῶν ὑποτεταγμένων ἀκυμάτους διαπαντὸς καταστῆσαι βίους τήν τε βασιλείαν ἥμερον καὶ πορευτὴν μέχρι περάτων παρεξόμενος ἀνανεώσασθαί τε τὴν ποθουμένην τοῖς πᾶσιν ἀνθρώποις εἰρήνην. πυθομένου δέ μου τῶν συμβούλων πῶς ἂν ἀχθείη τοῦτο ἐπὶ πέρας, ὁ σωφροσύνῃ παρ' ἡμῖν διαπρέψας. καὶ ἐν τῇ εὐνοίᾳ ἀπαράλλακτος. καὶ βεβαίᾳ πίστει ἀποδεδειγμένος, καὶ δεύτερον τῶν βασιλειῶν γέρας ἀπενηνεγμένος ἀμὰν ἐπέδειξεν ἡμῖν ἐν πάσαις ταῖς κατὰ τὴν οἰκουμένην φυλαῖς ἀναμεμῖχθαι δυσμενῆ λαόν τινα τοῖς νόμοις ἀντίθετον. πρὸς πᾶν ἔθνος. τά τε τῶν βασιλέων παραπέμποντας διηνεκῶς διατάγματα, πρὸς τὸ μὴ κατατίθεσθαι τὴν ὑφ' ὑμῶν κατευθυνομένην ἀπέμπτως συναρχίαν, διειληφότες οὖν τόδε τὸ ἔθνος μονώτατον, ἔναντι παραγωγῇ παντὶ διαπαντὸς ἀνθρώπῳ κείμενον. διαγωγὴν νόμων ξενίζουσαν, παραλλάσσον. καὶ δυσνοοῦν τοῖς ἡμετέροις πράγμασι τὰ χείριστα συντελοῦν κακά. καὶ πρὸς τὸ μὴ τὴν βασιλείαν εὐσταθείας τυγχάνειν. προστετάχαμεν οὖν τοὺς σημαινομένους ὑμῖν ἐν τοῖς γεγραμμένοις ὑπὸ ἀμὰν τοῦ τεταγμένου ἐπὶ τῶν πραγμάτων καὶ δευτέρου πατρὸς ἡμῶν πάντας

σὺν γυναιξὶ, καὶ τέκνοις ἀπολέσαι ὀλοῤῥιζεί. ταῖς τῶν ἐχθρῶν μα
χαίραις ἄνευ παντὸς οἴκτου καὶ φειδοῦς. τῇ τεσσαρεσκαιδεκάτῃ
τοῦ δωδεκάτου μηνὸς ἀδάρ. τοῦ ἐνεστῶτος ἔτους, ὅπως οἱ πάλαι καὶ
νῦν δυσμενεῖς ἐν ἡμέρᾳ μιᾷ βιαίως εἰς τὸν ᾅδην κατελθόντες,
εἰς τὸν μετέπειτα χρόνον εὐσταθῆ καὶ ἀτάραχα παρέχωσιν ἡμῖν
διὰ τέλους τὰ πράγματα. τὰ δὲ ἀντίγραφα τῶν ἐπιστολῶν ἐξετίθε
το κατὰ χώραν. καὶ προσετάγη πᾶσιν ἑτοίμους εἶναι εἰς τὴν ἡμέ
ραν ταύτην ἐσπεύδετο δὲ τὸ πρᾶγμα, καὶ εἰς σοῦσαν. ὁ δὲ βασι
λεύς. καὶ ἀμὰν ἐκωθωνίζοντο. ἐταράσσετο δὲ ἡ πόλις.

Κεφάλαιον δ'. 4.

ι . Δὲ μαρδοχαῖος ἐπιγνοὺς τὸ συντελούμενον, διέ
ὁ ῤῥηξε τὰ ἱμάτια αὐτοῦ. καὶ ἐνεδύσατο σάκκον. καὶ
κατεπάσατο σποδὸν καὶ ἐκπηδήσας διὰ τῆς πλα
τείας τῆς πόλεως ἐβόα φωνῇ μεγάλῃ. αἴρεται ἔθνος μηδὲν ἠδι
κηκός. καὶ ἦλθεν ἕως τῆς πύλης τοῦ βασιλέως καὶ ἔστη. οὐ γὰρ ἦν αὐ
τῷ ἐξὸν εἰσελθεῖν εἰς τὴν αὐλὴν. σάκκον ἔχοντα καὶ σποδόν.
καὶ ἐν πάσῃ χώρᾳ οὗ ἐξετίθετο τὰ γράμματα κραυγὴ καὶ κοπετὸς
καὶ πένθος μέγα τοῖς ἰουδαίοις, σάκκον καὶ σποδὸν ἔστρωσαν ἑαυτοῖς
ια Καὶ εἰσῆλθον αἱ ἅβραι, καὶ οἱ εὐνοῦχοι τῆς βασιλίσσης
καὶ ἀνήγγειλαν αὐτῇ. καὶ ἐταράχθη ἀκούσασα τὸ γεγονός. καὶ
ἀπέστειλε στολίσαι τὸν μαρδοχαῖον καὶ ἀφελέσθαι αὐτοῦ τὸν σάκ
κον. ὁ δὲ οὐκ ἐπείσθη.
ιβ Καὶ ἡ δὲ ἐσθὴρ προσεκαλέσατο ἀχραθαῖον τὸν εὐνοῦ
χον αὐτῆς ὃς παρειστήκει αὐτῇ. καὶ ἀπέστειλε μαθεῖν αὐτῇ παρὰ
τοῦ μαρδοχαίου τὸ ἀκριβές. ὁ δὲ μαρδοχαῖος ὑπέδειξεν αὐ
τῷ τὸ γεγονός. καὶ τὴν ἐπαγγελίαν ἣν ἐπηγγείλατο ἀμὰν τῷ
βασιλεῖ εἰς τὴν γάζαν ταλάντων μυρίων, ἵνα ἀπολέσῃ τοὺς ἰου
δαίους. καὶ τὸ ἀντίγραφον τὸ ἐν σούσοις ἐκτεθὲν ὑπὲρ τοῦ ἀπολέσθαι
αὐτοὺς, ἔδωκεν αὐτῷ δεῖξαι τῇ ἐσθήρ. καὶ εἶπεν αὐτῷ ἐντείλα
σθαι αὐτῇ εἰσελθούσῃ παραιτήσασθαι τὸν βασιλέα, καὶ ἀξιῶσαι

αὐτὸν περὶ τοῦ λαοῦ. μνησθεῖσα ἡμερῶν ταπεινώσεώς σου ὡς ἐ-
τράφης ἐν χειρί μου διότι ἀμὰν ὁ δευτερεύων τῷ βασιλεῖ ἐ-
λάλησε καθ' ἡμῶν εἰς θάνατον. ἐπικαλεσαμένη τὸν κύριον, καὶ λά-
λησον τῷ βασιλεῖ περὶ ἡμῶν. καὶ ῥῦσαι ἡμᾶς ἐκ θανάτου.

ιγ Εἰσελθὼν δὲ ὁ ἀχραθαῖος ἐλάλησεν ἐσθὴρ πάν-
τας τοὺς λόγους τούτους.

ιδ Καὶ εἶπεν ἐσθὴρ πρὸς ἀχραθαῖον, πορεύθητι πρὸς
μαρδοχαῖον. καὶ εἰπὸν ὅτι τὰ ἔθνη πάντα τῆς βασιλείας γινώ-
σκει ὅτι πᾶς ἄνθρωπος ἢ γυνὴ ὃς εἰσελεύσεται πρὸς τὸν βασι-
λέα εἰς τὴν αὐλὴν τὴν ἐσωτέραν ἄκλητος. οὐκ ἔστιν αὐτῷ
σωτηρία. πλὴν ᾧ ἐὰν ἐκτείνῃ ὁ βασιλεὺς τὴν χρυσῆν ῥάβ-
δον, οὗτος σωθήσεται. κἀγὼ οὐ κέκλημαι εἰσελθεῖν πρὸς τὸν
βασιλέα. εἰσὶν αὗται ἡμέραι τριάκοντα.

ιε καὶ ἀπήγγειλεν ἀχραθαῖος μαρδοχαίῳ πάντας
τοὺς λόγους ἐσθήρ.

ις καὶ εἶπε μαρδοχαῖος πρὸς ἀχραθαῖον, πορεύθητι
καὶ εἰπὸν αὐτῇ ἐσθήρ. μὴ εἴπῃς σεαυτῇ, ὅτι σωθήσῃ μόνη ἐν
τῇ βασιλείᾳ παρὰ πάντας τοὺς ἰουδαίους. ὡς ὅτι ἐὰν παρακού-
σῃς ἐν τούτῳ τῷ καιρῷ ἀλλαχόθεν βοήθεια, καὶ σκέπη ἔσται
τοῖς ἰουδαίοις. σὺ δὲ, καὶ ὁ οἶκος τοῦ πατρός σου ἀπολεῖσθε. καὶ
τίς οἶδεν εἰ εἰς τὸν καιρὸν τοῦτον ἐβασίλευσας.

ιζ καὶ ἐξαπέστειλεν ἐσθὴρ τὸν ἥκοντα πρὸς αὐτὴν πρὸς
μαρδοχαῖον λέγουσα. βαδίσας ἐκκλησίασον τοὺς ἰουδαίους
τοὺς ἐν σούσοις, καὶ νηστεύσατε ἐπ' ἐμοί. καὶ μὴ φάγετε μήτε
πίητε, ἐπὶ ἡμέρας τρεῖς καὶ νύκτα καὶ ἡμέραν. κἀγὼ δὲ καὶ αἱ ἅ-
βραι μου ἀσιτήσομεν. καὶ τότε εἰσελεύσομαι πρὸς τὸν βασιλέα
παρὰ τὸν νόμον, ἐὰν καὶ ἀπολέσθαι με δέῃ.

ιη καὶ βαδίσας μαρδοχαῖος, ἐποίησεν ὅσα ἐνετείλατο
αὐτῷ ἐσθήρ. καὶ ἐδεήθη κυρίου, μνημονεύων πάντα τὰ ἔργα
κυρίου. καὶ εἶπε. κύριε κύριε βασιλεῦ παντοκράτορ ὅτι ἐν ἐξου-

σίᾳ σου τὸ πᾶν ἐστι καὶ οὐκ ἔστιν ὁ ἀντιδοξῶν σοι ἐν τῷ θέλειν σε σῶσαι τὸν ἰσραήλ. ὅτι σὺ ἐποίησας τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ πᾶν θαυμαζόμενον ἐν τῇ ὑπ' οὐρανόν. καὶ κύριος εἶ πάντων, καὶ οὐκ ἔστιν ὃς ἀντιτάξεταί σοι τῷ κυρίῳ. σὺ πάντα γινώσκεις. σὺ οἶδας κύριε ὅτι οὐκ ἐν ὕβρει οὐδὲ ἐν ὑπερηφανίᾳ οὐδὲ ἐν φιλοδοξίᾳ ἐποίησα τοῦτο. τὸ μὴ προσκυνεῖν τὸν ὑπερήφανον ἀμάν. ὅτι ηὐδόκουν φιλεῖν πέλματα ποδῶν αὐτοῦ πρὸς σωτηρίαν ἰσραήλ. ἀλλ' ἐποίησα τοῦτο, ἵνα μὴ θῶ δόξαν ἀνθρώπου ὑπὲρ τὴν δόξαν θεοῦ. καὶ οὐ προσκυνήσω οὐδένα πλὴν σοῦ τοῦ κυρίου μου, καὶ οὐ ποιήσω αὐτὰ ἐν ὑπερηφανίᾳ. καὶ νῦν κύριε ὁ θεὸς ὁ βασιλεύς. φεῖσαι τοῦ λαοῦ σου. ὅτι ἐπιβλέπουσιν ἡμῖν εἰς καταφθορὰν καὶ ἐπεθύμησαν ἀπολέσαι τὴν ἐξ ἀρχῆς κληρονομίαν σου. μὴ ὑπερίδῃς τὴν μερίδα σου ἣν σεαυτῷ ἐλυτρώσω ἐκ γῆς αἰγύπτου. ἐπάκουσον τῆς δεήσεώς μου καὶ ἱλάσθητι τῷ κλήρῳ σου. στρέψον τὸ πένθος ἡμῶν εἰς εὐωχίαν ἵνα ζῶντες ὑμνήσωμέν σου τὸ ὄνομα κύριε καὶ μὴ ἀφανίσῃς στόμα αἰνούντων σε κύριε.

ιθ' καὶ πᾶς ἰσραὴλ ἐκέκραξαν ἐξ ἰσχύος αὐτῶν ὅτι θάνατος ἐν ὀφθαλμοῖς αὐτῶν. καὶ ἐσθήρ, ἡ βασίλισσα κατέφυγεν ἐπὶ τὸν κύριον ἐν ἀγῶνι θανάτου κατειλημμένη. καὶ ἀφελομένη τὰ ἱμάτια τῆς δόξης αὐτῆς. ἐνεδύσατο ἱμάτια στενοχωρίας, καὶ πένθους, καὶ ἀντὶ τῶν ὑπερηφάνων ἡδυσμάτων, σποδοῦ καὶ κοπριῶν ἔπλησε τὴν κεφαλὴν αὐτῆς. καὶ τὸ σῶμα αὐτῆς ἐταπείνωσε σφόδρα καὶ πάντα τόπον ἀγαλλιάματος αὐτῆς ἔπλησε στρεπτῶν τριχῶν αὐτῆς. καὶ ἐδεῖτο κυρίου θεοῦ ἰσραὴλ καὶ εἶπεν. κύριέ μου ὁ βασιλεὺς ἡμῶν σὺ εἶ μόνος, βοήθησόν μοι τῇ μόνῃ, καὶ μὴ ἐχούσῃ βοηθὸν εἰ μή σε. ὅτι κίνδυνός μου ἐν χειρί μου ἐγὼ ἤκουον ἐκ γενετῆς μου ἐν φυλῇ πατριᾶς μου. ὅτι σὺ κύριε ἔλαβες τὸν ἰσραὴλ ἐκ πάντων τῶν ἐθνῶν. καὶ τοὺς πατέρας ἡμῶν ἐκ πάντων τῶν προγόνων αὐτῶν εἰς κλη

ρονομίαν αἰώνιον. καὶ ἐποίησας αὐτοῖς ὅσα ἐλάλησας, καὶ νῦν ἡμάρτομεν ἐνώπιόν σου, καὶ παρέδωκας ἡμᾶς εἰς χεῖρας τοῖς ἐχθροῖς ἡμῶν. ἀνθ' ὧν ἐδοξάσαμεν τοὺς θεοὺς αὐτῶν. δίκαιος εἶ κύριε. καὶ νῦν οὐχ ἱκανώθησαν ἐν πικρασμῷ δουλείας ἡμῶν, ἀλλ' ἔθηκας τὰς χεῖρας αὐτῶν. ἐπὶ τὰς χεῖρας τῶν εἰδώλων αὐτῶν, ἐξᾶραι ὁρισμὸν στόματός σου. καὶ ἀφανίσαι κληρονομίαν σου. καὶ ἐμφράξαι στόμα αἰνούντων σε. καὶ σβέσαι δόξαν οἴκου σου. καὶ θυσιαστηρίου σου καὶ ἀνοῖξαι στόμα ἐθνῶν εἰς ἀρετὰς ματαίων. καὶ θαυμασθῆναι βασιλέα σάρκινον εἰς αἰῶνα. μὴ παραδῷς κύριε τὸ σκῆπτρόν σου τοῖς μὴ οὖσι. καὶ μὴ καταγελασάτωσαν ἐν τῇ πτώσει ἡμῶν. ἀλλὰ στρέψον τὴν βουλὴν αὐτῶν ἐπ' αὐτούς. τὸν δὲ ἀρξάμενον ἐφ' ἡμᾶς παραδειγμάτισον. μνήσθητι κύριε. γνώσθητι ἐν καιρῷ θλίψεως ἡμῶν. καὶ ἐμὲ θάρσυνον βασιλεῦ τῶν θεῶν καὶ πάσης ἀρχῆς ἐπικρατῶν. δὸς λόγον εὔρυθμον εἰς τὸ στόμα μου ἐνώπιον τοῦ λέοντος. καὶ μετάθες τὴν καρδίαν αὐτοῦ εἰς μῖσος τοῦ πολεμοῦντος ἡμᾶς. εἰς συντέλειαν αὐτοῦ καὶ τῶν ὁμονοούντων αὐτῷ. ἡμᾶς δὲ ῥῦσαι ἐν χειρί σου καὶ βοήθησόν μοι τῇ μόνῃ καὶ μὴ ἐχούσῃ εἰ μὴ σὲ κύριε. πάντων γνῶσιν ἔχεις καὶ οἶδας ὅτι ἐμίσησα δόξαν ἀνόμων. καὶ βδελύσσομαι κοίτην ἀπεριτμήτων, καὶ παντὸς ἀλλοτρίου. σὺ οἶδας τὴν ἀνάγκην μου. ὅτι βδελύσσομαι τὸ σημεῖον τῆς ὑπερηφανίας μου. ὅ ἐστιν ἐπὶ τῆς κεφαλῆς μου ἐν ἡμέραις ὀπτασίας μου. βδελύσσομαι αὐτὸ ὡς ῥάκος καταμηνίων. καὶ οὐ φορῶ αὐτὸ ἐν ἡμέραις ἡσυχίας μου. καὶ οὐκ ἔφαγεν ἡ δούλη σου τράπεζαν ἀμὰν. καὶ οὐκ ἐδόξασα συμπόσιον βασιλέως. οὐδὲ ἔπιον οἶνον σπονδῶν καὶ οὐκ εὐφράνθη ἡ δούλη σου ἐφ' ἡμέρας μεταβολῆς μου μέχρι τοῦ νῦν πλὴν ἐπὶ σοὶ κύριε ὁ θεὸς ἀβραάμ. ὁ θεὸς ὁ ἰσχύων ἐπὶ πάντας εἰσάκουσον φωνὴν ἀπηλπισμένων. καὶ ῥῦσαι ἡμᾶς ἐκ χειρὸς τῶν πονηρευομένων. καὶ ῥῦσαι με ἐκ τοῦ φόβου μου.

Κεφάλαιον. ε. 5.

Καὶ ἐγενήθη ἐν τῇ ἡμέρᾳ τῇ τρίτῃ ὡς ἐπαύσατο
κ προσευχομένη, ἐξεδύσατο τὰ ἱμάτια τῆς θερα-
πείας· καὶ περιεβάλετο τὴν δόξαν αὐτῆς· καὶ γε-
νηθεῖσα ἐπιφανής, ἐπικαλεσαμένη τὸν πάντων ἐπόπτην θεὸν καὶ
σωτῆρα παρέλαβε τὰς δύο ἅβρας· καὶ τῇ μὲν μιᾷ ἐπηρείδετο
ὡς τρυφερευομένη, ἡ δὲ ἑτέρα ἐπηκολούθει κουφίζουσα τὴν ἔνδυ-
σιν αὐτῆς· καὶ αὐτὴ ἐρυθριῶσα ἀκμῇ κάλλους αὐτῆς· καὶ τὸ πρό-
σωπον αὐτῆς ἱλαρόν, ὡς προσφιλές· ἡ δὲ καρδία αὐτῆς ἀπεστενω-
μένη ἀπὸ τοῦ φόβου· καὶ εἰσελθοῦσα πάσας τὰς θύρας· καὶ κατέστη ἐ-
νώπιον τοῦ βασιλέως.

κα Καὶ αὐτὸς ἐκάθητο ἐπὶ τοῦ θρόνου τῆς βασιλείας αὐτοῦ
καὶ πᾶσαν στολὴν τῆς ἐπιφανείας αὐτοῦ ἐνδεδύκει· ὅλος διὰ χρυ-
σοῦ· καὶ λίθων πολυτελῶν· καὶ ἦν φοβερὸς σφόδρα· καὶ ἄρας τὸ
πρόσωπον αὐτοῦ πεπυρωμένον δόξῃ, ἐν ἀκμῇ θυμοῦ ἔβλεψεν.
κβ Καὶ ἔπεσεν ἡ βασίλισσα· καὶ μετέβαλε τὸ χρῶμα αὐτῆς
ἐν ἐκλύσει· καὶ κατέκυψεν ἐπὶ τὴν κεφαλὴν τῆς ἅβρας τῆς πο-
ρευομένης.

κγ Καὶ μετέβαλεν ὁ θεὸς τὸ πνεῦμα τοῦ βασιλέως εἰς
πραΰτητα· καὶ ἀγωνιάσας ἀνεπήδησεν ἀπὸ τοῦ θρόνου αὐτοῦ
καὶ ἀνέλαβεν αὐτὴν ἐπὶ τὰς ἀγκάλας αὐτοῦ μέχρις οὗ κατέστη
καὶ παρεκάλει αὐτὴν λόγοις εἰρηνικοῖς· καὶ εἶπεν αὐτῇ· τί ἐστιν Ἐ-
σθήρ· ἐγὼ ὁ ἀδελφός σου θάρσει οὐ μὴ ἀποθάνῃς· ὅτι κοινὸν τὸ
πρόσταγμα ἡμῶν ἐστιν· πρόσελθε, καὶ ἄρας τὴν χρυσῆν ῥάβδον
ἐπέθηκεν ἐπὶ τὸν τράχηλον αὐτῆς· καὶ ἠσπάσατο αὐτὴν καὶ εἶπε λάλη-
σόν μοι.

κδ Καὶ εἶπεν αὐτῷ· εἶδόν σε κύριε ὡς ἄγγελον θεοῦ· καὶ ἐ-
ταράχθη ἡ καρδία μου ἀπὸ τοῦ φόβου τῆς δόξης σου ὅτι θαυμαστὸς
εἶ κύριε καὶ τὸ πρόσωπόν σου χαρίτων μεστόν.
κε Ἐν δὲ τῷ διαλέγεσθαι αὐτήν, ἔπεσεν ἀπὸ ἐκλύσεως αὐτῆς· καὶ
ὁ βασιλεὺς ἐταράσσετο· καὶ πᾶσα ἡ θεραπεία αὐτοῦ παρεκάλει αὐτήν.

κϛ' καὶ εἶπεν ὁ βασιλεὺς τί θέλεις ἐσθήρ. καὶ τί σού ἐστι
τὸ ἀξίωμα. ἕως ἡμίσους τῆς βασιλείας μου, καὶ ἔσται σοι.
κζ' Εἶπε δὲ ἐσθήρ. ἡμέρα μου ἐπίσημος σήμερόν ἐστιν
εἰ οὖν δοκεῖ τῷ βασιλεῖ ἐλθέτω καὶ ὁ βασιλεὺς καὶ ἀμὰν εἰς
τὴν δοχὴν ἣν ποιήσω σήμερον.
κη' καὶ εἶπεν ὁ βασιλεὺς καταπαύσατε ἀμὰν ὅπως ποι-
ήσωμεν τὸν λόγον ἐσθήρ. καὶ παραγίνονται ἀμφότεροι εἰς τὴν
δοχὴν ἣν ἐποίησεν ἐσθήρ. ἐν δὲ τῷ πότῳ εἶπεν ὁ βασιλεὺς
πρὸς ἐσθήρ. τί ἐστιν σοι βασίλισσα ἐσθήρ. καὶ ἔσται σοι ὅσα ἀξιοῖς.
καὶ εἶπε τὸ αἴτημά μου καὶ τὸ ἀξίωμά μου. εἰ εὗρον χάριν ἐ-
νώπιον τοῦ βασιλέως, ἐλθέτω ὁ βασιλεὺς καὶ ἀμὰν ἐπὶ τὴν
αὔριον εἰς τὴν δοχὴν ἣν ποιήσω αὐτοῖς καὶ αὔριον ποιήσω
τὰ αὐτά.
κθ' καὶ ἐξῆλθεν ἀμὰν ἀπὸ τοῦ βασιλέως ὑπερχαρὴς εὐ-
φραινόμενος, ἐν δὲ τῷ ἰδεῖν ἀμὰν μαρδοχαῖον τὸν ἰουδαῖ-
ον ἐν τῇ αὐλῇ. ἐθυμώθη σφόδρα. καὶ εἰσελθὼν εἰς τὰ ἴδια
ἐκάλεσε τοὺς φίλους. καὶ ζωσάραν τὴν γυναῖκα αὐτοῦ. καὶ
ὑπέδειξεν αὐτοῖς τὸν πλοῦτον αὐτοῦ. καὶ τὴν δόξαν ἣν ὁ βασι-
λεὺς αὐτῷ περιέθηκε. καὶ ὡς ἐποίησεν αὐτὸν πρωτεύειν καὶ
ἡγεῖσθαι τῆς βασιλείας. καὶ εἶπεν ἀμάν, οὐ κέκληκεν ἡ βασί-
λισσα μετὰ τοῦ βασιλέως οὐδένα εἰς τὴν δοχήν. ἀλλ' ἢ ἐμὲ
καὶ εἰς τὴν αὔριον κέκληκέ με καὶ ταῦτά μοι οὐκ ἀρέσκει ὅ-
ταν ἴδω μαρδοχαῖον τὸν ἰουδαῖον ἐν τῇ αὐλῇ.
λ' καὶ εἶπε πρὸς αὐτὸν ζωσάρα ἡ γυνὴ αὐτοῦ. καὶ οἱ φί-
λοι. κοπήτω σοι ξύλον πηχῶν πεντήκοντα. ὄρθρου δὲ εἰπὸν τῷ
βασιλεῖ. καὶ κρεμασθήτω μαρδοχαῖος ἐπὶ τοῦ ξύλου. σὺ δὲ εἴ-
σελθε εἰς τὴν δοχὴν σὺν τῷ βασιλεῖ καὶ εὐφραίνου.
λα' καὶ ἤρεσε τὸ ῥῆμα τῷ ἀμὰν καὶ ἡτοίμασε τὸ ξύλον.

Κεφάλαιον ϛ. 6.

λβ Ὁ δὲ κύριος ἀπέστησε τὸν ὕπνον τοῦ βασιλέως

τὴν

τὴν νύκτα ἐκείνην. καὶ εἶπε τῷ διακόνῳ αὐτοῦ εἰσφέρειν γράμματα μνημόσυνα τῶν ἡμερῶν ἀναγινώσκειν αὐτῷ. εὗρε δὲ γράμματα τὰ γραφέντα περὶ μαρδοχαίου ὡς ἀπήγγειλε τῷ βασιλεῖ, περὶ τῶν δύο εὐνούχων τοῦ βασιλέως ἐν τῷ φυλάσσειν αὐτούς. καὶ ζητῆσαι ἐπιβαλεῖν τὰς χεῖρας ἀρταξέρξῃ. εἶπε δὲ ὁ βασιλεὺς τίνα δόξαν, ἢ χάριν ἐποιήσαμεν τῷ μαρδοχαίῳ. καὶ εἶπαν οἱ διάκονοι τοῦ βασιλέως οὐκ ἐποίησας αὐτῷ οὐδέν.

λγ' Ἐν δὲ τῷ πυνθάνεσθαι τὸν βασιλέα περὶ τῆς εὐνοίας μαρδοχαίου. ἰδοὺ ἀμὰν ἐν τῇ αὐλῇ. εἶπε δὲ ὁ βασιλεὺς τίς ἐν τῇ αὐλῇ. ὁ δὲ εἰσῆλθεν εἰπεῖν τῷ βασιλεῖ, κρεμάσαι τὸν μαρδοχαῖον ἐν τῷ ξύλῳ ᾧ ἡτοίμασε. καὶ εἶπον οἱ διάκονοι τοῦ βασιλέως. ἰδοὺ ἀμὰν ἕστηκε ἐν τῇ αὐλῇ. καὶ εἶπεν ὁ βασιλεὺς καλέσατε αὐτόν.

λδ' Εἶπε δὲ ὁ βασιλεὺς τῷ ἀμάν. τί ποιήσω τῷ ἀνθρώπῳ ὃν ἐγὼ θέλω δοξάσαι. εἶπε δὲ ἐν ἑαυτῷ ἀμὰν τίνα θέλει ὁ βασιλεὺς δοξάσαι εἰ μὴ ἐμέ. εἶπε δὲ πρὸς τὸν βασιλέα ἄνθρωπον ὃν ὁ βασιλεὺς θέλει δοξάσαι, ἐνεγκάτωσαν οἱ παῖδες τοῦ βασιλέως στολὴν βυσσίνην ἣν ὁ βασιλεὺς περιβάλλεται. καὶ ἵππον ἐφ᾽ ὃν ὁ βασιλεὺς ἐπιβαίνει. καὶ δότω ἑνὶ τῶν φίλων τοῦ βασιλέως τῶν ἐνδόξων. καὶ στολισάτω τὸν ἄνθρωπον ὃν ὁ βασιλεὺς ἀγαπᾷ, καὶ ἀναβιβασάτω αὐτὸν ἐπὶ τὸν ἵππον καὶ κηρυσσέτω διὰ τῆς πλατείας τῆς πόλεως λέγων. οὕτως ἔσται παντὶ ἀνθρώπῳ, ὃν ὁ βασιλεὺς δοξάσει.

λε' Εἶπε δὲ ὁ βασιλεὺς τῷ ἀμὰν καλῶς ἐλάλησας. οὕτως ποίησον τῷ μαρδοχαίῳ τῷ ἰουδαίῳ τῷ θεραπεύοντι ἐν τῇ αὐλῇ. καὶ μὴ παραπεσάτω σου λόγος ὃν ἐλάλησας.

λς' Ἔλαβε δὲ ἀμὰν τὴν στολήν, καὶ τὸν ἵππον. καὶ ἐστόλισε τὸν μαρδοχαῖον καὶ ἀνεβίβασεν αὐτὸν ἐπὶ τὸν ἵππον. καὶ διῆλθε διὰ τῆς πλατείας τῆς πόλεως, καὶ ἐκήρυσσε λέγων, οὕτως ἔσται παντὶ ἀνθρώπῳ ὃν ὁ βασιλεὺς θέλει δοξάσαι. ἀπέστρεψε

δὲ μαρδοχαῖος εἰς τὴν αὐλήν. ἀμὰν δὲ ἐπέστρεψεν εἰς τὰ ἴ-
δια λυπούμενος κατὰ κεφαλῆς.
λζ' Καὶ διηγήσατο ἀμὰν τὰ συμβεβηκότα αὐτῷ ζω-
σάρα τῇ γυναικὶ αὐτοῦ καὶ τοῖς φίλοις. καὶ εἶπον πρὸς αὐτὸν οἱ
φίλοι καὶ ἡ γυνὴ εἰ ἐκ γένους ἰουδαίων μαρδοχαῖος ἦρξω
ταπεινοῦσθαι ἔμπροσθεν αὐτοῦ. πεσὼν πέσῃ. οὐ μὴ δύνῃ αὐτὸν
ἀμύνασθαι ὅτι θεὸς ζῶν μετ' αὐτοῦ.
λη' Ετι αὐτῶν λαλούντων παραγίνονται οἱ εὐνοῦχοι ἐπι-
σπεύδοντες τὸν ἀμὰν ἐπὶ τὸν πότον ὃν ἑτοίμασεν ἐσθήρ.

Κεφάλαιον ζ'. 7.

Εἰσῆλθεν δὲ ὁ βασιλεὺς καὶ ἀμὰν συμπιεῖν τῇ βασιλίσσῃ.
λθ' Εἶπε ὁ βασιλεὺς τῇ ἐσθὴρ τῇ δευτέρᾳ ἡμέρᾳ ἐν τῷ
πότῳ. τί ἐστιν ἐσθὴρ βασίλισσα καὶ τί τὸ αἴτημά σου καὶ τί τὸ ἀ-
ξίωμά σου. καὶ ἔσται σοι ἕως ἡμίσους τῆς βασιλείας μου.
μ' Καὶ ἀποκριθεῖσα εἶπεν. εἰ εὗρον χάριν ἐνώπιον τοῦ βα-
σιλέως δοθήτω ἡ ψυχὴ τῷ αἰτήματί μου. καὶ ὁ λαός μου τῷ
ἀξιώματί μου. ἐπράθημεν γὰρ ἐγώ τε καὶ ὁ λαός μου εἰς ἀπώ-
λειαν, καὶ διαρπαγὴν, καὶ δουλείαν ἡμεῖς τε καὶ τὰ τέκνα ἡμῶν
εἰς παῖδας, καὶ παιδίσκας καὶ παρήκας. οὐ γὰρ ἄξιος ὁ διάβο-
λος τῆς αὐλῆς τοῦ βασιλέως.
μα' Εἶπε δὲ ὁ βασιλεὺς τίς οὗτος ὃς ἐτόλμησε ποιῆσαι
τὸ πρᾶγμα τοῦτο.
μβ' Εἶπε δὲ ἐσθὴρ ἄνθρωπος ὁ ἐχθρὸς ἀμὰν ὁ πονηρὸς
οὗτος. ἀμὰν δὲ ἐταράχθη ἀπὸ τοῦ βασιλέως καὶ τῆς βασιλίσσης.
μγ' Ο δὲ βασιλεὺς ἐξανέστη ἐκ τοῦ συμποσίου εἰς τὸν κῆ-
πον. ὁ δὲ ἀμὰν παρεκάλει, καὶ ᾐτεῖτο τὴν βασίλισσαν. ἑώρα
γὰρ αὐτὸν ἐν κακοῖς ὄντα.
μδ' Επέστρεψεν δὲ ὁ βασιλεὺς ἐκ τοῦ κήπου. ἀμὰν δὲ ἐ-
πεπτώκει ἐπὶ τὴν κλίνην ἀξιῶν τὴν βασίλισσαν. εἶπε δὲ ὁ βα-

πλεύει, ὥστε καὶ τὴν γυναῖκα βιάζει ἐν τῇ οἰκίᾳ μου, ἀμὰν δὲ ἀκούσας διετράπη τῷ προσώπῳ.

μέ εἶπεν δὲ ὁ βουγαθὰν εἷς τῶν εὐνούχων· οὗτος δ' ἐγνώκει τοῦτο τὸ ξύλον εἰδὼν τοῦ σταυροῦ ἐν τῇ οἰκίᾳ τοῦ ἀμὰν, ὅτι ἐκάλει αὐτὸν ἐπὶ τὸν δεῖπνον τῶν βασιλέων· καὶ περὶ τούτου πυθόμενος, ἔγνω παρ' ἑνὸς τῶν παίδων τὸ κατασκευαζόμενον πρὸς τὸν βασιλέα. ἰδοὺ καὶ ξύλον ἡτοίμασεν ἀμὰν μαρδοχαίῳ τῷ λαλήσαντι περὶ τοῦ βασιλέως, καὶ ὤρθωται ἐν τοῖς ἀμὰν πηχῶν πεντήκοντα.

μϛ́ εἶπε δὲ ὁ βασιλεὺς σταυρωθήτω ἐπ' αὐτό· καὶ ἐκρεμάσθη ἀμὰν ἐπὶ τοῦ ξύλου ὃ ἡτοίμασε μαρδοχαίῳ καὶ τότε ὁ βασιλεὺς ἐκόπασε ἀπὸ τοῦ θυμοῦ.

Κεφάλαιον η. 8.

Αὶ ἐν αὐτῇ τῇ ἡμέρᾳ ὁ βασιλεὺς ἀρταξέρξης ἐδω-
κ ρήσατο τῇ ἐσθὴρ ὅσα ὑπάρχει ἀμὰν τῷ διαβόλῳ,
καὶ μαρδοχαῖος προσεκλήθη παρὰ τοῦ βασιλέως. ὑπέδειξε γὰρ ἐσθὴρ ὅτι ἐνοικείωται αὐτῇ. ἔλαβε δὲ ὁ βασιλεὺς τὸν δακτύλιον ὃν ἀφεῖλεν ἀμάν· καὶ ἔδωκε μαρδοχαίῳ, καὶ κατέστησεν ἐσθὴρ μαρδοχαῖον ἐπὶ πάντων τῶν ἀμὰν, καὶ προσθεῖσα ἐλάλησε πρὸς τὸν βασιλέα, καὶ προσέπεσεν ἐπὶ τοὺς πόδας αὐτοῦ. καὶ ἠξίου ἀφελεῖν τὴν ἀμὰν κακίαν, καὶ ὅσα ἐποίησε τοῖς ἰουδαίοις· ἐξέτεινε ὁ βασιλεὺς ἐσθὴρ τὴν ῥάβδον τὴν χρυσῆν. ἐξηγέρθη δὲ ἐσθὴρ παρεστηκέναι τῷ βασιλεῖ, καὶ εἶπεν ἐσθὴρ εἰ δοκεῖ σοι, καὶ εὗρον χάριν, πεμφθήτω ἀποστραφῆναι τὰ γράμματα, τὰ ἀπεσταλμένα ἀπὸ ἀμάν· τὰ γραφέντα ἀπολέσθαι τοὺς ἰουδαίους οἳ εἰσὶν ἐν τῇ βασιλείᾳ σου. πῶς γὰρ δυνήσομαι ἰδεῖν τὴν κάκωσιν τοῦ λαοῦ μου, καὶ πῶς δυνήσομαι σωθῆναι ἐν τῇ ἀπωλείᾳ τῆς πατρίδος μου.

μζ Καὶ εἶπεν ὁ βασιλεὺς πρὸς ἐσθὴρ εἰ πάντα ὑπάρχοντα ἀμὰν ἔδωκα, καὶ ἐχαρισάμην σοι· καὶ αὐτὸν ἐκρέμασα

ἐπὶ ξύλου, ὅτι τὰς χεῖρας ἐπήνεγκε τοῖς ἰουδαίοις. τί ἔτι ἐπιζητεῖτε. γράψατε καὶ ὑμεῖς ἐκ τοῦ ὀνόματός μου, ὡς δοκεῖ ὑμῖν, καὶ σφραγίσατε τῷ δακτυλίῳ μου. ὅσα γὰρ γράφεται τοῦ βασιλέως ἐπιτάξαντος, καὶ σφραγισθῇ τῷ δακτυλίῳ μου. οὐκ ἔστιν αὐτοῖς ἀντειπεῖν.

μη' Ἐκλήθησαν δὲ οἱ γραμματεῖς ἐν τῷ πρώτῳ μηνί, ὅς ἐστι νισὰ τῇ τρίτῃ, καὶ εἰκάδι τοῦ αὐτοῦ ἔτους, καὶ ἐγράφη τοῖς ἰουδαίοις ὅσα ἐνετείλατο τοῖς οἰκονόμοις, καὶ τοῖς ἄρχουσι τῶν σατραπῶν. ἀπὸ τῆς ἰνδικῆς ἕως τῆς αἰθιοπίας ἑκατὸν εἰκοσιεπτὰ σατράπαις κατὰ χώραν, καὶ χώραν κατὰ τὴν αὐτῶν λέξιν. ἐγράφη δὲ διὰ τοῦ βασιλέως. καὶ ἐσφραγίσθη τῷ δακτυλίῳ αὐτοῦ. καὶ ἐξαπέστειλαν τὰ γράμματα διὰ βιβλιοφόρον, ὡς ἐπέταξεν αὐτοῖς χρήσασθαι τοῖς νόμοις αὐτῶν ἐν πάσῃ πόλει βοηθῆσαί τε αὐτοῖς, καὶ χρήσασθαι τοῖς ἀντιδίκοις αὐτῶν. καὶ τοῖς ἀντικειμένοις αὐτῶν, ὡς βούλονται ἐν ἡμέρᾳ μιᾷ ἐν πάσῃ τῇ βασιλείᾳ ἀρταξέρξου. τῇ τρισκαιδεκάτῃ τοῦ δωδεκάτου μηνὸς ὅς ἐστιν ἀδάρ. ὧν ἐστιν ἀντίγραφον τῆς ἐπιστολῆς τὰ γεγραμμένα.

## ΒΑΣΙΛΕΥΣ ΜΕΓΑΣ ΑΡΤΑΞΕΡΞΗΣ.

μθ' Τοῖς ἀπὸ τῆς ἰνδικῆς ἕως αἰθιοπίας ἑκατὸν εἰκοσιεπτὰ σατράπαις χωρῶν ἄρχουσι, καὶ τοῖς τὰ ἡμέτερα φρονοῦσι. χαίρειν. Πολλοὶ τῇ πλείστῃ τῶν εὐεργετούντων χρηστότητι πυκνότερον τιμώμενοι. μεῖζον ἐφρόνησαν. καὶ οὐ μόνον τοὺς ὑποτεταγμένους ἡμῖν ζητοῦσι κακοποιεῖν, τόν τε κόρον οὐ δυνάμενοι φέρειν. καὶ τοῖς ἑαυτῶν εὐεργέταις ἐπιχειροῦσι μηχανᾶσθαι. καὶ τὴν εὐχαριστίαν οὐ μόνον ἐκ τῶν ἀνθρώπων ἀνταναιροῦντες. ἀλλὰ καὶ τοῖς τῶν ἀπειραγάθων κόμποις ἐπαρθέντες τοῦ τὰ πάντα κατοπτεύοντος ἀεὶ θεοῦ μισοπόνηρον ὑπολαμβάνουσιν ἐκφεύξεσθαι δίκην. πολλάκις δέ, καὶ πολλοὺς τῶν ἐπ'

ἐξουσίαις τεταγμένων τῶν πιστευθέντων χειρίζειν φίλων τὰ πρά-
γματα, παραμυθία μετόχους αἱμάτων ἀθώων καταστήσασα πε-
ριέβαλε συμφοραῖς ἀνηκέστοις. τῷ τῆς κακοηθείας ψευδεῖ πα-
ραλογισμῷ παραλογισαμένων τὴν τῶν ἐπικρατούντων ἀκέραι-
ον εὐγνωμοσύνην. σκοπεῖν δὲ ἔξεστιν. οὐ τοσοῦτον, ἐκ τῶν πα-
λαιοτέρων ὡς παρεδώκαμεν ἱστοριῶν, ὅσα ἐστὶ παρὰ πόδας
ὑμᾶς ἐκζητοῦντας ἀνοσίως συντετελεσμένα τῇ τῶν ἀναξίως δυ-
ναστευόντων λοιμότητι. καὶ προσέχειν εἰς τὰ μετὰ ταῦτα, ὥς-
τε τὴν βασιλείαν ἀτάραχον τοῖς πᾶσιν ἀνθρώποις μετ' εἰρήνης
παρεξόμεθα χρώμενοί τε μεταβολαῖς τὰ δὲ ὑπὸ τὴν ὄψιν ἐρ-
χόμενα διακρίνοντες ἀεὶ μετ' ἐπιεικεστέρας ἀπαντήσεως. ὡς
γὰρ ἀμὰν ἀμαδάθου μακεδὼν ταῖς ἀληθείαις ἀλλότριος τοῦ
τῶν περσῶν αἵματος, καὶ πολὺ διεστηκὼς τῆς ἡμετέρας χρη-
στότητος ἐπιξενωθεὶς ἡμῖν, ἔτυχεν ἧς ἔχομεν πρὸς πᾶν ἔθνος
φιλανθρωπίας, ἐπὶ τοσοῦτον, ὥστε ἀναγορεύεσθαι ἡμῶν πα-
τέρα, καὶ προσκυνούμενον ὑπὸ πάντων, τὸ δεύτερον τοῦ βασι-
λικοῦ θρόνου πρόσωπον διατελεῖν. οὐκ ἐνέγκας δὲ τὴν ὑπε-
ρηφανίαν ἐπετήδευσε τῆς ἀρχῆς στερῆσαι ἡμᾶς, καὶ τοῦ πνεύ-
ματος. τόν τε ἡμέτερον σωτῆρα, καὶ διὰ παντὸς εὐεργέτην
μαρδοχαῖον καὶ τὴν ἄμεμπτον τῆς βασιλείας κοινωνὸν ἐσθὴρ
σὺν παντὶ τῷ τούτων ἔθνει. πολυπλόκοις μεθόδων παραλογι-
σμοῖς αἰτησάμενος εἰς ἀπώλειαν. διὰ γὰρ τῶν τρόπων τού-
των ᾠήθη λαβὼν ἡμᾶς ἐρήμους. τὴν τῶν περσῶν ἐπικράτησιν
εἰς τοὺς μακεδόνας μετάξαι. ὑμεῖς δὲ ὑπὸ τοῦ τρισαλιτηρίου πα-
ραδεδομένους εἰς ἀφανισμὸν ἰουδαίους. εὑρίσκομεν οὐ κακούρ-
γους ὄντας. δικαιοτάτοις δὲ πολιτευομένους νόμοις. ὄντας δὲ
υἱοὺς τοῦ ὑψίστου μεγίστου ζῶντος θεοῦ. τοῦ κατευθύνοντος ἡμῖν
τε, καὶ τοῖς προγόνοις ἡμῶν τὴν βασιλείαν ἐν τῇ καλλίστῃ δια-
θέσει. καλῶς οὖν ποιήσετε μὴ προσχρησάμενοι τοῖς ὑπὸ ἀμὰν
ἀμαδάθου ἀποσταλεῖσι γράμμασι. διὰ τὸ αὐτὸν ταῦτα ἐξεργα-

σάμενον πρὸς ταῖς σούσων πύλαις ἐσταυρῶσθαι σὺν τῇ πανοι-
κίᾳ, τὴν καταξίαν τοῦ τὰ πάντα ἐπικρατοῦντος θεοῦ διὰ τάχους ἀποδόντος αὐτῷ κρίσιν. τὸ δὲ ἀντίγραφον τῆς ἐπιστολῆς ταύτης ἐκθέντες ἐν παντὶ τόπῳ μετὰ παῤῥησίας ἐᾶν τοὺς ἰουδαίους χρῆσθαι τοῖς ἑαυτῶν νόμοις. καὶ συνεπισχύειν αὐτοῖς. ὅπως τοὺς ἐν καιρῷ θλίψεως ἐπιθεμένους αὐτοῖς, ἀμύνωνται τῇ τρισκαιδεκάτῃ τοῦ δωδεκάτου μηνὸς ἀδὰρ τῇ αὐτῇ ἡμέρᾳ. ταύτην γὰρ ἅπαντα δυναστεύων θεὸς ἀντὶ ὀλεθρίας τοῦ ἐκλεκτοῦ γένους, ἐποίησεν αὐτοῖς εὐφροσύνην. καὶ ὑμεῖς οὖν ἐν ταῖς ἐπωνύμοις ὑμῶν ἑορταῖς, ἐπίσημον ἡμέραν μετὰ πάσης εὐωχίας ἄγετε. ὅπως καὶ νῦν καὶ μετὰ ταῦτα σωτηρία ᾖ ἡμῖν. καὶ τοῖς εὐνοοῦσι πέρσαις, τοῖς δὲ ἡμῖν ἐπιβουλεύουσι. μνημόσυνον τῆς ἀπωλείας, πᾶσα δὲ πόλις, ἢ χώρα τὸ σύνολον, ἥτις κατὰ ταῦτα μὴ ποιήσῃ, δόρατι καὶ πυρὶ καταναλωθήσεται μετ᾽ ὀργῆς. οὐ μόνον ἀνθρώποις ἄβατος, ἀλλὰ καὶ θηρίοις, καὶ πετεινοῖς εἰς τὸν ἅπαντα χρόνον, ἔχθιστος κατασταθήσεται. τὰ δὲ ἀντίγραφα ἐκτιθέσθωσαν ὀφθαλμοφανῶς ἐν πάσῃ τῇ βασιλείᾳ. ἑτοίμους τε εἶναι πάντας τοὺς ἰουδαίους εἰς ταύτην τὴν ἡμέραν, πολεμῆσαι αὐτῶν τοὺς ὑπεναντίους.

## Κεφάλαιον θ΄. 9.

Οἱ μὲν οὖν ἱππεῖς ἐξῆλθον σπεύδοντες τὰ ὑπὸ τοῦ βασιλέως λεγόμενα ἐπιτελεῖν. ἐξετέθη δὲ τὸ πρόσταγμα, καὶ ἐν σούσοις. ὁ δὲ μαρδοχαῖος ἐξῆλθεν ἐστολισμένος τὴν βασιλικὴν στολὴν, καὶ στέφανον ἔχων χρυσοῦν. καὶ διάδημα βύσσινον πορφυροῦν. ἰδόντες δὲ οἱ ἐν σούσοις ἐχάρησαν. τοῖς δὲ ἰουδαίοις ἐγένετο φῶς, καὶ εὐφροσύνη κατὰ πόλιν, καὶ χώραν οὗ ἂν ἐξετέθη τὸ ἔκθεμα. χαρὰ καὶ εὐφροσύνη τοῖς ἰουδαίοις, κώθων καὶ εὐφροσύνη. καὶ πολλοὶ τῶν ἐθνῶν περιετέμνοντο, καὶ ἰουδάιζον διὰ τὸν φόβον τῶν ἰουδαίων, ἐν γὰρ τῷ δωδεκάτῳ μηνὶ τῇ τρισκαιδεκάτῃ τοῦ μη-

νὸς ὅς ἐστιν ἀδάρ, παρῆν τὰ γράμματα τὰ γραφέντα παρὰ τοῦ βασιλέως ἐν αὐτῇ τῇ ἡμέρᾳ ἀπώλοντο οἱ ἀντικείμενοι τοῖς ἰουδαίοις οὐδεὶς γὰρ ἀντέστη φοβούμενος αὐτούς. οἱ γὰρ ἄρχοντες τῶν σατραπῶν, καὶ οἱ τύραννοι, καὶ οἱ βασιλικοὶ γραμματεῖς, ἐτίμων τοὺς ἰουδαίους. ὁ γὰρ φόβος μαρδοχαίου ἐπέκειτο αὐτοῖς. προσέπεσε γὰρ τὸ πρόσταγμα τοῦ βασιλέως ὀνομασθῆναι ἐν πάσῃ τῇ βασιλείᾳ, καὶ ἐν σούσοις τῇ πόλει ἀπέκτειναν οἱ ἰουδαῖοι ἄνδρας πεντακοσίους. τόν τε φαρσαν. νεσταῖν καὶ δελφών. καὶ φασγά. καὶ φαρδαθά, καὶ βαρεά. καὶ σαρβακά. καὶ μαρμασίμ. καὶ ἀρουφαῖον. καὶ ἀρσαῖον. καὶ ζαβουθαιθάν. τοὺς δέκα υἱοὺς ἀμάν. ἀμαδάθου βουγαίου τοῦ ἐχθροῦ τῶν ἰουδαίων καὶ διήρπασαν ἐν αὐτῇ τῇ ἡμέρᾳ. ἐπεδόθη δὲ ὁ ἀριθμὸς τῷ βασιλεῖ τῶν ἀπολωλότων ἐν σούσοις. εἶπε δὲ ὁ βασιλεὺς πρὸς ἐσθήρ, ἀπώλεσαν ἰουδαῖοι ἐν σούσοις ἄνδρας πεντακοσίους ἐν τῇ πόλει. ἐν δὲ τῇ περιχώρῳ πῶς οἴει ἐχρήσαντο. τί οὖν ἀξιοῖς ἔτι, καὶ ἔσται σοι.

νά Καὶ εἶπεν ἐσθὴρ τῷ βασιλεῖ, δοθήτω τοῖς ἰουδαίοις χρῆσθαι ὡσαύτως τὴν αὔριον ὥστε τοὺς δέκα υἱοὺς ἀμὰν κρεμάσαι. καὶ ἐπέτρεψεν οὕτως γενέσθαι καὶ ἐξέθηκε τοῖς ἰουδαίοις τῆς πόλεως τὰ σώματα τῶν υἱῶν ἀμὰν κρεμάσαι, καὶ συνήχθησαν οἱ ἰουδαῖοι ἐν σούσοις τῇ τεσσαρεσκαιδεκάτῃ τοῦ ἀδάρ. καὶ ἀπέκτειναν ἄνδρας τριακοσίους, καὶ οὐδὲν διήρπασαν. οἱ δὲ λοιποὶ τῶν ἰουδαίων τῶν ἐν τῇ βασιλείᾳ συνήχθησαν, καὶ ἑαυτοῖς ἐβοήθουν, καὶ ἀνεπαύσαντο ἀπὸ τῶν πολεμίων. ἀπώλεσαν γὰρ αὐτῶν μυρίους πεντακισχιλίους τῇ τρισκαιδεκάτῃ τοῦ ἀδάρ, καὶ οὐδὲν διήρπασαν, καὶ ἀνεπαύσαντο τῇ τεσσαρεσκαιδεκάτῃ τοῦ αὐτοῦ μηνός, καὶ ἦγον αὐτὴν ἡμέραν ἀναπαύσεως μετὰ χαρᾶς καὶ εὐφροσύνης. οἱ δὲ ἰουδαῖοι οἱ ἐν σούσοις τῇ πόλει συνήχθησαν, καὶ τῇ τεσσαρεσκαιδεκάτῃ, καὶ ἀνεπαύσαντο. ἦγον δὲ καὶ τὴν πεντεκαιδεκάτην μετὰ χαρᾶς,

καὶ εὐφροσύνης. διὰ τοῦτο οὖν οἱ ἰουδαῖοι οἱ διεσπαρμένοι ἐν
πάσῃ χώρᾳ τῇ ἔξω ἄγουσι τὴν τεσσαρεσκαιδεκάτην τοῦ ἀ-
δὰρ ἡμέραν ἀγαθὴν μετ' εὐφροσύνης ἀποστέλλοντες μερί-
δας ἕκαστος τῷ πλησίον. οἱ δὲ κατοικοῦντες ἐν ταῖς μητροπό-
λεσι, καὶ τὴν πεντεκαιδεκάτην ἡμέραν τοῦ ἀδὰρ εὐφροσύνην
ἄγουσιν, ἐξαποστέλλοντες μερίδας τοῖς πλησίον.

νβ Ἔγραψε δὲ μαρδοχαῖος τοὺς λόγους τούτους εἰς βι-
βλίον καὶ ἐξαπέστειλε τοῖς ἰουδαίοις, ὅσοι ἦσαν ἐν τῇ ἀρταξέρ-
ξου βασιλείᾳ τοῖς ἐγγὺς, καὶ τοῖς μακρὰν, στῆσαι τὰς ἡμέρας ταύ-
τας ἀγαθὰς ἄγειν τε τὴν τεσσαρεσκαιδεκάτην, καὶ τὴν πεντε-
καιδεκάτην τοῦ ἀδὰρ ἐν γὰρ ταύταις ταῖς ἡμέραις ἀνεπαύσαντο
οἱ ἰουδαῖοι ἀπὸ τῶν ἐχθρῶν αὐτῶν. καὶ τὸν μῆνα ἐν ᾧ ἐστράφη
αὐτοῖς, ὅς ἦν ἀδὰρ, ἀπὸ πένθους εἰς χαράν. καὶ ἀπὸ ὀδύνης εἰς
ἀγαθὴν ἡμέραν ἄγειν ὅλον εἰς ἀγαθὰς ἡμέρας γάμων. καὶ εὐ-
φροσύνης. ἐξαποστέλλοντες μερίδας τοῖς φίλοις, καὶ τοῖς πτω-
χοῖς. καὶ προσεδέξαντο, οἱ ἰουδαῖοι καθὼς ἔγραψεν αὐτοῖς ὁ
μαρδοχαῖος. πῶς ἀμὰν ἀμαδάθου ὁ μακεδὼν ἐπολέμει αὐ-
τοῖς. καθὼς ἔθετο ψήφισμα, καὶ κλῆρον ἀφανίσαι αὐτοὺς, καὶ
ὡς εἰσῆλθε πρὸς τὸν βασιλέα λέγων κρεμάσαι τὸν μαρδοχαῖ-
ον. ὅσα δὲ ἐπεχείρησεν ἐπάξαι ἐπὶ τοὺς ἰουδαίους κακὰ ἐπ' αὐ-
τὸν ἐγένοντο. καὶ ἐκρεμάσθη αὐτὸς. καὶ τὰ τέκνα αὐτοῦ. διὰ
τοῦτο ἐπεκλήθησαν αἱ ἡμέραι αὗται φρουραὶ διὰ τοὺς κλήρους
ὅτι τῇ διαλέκτῳ αὐτῶν καλοῦνται φρουραὶ, διὰ τοὺς λόγους
τῆς ἐπιστολῆς ταύτης, καὶ ὅσα πεπόνθασι διὰ ταῦτα, καὶ ὅσα
αὐτοῖς ἐγένετο. καὶ ἔστησεν,, καὶ προσεδέχοντο οἱ ἰουδαῖοι ἐφ'
ἑαυτοῖς, καὶ ἐπὶ τῷ σπέρματι αὐτῶν, καὶ ἐπὶ τοῖς προστεθει-
μένοις ἐπ' αὐτῶν οὐ δὲ μὴν ἄλλως χρήσονται· αἱ ἡμέραι αὗ-
ται μνημόσυνον ἐπιτελούμενον κατὰ γενεὰν, καὶ γενεὰν καὶ
πόλιν, καὶ πατριὰν, καὶ χώραν. αἱ δὲ ἡμέραι αὗται τῶν φρου-
ραί, ἀχθήσονται εἰς τὸν ἅπαντα χρόνον, καὶ τὸ μνημόσυνον αὐ-

τῶν οὐ μὴ ἐκλίπῃ ἕως γενεῶν.

νγ΄ Καὶ ἔγραψεν ἐσθὴρ ἡ βασίλισσα θυγάτηρ ἀμινα-
δάβ, καὶ μαρδοχαῖος ὁ ἰουδαῖος ὅσα ἐποίησαν τότε στερέ-
ωμα τῆς ἐπιστολῆς τῶν φρουραί. καὶ μαρδοχαῖος, καὶ ἐσθὴρ
ἡ βασίλισσα ἔστησαν ἑαυτοῖς καθ᾽ ἑαυτῶν. καὶ τότε στήσαν-
τες κατὰ τῆς ὑγείας αὐτῶν καὶ τὴν βουλὴν αὐτῶν. καὶ ἐσθὴρ
λόγῳ ἔστησεν εἰς τὸν αἰῶνα, καὶ ἐγράφη εἰς μνημόσυνον.

Κεφάλαιον. ί. 10.

νδ΄ Ἔγραψε δὲ ὁ βασιλεὺς ἐπὶ τὴν βασιλείαν τῆς τε
γῆς, καὶ τῆς θαλάσσης, καὶ τὴν ἰσχὺν αὐτοῦ, καὶ
τὴν ἀνδραγαθίαν, πλοῦτόν τε, καὶ δόξαν τῆς
βασιλείας αὐτοῦ. ἰδοὺ γέγραπται ἐν βιβλίῳ περσῶν. καὶ μή-
δων, εἰς μνημόσυνον. ὅτε μαρδοχαῖος διεδέχετο τὸν βασι-
λέα ἀρταξέρξην. καὶ μέγας ἦν ἐν τῇ βασιλείᾳ. καὶ δεδοξασμέ-
νος ὑπὸ τῶν ἰουδαίων. καὶ φιλούμενος, διηγεῖτο τὴν ἀγω-
γὴν, παντὶ τῷ ἔθνει αὐτῶν. καὶ εἶπε μαρδοχαῖος. παρὰ τοῦ
θεοῦ ἐγένετο ταῦτα. ἐμνήσθην γὰρ περὶ τοῦ ἐνυπνίου οὗ εἶδον
περὶ τῶν λόγων τούτων. οὐδὲ γὰρ παρῆλθεν ἀπ᾽ αὐτῶν λό-
γος. ἡ μικρὰ πηγὴ ἣ ἐγένετο ποταμός. καὶ ἦν φῶς καὶ ἥλιος
καὶ ὕδωρ πολύ. ἐσθήρ ἐστιν ὁ ποταμὸς ἣν ἐγάμησεν ὁ βασι-
λεὺς, καὶ ἐποίησε βασίλισσαν. οἱ δὲ δύο δράκοντες, ἐγώ εἰ-
μι, καὶ ἀμάν. τὰ δὲ ἔθνη, τὰ ἐπισυναχθέντα ἀπολέσαι τὸ ὄ-
νομα τῶν ἰουδαίων. τό τε ἔθνος τὸ ἐμὸν οὗτος ἐστιν ἰσραήλ.
οἱ βοήσαντες πρὸς τὸν θεὸν, καὶ σωθέντες. καὶ ἔσωσε κύριος
τὸν λαὸν αὐτοῦ. καὶ ἐῤῥύσατο κύριος ἡμᾶς ἐκ πάντων τῶν κα-
κῶν τούτων. καὶ ἐποίησεν ὁ θεὸς τὰ σημεῖα, καὶ τὰ τέρατα
τὰ μεγάλα ἃ οὐ γέγονεν ἐν τοῖς ἔθνεσι διὰ τοῦτο ἐποίησε κλή-
ρους δύο. ἕνα τῷ λαῷ τοῦ θεοῦ. καὶ ἕνα πᾶσι τοῖς ἔθνεσι. καὶ
ἦλθον οἱ δύο κλῆροι οὗτοι, εἰς ὥραν, καὶ καιρὸν, καὶ εἰς ἡμέραν
κρίσεως, ἐνώπιον τοῦ θεοῦ ἐν πᾶσι τοῖς ἔθνεσι. καὶ ἐμνήσθη ὁ

θεὸς τοῦ λαοῦ αὐτοῦ. καὶ ἐδικαίωσε τὴν κληρονομίαν αὐτοῦ. καὶ ἔσονται αὐτοῖς αἱ ἡμέραι αὗται, ἐν μηνὶ ἀδὰρ τῇ τεσσαρεσκαιδεκάτῃ, καὶ τῇ πεντεκαιδεκάτῃ τοῦ αὐτοῦ μηνὸς, μετὰ συναγωγῆς, καὶ χαρᾶς μετ' εὐφροσύνης ἐνώπιον τοῦ θεοῦ κατὰ γενεὰν εἰς τὸν αἰῶνα ἐν τῷ λαῷ αὐτοῦ.

νέ Ἔτους τετάρτου βασιλεύοντος Πτολεμαίου, καὶ
κλεοπάτρας εἰσήνεγκε Δοσίθεος, ὃς ἔφη εἶναι
ἱερεὺς, καὶ λευίτης, καὶ Πτολεμαῖος ὁ
υἱὸς αὐτοῦ τὴν προκειμένην
ἐπιστολὴν τῶν φρου-
ραὶ ἣν ἔφα-
σαν
εἶναι καὶ ἑρ-
μηνευκέναι λυσίμα-
χον πτολεμαί-
ου
τὸν ἐν ἱερου-
σαλήμ.

Τέλος τῆς Ἐσθήρ.

# Ο Ι Ω Β.

## Κεφάλαιον α. 1.

Ἄνθρωπός τις ἦν ἐν τῇ χώρᾳ αὐσίτι-
δι, ᾧ ὄνομα ἰὼβ. καὶ ἦν ἄνθρωπος ἐκεῖ-
νος ἄμεμπτος δίκαιος ἀληθινὸς θεο-
σεβής. ἀπεχόμενος ἀπὸ παντὸς πονη-
ροῦ πράγματος. ἐγένοντο δὲ αὐτῷ
υἱοὶ ἑπτὰ, καὶ θυγατέρες τρεῖς. Καὶ ἦν
τὰ κτήνη αὐτοῦ πρόβατα ἑπτακισχίλια. κάμηλοι τρισχίλιαι
ζεύγη βοῶν πεντακόσια. καὶ θήλειαι ὄνοι νομάδες πεντακό-
σιαι, καὶ ὑπηρεσία πολλὴ σφόδρα. καὶ ἔργα μεγάλα ἦν αὐ-
τῷ ἐπὶ τῆς γῆς. Καὶ ἦν ὁ ἄνθρωπος ἐκεῖνος εὐγενὴς τῶν
ἀφ' ἡλίου ἀνατολῶν. συμπορευόμενοι δὲ οἱ υἱοὶ αὐτοῦ πρὸς
ἀλλήλους ἐποίουν πότον καθ' ἑκάστην ἡμέραν. συμπαραλαμ-
βάνοντες ἅμα, καὶ τὰς τρεῖς ἀδελφὰς αὐτῶν ἐσθίειν καὶ πίνειν
μετ' αὐτῶν. καὶ ὡς ἂν συνετελέσθησαν αἱ ἡμέραι τοῦ πότου ἀ-
πέστελλεν ἰὼβ. καὶ ἐκαθάριζεν αὐτοὺς ἀνιστάμενος τὸ πρωΐ. καὶ
προσφέρων περὶ αὐτῶν θυσίας, κατὰ τὸν ἀριθμὸν αὐτῶν. καὶ
μόσχον ἕνα περὶ ἁμαρτίας, ὑπὲρ τῶν ψυχῶν αὐτῶν. ἔλεγε γὰρ
ἰὼβ μή ποτε οἱ υἱοί μου ἐν τῇ διανοίᾳ αὐτῶν, κακὰ ἐνενόησαν
πρὸς τὸν θεόν. οὕτως ἐποίει ἰὼβ πάσας τὰς ἡμέρας. καὶ ἐγέ-
νετο ἡ ἡμέρα αὕτη. καὶ ἰδοὺ ἦλθον οἱ ἄγγελοι τοῦ θεοῦ παραστῆ-
ναι ἐναντίον τοῦ κυρίου. καὶ ὁ διάβολος ἦλθε μετ' αὐτῶν. καὶ
εἶπεν ὁ κύριος τῷ διαβόλῳ πόθεν παραγέγονας. καὶ ἀπο-

καθεὶς τῷ κυρίῳ εἶπε· περιελθὼν τὴν γῆν, καὶ ἐμπεριπατή-
σας τὴν ὑπ᾽ οὐρανὸν, πάρειμι. καὶ εἶπεν αὐτῷ ὁ κύριος. προ-
σέσχες τῇ διανοίᾳ σου κατὰ τοῦ θεράποντός μου ἰὼβ; ὅτι οὐκ
ἔστιν τῶν ἐπὶ τῆς γῆς κατ᾽ αὐτῷ ἄνθρωπος ἄμεμπτος, δίκαι-
ος, ἀληθινός. θεοσεβής. ἀπεχόμενος ἀπὸ παντὸς πονηροῦ πρά-
γματος. ἀπεκρίθη ὁ διάβολος, καὶ εἶπεν ἐνώπιον κυρίου.
μὴ δωρεὰν ἰὼβ σέβεται τὸν θεόν; οὐ σὺ περιέφραξας αὐτοῦ τὰ
ἔξω. καὶ τὰ ἔσω τῆς οἰκίας αὐτοῦ, καὶ πάντων τῶν ὄντων αὐτοῦ
κύκλῳ; τὰ δὲ ἔργα τῶν χειρῶν αὐτοῦ εὐλόγησας, καὶ τὰ κτή-
νη αὐτοῦ πολλὰ ἐποίησας ἐπὶ τῆς γῆς. ἀλλὰ ἀπόστειλον τὴν χεῖ-
ρά σου, καὶ ἅψαι πάντων ὧν ἔχει. ἦ μὴν, εἰς πρόσωπόν σε εὐ-
λογήσει. τότε εἶπε κύριος τῷ διαβόλῳ. ἰδοὺ πάντα ὅσα
ἔστιν αὐτῷ, δίδωμι ἐν τῇ χειρί σου, ἀλλ᾽ αὐτοῦ μὴ ἅψῃ. καὶ
ἐξῆλθεν ὁ διάβολος ἀπὸ προσώπου κυρίου. καὶ ἦν ὡς ἡ ἡμέ-
ρα αὕτη. Οἱ υἱοὶ ἰὼβ, καὶ αἱ θυγατέρες αὐτοῦ, ἔπινον οἶνον
ἐν τῇ οἰκίᾳ τοῦ ἀδελφοῦ αὐτῶν τοῦ πρεσβυτέρου. καὶ ἰδοὺ ἄγ-
γελος ἦλθε πρὸς ἰὼβ, καὶ εἶπεν αὐτῷ τὰ ζεύγη τῶν βοῶν ἠρο-
τρία. καὶ αἱ θήλειαι ὄνοι ἐβόσκοντο ἐχόμεναι αὐτῶν. καὶ ἐλ-
θόντες οἱ αἰχμαλωτεύοντες ᾐχμαλώτευσαν αὐτάς. καὶ τοὺς
παῖδας ἀπέκτειναν ἐν στόματι μαχαίρας. σωθεὶς δὲ ἐγὼ μό-
νος, ἦλθον τοῦ ἀπαγγεῖλαί σοι. ἔτι τούτου λαλοῦντος, ἦλθεν ἕτε-
ρος ἄγγελος πρὸς ἰὼβ, πῦρ ἔπεσεν ἐκ τοῦ οὐρανοῦ ἐπὶ τὴν γῆν
καὶ κατέφαγε τὰ πρόβατα, καὶ τοὺς ποιμένας κατέκαυσεν ὁ-
μοίως, καὶ σωθεὶς ἐγὼ μόνος, ἦλθον τοῦ ἀπαγγεῖλαί σοι. ἔτι τού-
του λαλοῦντος, ἦλθεν ἕτερος ἄγγελος πρὸς ἰὼβ, καὶ λέγει αὐ-
τῷ. οἱ ἱππεῖς ἐποίησαν ἡμῖν ἀρχὰς τρεῖς. καὶ ἐκύκλωσαν τὰς
καμήλους. καὶ ᾐχμαλώτευσαν αὐτὰς, καὶ τοὺς παῖδας ἀπέκτει-
ναν ἐν μαχαίραις. ἐσώθην δὲ ἐγὼ μόνος. καὶ ἦλθον τοῦ ἀπαγ-
γεῖλαί σοι. ἔτι τούτου λαλοῦντος, ἄλλος ἄγγελος ἔρχεται πρὸς
ἰὼβ λέγων. τῶν υἱῶν σου, καὶ τῶν θυγατέρων σου ἐσθιόντων,

καὶ πινόντων παρὰ τῷ υἱῷ σου τῷ ἀδελφῷ αὐτῶν τῷ πρε-
σβυτέρῳ, ἐξαίφνης πνεῦμα μέγα ἦλθεν ἀπὸ τῆς ἐρήμου, καὶ
ἥψατο τῶν τεσσάρων γωνιῶν τῆς οἰκίας. καὶ ἔπεσεν ἡ οἰκία ἐπὶ
τὰ παιδία σου, καὶ ἐτελεύτησαν, καὶ ἐσώθην ἐγὼ μόνος, καὶ
ἦλθον τοῦ ἀπαγγεῖλαί σοι. οὕτως ἀκούσας Ἰὼβ ἀναστὰς διέῤῥηξε
τὰ ἱμάτια αὐτοῦ. καὶ ἐκείρατο τὴν κόμην τῆς κεφαλῆς αὐτοῦ. καὶ
κατεπάσατο γῆν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ, καὶ πεσὼν χαμαὶ,
προσεκύνησε τῷ κυρίῳ, καὶ εἶπεν. αὐτὸς γυμνὸς ἐξῆλθον ἐκ
κοιλίας μητρός μου. γυμνὸς καὶ ἀπελεύσομαι ἐκεῖ. ὁ κύριος ἔ-
δωκεν, ὁ κύριος ἀφείλετο. ὡς τῷ κυρίῳ ἔδοξεν, οὕτως καὶ ἐ-
γένετο, εἴη τὸ ὄνομα κυρίου εὐλογημένον εἰς τοὺς αἰῶνας, ἐν
τούτοις πᾶσι τοῖς συμβεβηκόσιν αὐτῷ, οὐχ ἥμαρτεν Ἰὼβ οὐ-
δὲ ἐν τοῖς χείλεσιν αὐτοῦ, καὶ οὐκ ἔδωκεν ἀφροσύνην τῷ θεῷ.

Κεφάλαιον. β. 2.

Γένετο δὲ ὡς ἡ ἡμέρα αὕτη, καὶ ἦλθον οἱ ἄγγελοι
ε τοῦ θεοῦ παραστῆναι ἐναντίον τοῦ κυρίου. καὶ ὁ διά-
βολος ἦλθεν ἐν μέσῳ αὐτῶν παραστῆναι ἐναντί-
ον τοῦ κυρίου, καὶ εἶπεν ὁ κύριος τῷ διαβόλῳ. πόθεν σὺ ἔρ-
χῃ. εἶπε δὲ ὁ διάβολος ἐναντίον κυρίου διαπορευθεὶς τὴν
ὑπ' οὐρανὸν. καὶ ἐμπεριπατήσας τὴν σύμπασαν, πάρειμι.
εἶπεν ὁ κύριος πρὸς τὸν διάβολον. προσέσχες τὸν θεράποντά
μου Ἰώβ. ὅτι οὐκ ἔστι κατ' αὐτὸν τῶν ἐπὶ τῆς γῆς, ἄνθρωπος. ὅ-
μοιος αὐτῷ. ἄκακος ἀληθινὸς ἄμεμπτος θεοσεβής. ἀπεχό-
μενος ἀπὸ παντὸς κακοῦ. ἔτι δὲ ἔχεται ἀκακίας. σὺ δὲ εἶπας
τὰ ὑπάρχοντα αὐτοῦ, διακενῆς ἀπολέσαι. Ὑπολαβὼν ὁ διά-
βολος, εἶπε τῷ κυρίῳ. δέρμα ὑπὲρ δέρματος. πάντα ὅσα ὑ-
πάρχει ἀνθρώπῳ ὑπὲρ τῆς ψυχῆς αὐτοῦ ἐκτίσει. οὐ μὴν δὲ,
ἀλλὰ ἀπόστειλον τὴν χεῖρά σου. ἅψαι τῶν ὀστῶν αὐτοῦ, καὶ τῶν
σαρκῶν αὐτοῦ. ἦ μὴν εἰς πρόσωπόν σε εὐλογήσει. εἶπε δὲ ὁ κύ-
ριος τῷ διαβόλῳ. ἰδοὺ παραδίδωμί σοι αὐτὸν. μόνον, τὴν

ψυχὴν αὐτοῦ διαφύλαξον. καὶ ἐξῆλθε δὲ ὁ διάβολος ἀπὸ τοῦ προσώπου τοῦ κυρίου. καὶ ἔπαισε τὸν ἰὼβ ἕλκει πονηρῷ ἀπὸ ποδῶν ἕως κεφαλῆς. καὶ ἔλαβεν ὄστρακον, ἵνα τὸν ἰχῶρα ξύῃ. καὶ ἐκάθητο ἐπὶ τῆς κοπρίας ἔξω τῆς πόλεως. χρόνου δὲ πολλοῦ προβεβηκότος, εἶπεν αὐτῷ ἡ γυνὴ αὐτοῦ. Μέχρι τίνος καρτερήσεις λέγων. ἰδοὺ ἀναμένω χρόνον ἔτι μικρὸν. προσδεχόμενος τὴν ἐλπίδα τῆς σωτηρίας μου. ἰδοὺ γὰρ ἠφάνισταί σου τὸ μνημόσυνον ἀπὸ τῆς γῆς. Υἱοὶ καὶ θυγατέρες ἐμῆς κοιλίας ὠδῖνες, καὶ πόνοι, οὓς εἰς τὸ κενὸν ἐκοπίασα μετὰ μόχθων. σύ τε αὐτὸς ἐν σαπρίᾳ σκωλήκων κάθησαι διανυκτερεύων αἴθριος. κἀγὼ πλανῆτις, καὶ λάτρις. τόπον ἐκ τόπου περιερχομένη, καὶ οἰκίαν ἐξ οἰκίας. προσδεχομένη τὸν ἥλιον πότε δύσεται. ἵνα ἀναπαύσωμαι τῶν μόχθων μου, καὶ τῶν ὀδυνῶν αἵ με νῦν συνέχουσιν. ἀλλὰ εἰπόν τι ῥῆμα πρὸς κύριον, καὶ τελεύτα. ὁ δὲ, ἐμβλέψας, εἶπεν αὐτῇ. ἵνα τί ὥσπερ μία τῶν ἀφρόνων γυναικῶν ἐλάλησας. εἰ τὰ ἀγαθὰ ἐδεξάμεθα ἐκ χειρὸς κυρίου, τὰ κακὰ οὐχ ὑποίσομεν; ἐν πᾶσι τούτοις, τοῖς συμβεβηκόσιν αὐτῷ, οὐδὲν ἥμαρτεν ἰὼβ τοῖς χείλεσιν ἐνώπιον τοῦ θεοῦ. Ἀκούσαντες δὲ οἱ τρεῖς φίλοι αὐτοῦ. τὰ κακὰ πάντα τὰ ἐπελθόντα αὐτῷ. παρεγένοντο ἕκαστος ἐκ τῆς ἰδίας χώρας πρὸς αὐτόν. ἐλιφὰζ ὁ θαιμανῶν βασιλεύς. Καὶ βαλδὰδ ὁ σαυχαίων τύραννος. σοφὰρ ὁ μιναίων βασιλεύς. καὶ παρεγένοντο πρὸς αὐτὸν ὁμοθυμαδὸν, τοῦ παρακαλέσαι καὶ ἐπισκέψασθαι αὐτόν. ἰδόντες δὲ αὐτὸν πόρρωθεν, οὐκ ἐπέγνωσαν. καὶ βοήσαντες φωνῇ μεγάλῃ ἔκλαυσαν, ῥήξαντες ἕκαστος τὴν ἑαυτοῦ στολήν. καὶ καταπασάμενοι γῆν, ἐπὶ τὰς κεφαλὰς παρεκάθισαν αὐτῷ ἑπτὰ ἡμέρας, καὶ ἑπτὰ νύκτας. καὶ οὐδεὶς αὐτῶν ἐλάλησεν λόγον. ἑώρων γὰρ τὴν πληγὴν δεινὴν οὖσαν, καὶ μεγάλην σφόδρα.

## Α'. ΠΡΟΣ ΤΟΥΣ ΦΙΛΟΥΣ ΔΙΑΛΕΞΙΣ.

### Κεφάλαιον γ'. 3.

Ετὰ τοῦτο, ἤνοιξεν ἰὼβ τὸ στόμα αὐτοῦ, καὶ κατηράσατο τὴν ἡμέραν αὐτοῦ λέγων. ἀπόλοιτο ἡ ἡμέρα ἐν ᾗ ἐγεννήθην. καὶ ἡ νὺξ ἐκείνη ἐν ᾗ εἶπον, ἰδοὺ ἄρσεν. ἡ νὺξ ἐκείνη εἴη σκότος. καὶ μὴ ἀναζητήσαι αὐτὴν ὁ κύριος ἄνωθεν. μὴ δὲ ἔλθοι εἰς αὐτὴν φέγγος. ἐκλάβοι δὲ αὐτὴν σκότος καὶ σκιὰ θανάτου. ἐπέλθοι ἐπ' αὐτὴν γνόφος. καταραθείη ἡ ἡμέρα ἐκείνη. καὶ ἡ νὺξ ἐκείνη. ἀπενέγκοιτο αὐτὴν σκότος. μὴ εἴη εἰς ἡμέρας ἐνιαυτοῦ. μὴ δὲ ἀριθμηθείη εἰς ἡμέρας μηνῶν. ἀλλὰ ἡ νὺξ ἐκείνη εἴη ὀδύνη, καὶ μὴ ἔλθοι ἐπ' αὐτὴν εὐφροσύνη, μὴ δὲ χαρμονή. ἀλλὰ καταράσαιτο αὐτὴν, ὁ καταρώμενος τὴν ἡμέραν ἐκείνην. ὁ μέλλων τὸ μέγα κῆτος χειρώσασθαι. σκοτωθείη τὰ ἄστρα τῆς νυκτὸς ἐκείνης. καὶ μὴ ὑπομείνοι, καὶ εἰς φωτισμὸν μὴ ἔλθοι. καὶ μὴ ἴδοι ἑωσφόρον ἀνατέλλοντα. ὅτι οὐ συνέκλεισε πύλας γαστρὸς μητρός μου. ἀπήλλαξε γὰρ ἂν πόνον ἀπὸ ὀφθαλμῶν μου. διὰ τί γὰρ ἐν κοιλίᾳ οὐκ ἐτελεύτησα. ἐκ γαστρὸς δὲ ἐξῆλθον, καὶ οὐκ εὐθὺς ἀπωλόμην. ἵνα τί δὲ συνήντησάν μοι τὰ γόνατα. ἵνα τί δὲ μαστοὺς ἐθήλασα. νῦν ἂν κοιμηθεὶς, ἡσύχασα. ὑπνώσας δὲ ἀνεπαυσάμην. μετὰ βασιλέων βουλευτῶν γῆς. οἳ ἠγαυριῶντο ἐπὶ ξίφεσιν. ἢ μετὰ ἀρχόντων ὧν πολὺς ὁ χρυσός. οἳ ἔπλησαν τοὺς οἴκους αὐτῶν ἀργυρίου. ἢ ὥσπερ ἔκτρωμα ἐκπορευόμενον ἐκ μήτρας μητρός. ἢ ὥσπερ νήπιοι οἳ οὐκ εἶδον φῶς. ἐκεῖ ἀσεβεῖς ἐξεκαύθησαν θυμὸν ὀργῆς, ἐκεῖ ἀνεπαύσαντο κατάκοποι τῷ σώματι. ὁμοθυμαδὸν δὲ οἱ αἰώνιοι. οὐκ ἤκουσαν φωνὴν φορολόγου. μικρὸς καὶ μέγας ἐκεῖ ἐστι. καὶ θεράπων δεδοικὼς τὸν κύριον ἑαυτοῦ. ἵνα τί γὰρ δέδοται τοῖς ἐν πικρίᾳ φῶς. ζωὴ δὲ ταῖς ἐν ὀδύναις ψυχαῖς, οἳ ἱμείρονται τοῦ θανάτου, καὶ οὐ τυγχάνουσιν ἀνορύσσοντες ὥσπερ θησαυρούς. περιχαρεῖς δὲ ἐγένοντο, ἐὰν κατατύχωσι. θάνατος ἀνδρὶ

ἀνάπαυσις· συνέκλεισε γὰρ ὁ θεὸς κατ' αὐτοῦ. πρὸ γὰρ τῶν σί-
των μου στεναγμός μοι ἥκει. δακρύω δὲ ἐγὼ συνεχόμενος φό-
βῳ. φόβος γὰρ ὃν ἐφρόντισα ἦλθέ μοι. καὶ ὃν ἐδεδοίκειν, συ-
νήντησέ μοι. οὔτε εἰρήνευσα. οὔτε ἡσύχασα, οὔτε ἀνεπαυσά-
μην. ἦλθε δέ μοι ὀργή.

## Κεφάλαιον δ΄. 4.

Ὑπολαβὼν δὲ Ἐλιφὰζ ὁ Θαιμανίτης λέγει. μὴ πολ-
ε λάκις σοι λελάληται ἐν κόπῳ. ἰσχὺν δὲ ῥημάτων
σου τίς ὑποίσει. εἰ γὰρ σὺ ἐνουθέτησας πολλούς.
καὶ χεῖρας ἀσθενοῦς παρεκάλεσας, ἀσθενοῦντάς τε, ἐξανέστησας
ῥήμασι. γόνασί τε ἀδυνατοῦσι θάρσος περιέθηκας. νῦν δὲ ἥ-
κει ἐπί σε πόνος, καὶ ἥψατό σου. σὺ ἐσπούδασας. πότερον
οὐχ ὁ φόβος σου ἐστὶν ἐν ἀφροσύνῃ; καὶ ἡ ἐλπίς σου, καὶ ἡ κα-
κία τῆς ὁδοῦ σου. μνήσθητι οὖν τίς καθαρὸς ὢν ἀπώλετο. ἢ πό-
τε ἀληθινοὶ ὁλόρριζοι ἀπώλοντο. καθ' ὃν τρόπον εἶδον τοὺς ἀροτρι-
ῶντας τὰ ἄτοπα. οἱ δὲ σπείροντες αὐτά, ὀδύνας θεριοῦσιν ἑ-
αυτοῖς. ἀπὸ προστάγματος κυρίου ἀπολοῦνται. ἀπὸ δὲ πνεύ-
ματος ὀργῆς αὐτοῦ ἀφανισθήσονται. σθένος λέοντος. φωνὴ δὲ
λεαίνης. γαυρίαμα δὲ δρακόντων ἐσβέσθη. μυρμηλέων ὤλετο
παρὰ τὸ μὴ ἔχειν βοράν. σκύμνοι δὲ λεόντων ἔλιπον ἀλλή-
λους. εἰ δέ τι ῥῆμα ἀληθινὸν ἐγεγόνει ἐν λόγοις σου, οὐθὲν ἄν
σοι τούτων κακὸν ἀπήντησε. πότερον οὐ δέξεταί μου τὸ οὖς ἐ-
ξαίσια παρ' αὐτοῦ. φόβος δὲ καὶ ἠχὼ νυκτερινή ἐπιπίπτων φόβος
ἐπ' ἀνθρώπους, φρίκη μοι συνήντησε, καὶ τρόμος, καὶ μεγά-
λως μου τὰ ὀστᾶ συνέσεισε. καὶ πνεῦμα ἐπὶ πρόσωπόν μου ἐ-
πῆλθεν. ἔφριξαν δέ μου τρίχες, καὶ σάρκες. ἀνέστην καὶ οὐκ
ἐπέγνων. εἶδον καὶ οὐκ ἦν μορφὴ πρὸ ὀφθαλμῶν μου, ἀλλ' ἢ
αὔραν καὶ φωνὴν ἤκουον. τί γάρ, μὴ καθαρὸς ἔσται βροτὸς ἐναν-
τίον κυρίου. ἢ ἀπὸ τῶν ἔργων αὐτοῦ, ἄμεμπτος ἀνήρ; εἰ κατὰ
παίδων αὐτοῦ οὐ πιστεύει. κατὰ δὲ ἀγγέλων αὐτοῦ, σκολιόν τι ἐ-

πενόησε.

πενόησε. τοὺς δὲ κατοικοῦντας οἰκίας πηλίνας, ἐξ ὧν καὶ αὐτοὶ ἐκ τοῦ αὐτοῦ πηλοῦ ἐσμέν, ἔπαισεν αὐτοὺς σητὸς τρόπον. καὶ ἀπὸ πρωΐθεν μέχρι ἑσπέρας, οὐκ ἔτι εἰσί. παρὰ τὸ μὴ δύνασθαι αὐτοὺς ἑαυτοῖς βοηθῆσαι ἀπώλοντο. ἐνεφύσησε γὰρ αὐτοῖς καὶ ἐξηράνθησαν. ἀπώλοντο παρὰ τὸ μὴ ἔχειν αὐτοὺς σοφίαν.

Κεφάλαιον ε.

Πικάλεσαι δὲ εἴ τίς σοι ὑπακούσεται. ἢ εἴ τινα ἀγγέλων ἁγίων ὄψῃ. καὶ γὰρ ἄφρονα ἀναιρεῖ ὀργή. πεπλανημένον δὲ θανατοῖ ζῆλος. ἐγὼ δὲ ἑώρακα ἄφρονας ῥίζαν βάλλοντας. ἀλλ' εὐθέως ἐβρώθη αὐτῶν ἡ δίαιτα. πόρρω γένοιντο οἱ υἱοὶ αὐτῶν ἀπὸ σωτηρίας. κολαβρισθείησαν δὲ ἐπὶ θύραις ἡσσόνων, καὶ οὐκ ἔσται ὁ ἐξαιρούμενος. ἃ γὰρ ἐκεῖνοι ἐθέρισαν δίκαιοι ἔδονται, αὐτοὶ δὲ ἐκ κακῶν ἐξαίρετοι ἔσονται. ἐκσιφωνισθείη, αὐτῶν ἡ ἰσχύς. οὐ γὰρ μὴ ἐξέλθῃ ἐκ τῆς γῆς κόπος. οὐδὲ ἐξ ὀρέων ἀναβλαστήσει πόνος. ἀλλὰ ἄνθρωπος γεννᾶται κόπῳ. νεοσσοὶ δὲ γυπὸς τὰ ὑψηλὰ πέτονται. οὐ μὴν δέ, ἀλλὰ ἐγὼ δεηθήσομαι κυρίου θεοῦ τὸν πάντων δεσπότην ἐπικαλέσομαι. τὸν ποιοῦντα μεγάλα καὶ ἀνεξιχνίαστα, ἔνδοξά τε καὶ ἐξαίσια. ὧν οὐκ ἔστιν ἀριθμός. τὸν διδόντα ὑετὸν ἐπὶ τὴν γῆν, ἀποστέλλοντα ὕδωρ ἐπὶ τὴν ὑπ' οὐρανόν. τὸν ποιοῦντα ταπεινοὺς εἰς ὕψος. καὶ ἀπολωλότας ἐξεγείροντα. διαλλάσσοντα βουλὰς πανούργων. καὶ οὐ μὴ ποιήσουσιν αἱ χεῖρες αὐτῶν ἀληθές. ὁ καταλαμβάνων σοφοὺς ἐν τῇ φρονήσει. βουλὴν δὲ πολυπλόκων ἐξέστησεν. ἡμέρας συναντήσεται αὐτοῖς σκότος. τὸ δὲ μεσημβρινόν, ψηλαφήσουσιν ἴσα νυκτί. ἀπόλοιντο δὲ ἐν πολέμῳ. ἀδύνατος δὲ ἐξέλθοι ἐκ χειρὸς δυνάστου. εἴη δὲ ἀδυνάτῳ ἐλπίς. ἀδίκου δὲ στόμα ἐμφραχθείη. μακάριος δὲ ἄνθρωπος ὃν ἤλεγξεν ὁ κς. νουθέτημα δὲ παντοκράτορος, μὴ ἀπαναίνου. αὐτὸς γὰρ ἀλγεῖν ποιεῖ. καὶ πάλιν ἀποκαθίστησιν. ἔπαισε, καὶ αἱ χεῖρες αὐτοῦ ἰάσαντο. ἑξάκις ἐξ ἀναγκῶν σε ἐξελεῖται. ἐν δὲ τῷ ἑβδόμῳ

οὐ μὴ ἅψεταί σου κακόν. ἐν λιμῷ ῥύσεταί σε ἐκ θανάτου. ἐν πολέμῳ δ᾽ ἐκ χειρὸς σιδήρου λύσει σε. ἀπὸ μάστιγος γλώσσης σε κρύψει. καὶ οὐ μὴ φοβηθῇς ἀπὸ κακῶν ἐρχομένων, ἀπὸ ἀνδρὸς λαλοῦντος, μηδὲν ἀγαθόν. ἀδίκων καὶ ἀνόμων καταγελάσῃ. ἀπὸ δὲ θηρίων ἀγρίων, οὐ μὴ φοβηθήσῃ ὅτι μετὰ τῶν λίθων τοῦ ἀγροῦ ἡ διαθήκη σου καὶ τὰ θηρία τοῦ ἀγροῦ εἰρηνεύσουσί σοι. θῆρες οἱ ἄγριοι εἰρηνεύσουσί σοι. εἶτα γνώσῃ ὅτι εἰρηνεύσει σου ὁ οἶκος. ἡ δὲ δίαιτα τῆς σκηνῆς σου, οὐ μὴ ἁμάρτῃ. γνώσῃ δὲ ὅτι πολὺ τὸ σπέρμα σου. τὰ δὲ τέκνα σου ἔσται ὥσπερ τὸ παμβότανον τοῦ ἀγροῦ. ἐλεύσῃ δὲ ἐν τάφῳ, ὥσπερ σῖτος ὥριμος, κατὰ καιρὸν θεριζόμενος ἢ ὥσπερ θημωνία ἅλωνος καθ᾽ ὥραν συγκομισθεῖσα. ἰδοὺ ταῦτα οὕτως ἐξιχνιάσαμεν, ταῦτά ἐστιν, ἃ ἀκηκόαμεν. σὺ δὲ γνῶθι σεαυτῷ, τί ἔπραξας.

## Κεφ. ϛ́. 6.

ὗ

Ὑπολαβὼν δὲ Ἰὼβ λέγει. εἰ γάρ τις ἱστῶν στήσαι μου τὴν ὀργήν. τὰς δὲ ὀδύνας μου ἄραι ἐν ζυγῷ ὁμοθυμαδόν. καὶ δὴ ἄμμου παραλίας βαρυτέρα ἔσται. ἀλλ᾽ ὡς ἔοικε τὰ ῥήματά μου ἐστὶ φαῦλα. βέλη γὰρ παρὰ κυρίου ἐν τῷ σώματί μου ἐστίν. ὧν ὁ θυμὸς αὐτῶν ἐκπίνει μου τὸ αἷμα. ὅταν ἄρξομαι λαλεῖν κεντοῦσί με. τί γὰρ μὴ διὰ κενῆς κεκράξεται ὄνος ἄγριος. ἀλλ᾽ ἢ τὰ σῖτα ζητῶν, εἰ δὲ, καὶ ῥήξει φωνὴν βοῦς ἐπὶ φάτνης ἔχων τὰ βρώματα. εἰ βρωθήσεται ἄρτος ἄνευ ἁλός. εἰ δὲ καὶ ἔστι γεῦμα ἐν ῥήμασι κενοῖς. οὐ δύναται γὰρ παύσασθαί μου ἡ ψυχή. βρόμον γὰρ ὁρῶ τὰ σῖτά μου, ὥσπερ ὀσμὴν λέοντος. εἰ γὰρ δῴη καὶ ἔλθοι μου ἡ αἴτησις. καὶ τὴν ἐλπίδα μου δῴη ὁ κύριος. ἀρξάμενος ὁ κύριος τρωσάτω με. εἰς τέλος δὲ μή με ἀνελέτω. εἴη δέ μου πόλις τάφος, ἐφ᾽ ἧς ἐπὶ τειχέων ἡλλόμην. ἐπ᾽ αὐτῆς οὐ φείσομαι. οὐ γὰρ ἐψευσάμην ῥήματα ἅγια θεοῦ μου. τίς γάρ μου ἡ ἰσχὺς ὅτι ὑπομένω. ἢ τίς μου ὁ χρόνος, ὅτι ἀνέχεταί μου ἡ ψυχή.

μὴ ἰσχὺς λίθων, ἡ ἰσχύς μου· ἢ αἱ σάρκες μου εἰσὶ χάλκειαι, ἢ οὐκ ἐπ᾽ αὐτῷ ἐπεποίθειν βοήθεια δὲ ἐπ᾽ ἐμοῦ ἄπεστιν· ἀπείπατό με ἔλεος· ἐπισκοπὴ δὲ κυρίου ὑπερεῖδέ με. οὐ προσεῖδόν με οἱ ἐγγύτατοί μου ὥσπερ χειμάρρους ἐκλείπων· ἢ ὥσπερ κῦμα παρῆλθόν με. οἵτινές με διευλαβοῦντο νῦν· ἐπιπεπτώκασί μοι ὥσπερ χιών· ἢ κρύσταλλος πεπηγώς· καθὼς τακεῖσα· θέρμης γενομένης οὐκ ἐπεγνώσθη, ὅπερ ἦν· οὕτω κἀγὼ κατελείφθην ὑπὸ πάντων· ἀπωλόμην δὲ, καὶ ἔξοικος ἐγενόμην. ἴδετε ὁδοὺς θαιμανῶν ἀτραποὺς σαβῶν οἱ διορῶντες. καὶ αἰσχύνην ὀφειλήσουσιν, οἱ ἐπὶ πόλεσιν, καὶ χρήμασι πεποιθότες. ἀτὰρ δὲ καὶ ὑμεῖς ἐπέβητέ μοι ἀνελεημόνως. ὥστε ἰδόντες τὸ ἐμὸν τραῦμα φοβήθητε. τί γάρ μήτι ὑμᾶς ᾔτησα, ἢ τῆς παρ᾽ ὑμῶν ἰσχύος ἐπιδέομαι. ὥστε σῶσαί με ἐξ ἐχθρῶν, ἢ ἐκ χειρὸς δυναστῶν, ῥύσασθαί με. διδάξατέ με, ἐγὼ δὲ κωφεύσω. εἴτι πεπλάνημαι φράσατέ μοι, ἀλλ᾽ ὡς ἔοικε φαῦλα ἀληθινοῦ ῥήματα. οὐ γὰρ παρ᾽ ὑμῶν ἰσχὺν αἰτοῦμαι οὐ δὲ ἔλεγχος ὑμῶν τὰ ῥήματά μου παύσει. οὐδὲ γὰρ ὑμῶν φθέγμα ῥήματος ἀνέξομαι, πλὴν ὅτι ἐπ᾽ ὀρφανῷ ἐπιπίπτετε, ἐνάλλεσθε δὲ ἐπὶ φίλῳ ὑμῶν. νυνὶ δὲ εἰσβλέψας εἰς πρόσωπον ὑμῶν, οὐ ψεύσομαι. καθίσατε δὴ καὶ μὴ ἄη ἄδικον. οὐχὶ δὲ ὁ λάρυγξ μου, οὐχὶ σύνεσιν μελετᾷ.

## Κεφάλαιον ζ. 7.

Ο πότερον οὐχὶ πειρατήριόν ἐστιν ὁ βίος ἀνθρώπου
α ἐπὶ τῆς γῆς· καὶ ὥσπερ μισθίου αὐθημερινοῦ ἡ ζωὴ
αὐτοῦ. ἢ ὡς θεράπων δεδοικὼς τὸν κύριον αὐτοῦ, καὶ τετευχὼς σκιᾶς· ἢ ὥσπερ μισθωτὸς ἀναμένων τὸν μισθὸν αὐτοῦ· οὕτως κἀγὼ ὑπέμεινα μῆνας κενούς· νύκτες δὲ ὀδυνῶν δεδομέναι μοι εἰσίν, ἐὰν κοιμηθῶ λέγω πότε ἡμέρα· ὡς δ᾽ ἂν ἀναστῶ· πάλιν πότε ἑσπέρα· πλήρης δὲ γίνομαι ὀδυνῶν, ἀπὸ ἑσπέρας ἕως πρωΐ. φύρεται δέ μου τὸ σῶμα ἐν σαπρίᾳ σκωλήκων· τήκω δὲ βώλακας γῆς ἀπὸ ἰχῶρος ξύων·

ὁ δὲ βίος μού ἐστιν ἐλαφρότερος λαλιᾶς. ἀπώλωλε δὲ ἐν κενῇ
ἐλπίδι. μνήσθητι οὖν ὅτι πνεῦμά μου ἡ ζωή, καὶ οὐκ ἔτι ἐπανελεύ-
σεται ὀφθαλμός μου ἰδεῖν ἀγαθόν. οὐκ ἔτι περιβλέψεταί με ὀ-
φθαλμὸς ὁρῶντός με. οἱ ὀφθαλμοί σου ἐν ἐμοί, καὶ οὐκ ἔτι εἰμί.
ὥσπερ νέφος ἀποκαθαρθὲν ἀπ' οὐρανοῦ. ἐὰν γὰρ ἄνθρωπος κα-
ταβῇ, εἰς ᾅδω, οὐκ ἔτι μὴ ἀναβῇ, οὐδ' οὐ μή, ἐπιστρέψῃ εἰς τὸν ἴ-
διον οἶκον. οὐδ' οὐ μὴ ἐπιγνῷ αὐτὸν ἔτι ὁ τόπος αὐτοῦ. ἀτὰρ
οὖν οὐδὲ ἐγὼ φείσομαι τῷ στόματί μου. λαλήσω ἐν ἀνάγκῃ
ὤν. ἀνοίξω πικρίαν ψυχῆς μου συνεχόμενος. πότερον θάλασσά
εἰμι, ἢ δράκων. ὅτι κατέταξας ἐπ' ἐμὲ φυλακήν. εἶπα ὅτι παρα-
καλέσει με ἡ κλίνη μου. ἀνοίσω δὲ πρὸς ἐμαυτὸν ἰδίᾳ λόγον τῇ
κοίτῃ μου. ἐκφοβεῖς με ἐνυπνίοις, καὶ ἐν ὁράμασί με καταπλήσ-
σεις. ἀπαλλάξεις ἀπὸ πνεύματός μου τὴν ψυχήν μου. ἀπὸ δὲ
θανάτου τὰ ὀστᾶ μου. οὐ γὰρ εἰς τὸν αἰῶνα ζήσομαι, ἵνα μακροθυμή-
σω. ἀπόστα ἀπ' ἐμοῦ. κενὸς γάρ μου ὁ βίος. τί γάρ ἐστιν ἄνθρω-
πος ὅτι ἐμεγάλυνας αὐτόν. ἢ ὅτι προσέχεις τὸν νοῦν εἰς αὐτόν, ἢ ἐ-
πισκοπὴν αὐτοῦ, ποιήσῃ ἕως τὸ πρωΐ. καὶ εἰς ἀνάπαυσιν αὐτὸν κρί-
νεις. ἕως τίνος οὐκ ἐᾷς με. οὐδὲ προΐῃ με, ἕως ἂν καταπίω τὸν πτυε-
λόν μου, ἐν ὀδύνῃ. εἰ ἐγὼ ἥμαρτον, τί δυνήσομαι πρᾶξαι. ὁ ἐπι-
στάμενος τὸν νοῦν τῶν ἀνθρώπων. διατί ἔθου με κατεντευκτήν
σου, εἰμὶ δὲ ἐπὶ σοὶ φορτίον, διατί οὐκ ἐποιήσω τῆς ἀνομίας μου
λήθην, καὶ καθαρισμὸν τῆς ἁμαρτίας μου. νυνὶ δὲ εἰς γῆν ἀπε-
λεύσομαι. ὀρθρίζων δὲ οὐκ ἔτι εἰμί.

Κεφάλαιον η'. 8.

Πολαβὼν δὲ Βαλδὰδ ὁ σαυχίτης λέγει μέχρι τί-
υ νος λαλήσεις ταῦτα, πνεῦμα πολύρημον τοῦ στόμα-
τός σου. μὴ ὁ κύριος ἀδικήσει κρίνων, ἢ ὁ τὰ πάν-
τα ποιήσας ταράξει τὸ δίκαιον. εἰ οἱ υἱοί σου ἥμαρτον ἐναντίον
αὐτοῦ, ἀπέστειλεν ἐν χειρὶ ἀνομίας αὐτῶν. σὺ δὲ ὄρθριζε πρὸς κύρι-
ον παντοκράτορα δεόμενος. εἰ καθαρὸς εἶ καὶ ἀληθινὸς δεήσεως

ἐπακούσεταί σου. ἀποκαταστήσει δέ σοι δίαιταν δικαιοσύνης. ἔσται οὖν τὰ μὲν πρῶτά σου ὀλίγα. τὰ δ' ἔσχατά σου, ἀμύθητα. ἐπερώτησον γὰρ γενεὰν πρώτην, ἐξιχνίασον δὲ κατὰ γένος πατέρων. χθιζοὶ γάρ ἐσμεν, καὶ οὐκ οἴδαμεν. σκιὰ γάρ ἐστιν ἡμῶν ἐπὶ τῆς γῆς ὁ βίος. ἢ οὐχ οὗτοί σε διδάξουσι. καὶ ἀναγγελοῦσί σοι καὶ ἐκ καρδίας ἐξάξουσι ῥήματα, μὴ θάλλει πάπυρος ἄνευ ὕδατος. ἢ ὑψωθήσεται βούτομον, ἄνευ πότου, ἔτι ὂν ἐπὶ ῥίζης. καὶ οὐ μὴ θερισθῇ; πρὸ τοῦ πιεῖν πᾶσα βοτάνη οὐχὶ ξηρανθήσεται; οὕτως τοίνυν ἔσται τὰ ἔσχατα πάντων τῶν ἐπιλανθανομένων τοῦ κυρίου· ἐλπὶς γὰρ ἀσεβοῦς ἀπολεῖται. ἀοίκητος γὰρ αὐτοῦ ἔσται ὁ οἶκος. ἀράχνη δὲ αὐτοῦ ἀποβήσεται ἡ σκηνή, ἐὰν ὑπερείσῃ τὴν οἰκίαν αὐτοῦ οὐ μὴ στῇ. ἐπιλαβομένου δὲ αὐτοῦ, οὐ μὴ ὑπομείνῃ. ὑγρὸς γάρ ἐστιν, ὑπὸ ἡλίου. καὶ ἐκ σαπρίας αὐτοῦ, ὁ ῥάδαμνος αὐτοῦ ἐξελεύσεται. ἐπὶ συναγωγὴν λίθων κοιμᾶται. ἐν δὲ μέσῳ χαλίκων ζήσεται, ἐὰν καταπίῃ ὁ τόπος ψεύσεται αὐτόν. οὐχ ἑώρακας τοιαῦτα, ὅτι καταστροφὴ ἀσεβοῦς τοιαύτη. ἐκ δὲ γῆς ἄλλον ἀναβλαστήσει. ὁ γὰρ κύριος οὐ μὴ ἀποποιήσηται τὸν ἄκακον. πᾶν δὲ δῶρον ἀσεβοῦς οὐ δέξεται. ἀληθινῶν δὲ στόμα ἐμπλήσει γέλωτος. τὰ δὲ χείλη αὐτῶν, ἐξομολογήσεως. οἱ δὲ ἐχθροὶ αὐτῶν, ἐνδύσονται αἰσχύνην. δίαιτα δὲ ἀσεβοῦς, οὐκ ἔσται.

## Κεφάλαιον θ. 9.

Πολαβὼν δὲ ἰὼβ λέγει. ἐπ' ἀληθείας οἶδα, ὅτι οὕ-
υ τως ἐστι, πῶς γὰρ ἔσται δίκαιος βροτὸς παρὰ κυ-
ρίῳ. ἐὰν γὰρ βούληται κριθῆναι αὐτῷ, οὐ μὴ ὑπακούσῃ αὐτῷ. ἵνα μὴ ἀντείπῃ πρὸς ἕνα λόγον αὐτοῦ ἐκ χιλίων. σοφὸς γάρ ἐστι διανοίᾳ. κραταιός τε, καὶ μέγας. τίς σκληρὸς γενόμενος ἐναντίον αὐτοῦ ὑπέμεινεν. ὁ παλαιῶν ὄρη, καὶ οὐκ οἴδασιν. ὁ καταστρέφων αὐτὰ ὀργῇ. ὁ σείων τὴν ὑπ' οὐρανὸν ἐκ θεμελίων. οἱ δὲ στῦλοι αὐτῆς σαλεύονται. ὁ λέγων τῷ ἡλίῳ. καὶ

οὐκ ἀνατέλλει· κατὰ δὲ ἄστρων κατασφραγίζει· ὁ τανύσας τὸν οὐρα-
νὸν μόνος· καὶ περιπατῶν ὡς ἐπὶ ἐδάφους ἐπὶ θαλάσσης ὁ ποιῶν
πλειάδα, καὶ ἕσπερον, καὶ ἀρκτοῦρον, καὶ ταμίαν νότου· ὁ ποι-
ῶν μεγάλα, καὶ ἀνεξιχνίαστα ἔνδοξά τε, καὶ ἐξαίσια, ὧν οὐκ
ἔστιν ἀριθμός· ἐὰν ὑπερβῇ με οὐ μὴ ἴδω· ἐὰν παρέλθῃ με· οὐδ᾽
ὣς ἔγνων· ἐὰν ἀπαλλάξῃ τίς ἀποστρέψει, ἢ τίς ἐρεῖ αὐτῷ· τί ἐποί-
ησας· αὐτὸς γὰρ ἀπέστραπται ὀργήν· ὑπ᾽ αὐτοῦ ἐκάμφθησαν κήτη,
τὰ ὑπ᾽ οὐρανόν· ἐὰν δέ μου ὑπακούσεται, ἢ διακρίνει τὰ ῥήμα-
τά μου· ἐὰν γὰρ δίκαιος ὢν οὐκ εἰσακούσεταί μου τοῦ κρίματος
αὐτοῦ δεηθήσομαι· ἐάν τε καλέσω, καὶ μὴ ὑπακούσῃ, οὐ πιστεύω
ὅτι εἰσακήκοέν μου τῆς φωνῆς· μὴ γνόφῳ με ἐκτρίψῃ· πολλὰ δέ
μου τὰ συντρίμματα πεποίηκε διὰ κενῆς· οὐκ ἐᾷ γάρ με ἀναπνεῦ-
σαι· ἐνέπλησε δέ με πικρίας· ὅτι μὲν γὰρ ἰσχύι κρατεῖ· τίς οὖν κρί-
ματι αὐτοῦ ἀντιστήσεται· ἐὰν γὰρ ὦ δίκαιος τὸ στόμα μου ἀσεβή-
σει· ἐάν τε ὦ ἄμεμπτος σκολιὸς ἀποβήσομαι· εἴτε γὰρ ἠσέβησα
οὐκ οἶδα τῇ ψυχῇ, πλὴν ἀφαιρεῖται μου ἡ ζωή· διὸ εἶπον μέ-
γαν καὶ δυνάστην ἀπολλύει ὀργή, ὅτι φαῦλοι ἐν θανάτῳ ἐξαι-
σίῳ· ἀλλὰ δίκαιοι, καταγελῶνται· παραδέδονται γὰρ εἰς χεῖρας
ἀσεβοῦς· πρόσωπα κριτῶν αὐτῆς συγκαλύπτει· εἰ δὲ μὴ αὐτός ἐστι,
τίς ἐστι· ὁ δὲ βίος μου ἐστὶν ἐλαφρότερος δρομέως· ἀπέδρασαν
καὶ οὐκ εἴδοσαν· ἢ καί ἐστιν ναυσὶν ἴχνος ὁδοῦ, ἢ δὲ τοῦ πετομένου
ζητοῦντος βοράν· ἐάν τε γὰρ εἴπω ἐπιλήσομαι λαλῶν· συγκύψας
τῷ προσώπῳ στενάξω, σείομαι πᾶσι τοῖς μέλεσιν, οἶδα γὰρ ὅτι
οὐκ ἀθῷόν με ἐάσεις· ἐπειδὴ δὲ εἰμὶ ἀσεβής, διὰ τί οὐκ ἀπέθα-
νον· ἐὰν γὰρ ἀπολούσωμαι χιόνι· καὶ ἀποκαθάρωμαι χερσὶ καθα-
ραῖς ἱκανῶς ἐν ῥύπῳ με ἔβαψας· ἐβδελύξατο δέ με ἡ στολή μου,
οὐ γὰρ εἶ ἄνθρωπος κατ᾽ ἐμὲ ᾧ ἀντικρινοῦμαι, ἵνα ἔλθωμεν ὁμο-
θυμαδὸν εἰς κρίσιν· εἴθε ἦν ὁ μεσίτης ἡμῶν, καὶ ἐλέγχων, καὶ δι-
ακούων ἀνὰ μέσον ἀμφοτέρων· ἀπαλλαξάτω ἀπ᾽ ἐμοῦ τὴν
ῥάβδον· ὁ δὲ φόβος αὐτοῦ, μή με στροβείτω, καὶ οὐ μὴ φοβηθῶ,

ἀλλὰ λαλήσω.

## Κεφάλαιον ι. 10

Υ γὰρ οὕτω συνεπίσταμαι κάμνων τῇ ψυχῇ μου· στέ-
νων ἐπαφήσω ἐπ' αὐτὸν τὰ ῥήματά μου. λαλήσω
πικρίᾳ ψυχῆς μου· συνεχόμενος, καὶ ἐρῶ, πρὸς κύ-
ριον μή με ἀσεβεῖν δίδασκε· καὶ διατί με οὕτως ἔκρινας· ἢ κα-
λόν σοι ἐστὶν ἐὰν ἀδικήσω, ὅτι ἀπείπω ἔργα χειρῶν σου. βουλῇ δὲ
ἀσεβῶν προσέσχες, ἢ ὥσπερ βροτὸς ὁρᾷ· καθορᾷς, ἢ καθὼς ὁρᾷ
ἄνθρωπος βλέψῃ· ἢ ὁ βίος σου ἀνθρώπινός ἐστιν, ἢ τὰ ἔτη σου ἀν-
δρός. ὅτι ἀνεζήτησας τὴν ἀνομίαν μου, καὶ τὰς ἁμαρτίας μου, ἐ-
ξιχνίασας. οἶδας γὰρ, ὅτι οὐκ ἠσέβησα ἀλλὰ τίς ἐστιν ὁ ἐκ τῶν χειρῶν
σου ἐξαιρούμενος· αἱ χεῖρές σου ἔπλασάν με, καὶ ἐποίησάν με. με-
τὰ ταῦτα μεταβαλών με ἔπαισας· μνήσθητι δὴ ὅτι πηλόν με ἔπλα-
σας, εἰς δὲ γῆν με πάλιν ἀποστρέφεις. ἢ οὐχ ὥσπερ γάλα με ἤ-
μελξας· ἔπηξας δέ με· ἴσα τυρῷ· δέρμα δὲ καὶ κρέας με ἐνέδυ-
σας· ὀστέοις δὲ καὶ νεύροις με ἐνεῖρας· ζωὴν δὲ καὶ ἔλεος ἔθου,
παρ' ἐμοί· ἡ δὲ ἐπισκοπή σου· ἐφύλαξέ μου τὸ πνεῦμα· ταῦτα ἔ-
χων ἐν σεαυτῷ, οἶδα πάντα δύνασαι, ἀδυνατεῖ δέ σοι οὐθέν.
ἐάν τε γὰρ ἁμάρτω, φυλάσσεις με· ἀπὸ δὲ ἀνομίας οὐκ ἀθῷόν
με πεποίηκας· ἐάν τε γὰρ ἀσεβήσω, οἴμοι ἐάν τε ὦ δίκαιος οὐ
δύναμαι ἀνακύψαι· πλήρης γὰρ ἀτιμίας εἰμί· ἀγρεύομαι γὰρ ὥ-
σπερ λέων εἰς σφαγήν· πάλιν γὰρ μεταβαλὼν· δεινῶς με ὀλέκεις
ἐπανακαινίζων ἐπ' ἐμὲ τὴν ἔτασίν μου· ὀργῇ δὲ μεγάλῃ μοι ἐ-
χρήσω· ἐπήγαγες δὲ ἐπ' ἐμὲ πειρατήρια· ἵνα τί οὖν ἐκ κοιλίας
με ἐξήγαγες, καὶ οὐκ ἀπέθανον· Ὀφθαλμὸς δέ με οὐκ εἶδεν καὶ ὥ-
σπερ οὐκ ὢν ἐγενόμην· Διατί γὰρ ἐκ γαστρὸς εἰς μνῆμα οὐκ ἀ-
πηλλάγην· Ἢ οὐκ ὀλίγος ἐστὶν ὁ βίος τοῦ χρόνου μου· ἔασόν με ἀ-
ναπαύσασθαι μικρόν· πρὸ τοῦ με ἀπελθεῖν, ὅθεν οὐκ ἀναστρέψω. εἰς
γῆν σκοτεινήν· καὶ γνοφεράν· εἰς γῆν σκότους αἰωνίου· οὗ οὐκ
ἔστι φέγγος· οὐ δὲ ὁρᾶν ζωὴν βροτῶν.

Κεφάλαιον ια. 11.

Πολαβὼν δὲ σωφὰρ ὁ μιναῖος λέγει. Ὁ τὰ πολλὰ λαλῶν, καὶ ἀντακούσεται· ἢ καὶ ὁ εὔλαλος οἴεται δίκαιος εἶναι· εὐλογημένος γεννητὸς γυναικὸς ὀλιγόβιος· μὴ πολὺς ἐν ῥήμασι γίνου. οὐ γάρ ἐστιν ὁ ἀντικρινόμενός σοι· μὴ γὰρ λέγε ὅτι καθαρός εἰμι τοῖς ἔργοις. ἄμεμπτος ἐναντίον αὐτοῦ. ἀλλὰ πῶς ἂν ὁ κύριος λαλήσαι πρὸς σὲ καὶ διανοίξαι χείλη αὐτοῦ μετὰ σοῦ. εἶτα ἀναγγελεῖ σοι δύναμιν σοφίας, ὅτι διπλοῦς ἔσαι τῶν κατὰ σέ. καὶ τότε γνώσῃ, ὅτι ἄξιά σοι ἀπέβη ἀπὸ κυρίου ὧν ἡμάρτηκας. Ἢ ἴχνος κυρίου εὑρήσεις. ἢ εἰς τὰ ἔσχατα ἀφίκου ἃ ἐποίησεν ὁ παντοκράτωρ. ὑψηλὸς ὁ οὐρανός· καὶ τί ποιήσεις. βαθύτερα δὲ τῶν ἐν ᾅδου τί οἶδας. ἢ μακρότερα μέτρου γῆς, ἢ εὔρους θαλάσσης. ἐὰν δὲ καταστρέψῃ τὰ πάντα, τίς ἐρεῖ αὐτῷ τί ἐποίησας. αὐτὸς γὰρ οἶδεν ἔργα ἀνόμων. ἰδὼν δὲ ἄτοπα οὐ παρόψεται. ἄνθρωπος δὲ ἄλλως, νήχεται λόγοις. βροτὸς δὲ γεννητὸς γυναικὸς ἴσα ὄνῳ ἐρημίτῃ. εἰ γὰρ σὺ καθαρὰν ἔθου τὴν καρδίαν σου. Ὑπτιάζεις δὲ χεῖρας πρὸς αὐτόν. εἰ ἄνομόν τί ἐστιν ἐν χερσί σου. πόῤῥω ποίησον αὐτὸ ἀπὸ σοῦ. ἀδικία δὲ ἐν διαίτῃ σου μὴ αὐλισθήτω· οὕτως γὰρ ἀναλάμψει σου τὸ πρόσωπον ὥσπερ ὕδωρ καθαρόν· ἐκδύσῃ δὲ ῥύπον. καὶ οὐ μὴ φοβηθήσῃ. καὶ τὸν κόπον ἐπιλήσῃ ὥσπερ κῦμα παρελθὸν, καὶ οὐ πτοηθήσῃ. ἡ δὲ εὐχή σου, ὥσπερ ἑωσφόρος. ἐκ δὲ μεσημβρίας ἀνατελεῖ σοι ζωή, πεποιθώς τε ἔσῃ ὅτι ἔστι σοι ἐλπίς. ἐκ δὲ μερίμνης καὶ φροντίδος ἀναφανεῖταί σοι εἰρήνη. ἡσυχάσεις γὰρ καὶ οὐκ ἔσαι ὁ πολεμῶν σε. μεταβαλλόμενοι δὲ πολλοί σου δεηθήσονται. σωτηρία δὲ αὐτοὺς ἀπολείψει. ἡ γὰρ ἐλπὶς αὐτῶν ἀπώλεια. Ὀφθαλμοὶ δὲ ἀσεβῶν τακήσονται.

## ΠΡΟΣ ΤΟΥΣ ΦΙΛΟΥΣ ΔΙΑΛΕΞΙΣ.

Κεφάλαιον ιβ΄. 12.

Πολαβὼν δὲ ἰὼβ λέγει· εἶτα ὑμεῖς ἐστε ἄνθρωποι, ἢ
υ μεθ' ὑμῶν τελευτήσει σοφία; κἀμοὶ μὲν καρδία κα-
θ' ὑμᾶς ἐστιν· δίκαιος γὰρ ἀνὴρ, καὶ ἄμεμπτος ἐγεν-
νήθη εἰς χλεύασμα· εἰς χρόνον γὰρ τακτὸν ἡτοίμαστο πεσεῖν ὑπὸ
ἄλλους· οἴκους τε αὐτοῦ ἐκπορθεῖσθαι ὑπὸ ἀνόμων· Οὐ μὴν
δὲ, ἀλλὰ μηδεὶς πεποιθέτω πονηρὸς ὢν ἀθῷος ἔσεσθαι. ὅσοι
παροργίζουσι τὸν κύριον ὡς οὐχὶ καὶ ἔτασις αὐτῶν ἔσται. ἀλλὰ
δὴ ἐπερώτησον τετράποδα ἐάν σοι εἴπωσι· πετεινὰ δὲ οὐρανοῦ
ἐάν σοι ἀπαγγείλωσιν· ἐκδιήγησαι γῇ, ἐάν σοι φράσῃ· καὶ ἐ-
ξηγήσονταί σοι οἱ ἰχθύες τῆς θαλάσσης· τίς οὖν οὐκ ἔγνω ἐν πᾶ-
σι τούτοις, ὅτι χεὶρ κυρίου ἐποίησε ταῦτα. εἰ μὴ ἐν χειρὶ αὐ-
τοῦ ψυχὴ πάντων τῶν ζώντων, καὶ πνεῦμα παντὸς ἀνθρώπου, οὖς
μὲν γὰρ ῥήματα διακρίνει· λάρυγξ δὲ σῖτα γεύεται. Ἐν πολ-
λῷ χρόνῳ σοφία· ἐν δὲ πολλῷ βίῳ ἐπιστήμη. παρ' αὐτῷ σοφία
καὶ δύναμις· αὐτῷ βουλὴ, καὶ σύνεσις. ἐὰν καταβάλῃ, τίς οἰκο-
δομήσει, ἐὰν κλείσῃ κατ' ἀνθρώπων τίς ἀνοίξει. ἐὰν κωλύσῃ τὸ ὕδωρ
ξηρανεῖ τὴν γῆν, ἐὰν δὲ ἐπαφῇ, ἀπώλεσεν αὐτὴν καταστρέψας
παρ' αὐτῷ κράτος καὶ ἰσχύς· αὐτῷ ἐπιστήμη, καὶ σύνεσις. διά-
γων βουλευτὰς αἰχμαλώτους· κριτὰς δὲ γῆς ἐξέστησε, καθιζάνων
βασιλεῖς ἐπὶ θρόνων· καὶ περιέδησε ζώνῃ ὀσφύας αὐτῶν. ἐξα-
ποστέλλων ἱερεῖς αἰχμαλώτους· δυνάστας δὲ γῆς κατέστρεψε. δι-
αλλάσσων χείλη πιστῶν· σύνεσιν δὲ πρεσβυτέρων ἔγνω. ἐκχέων
ἀτιμίαν ἐπ' ἄρχοντας· ταπεινοὺς δὲ ἰάσατο. ἀνακαλύπτων βα-
θέα ἐκ σκότους· ἐξήγαγε δὲ εἰς φῶς, σκιὰν θανάτου. πλανῶν
ἔθνη καὶ ἀπολλύων αὐτά· καταστρωννύων ἔθνη, καὶ καθοδηγῶν αὐ-
τά. διαλλάσσων καρδίας ἀρχόντων γῆς. Ἐπλάνησε δὲ αὐτοὺς
ἐν ὁδῷ ᾗ οὐκ ᾔδεισαν· ψηλαφήσαισαν σκότος καὶ μὴ φῶς. πλα-
νηθείησαν δὲ ὥσπερ ὁ μεθύων.

Κεφάλαιον ιγ΄. 13.

Ἰδοὺ ταῦτα ἑώρακέ μου ὁ ὀφθαλμὸς. καὶ ἀ-
κήκοέ μου τὸ οὖς. καὶ οἶδα ὅσα καὶ ὑμεῖς ἐπίστασθε
καὶ οὐκ ἀσυνετώτερός εἰμι ὑμῶν. οὐ μὴν δὲ, ἀλλ'
ἐγὼ πρὸς κύριον λαλήσω. ἐλέγξω δὲ ἐναντίον αὐτοῦ ἐὰν βού-
ληται. ὑμεῖς δέ ἐστε ἰατροὶ ἄδικοι. καὶ ἰατροὶ κακῶν πάντες.
Εἴη δὲ ὑμῖν κωφεῦσαι. καὶ ἀποβήσεται ὑμῖν σοφία. ἀκούσα-
τε δὲ ἔλεγχον τοῦ στόματός μου. κρίσιν δὲ χειλέων μου προσέ-
χετε. Πότερον οὐκ ἔναντι κυρίου λαλεῖτε. ἔναντι δὲ αὐτοῦ φθέγ-
γεσθε δόλον. ἢ ὑποστελεῖσθε. ὑμεῖς δὲ αὐτοὶ κριταὶ γένεσθε. καλὸν
γὰρ ἐξιχνιάσῃ ὑμᾶς. εἰ γὰρ τὰ πάντα ποιοῦντες προστεθήσεσθε
αὐτῷ οὐθὲν ἧττον ἐλέγξει ὑμᾶς. εἰ δὲ καὶ κρυφῇ πρόσωπα
θαυμάσετε. Πότερον οὐχὶ δεινὰ αὐτοῦ στροβήσει ὑμᾶς; ὁ φό-
βος δὲ παρ' αὐτοῦ ἐπιπεσεῖται ὑμῖν. ἀποβήσεται δὲ ὑμῶν τὸ γαυ-
ρίαμα. ἴσον σποδῷ. τὸ σῶμα πήλινον. κωφεύσατε ἵνα λαλήσω
καὶ ἀναπαύσωμαι θυμοῦ. ἀναλαβὼν τὰς σάρκας μου τοῖς ὀδοῦσι
ψυχὴν δέ μου θήσω ἐν χειρί. ἐάν με χειρώσηται ὁ δυνάστης ἐ-
πεὶ καὶ ἦρκται. ἦ μὴν λαλήσω, καὶ ἐλέγξω ἐναντίον αὐτοῦ. καὶ
τοῦτό μοι ἀποβήσεται εἰς σωτηρίαν. οὐ γὰρ ἐναντίον αὐτοῦ δόλος
εἰσελεύσεται. Ἀκούσατε τὰ ῥήματά μου. ἀναγγελῶ γὰρ ὑμῶν ἀ-
κουόντων. ἰδοὺ ἐγὼ ἐγγύς εἰμι τοῦ κρίματός μου. οἶδα ἐγὼ ὅτι
δίκαιος ἀναφανοῦμαι. Τίς γάρ ἐστιν ὁ κριθησόμενός μοι. ὅτι νῦν
κωφεύσω, καὶ ἐκλείψω. δυεῖν δέ μοι χρήσῃ. τότε ἀπὸ τοῦ προσώ-
που σου οὐ κρυβήσομαι. τὴν χεῖρα ἀπ' ἐμοῦ, ἀπέχου. καὶ ὁ φόβος
σου, μή με καταπλησσέτω. εἶτα καλέσεις, ἐγὼ δέ σοι ὑπακούσο-
μαι. ἢ λαλήσεις ἐγὼ δέ σοι δώσω ἀνταπόκρισιν. πόσαι εἰσὶν
αἱ ἁμαρτίαι μου, καὶ ἀνομίαι μου. δίδαξόν με τίνες εἰσί. διὰ τί
ἀπ' ἐμοῦ κρύπτῃ, ἥγησαι δέ με ὑπεναντίον σοι. ἢ ὡς φύλλον κι-
νούμενον ὑπὸ ἀνέμου εὐλαβηθήσῃ, ἢ ὡς χόρτῳ φερομένῳ ὑπὸ
πνεύματος ἀντίκεισαί μοι. ὅτι κατέγραψας κατ' ἐμοῦ κακά. περιέ-
θηκας δέ μοι νεότητος ἁμαρτίας. Ἔθου δέ μου τὸν πόδα ἐν κωλύ-

ματι. ἐφύλαξας δέ μου πάντα τὰ ἔργα. εἰς δὲ ῥίζας τῶν ποδῶν
μου ἀφίκου. ὃς παλαιοῦμαι ἴσα ἀσκῷ. ἢ ὥσπερ ἱμάτιον σητόβρωτον.

## Κεφάλαιον ιδ´. 14.

Ροτὸς γὰρ γεννητὸς γυναικὸς ὀλιγόβιος, καὶ πλήρης
β ὀργῆς. ἢ ὥσπερ ἄνθος ἀνθῆσαν ἐξέπεσεν. ἀπέδρα
δὲ ὥσπερ σκιά, καὶ οὐ μὴ στῇ. οὐχὶ καὶ τούτου λόγον ἐ-
γ ποιήσω, καὶ τοῦτον ἐποίησας εἰσελθεῖν ἐν κρίματι ἐνώπιόν σου. τίς
γὰρ καθαρὸς ἔσται ἀπὸ ῥύπου, ἀλλ' οὐθείς. ἐὰν καὶ μία ἡμέρα ὁ βίος
αὐτοῦ ἐπὶ τῆς γῆς. ἀριθμητοὶ δὲ μῆνες αὐτοῦ παρ' αὐτῷ. εἰς χρόνον ἔ-
θου, καὶ οὐ μὴ ὑπερβῇ. ἀπόστα ἀπ' αὐτοῦ, ἵνα ἡσυχάσῃ. καὶ εὐδοκήσῃ
τὸν βίον, ὥσπερ ὁ μισθωτός. ἔστι γὰρ δένδρῳ ἐλπίς. ἐὰν γὰρ ἐκκοπῇ.
ἔτι ἐπανθήσει. καὶ ὁ ῥάδαμνος αὐτοῦ, οὐ μὴ ἐκλείπῃ, ἐὰν γὰρ
γηράσῃ ἐν γῇ ἡ ῥίζα αὐτοῦ. ἐὰν δὲ πέτρᾳ τελευτήσῃ τὸ στέλεχος
αὐτοῦ. ἀπὸ ὀσμῆς ὕδατος ἀνθήσει. ποιήσει δὲ θερισμόν, ὥσπερ
νεόφυτον. ἀνὴρ δὲ τελευτήσας, ᾤχετο. πεσὼν δὲ βροτός, οὐκ ἔ-
τι ἐστί. χρόνῳ γὰρ σπανίζεται θάλασσα. ποταμὸς δὲ ἐρημωθεὶς
ἐξηράνθη. ἄνθρωπος δὲ κοιμηθείς, οὐ μὴν ἀναστῇ. ἕως ἂν ὁ οὐρα-
νὸς οὐ μὴ συρραφῇ. καὶ οὐκ ἐξυπνισθήσονται ἐξ ὕπνου αὐτῶν. εἰ γὰρ
ὄφελον ἐν ᾅδῃ με ἐφύλαξας. ἔκρυψας δέ με ἕως ἂν παύσηταί
σου ἡ ὀργή. καὶ τάξῃ μοι χρόνον ἐν ᾧ μνείαν μου ποιήσῃ. ἐὰν
γὰρ ἀποθάνῃ ἄνθρωπος, ζήσεται συντελέσας ἡμέρας τοῦ βίου αὐ-
τοῦ. ὑπομενῶ ἕως πάλιν γένωμαι. εἶτα καλέσεις, ἐγὼ δέ σοι ὑ-
πακούσομαι. τὰ δὲ ἔργα τῶν χειρῶν σου μὴ ἀποποιοῦ. ἠρίθμη-
σας δέ μου τὰ ἐπιτηδεύματα. καὶ οὐ μὴν παρέλθῃ σε οὐδὲν τῶν
ἁμαρτιῶν μου. ἐσφράγισας δέ μου τὰς ἀνομίας ἐν βαλαντίῳ.
ἐπεσημήνω δὲ εἴ τι ἄκων παρέβην. καὶ πλὴν ὄρος πίπτον διαπε-
σεῖται. καὶ πέτρα παλαιωθήσεται ἐκ τοῦ τόπου αὐτῆς. λίθους ἐλέα-
ναν ὕδατα. καὶ κατέκλυσεν ὕδατα ὕπτια τοῦ χώματος τῆς γῆς. καὶ
ὑπομονὴν ἀνθρώπου ἀπώλεσας. ὤσας αὐτὸν εἰς τέλος. καὶ ᾤχετο. ἐπέστη-
σας αὐτῷ τὸ πρόσωπον, καὶ ἐξαπέστειλας. πολλῶν δὲ γενομένων

τῶν υἱῶν αὐτοῦ οὐκ οἶδεν· ἐὰν δὲ ὀλίγοι γένωνται οὐκ ἐπίσ-
ται· ἀλλ' ἢ αἱ σάρκες αὐτοῦ ἤλγησαν· ἡ δὲ ψυχὴ αὐτοῦ ἐπέν-
θησεν.

Κεφάλαιον ιε. 15.

πολαβὼν δὲ ἐλιφὰζ ὁ θαιμανίτης λέγει· πότε-
ὑ ρον σοφὸς ἀπόκρισιν δώσει συνέσεως πνεύματα·
καὶ ἐνέπλησε πόνον γαστρός· ἐλέγχων ἐν ῥήμα-
σιν οἷς οὐ δεῖ καὶ ἐν λόγοις οἷς οὐδὲν ὄφελος· οὐ καὶ σὺ ἀπε-
ποιήσω φόβον· συνετελέσω δὲ ῥήματα τοιαῦτα ἔναντι τοῦ
κυρίου· ἔνοχος εἶ ῥήμασι στόματός σου οὐ δὲ διέκρινας ῥή-
ματα δυναστῶν· ἐλέγξαι σε τὸ σὸν στόμα, καὶ μὴ ἐγώ· τὰ δὲ χεί-
λη σου, καταμαρτυρήσουσί σου· τί γάρ, μὴ πρῶτος ἀνθρώ-
πων ἐγεννήθης; ἢ πρὸ κτηνῶν ἐπάγης· ἢ σύνταγμα κυρίου ἀκή-
κοας· ἢ συμβούλῳ σοι ἐχρήσατο ὁ θεός; εἰς δὲ σὲ ἀφίκετο
σοφία; τί γὰρ οἶδας ὃ οὐκ οἴδαμεν· ἢ τί συνιεῖς σύ, ὃ οὐχὶ καὶ
ἡμεῖς; καί γε πρεσβύτης· καί γε παλαιὸς ἐν ἡμῖν· βαρύτερος
τοῦ πατρός σου ἡμέραις· ὀλίγα ὧν ἡμάρτηκας μεμαστίγωσαι· με-
γάλως ὑπερβαλλόντως λελάληκας· τί ἐτόλμησεν ἡ καρδία σου
ἢ τί ἐπήνεγκαν οἱ ὀφθαλμοί σου, ὅτι θυμὸν ἔρρηξας ἔναντι κυ-
ρίου· ἐξήγαγε δὲ ἐκ στόματος ῥήματα τοιαῦτα· τίς γὰρ ὢν
βροτὸς ὅτι ἔσται ἄμεμπτος· ἢ ὡς ἐσόμενος δίκαιος γεννητὸς
γυναικός· εἰ κατὰ ἁγίων οὐ πιστεύει· οὐρανὸς δὲ οὐ καθαρὸς
ἐναντίον αὐτοῦ· ἔα δὲ ἐβδελυγμένος καὶ ἀκάθαρτος ἀνήρ·
πίνων ἀδικίας ἴσα ποτῷ· ἀναγγελῶ δέ σοι ἄκουέ μου· ἃ δὴ
ἑώρακα ἀναγγελῶ σοι· ἃ σοφοὶ ἐροῦσι· καὶ οὐκ ἔκρυψαν πα-
τέρες αὐτῶν· αὐτοῖς μόνοις ἐδόθη ἡ γῆ, καὶ οὐκ ἐπῆλθεν ἀλ-
λογενὴς ἐπ' αὐτούς· πᾶς ὁ βίος ἀσεβοῦς ἐν φροντίδι· ἔτη δὲ
ἀριθμητὰ δεδομένα δυνάστῃ· ὁ δὲ φόβος αὐτοῦ, ἐν ὠσὶν αὐτοῦ·
ὅταν δοκῇ ἤδη εἰρηνεύειν, ἥξει αὐτοῦ ἡ καταστροφή· μὴ πιστευέ-
τω ἀποστραφῆναι ἀπὸ σκότους· ἐντέταλται γὰρ ἤδη εἰς χεῖρας

σιδήρου. κατατέτακται δὲ εἰς σῖτα γυψίν. οἶδε δὲ ἐν ἑαυτῷ
ὅτι μένει εἰς πτῶμα. ἡμέρα δὲ σκοτεινὴ αὐτὸν στροβήσει. ἀνάγ-
κη δὲ καὶ θλίψις αὐτὸν καθέξει. ὥσπερ στρατηγὸς πρωτοστάτης
πίπτων. ὅτι ἦρκεν χεῖρας ἐναντίον τοῦ κυρίου. ἔναντι δὲ θεοῦ
παντοκράτορος, ἐτραχηλίασεν. ἔδραμε δὲ ἐναντίον αὐτοῦ.
ὕβρει, ἐν πάχει νώτου ἀσπίδος αὐτοῦ. ὅτι ἐκάλυψε τὸ πρό-
σωπον αὐτοῦ. καὶ ἐποίησε περιστόμιον ἐπὶ τῶν μηρίων. αἶνος
δὲ αὐτοῦ ὕβρεις. αὐλισθείη δὲ πόλεις ἐρήμους. εἰσέλθοι δὲ εἰς οἴ-
κους ἀοικήτους. ἃ δὲ ἐκεῖνοι ἡτοίμασαν, ἄλλοι ἀποίσονται. οὔτε
μὴ πλουτισθῇ, οὔτε μὴ μείνῃ αὐτοῦ, τὰ ὑπάρχοντα. οὐ μὴ βάλ-
λῃ ἐπὶ τὴν γῆν σκιάν. οὐδὲ μὴ ἐκφύγῃ τὸ σκότος. τὸν βλαστὸν
αὐτοῦ, μαράναι ἄνεμος. ἐκπέσοι δὲ αὐτοῦ τὸ ἄνθος. μὴ πιστευέ-
τω ὅτι ὑπομενεῖ. κενὰ γὰρ ἀποβήσεται αὐτῷ. ἡ τομὴ αὐτοῦ
πρὸ ὥρας φθαρήσεται. καὶ ὁ ῥάδαμνος αὐτοῦ. οὐ μὴ πυ-
κάσῃ. τρυγηθείη δὲ ὥσπερ ὄμφαξ πρὸ ὥρας. ἐκπέσοι δὲ ὡς ἄν-
θος ἐλαίας. μαρτύριον γὰρ ἀσεβοῦς θάνατος. πῦρ δὲ καύσει
κατὰ οἴκους δωροδεκτῶν. ἐν γαστρὶ δὲ λήψεται ὀδύνας ἀπο-
βήσεται δὲ αὐτῷ κενά. ἡ δὲ κοιλία αὐτοῦ ὑποίσει δόλον.

Κεφάλαιον ιϛ΄ 16.

Πολαβὼν δὲ Ἰὼβ λέγει. ἀκήκοα τοιαῦτα πολλά.
ὑ παρακλήτορες κακῶν πάντες. τί γὰρ μὴ τάξις
ἐστὶ ῥήμασι πνεύματος; ἢ τί παρενοχλήσει σοι
ὅτι ἀποκρίνῃ. κἀγὼ καθ᾽ ὑμᾶς λαλήσω. εἰ ὑπέκειτό γε ἡ ψυ-
χὴ ὑμῶν ἀντὶ τῆς ἐμῆς. εἶτ᾽ ἐναλοῦμαι ὑμῖν ῥήμασι. κινήσω δὲ
καθ᾽ ὑμῶν κεφαλήν. εἴη δὲ ἰσχὺς ἐν τῷ στόματί μου. κίνησιν
δὲ χειλέων, οὐ φείσομαι. ἐὰν γὰρ λαλήσω, οὐκ ἀλγήσω τὸ
τραῦμα. ἐὰν δὲ καὶ σιωπήσω, τί ἔλαττον τρωθήσομαι. νῦν δὲ
κατάκοπόν με πεποίηκε μωρὸν σεσηπότα. καὶ ἐπελάβου μου
εἰς μαρτύριον ἐγενήθη. καὶ ἀνέστη ἐν ἐμοὶ τὸ ψεῦδός μου.
κατὰ πρόσωπόν μου ἀνταπεκρίθη. ὀργῇ χρησάμενος κατέβα-

λέ με ἔβρυξεν ἐπ' ἐμὲ τοὺς ὀδόντας, βέλη πειρατῶν αὐτοῦ ἐπ' ἐμοὶ ἔπεσαν. ἀκίσιν ὀφθαλμῶν ἐνήλατο. ὀξεῖ ἔπεσέ με εἰς τὰ γόνατα. ὁμοθυμαδὸν δὲ κατέδραμον ἐπ' ἐμέ. παρέδωκε γάρ με ὁ κύριος εἰς χεῖρας ἀδίκων. ἐπὶ δὲ ἀσεβέσιν ἔρριψέ με. εἰρηνεύοντα διεσκέδασέ με. λαβών με τῆς κόμης διέτιλλε. κατέστησέ με ὥσπερ σκοπόν. ἐκύκλωσάν με λόγχαις. βάλλοντες εἰς νεφρούς μου οὐ φειδόμενοι. ἐξέχεαν εἰς τὴν γῆν τὴν χολήν μου. κατέβαλόν με πτῶμα ἐπὶ πτώματι. ἔδραμον πρός με δυνάμενοι. σάκκον ἔρραψαν ἐπὶ βύρσης μου. τὸ δὲ σθένος ἐσβέσθη. ἡ γαστήρ μου συγκέκαυται ἀπὸ κλαυθμοῦ. ἐπὶ δὲ βλεφάροις μου, σκιά. ἄδικον δὲ οὐδὲν ἐν χερσί μου. εὐχὴ δέ μου καθαρά. γῆ μὴ ἐπικαλύψῃς ἐφ' αἵματι τῆς σαρκός μου. μὴ δὲ εἴη τόπος τῇ κραυγῇ μου. καὶ νῦν ἰδοὺ ἐν οὐρανοῖς ὁ μάρτυς μου. ὁ δὲ συνίστωρ μου ἐν ὑψίστοις. ἀφίκοιτο δέ μου ἡ δέησις πρὸς κύριον. ἔναντι δὲ αὐτοῦ στάζοι μου ὁ ὀφθαλμός. εἴη δὲ ἔλεγχος ἀνδρὶ ἔναντι κυρίου. καὶ υἱῷ ἀνθρώπου τῷ πλησίον αὐτοῦ. ἔτη δὲ ἀριθμητὰ ἥκασιν. ὁδῷ δὲ ᾗ οὐκ ἐπαναστραφήσομαι πορεύσομαι.

Κεφάλαιον. ιζ. 17.

Ὀλέκομαι πνεύματι φερόμενος. δέομαι δὲ ταφῆς καὶ οὐ τυγχάνω. λίσσομαι κάμνων καὶ τί ποιήσω. ἔκλεψαν δέ μου τὰ ὑπάρχοντα ἀλλότριοι. τίς ἐστιν οὗτος τῇ χειρί μου συνδεθήτω. ὅτι καρδίαν αὐτῶν ἔκρυψας ἀπὸ φρονήσεως. διὰ τοῦτο, οὐ μὴ ὑψώσῃς αὐτούς. τῇ μερίδι ἀναγγελεῖ κακίας. ὀφθαλμοὶ δὲ ἐφ' υἱοῖς ἐτάκησαν. ἔθου δέ με θρύλημα ἐν ἔθνεσι. γέλως δὲ αὐτοῖς ἀπέβην. πεπώρωνται γὰρ ἀπὸ ὀργῆς οἱ ὀφθαλμοί μου. πεπολιόρκημαι μεγάλως ὑπὸ πάντων. θαῦμα ἔσχεν ἀληθινοὺς ἐπὶ τούτοις. δίκαιος δὲ, ἐπὶ παρανόμῳ ἐπανασταίη. σχοίη δὲ πιστὸς τὴν ἑαυτοῦ ὁδόν. καθαρὸς δὲ χεῖρας ἀναλάβοι θάρσος.

ὑμεῖς δὲ, ἀλλὰ πάντες ἐρείδετε, καὶ δεῦτε δή· οὐ γὰρ εὑρί-
σκω ἐν ὑμῖν ἀληθές. αἱ ἡμέραι μου παρῆλθον ἐν βρόμῳ. ἐρ-
ῥάγη δὲ τὰ ἄρθρα τῆς καρδίας μου. νύκτα εἰς ἡμέραν ἔθη-
καν. φῶς ἐγγὺς ἀπὸ προσώπου σκότους. καὶ ἐὰν γὰρ ὑπο-
μείνω, ᾅδης μου ὁ οἶκος. ἐν δὲ γνόφῳ ἔστρωταί μου ἡ στρω-
μνή. θάνατον προσεκαλεσάμην πατέρα μου εἶναι. μητέρα
δέ μου, καὶ ἀδελφὴν σαπρίαν. ποῦ οὖν μοι ἔτι ἐστὶν ἡ ἐλ-
πίς. ἢ τὰ ἀγαθά μου ὄψομαι. ἢ μετ᾽ ἐμοῦ εἰς ᾅδην κατα-
βήσονται; ἢ ὁμοθυμαδὸν ἐπὶ χώματος καταβησόμεθα.

Κεφάλαιον. ιη΄ 18.

Ὑπολαβὼν δὲ Βαλδὰδ ὁ Σαυχίτης λέγει. μέχρι
β τίνος οὐ παύσῃ; ἐπίσχες ἵνα καὶ αὐτοὶ λαλήσω-
μεν. διατί δὲ ὥσπερ τετράποδα σεσιωπήκα-
μεν ἐναντίον σου. κέχρηταί σοι ὀργή. τί γὰρ ἐὰν σὺ ἀποθά-
νοις, ἀοίκητος ἡ ὑπ᾽ οὐρανόν; ἢ καταστραφήσεται ὄρη ἐκ θε-
μελίων; καὶ φῶς ἀσεβῶν σβεσθήσεται. καὶ οὐκ ἀποβήσε-
ται αὐτῶν ἡ φλόξ. τὸ φῶς αὐτοῦ σκότος ἐν διαίτῃ. ὁ δὲ λύ-
χνος ἐπ᾽ αὐτῷ σβεσθήσεται. θηρεύσαισαν ἐλάχιστοι τὰ ὑ-
πάρχοντα αὐτοῦ. σφάλαι δὲ αὐτοῦ ἡ βουλή. ἐμβέβληται δὲ
ὁ ποὺς αὐτοῦ ἐν παγίδι. ἐν δικτύῳ ἑλιχθείη. ἔλθοισαν δὲ
ἐπ᾽ αὐτὸν παγίδες. κατισχύσει ἐπ᾽ αὐτὸν διψῶντας. κέκρυ-
πται ἐν τῇ γῇ σχοινίον αὐτοῦ. καὶ ἡ σύλληψις αὐτοῦ ἐπὶ τρί-
βων. κύκλῳ ὀλέσαισαν αὐτὸν ὀδύναι. πολλοὶ δὲ περὶ πό-
δας αὐτοῦ ἔλθοισαν ἐν λιμῷ στενῷ. πτῶμα δὲ αὐτῷ ἡτοίμα-
σται ἐξαίσιον. βρωθείησαν δὲ αὐτοῦ κλῶνες ποδῶν. κατέδεται δὲ
αὐτοῦ τὰ ὡραῖα θάνατος. ἐγκρατείη δὲ ἐκ διαίτης αὐτοῦ ἴασις. σχοίη
δὲ αὐτὸν ἀνάγκη αἰτίᾳ βασιλικῇ. κατασκηνώσει ἐν τῇ σκηνῇ αὐ-
τοῦ ἐν νυκτὶ αὐτοῦ. κατασπαρήσονται εὐπρεπῆ αὐτοῦ ἐν θείῳ. ὑποκά-
τωθεν αἱ ῥίζαι αὐτοῦ ξηρανθήσονται. καὶ ἐπάνωθεν ἐπιπεσεῖται θερι-
σμὸς αὐτοῦ. τὸ μνημόσυνον αὐτοῦ ἀπόλοιτο ἐκ γῆς. καὶ ὑπάρχει ὄνο-

μα αὐτῷ ἐπὶ πρόσωπον ἐξωτέρῳ. ἀπώσειεν αὐτὸν ἐκ φωτὸς εἰς σκότος. οὐκ ἔσται ἐπίγνωστος ἐν λαῷ αὐτοῦ. οὐδὲ σεσωσμένος ἐν τῇ ὑπ' οὐρανὸν ὁ οἶκος αὐτοῦ. ἀλλ' ἐν τοῖς αὐτοῦ ζήσονται ἕτεροι. ἐπ' αὐτῷ ἐστέναξαν ἔσχατοι. πρώτους δὲ ἔσχε θαῦμα. οὗτοί εἰσιν οἱ οἶκοι ἀδίκων. οὗτος δὲ ὁ τόπος, τῶν μὴ εἰδότων τὸν κύριον.

## Κεφάλαιον ιθ΄. 19.

Πολαβὼν δὲ ἰὼβ λέγει. ἕως τίνος ἔγκοπον ποιή-
ὑ σετε τὴν ψυχήν μου. καὶ καθαιρεῖτέ με λόγοις. γνῶτε μόνον, ὅτι ὁ κύριος ἐποίησέ με οὕτως. καταλαλεῖτέ μου. οὐκ αἰσχυνόμενοί με ἐπίκεισθέ μοι. καὶ δὴ ἐπ' ἀληθείας ἐγὼ ἐπλανήθην. παρ' ἐμοὶ δὲ αὐλίζεται πλάνος. λαλῆσαι ῥήματά μου ἃ οὐκ ἔδει. τὰ ῥήματά μου πλανᾶται καὶ οὐκ ἐπὶ καιροῦ. ἔα δὲ ὅτι ἐπ' ἐμοὶ μεγαλύνεσθαι. ἐνάλλεσθε δέ μοι ὀνείδει. γνῶτε οὖν ὅτι κύριός ἐστιν ὁ ταράξας. ὀχύρωμα δὲ αὐτοῦ, ἐπ' ἐμὲ ὕψωσεν. ἰδοὺ γελῶ ὀνείδει οὐ λαλήσω. κεκράξομαι καὶ οὐδαμοῦ κρίμα. κύκλῳ περιῳκοδόμημαι καὶ οὐ μὴ διαβῶ. ἐπὶ πρόσωπόν μου σκότος ἔθετο. τὴν δὲ δόξαν ἀπ' ἐμοῦ ἐξέδυσεν. ἀφεῖλε δὲ στέφανον ἀπὸ κεφαλῆς μου. διέσπασέ με κύκλῳ καὶ ᾠχόμην. ἐξέκοψε δὲ ὥσπερ δένδρον τὴν ἐλπίδα μου. δεινῶς δέ μοι ὀργῇ ἐχρήσατο. ἡγήσατο δὲ ὥσπερ ἐχθρόν. ὁμοθυμαδὸν δὲ ἦλθον τὰ πειρατήρια αὐτοῦ ἐπ' ἐμοί. ταῖς ὁδοῖς μου ἐκύκλωσάν με ἐγκάθετοι. ἀπ' ἐμοῦ ἀδελφοί μου ἀπέστησαν. ἔγνωσαν ἀλλοτρίους ἢ ἐμέ. φίλοι δέ μου ἀνελεήμονες γεγόνασιν, οὐ προσεποιήσαντό με οἱ ἐγγύτατοί μου. καὶ εἰδότες μου τὸ ὄνομα ἐπελάθοντό μου. γείτονες οἰκίας θεράπαιναί τέ μου. ἀλλογενὴς ἤμην ἐναντίον αὐτῶν. θεράποντά μου ἐκάλεσα καὶ οὐχ ὑπήκουσε, στόμα δέ μου ἐδέετο καὶ ἱκέτευον τὴν γυναῖκά μου. προσεκαλούμην δὲ κολακεύων υἱοὺς παλλακίδων μου. οἱ δὲ εἰς τὸν αἰῶνα με ἀπεποιήσαντο.

ὅταν

ὅταν ἀναστῶ, κατ' ἐμοῦ λαλοῦσιν. ἐβδελύξαντό με οἱ εἰδότες
με. οὓς δὴ ἠγαπήκειν, ἐπανέστησάν μοι. ἐν δέρματί μου ἐσάπη
σαν αἱ σάρκες μου. τὰ δὲ ὀστᾶ μου ἐν ὀδοῦσιν ἔχεται. ἐλεήσατε
με ἐλεήσατε με ὦ φίλοι. χεὶρ γὰρ κυρίου ἡ ἁψαμένη μού ἐστιν. διὰ
τί δέ με διώκετε ὥσπερ καὶ ὁ κύριος. ἀπὸ δὲ σαρκῶν μου οὐκ ἐμ
πίπλασθε. τίς γὰρ ἂν δοίη γραφῆναι τὰ ῥήματά μου. τεθῆναι δὲ
αὐτὰ ἐν βιβλίῳ εἰς τὸν αἰῶνα. ἐν γραφείῳ σιδηρῷ καὶ μολιβδῷ. ἢ
ἐν πέτραις ἐγγλυφῆναι. οἶδα γὰρ ὅτι ἀέναός ἐστιν ὁ ἐκλύειν με
μέλλων ἐπὶ γῆς, ἀναστῆσαι τὸ δέρμα μου τὸ ἀναντλοῦν ταῦτα.
παρὰ γὰρ κυρίου ταῦτά μοι συνετελέσθη. ἃ ἐγὼ ἐμαυτῷ συν
επίσταμαι. ἃ ὁ ὀφθαλμός μου ἑώρακε καὶ οὐκ ἄλλος. πάντα δέ
μοι συντετέλεσται ἐν κόλπῳ. εἰ δὲ καὶ ἐρεῖτε, τί ἐροῦμεν ἔναντι
αὐτοῦ. καὶ ῥίζαν λόγου εὑρήσομεν ἐν αὐτῷ. εὐλαβήθητε δὴ καὶ
ὑμεῖς ἀπὸ ἐπικαλύμματος. θυμὸς γὰρ ἐπ' ἀνόμους ἐπελεύσε
ται. καὶ τότε γνώσονται ποῦ ἐστιν αὐτῶν ἡ ὕλη.

Κεφάλαιον κ΄. 20.

ὑ Πολαβὼν δὲ σωφὰρ ὁ μιναῖος λέγει. οὐχ οὕτως ὑ
πελάμβανον ἀντερεῖν σε ταῦτα. καὶ οὐχὶ συνίετε
μᾶλλον, ἢ καὶ ἐγώ. παιδείαν ἐντροπῆς μου ἀκούσο
μαι καὶ πνεῦμα ἐκ τῆς συνέσεως ἀποκρίνεταί μοι. μὴ ταῦτα
ἔγνως ἀπὸ τοῦ ἔτι ἀφ' οὗ ἐτέθη ἄνθρωπος ἐπὶ τῆς γῆς; εὐφροσύ
νη γὰρ ἀσεβῶν. πτῶμα ἐξαίσιον. χαρμονὴ δὲ παρανόμων πτῶμα
καὶ ἀπώλεια. ἐὰν ἀναβῇ εἰς οὐρανὸν αὐτοῦ τὰ δῶρα. ἡ δὲ θυσία
αὐτοῦ νεφῶν ἅψηται. ὅταν γὰρ δοκῇ ἤδη κατεστηρίχθαι, τότε τέ
λος ἀπολεῖται. οἱ δὲ εἰδότες αὐτὸν, ἐροῦσι ποῦ ἐστιν. ὥσπερ ἐ
νύπνιον ἐκπετασθὲν οὐ μὴ εὑρεθῇ. ἔπτη δὲ ὥσπερ φάσμα νυ
κτερινόν. ὀφθαλμὸς παρέβλεψε. καὶ οὐ προσθήσει. καὶ οὐκ ἔτι
προσνοήσει αὐτὸν ὁ τόπος αὐτοῦ. τοὺς υἱοὺς αὐτοῦ, ὀλέσαισαν
ἥττονες. αἱ δὲ χεῖρες αὐτοῦ, πυρσεύσαισαν ὀδύνας. ὀστᾶ αὐτῶν
ἐνεπλήσθησαν νεότητος αὐτοῦ. καὶ μετ' αὐτοῦ ἐπὶ χώματος

κοιμηθήσεται. ἐὰν γλυκανθῇ ἐν τῷ στόματι αὐτοῦ κακία· κρύψει αὐτὴν ὑπὸ τὴν γλῶσσαν αὐτοῦ. οὐ φείσεται αὐτῆς, καὶ οὐκ ἐγκαταλείψει αὐτήν, καὶ συνάξει αὐτὴν ἐν μέσῳ τοῦ φάρυγγος αὐτοῦ, καὶ οὐ μὴ δυνηθῇ βοηθῆσαι ἑαυτῷ, χολὴ ἀσπίδος ἐν γαστρὶ αὐτοῦ. πλοῦτος ἀδίκως συναγόμενος, ἐξεμεθήσεται. ἐξ οἰκίας αὐτοῦ ἐξελκύσει αὐτὸν ἄγγελος. θυμὸν δὲ δρακόντων θηλάσειεν, ἀνέλοι δὲ αὐτὸν γλῶσσα ὄφεως. μὴ ἴδοι ἄμελξιν νομάδων. μηδὲ νομὰς μέλιτος καὶ βουτύρου. εἰς κενά, καὶ μάταια ἐκοπίασεν πλοῦτον ἐξ οὗ οὐ γεύσεται. ὥσπερ στρίφνος ἀμάσητος ἀκατάποτος. πολλῶν γὰρ δυνατῶν οἴκους ἔθλασε. δίαιταν δὲ ἥρπασε καὶ οὐκ ἔστησεν. οὐκ ἔστιν αὐτοῦ σωτηρία τοῖς ὑπάρχουσιν. ἐν ἐπιθυμίᾳ αὐτοῦ, οὐ σωθήσεται. οὐκ ἔστιν ὑπόλειμμα τοῖς βρώμασιν αὐτοῦ. διὰ τοῦτο οὐκ ἀνθήσει αὐτοῦ τὰ ἀγαθά. ὅταν δὲ δοκῇ ἤδη πεπληρῶσθαι, θλιβήσεται. πᾶσα δὲ ἀνάγκη, ἐπ' αὐτὸν ἐπελεύσεται. ἔπως εἰ πληρώσαι γαστέρα αὐτοῦ. ἐπαποστείλαι ἐπ' αὐτόν, ὀργῆς. νίψαι ἐπ' αὐτὸν ὀδύνας. καὶ οὐ μὴ σωθῇ ἐκ χειρὸς σιδήρου. τρώσαι αὐτὸν τόξον χάλκειον. διεξέλθοι δὲ διὰ σώματος αὐτοῦ βέλος. ἄστρα δὲ ἐν διαίταις αὐτοῦ. περιπατήσαισαν, ἐπ' αὐτῷ φόβοι. πᾶν δὲ σκότος αὐτῷ ὑπομείναι. κατέδεται αὐτὸν πῦρ ἄκαυστον, κακώσαι δὲ αὐτοῦ ἐπήλυτος τὸν οἶκον. ἀνακαλύψαι δὲ αὐτοῦ ὁ οὐρανὸς τὰς ἀνομίας, γῆ δὲ ἐπανασταίη αὐτῷ. ἑλκύσαι τὸν οἶκον αὐτοῦ ἀπώλεια εἰς τέλος. ἡμέρα ὀργῆς ἐπέλθοι αὐτῷ. αὕτη ἡ μερὶς ἀνθρώπου ἀσεβοῦς παρὰ κυρίου καὶ κτῆμα ὑπαρχόντων αὐτῷ παρὰ τοῦ ἐπισκόπου.

## Κεφάλαιον κά. 21

Υπολαβὼν δὲ ἰὼβ λέγει, ἀκούσατε. ἀκούσατέ μου τῶν λόγων. ἵνα μὴ ᾖ μοι, αὕτη ἡ παράκλησις. ἄρατέ με, ἐγὼ δὲ λαλήσω. εἶτ' οὐ καταγελάσετέ με. τί γὰρ μὴ ἀνθρώπου μου ἡ ἔλεγξις, ἢ διατί οὐ θυμωθήσομαι. εἰσβλέψαντες εἰς ἐμὲ θαυμάσετε, χεῖρα θέντες ἐπὶ σιαγόνι.

ἐάν τε γὰρ μνησθῶ ἐσπούδακα· ἔχουσι δέ μου τὰς σάρκας ὀδύ-
ναι. διὰ τί ἀσεβεῖς ζῶσι· πεπαλαίωνται δὲ καὶ ἐν πλούτῳ.
ὁ σπόρος αὐτῶν κατὰ ψυχήν· τὰ δὲ τέκνα αὐτῶν ἐν ὀφθαλ-
μοῖς, οἱ οἶκοι αὐτῶν εὐθηνοῦσιν· φόβος δὲ οὐδαμοῦ· μάστιξ δὲ
παρὰ κυρίου οὐκ ἔστιν ἐπ' αὐτοῖς. ἡ βοῦς αὐτῶν οὐκ ὠμοτόκη-
σε. διεσώθη δὲ αὐτῶν ἐν γαστρὶ ἔχουσα. καὶ οὐκ ἔσφαλεν. μέ-
νουσι δὲ ὥσπερ πρόβατα αἰώνια. τὰ δὲ παιδία αὐτῶν προσπαί-
ζουσιν. ἀναλαβόντες ψαλτήριον καὶ κιθάραν, καὶ εὐφραίνον-
ται φωνῇ ψαλμοῦ. συνετέλεσαν δὲ ἐν ἀγαθοῖς τὸν βίον αὐτῶν, ἐν
δὲ ἀναπαύσει ᾅδου, ἐκοιμήθησαν. λέγει δὲ κυρίῳ ἀπόστα ἀπ' ἐ-
μοῦ ὁδούς σου εἰδέναι οὐ βούλομαι. τί ἱκανῶς ὅτι δουλεύσω-
μεν αὐτόν. καὶ τίς ὠφέλεια ὅτι ἀπαντήσομεν αὐτῷ. ἐν χερσὶ
γὰρ ἦν αὐτῶν ἀγαθά. ἔργα δὲ ἀσεβῶν οὐκ ἐφορᾷ. οὐ μὴν δὲ ἀλ-
λὰ καὶ ἀσεβῶν. λύχνος σβεσθήσεται. ἐπελεύσεται δὲ αὐτοῖς ἡ κα-
ταστροφή. ὠδῖνες δὲ αὐτοὺς ἕξουσιν ἀπὸ ὀργῆς. ἔσονται δὲ ὥσπερ
ἄχυρα ὑπ' ἀνέμου, ἢ ὥσπερ κονιορτός. ὃν ὑφείλετο λαῖλαψ. ἐκλεί-
ποι υἱοὺς τὰ ὑπάρχοντα αὐτοῦ. ἀνταποδώσει πρὸς αὐτὸν καὶ
γνώσεται. ἴδοισαν οἱ ὀφθαλμοὶ αὐτοῦ τὴν ἑαυτοῦ σφαγήν. ἀπὸ δὲ
κυρίου μὴ διασωθείη. ὅτι τὸ θέλημα αὐτοῦ ἐν οἴκῳ αὐτοῦ μετ' αὐτοῦ. καὶ
ἀριθμοὶ μηνῶν αὐτοῦ διῃρέθησαν. πότερον οὐχὶ ὁ κύριός ἐστιν ὁ
διδάσκων σύνεσιν καὶ ἐπιστήμην; αὐτὸς δὲ φόνους διακρινεῖ. οὗτος ἀ-
ποθανεῖται ἐν κράτει ἰσχύος αὐτοῦ. ὅλος δὲ εὐπαθῶν, καὶ εὐ-
θηνῶν. τὰ δὲ ἔγκατα αὐτοῦ πλήρη στέατος. μυελὸς δὲ αὐτῶν δι-
αχεῖται. ὁ δὲ τελευτᾷ ὑπὸ πικρίας ψυχῆς. οὐ φαγὼν οὐδὲν ἀ-
γαθόν. ὁμοθυμαδὸν δὲ ἐπὶ γῆς κοιμῶνται. σαπρία δὲ αὐτοὺς
ἐκάλυψεν. ὥστε οἶδα ὑμᾶς ὅτι τόλμῃ ἐπίκεισθέ μοι, ὅτι ἐ-
ρεῖτε ποῦ ἐστιν οἶκος ἄρχοντος. καὶ ποῦ ἐστιν ἡ σκέπη τῶν
σκηνωμάτων τῶν ἀσεβῶν. ἐρωτήσατε παραπορευομένους ὁδόν.
καὶ τὰ σημεῖα αὐτοῦ. οὐκ ἀπαλλοτριώσετε. ὅτι εἰς ἡμέραν ἀπωλείας
κουφίζεται ὁ πονηρός. εἰς ἡμέραν ὀργῆς αὐτοῦ ἐπαχθήσονται

τίς ἀπαγγελεῖ ἐπὶ προσώπου αὐτοῦ τὴν ὁδὸν αὐτοῦ. καὶ αὐτὸς ἐποίησε τίς ἀνταποδώσει αὐτῷ. καὶ αὐτὸς εἰς τάφους ἀπηνέχθη. καὶ ἐπὶ σοροῦ ἠγρύπνησεν. ἐγλυκάνθησαν αὐτῷ χάλικες χειμάρρου. καὶ ὀπίσω αὐτοῦ πᾶς ἄνθρωπος ἀπελεύσεται. καὶ ἔμπροσθεν αὐτοῦ ἀναρίθμητοι. πῶς δὲ με παρακαλεῖτε κενά. τὸ δὲ ἐμὲ καταπαύσασθαι ἐφ' ὑμῶν οὐδέν.

Κεφάλαιον κβ΄. 22

Ὑπολαβὼν δὲ ἐλιφὰς ὁ θαιμανίτης λέγει. πότερον οὐχὶ ὁ κύριός ἐστιν ὁ διδάσκων σύνεσιν καὶ ἐπιστήμως τί γὰρ μέλει τῷ κυρίῳ ἐὰν σὺ ἦσθα τοῖς ἔργοις ἄμεμπτος. ἢ ὠφέλεια ὅτι ἁπλώσῃς τὴν ὁδόν σου. ἢ λόγον σου ποιούμενος ἐλέγξει σε. καὶ συνελεύσεταί σοι εἰς κρίσιν. πότερον οὐχ ἡ κακία σου ἐστὶ πολλή. ἀναρίθμητοι δέ σου εἰσὶν αἱ ἁμαρτίαι. ἠνεχύραζες δὲ τοὺς ἀδελφούς σου διακενῆς. ἀμφίασιν δὲ γυμνῶν ἀφείλου. οὐδὲ ὕδωρ διψῶντας ἐπότισας ἀλλὰ πεινώντων ἐστέρησας ψωμόν. ἐθαύμασας δέ τινων πρόσωπα. ᾤκισας δὲ πτωχοὺς ἐπὶ τῆς γῆς. χήρας δὲ ἐξαπέστειλας κενάς ὀρφανοὺς δὲ ἐκάκωσας. τοιγαροῦν ἐκύκλωσάν σε παγίδες. καὶ ἐσπούδασέ σε πόλεμος ἐξαίσιος. τὸ φῶς σοι σκότος ἀπέβη. κοιμηθέντα δὲ ὕδωρ σε ἐκάλυψε. μὴ οὐχὶ ὁ τὰ ὑψηλὰ ναίων ἐφορᾷ, τοὺς δὲ ὕβρει φερομένους ἐταπείνωσε. καὶ εἶπας τί ἔγνω ὁ ἰσχυρός. ἢ κατὰ τοῦ γνόφου κρινεῖ. νεφέλη ἀποκρυφὴ αὐτοῦ, καὶ οὐχ ὁραθήσεται. καὶ γῦρον οὐρανοῦ διαπορεύεται. μὴ τρίβον αἰώνιον φυλάξεις. ἣν ἐπάτησαν ἄνδρες δίκαιοι. οἳ συνελήφθησαν ἄωροι. ποταμὸς ἐπιρρέων οἱ θεμέλιοι αὐτῶν. οἱ λέγοντες κύριος τί ποιήσει ἡμῖν, ἢ τί ἐπάξεται ἡμῖν ὁ παντοκράτωρ. ὃς δὲ ἐνέπλησε τοὺς οἴκους αὐτῶν ἀγαθῶν. βουλὴ δὲ ἀσεβῶν πόρρω αὐτοῦ. ἰδόντες δίκαιοι ἐγέλασαν ἄμεμπτος δὲ ἐμυκτήρισεν. εἰ μὴ ἠφανίσθη ἡ ὑπόστασις αὐτῶν. καὶ τὸ κατάλειμμα αὐτῶν, καταφάγεται πῦρ. γενοῦ δὲ σκληρὸς ἐὰν ὑπομείνῃς. εἶτα

ὁ καρπός σου ἔσται ἐν ἀγαθοῖς. ἔκβαλε δὲ ἐκ στόματος αὐτοῦ ἐξηγορίαν· καὶ ἀνάλαβε τὰ ῥήματα αὐτοῦ ἐν καρδίᾳ σου. ἐὰν δὲ ἐπιστραφῇς καὶ ταπεινώσῃς σε αὐτὸν ἔναντι κυρίου. πόρρω ἐποίησας ἀπὸ διαίτης σου ἄδικον. θήσει ἐπὶ χώματι ἐν πέτρᾳ. καὶ ὡς πέτρα χειμάῤῥου σωφάρ. ἔσται οὖν σου ὁ παντοκράτωρ βοηθὸς ἀπὸ ἐχθρῶν. καθαρὸν δὲ ἀποδώσει σε ὥσπερ ἀργύριον πεπυρωμένον. εἶτα παῤῥησιασθήσῃ ἐναντίον κυρίου ἀναβλέψας εἰς τὴν οὐρανὸν ἱλαρῶς. εὐξαμένου δέ σου πρὸς αὐτόν. εἰσακούσεταί σου. δώσει δέ σοι ἀποδοῦναι τὰς εὐχάς. ἀποκαταστήσει δέ σοι δίαιταν δικαιοσύνης. ἐπὶ δὲ ὁδοῖς σου ἔσται φέγγος. ὅτι ἐταπείνωσεν σεαυτόν. καὶ ἐρεῖ ὑπερηφανεύσατο. καὶ κύφοντα ὀφθαλμοῖς σώσει. ῥύσεται ἀθῷον. καὶ διασώθητι ἐν καθαραῖς χερσί σου.

## Κεφάλαιον κγ. 23.

ὑ

Πολαβὼν δὲ ἰὼβ λέγει. καὶ οἶδα ὅτι ἐκ χειρός μου ἡ ἔλεγξίς μου ἐστί. καὶ ἡ χεὶρ αὐτοῦ βαρεῖα γέγονεν ἐπ᾽ ἐμῷ στεναγμῷ. τίς δ᾽ ἄρα γνοίη ὅτι εὕροιμι αὐτὸν, καὶ ἔλθοιμι εἰς τέλος. εἴποιμι δὲ ἐμὸν αὐτῷ κρίμα, τὸ δὲ στόμα μου ἐμπλήσω ἐλέγχων. γνοίην δὲ ἰάματα ἅ μοι ἐρεῖ. αἰσθοίμην δὲ τίνα μοι ἀπαγγελεῖ. καὶ εἰ ἐν πολλῇ ἰσχύι ἐπελεύσεταί μοι. εἶτα ἐν ἀπειλῇ μοι οὐ χρήσεται. ἀλήθεια γὰρ καὶ ἔλεγχος παρ᾽ αὐτοῦ. ἐξαγάγοι δὲ εἰς τέλος μου τὸ κρίμα. εἰς γὰρ πρῶτα πορεύσομαι καὶ οὐκέτι εἰμί. τὰ δὲ ἐπ᾽ ἐσχάτοις τί οἶδα. ἀριστερὰ ποιήσαντος αὐτοῦ καὶ οὐ κατέσχον. περιβαλεῖ δεξιᾷ καὶ οὐκ ὄψομαι. οἶδε γὰρ ἤδη ὁδόν μου. διέκρινέ με ὥσπερ τὸ χρυσίον, ἐξελεύσομαι δὲ ἐν ἐντάλμασιν αὐτοῦ. ὁδοὺς γὰρ αὐτοῦ ἐφύλαξα καὶ οὐ μὴ ἐκκλινῶ. ἀπὸ ἐνταλμάτων αὐτοῦ, καὶ οὐ μὴ παρέλθω. ἐν δὲ κόλπῳ μου ἔκρυψα ῥήματα αὐτοῦ. εἰ δὲ καὶ αὐτὸς ἔκρινεν οὕτως, τίς ἐστιν ὁ ἀντειπὼν αὐτῷ. ὃ γὰρ αὐτὸς ἠθέλησε, καὶ ἐποίησεν. διὰ τοῦτο ἐπ᾽ αὐτῷ ἐσπούδακα. νουθετούμενος δὲ ἐφρόντισα αὐτοῦ. ἐπὶ τούτῳ ἀπὸ προσώπου αὐτοῦ κατασπουδασθῶ.

κατανοήσω, καὶ πτοηθήσομαι ἐξ αὐτοῦ. κύριος δὲ ἐμαλάκυνε τὴν καρδίαν μου, ὁ δὲ παντοκράτωρ ἐσπούδασέν με. οὐ γὰρ ᾔδειν ὅτι ἐπελεύσεταί μοι σκότος. τὸ πρόσωπον δέ μου ἐκάλυψε γνόφος.

## Κεφάλαιον κδ΄. 24.

Ιατὶ δὲ κύριον ἔλαθον ὧραι. ἀσεβεῖς δὲ ὅριον ὑπερέ-
δ βησαν. ποίμνιον σὺν ποιμένι ἁρπάσαντες. ὑποζύ-
γιον ὀρφανῶν ἀπήγαγον. καὶ βοῦν χήρας ἠνεχύρασαν. ἐξέκλιναν ἀδυνάτους ἐξ ὁδοῦ δικαίας. ὁμοθυμαδὸν δὲ ἐκρύβησαν πραεῖς γῆς. ἀπέβησαν δὲ ὥσπερ ὄνοι ἐν ἀγρῷ. ὑπὲρ ἐμοῦ ἐξελθόντες τὴν ἑαυτῶν πρᾶξιν. ἡδύνθη αὐτῷ ἄρτος εἰς νεωτέρους. ἀγρὸν πρὸ ὥρας οὐκ αὐτῶν ὄντα ἐθέρισαν. ἀδύνατοι ἀμπελῶνας ἀσεβῶν ἀμισθὶ καὶ ἀσιτὶ εἰργάσαντο. γυμνοὺς δὲ πολλοὺς ἐκοίμησαν ἄνευ ἱματίων. ἀμφίασιν δὲ ψυχῆς αὐτῶν ἀφείλαντο. ἀπὸ ψεκάδων ὀρέων ὑγραίνονται. παρὰ τὸ μὴ ἔχειν ἑαυτοὺς σκέπην, πέτραν περιεβάλλοντο. ἥρπασαν ὀρφανὸν ἀπὸ μαστοῦ. ἐκπεπτωκότα δὲ ἐταπείνωσαν. γυμνοὺς δὲ ἐκοίμισαν ἀδίκως. πεινώντων δὲ τὸν ψωμὸν ἀφείλαντο, ἐν στενοῖς ἀδίκως ἐνήδρευσαν. ὁδὸν δὲ δικαίων, οὐκ ᾔδεισαν, οἳ ἐκ πόλεως, καὶ οἴκων ἰδίων ἐξεβάλλοντο. ψυχὴ δὲ νηπίων ἐστέναξε μέγα, αὐτὸς δὲ διατί τούτων ἐπισκοπὴν οὐ πεποίηται. ἐπὶ γῆς ὄντων αὐτῶν καὶ οὐκ ἐπέγνωσαν. ὁδὸν δὲ δικαιοσύνης οὐκ ᾔδεισαν. οὐδὲ ἀτραποὺς αὐτῶν ἐπορεύθησαν. γνοὺς δὲ αὐτῶν τὰ ἔργα παρέδωκεν αὐτοὺς εἰς σκότος, καὶ νυκτὸς ἔσται ὁ κλέπτης. καὶ ὀφθαλμὸς μοιχοῦ ἐφύλαξε σκότος, λέγων. οὐ προνοήσει με ὀφθαλμός. καὶ ἀποκρυβὴν προσώπου ἔθετο, διώρυξεν ἐν σκότει οἰκίας. ἡμέρας ἐσφράγισαν ἑαυτούς. οὐκ ἐπέγνωσαν φῶς. ὅτι ὁμοθυμαδὸν τὸ πρωῒ αὐτοῖς σκιὰ θανάτου. ὅτι ἐπιγνώσεται ταραχὰς σκιᾶς θανάτου. ἐλαφρότερός ἐστιν ἐπὶ πρόσωπον ὕδατος. καταραθείη ἡ μερὶς αὐτοῦ ἐπὶ γῆς. ἀναφανείη δὲ τὰ ὅσα αὐτοῦ ἐπὶ γῆς ξηρά. ἀγκαλίδα δὲ ὀρφανῶν ἥρπασαν, εἶτ᾽ ἀνεμνήσθη αὐτοῦ ἡ ἁ-

μαρτία, ὥσπερ δὲ ὁμίχλη δρόσου, ἀφανὴς ἐγένετο. ἀποδοθείη
δὲ αὐτῷ ἃ ἔπραξεν, συντριβείη δὲ, πᾶς ἄδικος ἴσα ξύλῳ ἀνι-
άτῳ. στεῖραν γὰρ οὐκ εὖ ἐποίησεν, καὶ γυναῖκα οὐκ ἠλέησε. θυμῷ
δὲ κατέστρεψεν ἀδυνάτους. ἀναστὰς τοιγαροῦν οὐ μὴ πιστεύσῃ κα-
τὰ τῆς ἑαυτοῦ ζωῆς. μαλακισθεὶς, μὴ ἐλπιζέτω ὑγιασθῆναι. ἀλλὰ
πεσεῖται νόσῳ, πολλοὺς γὰρ ἐκάκωσεν τὸ ὕψωμα αὐτοῦ. ἐμα-
ράνθη ὥσπερ ὁμίχλη ἐν καύματι. ἢ ὥσπερ στάχυς ἀπὸ καλά-
μης αὐτομάτως ἀποπεσών. εἰ δὲ μὴ, τίς ἐστιν ὁ φάμενος ψευ-
δῆ με λέγειν, καὶ θήσει εἰς οὐδὲν τὰ ῥήματά μου.

Κεφάλαιον κε. 25

Πολαβὼν δὲ βαλδὰδ ὁ σαυχίτης λέγει. τί γὰρ προ-
β οἴμιον ἢ φόβος παρ' αὐτοῦ, ὁ ποιῶν τὴν σύμπα-
σαν ἐν ὑψίστῳ. μὴ γάρ τις ὑπολάβῃ ὅτι παρέλκυσις
πειραταῖς. ἐπὶ τίνας δὲ οὐκ ἐπελεύσεται ἔνεδρα παρ' αὐτοῦ.
πῶς γὰρ ἔσται δίκαιος βροτὸς ἔναντι κυρίου. ἢ τίς ἂν ἀποκα-
θαρίσαι ἑαυτὸν, γεννητὸς γυναικός. εἰ σελήνῃ συντάσσει,
οὐκ ἐπιφαύσκει. ἄστρα δὲ οὐ καθαρὰ ἐναντίον αὐτοῦ. ἔα δὲ ἄν-
θρωπος σαπρία καὶ υἱὸς ἀνθρώπου σκώληξ.

Κεφάλαιον κς. 26

Πολαβὼν δὲ ἰὼβ λέγει, τίνι πρόσκεισαι ἢ τίνι μέλ-
β λεις βοηθεῖν. πότερον οὐχ ᾧ πολλὴ ἰσχὺς, καὶ ᾧ βραχίων
κραταιός ἐστι; τίνι συμβεβούλευσαι. οὐχ ᾧ πᾶσα σο-
φία; τίνι ἐπακολουθήσεις οὐχ ᾧ μεγίστη δύναμις; τίνι ἀνήγγει-
λας ῥήματα, πνοὴ δὲ τίνος ἐστὶν ἡ ἐξελθοῦσα ἐκ σοῦ. μὴ γί-
γαντες μαιωθήσονται. ὑπὸ κάτωθεν ὕδατος καὶ τῶν γειτόνων
αὐτοῦ γυμνὸς ὁ ᾅδης ἐνώπιον αὐτοῦ, καὶ οὐκ ἔστι περιβόλαιον τῇ
ἀπωλείᾳ αὐτοῦ ἐκτείνων βορέαν ἐπ' οὐδὲν. κρεμάζων γῆν ἐπὶ οὐ-
δενός. δεσμεύων ὕδωρ ἐν νεφέλαις αὐτοῦ. καὶ οὐκ ἐρράγη νέφος ὑπο-
κάτω αὐτοῦ. ὁ κρατῶν πρόσωπον θρόνου. ἐκπετάζων ἐπ' αὐ-
τὸν νέφος αὐτοῦ. πρόσταγμα ἐγύμνωσεν ἐπὶ πρόσωπον ὕδατος.

μέχρι συντελείας, φωτὸς μετὰ σκότους. στῦλοι δὲ οὐρανοῦ ἐπετάσ-
θησαν. καὶ ἐξέστησαν ἀπὸ τῆς ἐπιτιμήσεως αὐτοῦ. ἰσχύι κατέπαυ-
σε τὴν θάλασσαν, ἐπιστήμῃ δὲ ἔτρωσε τὸ κῆτος, κλεῖθρα δὲ οὐρα-
νοῦ δεδοίκασιν αὐτόν, προστάγματι δὲ ἐθανάτωσε δράκοντα
ἀποστάτην, ἰδοὺ ταῦτα μέρη ὁδοῦ αὐτοῦ, καὶ ἐπὶ ἰκμάδα
λόγου ἀκουσόμεθα ἐν αὐτῷ, σθένος δὲ βροντῆς αὐτοῦ, τίς
οἶδεν ὁπότε ποιήσει.

Κεφάλαιον κζ. 27

Ἔτι δὲ προσθεὶς ἰὼβ εἶπε τῷ προοιμίῳ. ζῇ ὁ θεὸς ὃς
οὕτω με κέκρικε, καὶ ὁ παντοκράτωρ ὁ πικράνας μου
τὴν ψυχήν. ἦ μὴν ἔτι τῆς πνοῆς μου ἐνούσης, πνεύ-
ματος δὲ θείου τοῦ περιόντος μοι ἐν ῥισί, μὴ λαλήσειν τὰ χείλη μου ἄ-
νομα. οὐδὲ ἡ ψυχή μου μελετήσει ἄδικα, μή μοι εἴη δικαί-
ους ὑμᾶς ἀποφῆναι ἕως ἂν ἀποθάνω. οὐ γὰρ ἀπαλλάξω μου
τὴν ἀκακίαν μου, δικαιοσύνῃ δὲ προσέχων οὐ μὴ προῶμαι
οὐ γὰρ σύνοιδα ἐμαυτῷ ἄτοπα πράξας. οὐ μὴν δὲ ἀλλὰ εἴησαν
οἱ ἐχθροί μου, ὥσπερ ἡ καταστροφὴ τῶν ἀσεβῶν. καὶ οἱ ἐπ' ἐμὲ
ἐπανιστάμενοι, ὥσπερ ἡ ἀπώλεια τῶν παρανόμων. καὶ τίς γάρ
ἐστιν ἐλπὶς ἀσεβεῖ ὅτι ἐπέχει. πεποιθὼς ἐπὶ κύριον ἆρα σωθήσε-
ται; ἢ τὴν δέησιν αὐτοῦ εἰσακούσεται ὁ θεός; ἢ ἐπελθούσης αὐ-
τῷ ἀνάγκης, μὴ ἔχει τινὰ παρρησίαν ἔναντι αὐτοῦ; ἢ ὡς ἐπικα-
λεσαμένου αὐτοῦ εἰσακούσεται αὐτοῦ; ἀλλὰ δὴ ἀναγγελῶ ὑμῖν,
τί ἐστιν ἐν χειρὶ κυρίου. ἅ ἐστι παρὰ παντοκράτορι οὐ ψεύσομαι. ἰ-
δοὺ πάντες οἴδατε ὅτι κενὰ κενοῖς ἐπιβάλλετε. αὕτη ἡ μερὶς
ἀνθρώπου ἀσεβοῦς παρὰ κυρίου. κτῆμα δὲ δυναστῶν ἐλεύσεται
παρὰ παντοκράτορος ἐπ' αὐτούς. ἐὰν δὲ πολλοὶ γένωνται οἱ
υἱοὶ αὐτῶν, εἰς σφαγὴν ἔσονται. ἐὰν δὲ καὶ ἀνδρωθῶσι, προσαι-
τήσουσιν. οἱ δὲ περιόντες αὐτοῦ ἐν θανάτῳ τελευτήσουσι, χή-
ρας δὲ αὐτῶν, οὐδεὶς ἐλεήσει, ἐὰν συναγάγῃ ὥσπερ γῆν ἀργύριον
ἴσα δὲ πηλῷ ἑτοιμάσῃ χρυσίον. ταῦτα πάντα δίκαιοι περι-

ποιήσονται. τὰ δὲ χρήματα αὐτοῦ, ἀληθινοὶ καθέξουσιν. ἀπέβη δὲ ὁ οἶκος αὐτοῦ ὥσπερ σῆτες. καὶ ὥσπερ ἀράχνη ἃ συνετήρησε. πλούσιος κοιμηθήσεται καὶ οὐ προσθήσει. ὀφθαλμοὺς αὐτοῦ διήνοιξε καὶ οὐκ ἔστι. συνήντησαν αὐτῷ ὥσπερ ὕδωρ αἱ ὀδύναι. νυκτὶ δὲ ὑφείλετο αὐτὸν γνόφος. ἀναλήψεται δὲ αὐτὸν καύσων καὶ ἀπελεύσεται. καὶ λικμήσει αὐτὸν ἐκ τοῦ τόπου αὐτοῦ. καὶ ἐπιῤῥίψει ἐπ' αὐτὸν καὶ οὐ φείσεται ἐκ χειρὸς αὐτοῦ φυγῇ φεύξεται. κροτήσει ἐπ' αὐτὸν χεῖρας αὐτοῦ. καὶ συριεῖ αὐτὸν ἐκ τοῦ τόπου αὐτοῦ.

## Κεφάλαιον. κη. 28.

Ἔστι γὰρ ἀργυρίῳ τόπος ὅθεν γίνεται. τόπος δὲ χρυσίου ὅθεν διηθεῖται. σίδηρος μὲν γὰρ ἐκ γῆς γίνεται. χαλκὸς δὲ ἴσα λίθῳ λατομεῖται. τάξιν ἔθετο σκότει. καὶ πᾶν πέρας αὐτὸς ἐξακριβάζεται. λίθος σκοτία καὶ σκιὰ θανάτου. διακοπὴ χειμάῤῥου ἀπὸ κονίας. οἱ δὲ ἐπιλανθανόμενοι ὁδὸν δικαίαν ἠσθένησαν. ἐκ βροτῶν ἐσαλεύθησαν, γῆ, ἐξ αὐτῆς ἐξελεύσεται ἄρτος. ὑποκάτω αὐτῆς ἐστράφη ὡς πῦρ. τόπος σαπφείρου οἱ λίθοι αὐτῆς. καὶ χῶμα χρυσίον αὐτῷ. τρίβος οὐκ ἔγνω αὐτὴν πετεινόν. καὶ οὐ παρέβλεψεν αὐτὴν ὀφθαλμὸς γυπός. καὶ οὐκ ἐπάτησαν αὐτὴν υἱοὶ ἀλαζόνων. οὐ παρῆλθεν ἐπ' αὐτῆς λέων. ἐν ἀκροτόμῳ ἐξέτεινε χεῖρα αὐτοῦ. κατέστρεψε δὲ ἐκ ῥιζῶν ὄρη. τὰ κοιλώματα τῶν ὑδάτων τὰς σύριγγας. δίνας δὲ ποταμῶν διέῤῥηξε. πᾶν δὲ ἔντιμον εἶδέ μου ὀφθαλμός. βάθη δὲ ποταμῶν ἀνεκάλυψεν. ἔδειξε δὲ αὐτοῦ δύναμιν εἰς φῶς. ἡ δὲ σοφία πόθεν εὑρέθη. ποῖος δὲ τόπος ἐστὶ τῆς ἐπιστήμης. οὐκ οἶδε βροτὸς ὁδὸν αὐτῆς. οὐδὲ μὴ εὑρεθῇ ἐν ἀνθρώποις. ἄβυσσος εἶπεν, οὐκ ἔνεστιν ἐν ἐμοί. καὶ ἡ θάλασσα εἶπεν οὐκ ἔνεστι μετ' ἐμοῦ. οὐ δώσει συγκλεισμὸν ἀντ' αὐτῆς. καὶ οὐ σταθήσεται ἀργύριον ἀντάλλαγμα αὐτῆς. καὶ οὐ συμβασταχθήσεται χρυσίῳ σωφείρ. ἐν ὄνυχι τιμίῳ καὶ

σαπφείρῳ. οὐχὶ σωθήσεται αὐτῇ χρυσίον καὶ ὕαλος. καὶ τὸ ἄλ
λαγμα αὐτῆς σκεύη χρυσᾶ. μετέωρα καὶ γάβις οὐ μνησθήσε
ται. καὶ ἕλκυσον σοφίαν, ὑπὲρ τὰ ἐσώτατα. οὐκ ἰσωθήσεται αὐ
τῇ τοπάζιον αἰθιοπίας. χρυσίῳ καθαρῷ, οὐ συμβασταχθήσεται.
ἡ δὲ σοφία πόθεν εὑρέθη. ποῖος δὲ τόπος ἐστὶ τῆς συνέσεως
λέληθε πάντα ἄνθρωπον, καὶ ἀπὸ πετεινῶν τοῦ οὐρανοῦ ἐκρύβη
ἡ ἀπώλεια καὶ ὁ θάνατος εἶπαν. ἀκηκόαμεν δὲ αὐτῆς τὸ κλέ
ος. ὁ θεὸς εὖ συνέστησεν αὐτῆς τὴν ὁδόν. αὐτὸς δὲ οἶδε τὸν τό
πον αὐτῆς. αὐτὸς γὰρ τὴν ὑπ᾽ οὐρανὸν πᾶσαν ἐφορᾷ. εἰδὼς τὰ
ἐν τῇ γῇ πάντα ἃ ἐποίησεν. ἀνέμων σταθμόν. ὕδατος μέτρα
ὅτε ἐποίησεν, οὕτως ἰδὼν, ἠρίθμησε καὶ ὁδὸν ἐν τινάγματι φω
νάς. τότε εἶδεν αὐτήν. ἐξηγήσατο αὐτὴν, ἑτοιμάσας ἐξιχνίασε,
εἶπε δὲ ἀνθρώπῳ. ἰδοὺ ἡ θεοσέβειά ἐστι σοφία. τὸ δὲ ἀπέχεσθαι ἀπὸ
κακῶν ἐστὶν ἐπιστήμη.

## ΤΟΥ ΙΩΒ ΠΡΟΣ ΤΟΥΣ ΦΙΛΟΥΣ ΔΙΑ ΛΕΞΙΣ ΕΝΔΕΚΑΤΗ.

### Κεφάλαιον κθ'. 29.

Τι δὲ προσθεὶς ἰὼβ εἶπε τῷ προοιμίῳ. τίς ἄν με
θείη κατὰ μῆνα ἔμπροσθεν ἡμερῶν ὧν με ὁ θεὸς ἐ
φύλαξεν. ὡς ὅτε ηὔγει ὁ λύχνος αὐτοῦ ὑπὲρ κεφα
λῆς μου. ὅτε τῷ φωτὶ αὐτοῦ ἐπορευόμην ἐν σκότει. ὅτε ἤμην
ἐπιβρίθων ὁδοῖς. ὅτε ὁ θεὸς ἐπισκοπὴν ἐποιεῖτο τοῦ οἴκου μου.
ὅτε ἤμην ὑλώδης λίαν. κύκλῳ δέ μου οἱ παῖδες. ὅτε ἐχέον
το μου αἱ ὁδοί μου βουτύρῳ. τὰ δὲ ὄρη μου ἐχέοντο γάλακτι. ὅ
τε ἐξεπορευόμην ὄρθριος ἐν πόλει. ἐν δὲ πλατείαις ἐτίθετό μου
ὁ δίφρος. ἰδόντες με νεανίσκοι ἐκρύβησαν. πρεσβῦται δὲ πάν
τες ἔστησαν. ἁδροὶ δὲ ἐπαύσαντο λαλοῦντες δάκτυλον ἐπιθέντες
ἐπὶ στόματι. οἱ δὲ ἀκούσαντες ἐμακάρισάν με. καὶ γλῶσσα αὐτῶν
τῷ λάρυγγι αὐτῶν ἐκολλήθη. ὅτι οὖς ἤκουσε, καὶ ἐμακάρισέ με. ὀφ
θαλμὸς δὲ ἰδὼν ἐξέκλινε. διέσωσα γὰρ πτωχὸν ἐκ χειρὸς δυνάστου

καὶ ὀρφανῷ ᾧ οὐκ ἦν βοηθὸς ἐβοήθησα. εὐλογία ἀπολλυμένου ἐπ᾽
ἐμὲ ἔλθοι. στόμα δὲ χήρας με εὐλόγησεν. δικαιοσύνην δὲ ἐνδε-
δύκειν. ἠμφιασάμην δὲ κρίμα ἴσα διπλοΐδι, ὀφθαλμὸς ἤμην τυ-
φλῶν. ποὺς δὲ χωλῶν. ἐγὼ ἤμην πατὴρ ἀδυνάτων. δίκην δὲ ἣν οὐκ
ᾔδειν ἐξιχνίασα. συνέτριψα δὲ μύλας ἀδίκων. ἐκ μέσου τῶν ὀδόν-
των αὐτῶν ἅρπαγμα ἐξέσπασα. εἶπα δὲ ἡ ἡλικία μου γηράσει. ὥσ-
περ στέλεχος φοίνικος πολὺν χρόνον βιώσω. ἡ ῥίζα διήνοικ-
ται ἐπὶ ὕδατος. καὶ δρόσος αὐλισθήσεται ἐν τῷ θερισμῷ μου. ἡ δό-
ξα μου καινὴ μετ᾽ ἐμοῦ καὶ τὸ τόξον μου ἐν χειρὶ αὐτοῦ πορεύεται. ἐ-
μοῦ ἀκούσαντες προσέσχον. ἐσιώπησαν δὲ ἐπὶ τῇ ἐμῇ βουλῇ. ἐπὶ τῷ
ἐμῷ ῥήματι οὐ προσέθεντο. περιχαρεῖς δὲ ἐγίνοντο, ὁπότ᾽ ἂν αὐ-
τοῖς ἐλάλουν. ὥσπερ γῆ διψῶσα, προσδεχομένη τὸν ὑετὸν οὕτως οὗ-
τοι τὴν ἐμὴν λαλιάν. ἐὰν γελάσω πρὸς αὐτούς, οὐ μὴ πιστεύσω-
σι. καὶ φῶς τοῦ προσώπου μου οὐκ ἀπέπιπτεν. ἐξελεξάμην ὁδὸν
αὐτῶν, καὶ ἐκάθισα ἄρχων. καὶ κατεσκήνουν ὡσεὶ βασιλεὺς ἐν μονο-
ζώνοις. ὃν τρόπον ταπεινοὺς παρεκάλουν.

## Κεφάλαιον λ΄. 30.

Υνὶ δὲ κατεγέλασάν μου ἐλάχιστοι. νῦν νουθετοῦσί με ἐν
μέρει. ὧν ἐξουδένουν πατέρας αὐτῶν. οὓς οὐχ ἡγησάμην
ἀξίους κυνῶν τῶν ἐμῶν νομάδων. καί γε ἰσχὺς χειρῶν
αὐτῶν ἵνα τί μοι. ἐπ᾽ αὐτοὺς ἀπώλετο συντέλεια. ἐνδείᾳ καὶ λιμῷ ἄ-
γονος. οἱ φεύγοντες ἄνυδρον ἐχθές. συνοχὴν καὶ ταλαι-
πωρίαν. οἱ περικυκλοῦντες ἅλιμα ἐπὶ ἠχοῦντι. οἵ τε δὲ ἅλιμα ἦν
αὐτῶν τὰ σῖτα. ἄτιμοι δὲ καὶ πεφαυλισμένοι. ἐνδεεῖς παντὸς ἀγα-
θοῦ. οἳ καὶ ῥίζας ξύλων ἐμασῶντο ὑπὸ λιμοῦ μεγάλου. ἐπανέστησάν
μοι κλέπται. ὧν οἱ οἶκοι αὐτῶν ἦσαν τρῶγλαι πετρῶν. καὶ ἀνὰ μέσον
εὐήχων βοήσονται. οἱ ὑπὸ φρύγανα ἄγρια διῃτῶντο. ἀφρόνων υἱοὶ
καὶ ἀτίμων ὄνομα. καὶ κλέος ἐσβεσμένον ἀπὸ γῆς. νυνὶ δὲ κιθάρα
ἐγώ εἰμι αὐτῶν. καὶ ἐμὲ θρύλλημα ἔχουσιν. ἐβδελύξαντο δέ με ἀπο-
στάντες μακράν. ἀπὸ δὲ τοῦ προσώπου μου οὐκ ἐφείσαντο πτύελον. ἀνοί-

ξας τῆς φαρέτρας αὐτοῦ, ἐκάκωσέ με. καὶ χαλινὸν τοῦ προσώπου μου
ἐξαπέστειλαν. ἐπὶ δεξιῶν βλαστοῦ ἐπανέστησαν πόδα αὐτοῦ ἐξέ-
τειναν καὶ ὡδοποίησαν ἐπ' ἐμέ. τρίβους ἀπωλείας αὐτῶν ἐξε-
τρίβησαν τρίβοι μου. ἐξέδυσε γάρ μου τὴν στολὴν βέλεσιν αὐ-
τοῦ κατεκόντισέ με. κέχρηται δέ μοι ὡς βούλεται. ἐν ὀδύναις
πέφυρμαι. ἐπιστρέφονταί μου αἱ ὀδύναι. ᾤχετό μου ἡ ἐλπὶς ὥσ-
περ πνεῦμα. καὶ ὥσπερ νέφος ἡ σωτηρία μου. καὶ νῦν ἐπ' ἐ-
μὲ ἐκχυθήσεται ἡ ψυχή μου. ἔχουσιν δέ με ἡμέραι ὀδυνῶν. νυ-
κτὶ δέ μου τὰ ὀστᾶ συγκέκαυται. τὰ δὲ νεῦρά μου διαλέλυται.
ἐν πολλῇ ἰσχύϊ ἐπελάβετό μου τῆς στολῆς. ὥσπερ τὸ περιστόμιον
τοῦ χιτῶνός μου περιέσχε με. ἥγησε δέ με ἴσα πηλῷ, ἐν γῇ καὶ
σποδῷ μου ἡ μερίς. κέκραγα δὲ πρὸς σὲ καὶ οὐκ εἰσακούεις
μου. ἔστησαν δὲ καὶ κατενόησάν με. ἐπέβησαν δέ μοι ἀνελεη-
μόνως. χειρὶ κραταιᾷ με ἐμαστίγωσας. ἔταξας δέ με ἐν ὀδύ-
ναις. καὶ ἀπέρριψάς με ἀπὸ σωτηρίας. οἶδα γὰρ ὅτι θάνατός
με ἐκτρίψει. οἰκία γὰρ παντὶ θνητῷ γῆ. εἰ γὰρ ὄφελον δυναμέ-
ην ἐμαυτὸν διαχειρώσασθαι. ἢ δεηθείς γε ἑτέρου, καὶ ποιή-
σει μοι τοῦτο. ἐγὼ δὲ ἐπὶ παντὶ ἀδυνάτῳ ἔκλαυσα. ἐστέναξα ἰ-
δὼν ἄνδρα ἐν ἀνάγκαις. ἐγὼ δὲ ἀπέχων ἀγαθοῖς. ἰδοὺ συν-
ήντησάν μοι μᾶλλον ἡμέραι κακῶν. ἡ καρδία μου ἐξέζεσε καὶ
οὐ σιωπήσεται. παρέφθασάν με ἡμέραι πτωχείας. στένων πε-
πόρευμαι ἄνευ φιμοῦ. ἕστηκα δὲ ἐν ἐκκλησίᾳ κεκραγώς. ἀδελ-
φὸς γέγονα σειρήνων. ἑταῖρος δὲ στρουθῶν, τὸ δὲ δέρμα
μου ἐσκότωται μεγάλως, τὰ δὲ ὀστᾶ συνεφρύγη ἀπὸ καύμα-
τος. ἀπέβη δὲ εἰς πένθος μου ἡ κιθάρα.

## Κεφάλαιον λά. 31.

Δὲ ψαλμός μου εἰς κλαυθμὸν ἐμοί. διαθήκην ἔ-
α θέμην τοῖς ὀφθαλμοῖς μου, καὶ οὐ συνήσω ἐπὶ
παρθένον. καὶ ἔτι ἐμέρισεν ὁ θεός. ἄνωθεν
καὶ κληρονομία ἱκανοῦ ἐξ ὑψίστων. οὐχὶ ἀπώλεια τῷ ἀδίκῳ, καὶ

ἀπαλλοτρίωσις τοῖς ποιοῦσιν ἀνομίαν. οὐχὶ αὐτὸς ὄψεται ὁδόν μου, καὶ πάντα τὰ διαβήματά μου ἐξαριθμήσεται; εἰ δὲ ἤμην πεπορευμένος μετὰ γελοιαστῶν. εἰ δὲ καὶ ἐσπούδασεν ὁ πούς μου εἰς δόλον. ἵσταμαι γὰρ ἐν ζυγῷ δικαίῳ. εἶδεν ὁ κύριος τὴν ἀκακίαν μου. εἰ ἐξέκλινεν ὁ πούς μου ἐκ τῆς ὁδοῦ. εἰ δὲ καὶ τῷ ὀφθαλμῷ ἐπηκολούθησεν ἡ καρδία μου εἰ δὲ καὶ ταῖς χερσί μου ἡψάμην δώρων. σπείραιμι ἄρα καὶ ἄλλοι φάγοισαν. ἄρριζος δὲ γενοίμην ἐπὶ γῆς. εἰ δὲ καὶ ἐξηκολούθησεν ἡ καρδία μου γυναικὶ ἀνδρὸς ἑτέρου. εἰ καὶ ἐγκάθετος ἐγενόμην ἐπὶ θύραις αὐτῆς, ἀρέσαι ἄρα καὶ ἡ γυνή μου ἀνδρὶ ἑτέρῳ. τὰ δὲ νήπιά μου ταπεινωθείη. θυμὸς γὰρ ὀργῆς ἀκατάσχετος. τὸ μιᾶναι ἀνδρὸς γυναῖκα. πῦρ γάρ ἐστι καιόμενον ἐπὶ πάντων τῶν μερῶν. οὗ δ' ἂν ἐπέλθῃ, ἐκ ῥιζῶν ἀπώλεσεν. εἰ δὲ καὶ ἐφαύλισα κρίμα θεράποντός μου. ἢ θεραπαίνης κρινομένων αὐτῶν πρός με. τί γὰρ ποιήσω ἐὰν ἔτασίν μου ποιήσηται ὁ κύριος. ἐὰν δὲ καὶ ἐπισκοπήν τινα ἀπόκρισιν ποιήσομαι. πότερον οὐχ ὡς καὶ ἐγὼ ἐγενόμην ἐν γαστρὶ καὶ ἐκεῖνοι γεγόνασι, γεγόναμεν δὲ ἐν τῇ αὐτῇ κοιλίᾳ. ἀδύνατοι δὲ χρείαν ἥν ποτε εἶχον. οὐκ ἀπέτυχον. χήρας δὲ τὸν ὀφθαλμὸν οὐκ ἐξέτηξα. εἰ δὲ καὶ τὸν ψωμόν μου ἔφαγον μόνος. καὶ οὐχὶ ὀρφανῷ μετέδωκα ἐξ αὐτοῦ; ὅτι ἐκ νεότητός μου ἐξέτρεφον ὡς πατήρ. καὶ ἐκ γαστρὸς μητρός μου ὡδήγησα. εἰ δὲ καὶ ὑπερεῖδον γυμνὸν ἀπολλύμενον καὶ οὐκ ἠμφίασα. ἀδύνατοι δὲ εἰ μὴ εὐλόγησάν με. ἀπὸ δὲ κουρᾶς ἀμνῶν μου, ἐθερμάνθησαν οἱ ὦμοι αὐτῶν. εἰ ἐπῆρα ὀρφανῷ χεῖρα, πεποιθὼς ὅτι μοι πολλὴ βοήθεια περίεστιν. ἀποσταίη ἄρα ὁ ὦμός μου ἀπὸ τῆς κλειδός. ὁ δὲ βραχίων μου ἀπὸ τοῦ ἀγκῶνος συντριβείη. φόβος γὰρ κυρίου συνέσχε με. ἀπὸ τοῦ λήμματος αὐτοῦ, οὐχ ὑποίσω. εἰ ἔταξα χρυσίον ἰσχύν μου. εἰ δὲ καὶ λίθῳ πολυτελεῖ ἐπεποίθησα. εἰ δὲ καὶ εὐφράνθην πολλοῦ πλούτου μοι γενομένου. εἰ δὲ καὶ

ἐπ' ἀναιθμήτοις ἐθέμην χεῖρά μου· ἢ οὐχ ὁρῶν μου ἥλιον τὸν ἐπιφαύσκοντα ἐκλείποντα· σελήνην δὲ φθίνουσαν· οὐ γὰρ ἐπ' αὐτοῖς ἐστι· καὶ εἰ ἠπατήθη λάθρα ἡ καρδία μου· εἰ δὲ χεῖρά μου ἐπιθεὶς τῷ στόματί μου ἐφίλησα, καὶ τοῦτό μοι ἄρα ἀνομία ἡ μεγίστη λογισθείη· ὅτι ἐψευσάμην ἐναντίον κυρίου τοῦ ὑψίστου· εἰ δὲ καὶ ἐπιχαρὴς ἐγενόμην πτώματι ἐχθρῶν μου· καὶ εἶπεν ἡ καρδία μου εὖγε, ἀκούσαι ἄρα τὸ οὖς μου τὴν κατάραν μου· θρυληθείην δὲ ἄρα ὑπὸ λαοῦ μου κακούμενος· εἰ δὲ καὶ πολλάκις εἶπον αἱ θεράπαιναί μου· τίς ἂν δῴη ἡμῖν τῶν σαρκῶν αὐτοῦ πλησθῆναι, λίαν μου χρηστοῦ ὄντος· ἔξω δὲ οὐκ ηὐλίζετο ξένος· ἡ δὲ θύρα μου, παντὶ ἐλθόντι ἀνέῳκτο· εἰ δὲ καὶ ἁμαρτὼν ἀκουσίως ἔκρυψα τὴν ἁμαρτίαν μου· οὐ γὰρ διετράπην πολυοχλίαν πλήθους τοῦ μὴ ἐξαγορεῦσαι ἐνώπιον αὐτῶν· εἰ δὲ καὶ εἴασα ἀδύνατον ἐξελθεῖν τὴν θύραν μου κόλπῳ κενῷ· εἰ μὴ ἐδεδοίκειν τίς δῴη ἀκούοντά μου· χεῖρα δὲ κυρίου, εἰ μὴ ἐδεδοίκειν συγγραφὴν δὲ ἣν εἶχον κατά τινος ἐπ' ὤμοις ἂν περιθέμενος, στέφανον ἀνεγίνωσκον· καὶ εἰ μὴ ῥήξας αὐτὴν ἀπέδωκα· οὐθὲν λαβὼν παρὰ χρεωφειλέτου· εἰ ἐπ' ἐμοί ποτε ἡ γῆ ἐστέναξεν· εἰ δὲ καὶ οἱ αὔλακες αὐτῆς, ἔκλαυσαν ὁμοθυμαδόν· εἰ δὲ καὶ τὴν ἰσχὺν αὐτῆς ἔφαγον μόνος ἄνευ τιμῆς· εἰ δὲ καὶ ψυχὴν κυρίου τῆς γῆς, ἐκλαβὼν ἐλύπησα· ἀντὶ πυροῦ ἄρα ἐξέλθοι μοι κνίδη· ἀντὶ δὲ κριθῆς, βάτος· καὶ ἐπαύσατο ἰὼβ ῥήμασιν.

## Κεφάλαιον λβ. 32.

Σύχασαν δὲ καὶ οἱ τρεῖς φίλοι αὐτοῦ ἔτι ἀντειπεῖν
ἡ ἰὼβ· ἦν γὰρ ἰὼβ δίκαιος ἐναντίον αὐτοῦ· ὠργίσθη
δὲ ἐλιοῦς ὁ τοῦ βαραχιὴλ ὁ βουζίτης ἐκ τῆς συγγενείας ῥὰμ τῆς αὐσίτιδος χώρας· ὠργίσθη δὲ τῷ ἰὼβ σφόδρα, διότι ἀπέφηνεν ἑαυτὸν δίκαιον ἐναντίον οὐρανοῦ· καὶ κατὰ τῶν τριῶν δὲ φίλων ὠργίσθη σφόδρα· διότι οὐκ ἠδυνήθησαν ἀποκριθῆναι ἀντίθετα ἰὼβ· καὶ ἔθεντο αὐτὸν εἶναι ἀσεβῆ. ἐλιοῦς δὲ ὑπέμεινε δοῦναι ἀπόκρισιν ἰὼβ· ὅτι πρεσβύτεροι αὐτοῦ εἰσιν

ἡμέραις. καὶ εἶδεν ἐλιοῦς, ὅτι οὐκ ἔστιν ἀπόκρισις ἐν στόματι
τῶν τριῶν ἀνδρῶν, καὶ ἐθυμώθη ὀργὴ αὐτοῦ.

Τοῦ ἐλιοῦ πρὸς τοὺς φίλους καὶ τὸν
Ἰὼβ ἀντίῤῥησις.

Ὑπολαβὼν δὲ ἐλιοῦς ὁ τοῦ βαραχιὴλ ὁ βουζίτης εἶπεν νεώτε-
ρος μέν εἰμι τῷ χρόνῳ. ὑμεῖς δέ ἐστε πρεσβύτεροι. διὸ ἡσύχα-
σα φοβηθεὶς τοῦ ὑμῖν ἀναγγεῖλαι τὴν ἐμαυτοῦ ἐπιστήμην. εἶπα δὲ
ὅτι οὐχ ὁ χρόνος ἐστὶν ὁ λαλῶν. ἐν πολλοῖς δὲ ἔτεσιν οὐκ οἴδα-
σι σοφίαν ἀλλὰ πνεῦμά ἐστιν ἐν βροτοῖς. πνοὴ δὲ παντοκράτορος
ἐστὶν ἡ διδάσκουσα. οὐχ οἱ πολυχρόνιοι εἰσὶν οἱ σοφοί. οὐδ᾽ οἱ
γέροντες οἴδασι κρίμα. διὸ εἶπα ἀκούσατέ μου, καὶ ἀναγγε-
λῶ ὑμῖν ἃ οἶδα. ἐνωτίζεσθέ μου τὰ ῥήματα. ὁρῶ γὰρ ὑμῶν ἀκου-
όντων. ἄχρις οὗ ἐτάσητε λόγους, καὶ μέχρι ὑμῶν συνήσω. καὶ ἰ-
δοὺ οὐκ ἦν τῷ ἰὼβ ἐλέγχων, ἀνταποκρινόμενος ῥήματα αὐτοῦ
ἐξ ὑμῶν, ἵνα μὴ εἴπητε, εὕρομεν σοφίαν κυρίῳ προσθέμενοι. ἀν-
θρώπῳ δὲ ἐπετρέψατε λαλῆσαι τοιαῦτα ῥήματα. ἐπτοήθησαν
οὐκ ἀπεκρίθησαν ἔτι. ἐπαλαίωσαν ἐξ αὐτῶν λόγους. ὑπέμεινα
οὐ γὰρ ἐλάλησα. ὅτι ἔστησαν οὐκ ἀπεκρίθησαν. ὅτι ἀποκριθῶ κἀ-
γὼ μέρος.

Ὑπολαβὼν δὲ ἐλιοῦς λέγει. πάλιν λαλήσω. πλήρης γάρ εἰμι ῥη-
μάτων. ὠλέκει γάρ με τὸ πνεῦμα τῆς γαστρός. ἡ δὲ γαστήρ μου
ὥσπερ ἀσκὸς γλεύκους ζέων δεδεμένος. ἢ ὡς φυσητὴρ χαλ-
κέως ἐῤῥηγώς. λαλήσω ἵνα ἀναπαύσωμαι ἀνοίξας τὰ χείλη.
ἀλλὰ μὴν, οὐδὲ βροτὸν, οὐ μὴν ἐντραπῶ. οὐ γὰρ ἐπίσταμαι θαυ-
μάσαι πρόσωπον. εἰ δὲ μή, καὶ ἐμὲ σῆτες ἔδονται.

Κεφάλαιον λγ. 33.

Υ μὴν δὲ, ἀλλὰ ἄκουσον ἰὼβ τὰ ῥήματά μου,
καὶ λαλιὰν ἐνωτίζου μου. ἰδοὺ γὰρ ἤνοιξα τὸ στό-
μα μου, καὶ ἐλάλησεν ἡ γλῶσσά μου. καθαρά μου

ἡ καρδία ῥήμασιν. σύνεσις δὲ χειλέων μου καθαρὰ νοήσει. πνεῦμα θεῖον τὸ ποιῆσάν με. πνοὴ δὲ παντοκράτορος, ἡ διδάσκουσά με. ἐὰν δύνῃ, δός μοι ἀπόκρισιν, πρὸς ταῦτα, ὑπόμεινον. στῆθι κατ' ἐμὲ, καὶ ἐγὼ κατὰ σέ. ἐκ πηλοῦ διήρτησαι σὺ ὡς καὶ ἐγώ. ἐκ τοῦ αὐτοῦ διηρτίσμεθα. οὐκ ὁ φόβος μου σε στροβήσει οὐδὲ ἡ χείρ μου βαρεῖα ἔσται ἐπὶ σοί. πλὴν εἶπας ἐν ὠσί μου. φωνὴν ῥημάτων σου ἀκήκοα. διότι λέγεις καθαρός εἰμι οὐχ ἁμαρτών. ἄμεμπτος δὲ ἤμην οὐκ ἠνόμησα. μέμψιν δὲ κατ' ἐμοῦ εὗρεν. ἥγηται δέ με, ὥσπερ ὑπεναντίον. ἔθετο δὲ ἐν ξύλῳ μου τὸν πόδα σου. ἐφύλαξε δέ μου πάσας τὰς ὁδούς. πῶς γὰρ λέγεις δίκαιός εἰμι. καὶ οὐκ ἐπακήκοέ μου. αἰώνιος γάρ ἐστιν ὁ ἐπάνω βροτῶν. λέγεις δὲ, διατί τῆς δικαιοσύνης μου οὐκ ἐπακήκοέ μου πᾶν ῥῆμα. ἐν γὰρ τῷ ἅπαξ λαλῆσαι ὁ κύριος, ἐν δὲ τῷ δευτέρῳ. ἐνύπνιον ἢ ἐν μελέτῃ νυκτερινῇ, ἢ ὡς ὅταν ἐπιπίπτῃ δεινὸς φόβος ἐπ' ἀνθρώπους ἐπὶ νυσταγμάτων ἐπὶ κοίτης. τότε ἀνακαλύπτει νοῦν ἀνθρώπου. ἐν εἴδεσι φόβου τοιούτοις αὐτοὺς ἐξεφόβησεν. ἀποστρέψαι ἄνθρωπον ἀπὸ ἀδικίας. τὸ δὲ σῶμα αὐτοῦ, ἀπὸ πτώματος ἐρρύσατο. ἐφείσατο δὲ τῆς ψυχῆς αὐτοῦ ἀπὸ θανάτου. καὶ μὴ πεσεῖν αὐτὸν ἐν πολέμῳ. πάλιν δὲ ἤλεγξεν αὐτὸν ἐπὶ μαλακίᾳ ἐπὶ κοίτης, καὶ πλῆθος ὀστῶν αὐτοῦ ἐνάρκησε. πᾶν δὲ βρωτὸν σίτου οὐ μὴ δύνηται προσδέξασθαι. καὶ ἡ ψυχὴ αὐτοῦ βρῶσιν ἐπιθυμεῖ, ἕως ἂν σαπῶσιν αὐτοῦ αἱ σάρκες. καὶ ἀποδείξῃ τὰ ὀστᾶ αὐτοῦ κενά. ἤγγισε δὲ εἰς θάνατον ἡ ψυχὴ αὐτοῦ. ἡ δὲ ζωὴ αὐτοῦ ἐν ᾅδῃ. ἐὰν ὦσι χίλιοι ἄγγελοι θανατηφόροι. εἷς αὐτῶν, οὐ μὴ τρώσῃ αὐτόν. ἐὰν νοήσῃ τῇ καρδίᾳ ἐπιστραφῆναι ἐπὶ κύριον. ἀναγγελεῖ δὲ ἀνθρώπῳ, τὴν ἑαυτοῦ μέμψιν. τὴν δὲ ἀνομίαν αὐτοῦ δείξει. ἀνθέξεται τοῦ μὴ πεσεῖν, εἰς αὐτὸν θάνατον. ἀνανεώσει δὲ αὐτοῦ τὸ σῶμα ὥσπερ ἀλοιφὴν ἐπὶ τοίχου. τὰ δὲ ὀστᾶ αὐτοῦ ἐμπλήσει μυελοῦ. ἁπαλυνεῖ δὲ αὐτοῦ τὰς σάρκας, ὥσπερ νηπίου.

νηπίου. ἀποκαταστήσει δὲ αὐτὸν, ἀνδρωθέντα ἐν ἀνθρώποις. εὐξάμενος δὲ πρὸς κύριον, καὶ δεκτὰ αὐτῷ ἔσται. εἰσελεύσεται δὲ προσώπῳ ἱλαρῷ συνεξηγορίᾳ. ἀποδώσει ἀνθρώποις δικαιοσύνην. εἶτα τότε ἀπομέμψεται ἄνθρωπος. αὐτὸς ἑαυτῷ, λέγων οἷα συνετέλουν. καὶ οὐκ ἄξια ἤτασέ με ὧν ἥμαρτον. σῶσον ψυχήν μου τοῦ μὴ ἐλθεῖν εἰς διαφθοράν. καὶ ἡ ζωή μου φῶς ὄψεται, ἰδοὺ ταῦτα πάντα ἐργᾶται ὁ ἰσχυρός. ὁδοὺς τρεῖς μετὰ ἀνδρός. ἀλλὰ ἐρρύσατο τὴν ψυχήν μου ἐκ θανάτου. ἵνα ἡ ζωή μου ἐν φωτὶ αἰνῇ αὐτόν. ἐνωτίζου ἰὼβ καὶ ἄκουέ μου. κώφευσον, καὶ ἐγώ εἰμι λαλήσω. εἰ εἰσί σοι λόγοι ἀποκρίθητί μοι λάλησον θέλω γὰρ δικαιωθῆναί σε, εἰ μὴ σὺ ἄκουσόν μου. κώφευσον καὶ διδάξω σε σοφίαν.

Κεφάλαιον λδʹ 34

Πολαβὼν δὲ ἐλιοῦς λέγει. ἀκούσατέ μου σοφοὶ ἐπι-
ὑ στάμενοι ἐνωτίζεσθε τὸ καλόν. ὅτι οὖς λόγους δοκιμάζει καὶ λάρυγξ γεύεται βρῶσιν, κρίσιν ἑλώμεθα ἑαυτοῖς γνῶμεν ἀνὰ μέσον ἑαυτῶν, ὅτι καλόν. ὅτι εἴρηκεν ἰὼβ δίκαιός εἰμι. ὁ κύριος ἀπήλλαξέ μου τὸ κρίμα ἐψεύσατο δὲ τῷ κρίματι τί μου βίαιον τὸ βέλος μου ἄνευ ἀδικίας. τίς ἀνὴρ ὥσπερ ἰώβ. πίνων μυκτηρισμὸν ὥσπερ ὕδωρ. οὐχ ἁμαρτὼν οὐδὲ ἀσεβήσας. οὐδ' ὅλως κοινωνήσας μετὰ ποιούντων τὰ ἄνομα. τοῦ πορευθῆναι μετὰ ἀσεβῶν, μὴ γὰρ εἴπῃς, ὅτι οὐκ ἔσται ἐπισκοπὴ ἀνδρὸς παρὰ κυρίου. διὸ συνετοὶ καρδίᾳ, ἀκούσατέ μου μή μοι εἴη ἔναντι κυρίου ἀσεβῆσαι. καὶ ἔναντι παντοκράτορος ταράξαι τὸ δίκαιον. ἀλλὰ ἀποδίδωσιν ἀνθρώπῳ καθὰ ποιεῖ ἕκαστος αὐτῶν, καὶ ἐν τρίβῳ ἀνδρὸς εὑρήσει αὐτόν, οἴει δὲ τὸν κύριον ἄτοπα ποιήσειν ὃς ἐποίησε τὴν γῆν; τίς δέ ἐστιν ὁ ποιῶν τὴν ὑπ' οὐρανόν. καὶ τὰ ἐνόντα πάντα, εἰ γὰρ βούλοιτο συνέχειν, καὶ τὸ πνεῦμα παρ' αὐτῷ κατασχεῖν, τελευτήσει πᾶσα σὰρξ ὁμοθυμαδόν. πᾶς γὰρ βροτὸς εἰς γῆν ἀπελεύσεται, ὅθεν καὶ

ἐπλάσθη. εἰ δὲ μὴ νουθετῇ, ἄκουε ταῦτα. ἐνωτίζου φωνὴν ῥημάτων, ἴδε σὺ τὸν μισοῦντα ἄνομα, καὶ τὸν ὀλλύντα τοὺς πονηρούς, ὄντα αἰώνιον δίκαιον. ἀσεβὴς ὁ λέγων βασιλεῖ παρανομεῖς. ἀσεβέστατος τοῖς ἄρχουσιν. ὃς οὐκ ἐπῃσχύνθη πρόσωπον ἐντίμου. οὐδὲ οἶδε τιμὴν θέσθαι ἁδροῖς. θαυμασθῆναι πρόσωπα αὐτῶν. κενὰ δὲ αὐτοῖς ἀποβήσεται. τὸ κεκραγέναι, καὶ δεῖσθαι ἀνδρός. ἐχρήσαντο γὰρ παρανόμως. ἐγκλειομένων ἀδυνάτων. αὐτὸς γὰρ ὁρατής ἐστιν ἔργων ἀνθρώπων. λέληθε δὲ αὐτὸν οὐδὲν ὧν πράσσουσιν. οὐδὲ ἔσται τόπος τοῦ κρυβῆναι τοὺς ποιοῦντας τὰ ἄνομα. ὅτι οὐκ ἐπ' ἄνδρα θήσει ἔτι. ὁ γὰρ κύριος πάντας ἐφορᾷ. ὁ καταλαμβάνων ἀνεξιχνίαστα. ἔνδοξά τε, καὶ ἐξαίσια ὧν οὐκ ἔστιν ἀριθμός. ὁ γνωρίζων αὐτῶν τὰ ἔργα καὶ στρέψει νύκτα καὶ ταπεινωθήσονται. ἔσβεσε δὲ ἀσεβεῖς. ὁρατοὶ δὲ ἐναντίον αὐτοῦ. ὅτι ἐξέκλιναν ἐκ νόμου θεοῦ. δικαιώματα αὐτοῦ οὐκ ἐπέγνωσαν. τοῦ ἐπαγαγεῖν ἐπ' αὐτὸν κραυγὴν πένητος καὶ κραυγὴν πτωχῶν εἰσακούσεται. καὶ αὐτὸς ἡσυχίαν παρέξεται. καὶ τίς καταδικάσεται. καὶ κρύψει πρόσωπον, καὶ τίς ὄψεται αὐτόν, καὶ κατὰ ἔθνους καὶ κατὰ ἀνθρώπου ὁμοῦ. βασιλεύων ἄνθρωπον ὑποκριτὴν ἀπὸ δυσκολίας λαοῦ. ὅτι πρὸς τὸν ἰσχυρὸν ὁ λέγων. εἴληφα οὐκ ἐνεχυράσω. ἄνευ ἐμαυτοῦ ὄψομαι. σὺ δεῖξόν μοι εἰ ἀδικίαν εἰργασάμην, οὐ μὴ προσθήσω. μὴ παρὰ σοῦ ἀποτίσει αὐτήν, ὅτι σὺ ἀπώσῃ; ὅτι σὺ ἐκλέξῃ, καὶ οὐκ ἐγώ. καὶ τί ἔγνως λάλησον. διὸ συνετοὶ καρδίας ἐροῦσι ταῦτα. ἀνὴρ δὲ σοφὸς ἀκήκοέ μου τὸ ῥῆμα. ἰὼβ δὲ οὐκ ἐν συνέσει ἐλάλησεν. τὰ δὲ ῥήματα αὐτοῦ οὐκ ἐν ἐπιστήμῃ. οὐ μὴν δὲ, ἀλλὰ μάθε ἰὼβ, μὴ δῷς ἔτι ἀνταπόκρισιν. ὥσπερ οἱ ἄφρονες. ἵνα μὴ προσθῶμεν ἐφ' ἁμαρτίαις ἡμῶν. ἀνομία δὲ ἀφ' ἡμῖν λογισθήσεται, πολλὰ λαλούντων ῥήματα ἐναντίον κυρίου.

## Κεφάλαιον λε. 35.

Πολαβὼν δὲ ἔτι Ἐλιοὺς λέγει. τί τοῦτο ἡγήσω ἐν κρί-
β σει. σὺ, τίς εἶ ὅτι εἶπας δίκαιός εἰμι ἐναντίον κυρί-
ου. ἢ ἐρεῖς τί ποιήσω ἁμαρτών. ἐγὼ δέ σοι δώσω ἀπόκρισιν, καὶ τοῖς τρισὶ φίλοις. ἀνάβλεψον εἰς τὸν οὐρανὸν καὶ ἰδέ. κατάμαθε νέφη ὡς ὑψηλὰ ἀπὸ σοῦ. εἰ ἥμαρτες, τί πράξεις. εἰ δὲ καὶ πολλὰ ἠνόμησας, τί δύνασαι ποιῆσαι. ἐπεὶ οὖν δίκαιος εἶ, τί δώσεις αὐτῷ. ἢ τί ἐκ χειρός σου λήψεται. ἀνδρὶ τῷ ὁμοίῳ σου, ἡ ἀσέβειά σου, καὶ υἱῷ ἀνθρώπου, ἡ δικαιοσύνη σου. ἀπὸ πλήθους συκοφαντούμενοι κεκράξονται. βοήσονται ἀπὸ βραχίονος πολλῶν. καὶ οὐκ εἶπε, ποῦ ἐστιν ὁ θεὸς ὁ ποιήσας με. ὁ κατατάσσων φυλακὰς νυκτερινάς. ὁ διορίζων με ἀπὸ τετραπόδων γῆς. ἀπὸ δὲ πετεινῶν οὐρανοῦ. ἐκεῖ κεκράξονται, καὶ οὐ μὴ εἰσακούσῃ, ἀπὸ ὕβρεως πονηρῶν. ἄτοπα γὰρ ἰδεῖν οὐ βούλεται ὁ κύριος. αὐτὸς γὰρ ὁ παντοκράτωρ, ὁρατής ἐστι τῶν συντελούντων τὰ ἄνομα, καὶ σώσει με. κριθήσῃ δὲ ἐναντίον αὐτοῦ. εἰ δύνασαι αὐτὸν αἰνέσαι ὡς ἔστι καὶ νῦν. ὅτι οὐκ ἔστιν ἐπισκεπτόμενος ὀργὴν αὐτοῦ. οὐκ ἔγνω παράπτωμά τι σφόδρα. καὶ Ἰὼβ ματαίως ἀνοίγει τὸ στόμα αὐτοῦ. ἐν ἀγνωσίᾳ ῥήματα βαρύνει.

## ΕΛΙΟΥΣ ΔΙΑΛΕΞΙΣ ΠΕΜΠΤΗ.

Κεφάλαιον λς´ 36

Ροσθεὶς ἔτι δὲ λέγει, μεῖνόν με μικρὸν ἔτι, ἵνα διδά-
α ξω σε. ἔτι γὰρ ἐν ἐμοί ἐστι λέξις. ἀναλαβὼν τὴν ἐ-
πιστήμην μου μικρὰν ἔργοις δέ μοι δίκαια ἐρῶ. ἐπ' ἀληθείας, καὶ οὐκ ἄδικα ῥήματα ἀδίκως συνιεῖς. γίνωσκε δὲ ὅτι οὐ μὴ ἀποποιήσηται τὸν ἄκακον. δυνατὸς ἰσχύϊ καρδίας ἀσεβῶν οὐ μὴ ζωοποιήσῃ. καὶ κρίματα πτωχῶν δώσει. οὐκ ἀφελεῖ ἀπὸ δικαίου ὀφθαλμοὺς αὐτοῦ. καὶ μετὰ βασιλέων εἰς θρόνον, καὶ καθιεῖ αὐτούς, εἰς νῖκος καὶ ὑψωθήσονται. καὶ οἱ πεπεδημένοι ἐν χειροπέδαις, συσχεθήσονται ἐν χοι-

νίῳ πενίας. καὶ ἀναγγελεῖ αὐτοῖς τὰ ἔργα αὐτῶν, καὶ τὰ παρα-
πτώματα αὐτῶν, ὅτι ἰσχύσουσιν, ἀλλὰ τοῦ δικαίου εἰσακούσε-
ται. καὶ εἶπεν, ὅτι ἐπιςραφήσονται ἐξ ἀδικίας. ἐὰν ἀκούσω-
σι, καὶ δουλεύσωσι. συντελέσουσι τὰς ἡμέρας αὐτῶν ἐν ἀγα-
θοῖς. καὶ τὰ ἔτη αὐτῶν, ἐν εὐπρεπείαις. ἀσεβεῖς δὲ οὐ διασώζει
παρὰ τὸ μὴ βούλεσθαι αὐτοὺς εἰδέναι τὸν κύριον, καὶ διότι νου-
θετούμενοι ἀνήκοοι ἦσαν. καὶ ὑποκριταὶ καρδίᾳ τάξουσι
θυμὸν οὐ βοήσονται, ὅτι ἔδησεν αὐτούς. ἀποθάνοι τοίνυν
ἐν νεότητι ἡ ψυχὴ αὐτῶν ἡ δὲ ζωὴ αὐτῶν τιτρωσκομένη ὑπὸ ἀγγέ-
λων. ἀνθ' ὧν ἔθλιψαν ἀσθενῆ, καὶ ἀδύνατον. κρίμα δὲ πραέων ἐκθή-
σει καὶ προσέτι ἠπάτησέν σε ἐκ ςόματος ἐχθροῦ. ἄβυσσος κατάχυ-
σις ὑποκάτω αὐτῆς, καὶ κατέβη τράπεζά σου πλήρης πιότητος
οὐχ ὑςερήσει δὲ ἀπὸ δικαίων κρίμα. θυμὸς δὲ ἐπ' ἀσεβεῖς
ἔςαι. δι' ἀσέβειαν δώρων ὧν ἐδέχοντο ἐπ' ἀδικίαις. μή σε ἐκ-
κλινάτω ἑκὼν ὁ νοῦς. δεήσεως ἐν ἀνάγκῃ ὄντων ἀδυνάτων, καὶ
πάντας τοὺς κραταιοῦντας ἰσχύν. μὴ ἑλκύσῃς τὴν νύκτα τοῦ ἀ-
ναβῆναι ἄλλους ἀντ' αὐτῶν. ἀλλὰ φύλαξαι μὴ πράξῃς ἄτοπα
ἀπὸ τούτων γὰρ ἐξείλου ἀπὸ πτωχείας ἰδοὺ ὁ ἰσχυρὸς κραται-
ώσει ἐν ἰσχύϊ αὐτοῦ. τίς γάρ ἐςι κατ' αὐτὸν δυνάςης. τίς δέ
ἐςιν ὁ ἐτάζων αὐτοῦ τὰ ἔργα. ἢ τίς ὁ εἴπων ἔπραξεν ἄδι-
κα. μνήσθητι, ὅτι μεγάλα τὰ ἔργα ἑαυτοῦ ἐςιν. ὧν ἦρξαν
ἄνδρες. πᾶς ἄνθρωπος εἶδεν ἐν ἑαυτῷ. ὅσοι τιτρωσκόμενοί
εἰσι βροτοί. ἰδοὺ ὁ ἰσχυρὸς πολύς, καὶ οὐ γνωσθησόμεθα. ἀριθμὸς
ἐτῶν αὐτοῦ, καὶ ἀπέραντος. ἀριθμηταὶ δὲ αὐτῷ ςαγόνες ὑε-
τοῦ, καὶ ἐπιθήσονται ὑετῷ εἰς νεφέλην. ῥυήσονται παλαιώμα-
τα. ἐσκίασε δὲ νέφη, ἐπὶ ἀμυθήτων βροτῶν. ὥραν ἔθε-
το κτήνεσιν. οἴδασι δὲ κοίτης τάξιν, ἐπὶ τούτοις πᾶσιν
οὐκ ἐξίςαταί σου ἡ διάνοια, οὐδὲ διαλλάσσεταί σου ἡ καρδία
ἀπὸ σώματος. καὶ ἐὰν συνῇ ἀπέκτασις, νεφέλης, ἰσότητα
σκηνῆς αὐτοῦ ἰδοὺ ἐκτείνει ἐπ' αὐτὴν ἠδώ. καὶ ῥιζώματα τῆς

θαλάσσης ἐκάλυψεν. ἐν γὰρ αὐτοῖς κρινεῖ λαούς, δώσει τροφὴν τῷ ἰσχύοντι. ἐπὶ χειρῶν ἐκάλυψε φῶς. καὶ ἐνετείλατο περὶ αὐτῆς ἐν ἀπαντῶντι, ἀναγγελεῖ περὶ αὐτοῦ φίλῳ αὐτοῦ, κτῆσις καὶ περὶ ἀδικίας.

Κεφ. λζ΄. 37

Αὶ ἀπὸ ταύτης, ἐταράχθη ἡ καρδία μου, καὶ ἀπερ-
* ρύη ἐκ τοῦ τόπου αὐτῆς, ἄκουε ἀκοὴν ἐν ὀργῇ θυ-
μοῦ κυρίου, καὶ μελέτη ἐκ στόματος αὐτοῦ ἐξε-
λεύσεται ὑποκάτω παντὸς τοῦ οὐρανοῦ ἡ ἀρχὴ αὐτοῦ, καὶ τὸ φῶς αὐτοῦ, ἐπὶ πτερύγων τῆς γῆς. ὀπίσω αὐτοῦ, βοήσεται φωνῇ. βροντήσει ἐν φωνῇ ὕβρεως αὐτοῦ. καὶ οὐκ ἀνταλλάξει αὐτούς, ὅτι ἀκούσει φωνὴν αὐτοῦ. βροντήσει ὁ ἰσχυρὸς ἐν φωνῇ αὐτοῦ θαυμασία, ὥραν ἔθετο κτήνεσιν. οἴδασι δὲ κοίτης τάξιν. ἐπὶ τούτοις πᾶσιν οὐκ ἐξίσταταί σου ἡ διάνοια. οὐ δὲ διαλλάσσεταί σου ἡ καρδία ἀπὸ σώματος. ἐποίησε γὰρ μεγάλα ἃ οὐκ ᾔδειμεν, συντάσσων χιόνι γίνου ἐπὶ γῆς, καὶ χειμὼν ὑετὸν δυναστείας αὐτοῦ. ἐν χειρὶ παντὸς ἀνθρώπου κατασφραγίζει. ἵνα γνῷ πᾶς ἄνθρωπος τὴν ἑαυτοῦ ἀσθένειαν. εἰσῆλθε δὲ θηρία ὑπὸ τὴν σκέπην. ἡσύχασαν δὲ ἐπὶ κοίτης. ἐκ ταμιείων ἐπέρχονται ὀδύναι. ἀπὸ δὲ ἀκρωτηρίων ψῦχος, καὶ ἀπὸ πνοῆς ἰσχυροῦ δώσει πάγος. οἰακίζει δὲ τὸ ὕδωρ ὡς ἐὰν βούληται, καὶ ἐκλεκτὸν καταπλάσσει νεφέλη, διασκορπιεῖ νέφος, φῶς αὐτοῦ καὶ αὐτὸς κυκλώματα διαστρέψει, ἔνθε ἐβούλετο, εἰς ἔργα αὐτῶν, πάντα ὅσα ἂν ἐντείληται αὐτοῖς. ταῦτα συντέτακται παρ' αὐτοῦ ἐπὶ τῆς γῆς ἐάν τε εἰς παιδείαν ἐάν τε εἰς τὴν γῆν αὐτοῦ, ἐὰν εἰς ἔλεος εὑρήσῃ αὐτόν, ἐνωτίζου ταῦτα, ἰώβ. στῆθι νουθετοῦ δύναμιν κυρίου, οἴδαμεν ὅτι κύριος ἔθετο τὰ ἔργα αὐτοῦ. φῶς ποιήσας ἐκ σκότους, ἐπίσταται δὲ διάκρισιν νεφῶν. ἐξαίσια δὲ πτώματα πονηρῶν, σοῦ δὲ ἡ στολὴ θερμή. ἡσυχάζεται δὲ ἐπὶ τῆς γῆς, ἀπὸ νότου. στερεώσεις μετ' αὐτοῦ εἰς παλαιώματα ἰσχυραὶ ὡς ὅρασις ἐπιχύσεως, διό τι δίδαξόν με, τί ἐροῦμεν

αὐτῷ, καὶ παυσόμεθα πολλὰ λέγοντες. μὴ βίβλος ἢ γραμ-
ματεύς μοι παρέστηκεν. ἵνα ἄνθρωπον ἑστηκὼς κατασιωπήσω;
πᾶσι δ' οὐχ ὁρατὸν τὸ φῶς. τηλαυγές ἐστιν ἐν τοῖς παλαιώμασιν.
ὥσπερ τὸ παρ' αὐτοῦ ἐπὶ νεφῶν, ἀπὸ βορρᾶ νεφέλη χρυσαυγοῦν-
τα. ἐπὶ τούτοις μεγάλη ἡ δόξα, καὶ τιμὴ παρὰ παντοκράτο-
ρος. καὶ οὐχ εὑρίσκομεν ἄλλον ὅμοιον τῇ ἰσχύϊ αὐτοῦ. ὁ τὰ δί-
καια κρίνων οὐκ οἴει εἰσακούειν αὐτόν; διὸ φοβηθήσονται αὐ-
τὸν οἱ ἄνθρωποι φοβηθήσονται δὲ αὐτὸν καὶ οἱ σοφοὶ καρδίᾳ.

## Κεφάλαιον λη΄. 38.

Μετὰ δὲ τὸ παύσασθαι ἐλιοῦν τῆς λέξεως, εἶπεν ὁ κύ-
β ριος τῷ ἰὼβ διὰ λαίλαπος καὶ νεφῶν, τίς οὗτος
ὁ κρύπτων με βουλήν. συνέχων δὲ ῥήματα ἐν καρ-
δίᾳ. ἐμὲ δὲ οἴεται κρύπτειν. ζῶσαι ὥσπερ ἀνὴρ τὴν ὀσφύν
σου. ἐρωτήσω δέ σε, σὺ δέ μοι ἀποκρίθητι. ποῦ ἦς ἐν τῷ
θεμελιοῦν με τὴν γῆν. ἀπάγγειλον δέ μοι εἰ ἐπίστασαι σύνε-
σιν. τίς ἔθετο τὰ μέτρα αὐτῆς εἰ οἶδας. ἢ τίς ὁ ἀπαγαγὼν σπαρ-
τίον ἐπ' αὐτῆς. ἐπὶ τίνος οἱ κρίκοι αὐτῆς πεπήγασι. τίς δέ ἐ-
στιν βαλὼν λίθον γωνιαῖον ἐπ' αὐτῆς. ὅτε ἐγενήθησαν ἄστρα. ᾔ-
νεσάν με φωνῇ μεγάλῃ πάντες ἄγγελοί μου. ἔφραξα δὲ θά-
λασσαν πύλαις. ὅτε ἐμαίμασσεν ἐκ κοιλίας μητρὸς αὐτῆς ἐκπο-
ρευομένη. ἐθέμην δὲ αὐτῇ νέφος ἀμφίασιν. ὁμίχλῃ αὐτὴν
ἐσπαργάνωσα. ἐθέμην δὲ αὐτῇ ὅρια περιθεὶς κλεῖθρα, καὶ πύ-
λας. εἶπα δὲ αὐτῇ μέχρι τούτου ἐλεύσῃ, καὶ οὐχ ὑπερβήσῃ.
ἀλλ' ἐν σεαυτῇ συντριβήσεταί σου τὰ κύματα. ἢ ἐπὶ σοῦ συν-
τέταχα φέγγος πρωϊνόν. ἑωσφόρος δὲ εἶδεν τὴν ἑαυτοῦ τά-
ξιν. ἐπιλαβέσθαι πτερύγων γῆς. ἐκτινάξαι ἀσεβεῖς ἐξ αὐτῆς.
καὶ σὺ λαβὼν ἀπὸ γῆς πηλὸν, ἔπλασας ζῶον, καὶ λαλητὸν αὐ-
τὸν ἔθου ἐπὶ γῆς. ἀφεῖλες δὲ ἀπ' ἀσεβῶν τὸ φῶς βραχίονα
δὲ ὑπερηφάνων συνέτριψας, ἦλθες ἐπὶ γῆν θαλάσσης, ἐν
δὲ ἴχνεσιν ἀβύσσου περιεπάτησας. ἀνοίγονται δέ σοι φόβῳ

πύλαι θανάτου. πυλωροὶ δὲ ᾅδου ἰδόντες σε ἔπτηξαν. νενου-
θέτησαι δὲ τὸ εὖρος τῆς ὑπ᾽ οὐρανόν. ἀνάγγειλον δή μοι. πό-
ση τίς ἐστι. ποίᾳ δὲ γῇ αὐλίζεται τὸ φῶς. σκότους δὲ ποῖος ὁ
τόπος, εἰ ἀγάγοις με εἰς ὅρια αὐτῶν. εἰ δὲ καὶ ἐπίστασαι τρί-
βους αὐτῶν. οἶδας ἄρα ὅτι τότε γεγένησαι. ἀριθμὸς δὲ ἐτῶν
σου πολύς. ἦλθες δὲ ἐπὶ θησαυροὺς χιόνος. θησαυροὺς δὲ χαλά-
ζης ἑώρακας. ἀπόκειται δέ σοι εἰς ὥραν ἐχθρῶν εἰς ἡμέραν πο-
λέμου, καὶ μάχης. πόθεν δὲ ἐκπορεύεται πάχνη, ἢ διασκεδάν-
νυται νότος εἰς τὴν ὑπ᾽ οὐρανόν. τίς δὲ ἑτοίμασεν ὑετῷ λά-
βρῳ ῥύσιν. ὁδὸν δὲ κυδοιμῶν. τοῦ ὑετίσαι ἐπὶ τὴν γῆν οὗ οὐκ ἀ-
νήρ. ἔρημον, οὗ οὐχ ὑπάρχει ἄνθρωπος ἐν αὐτῇ τοῦ χορτάσαι ἄ-
βατον. ἀοίκητον. καὶ τοῦ ἐκβλαστῆσαι ἔξοδον χλόης. τίς ἐστιν ὑε-
τοῦ πατήρ. τίς δέ ἐστιν ὁ τετοκὼς βώλους δρόσου. ἐκ γαστρὸς δὲ
τίνος ἐκπορεύεται ὁ κρύσταλλος. πάχνην δὲ ἐν οὐρανῷ τίς
τέτοκεν. ἣ καταβαίνει ὥσπερ ὕδωρ ῥέον. πρόσωπον ἀσεβοῦς
τίς ἔπτηξεν. συνῆκας δὲ δεσμὸν πλειάδος. καὶ φραγμὸν ὠρίωνος
ἤνοιξας, ἢ διανοίξεις μαζουρωθ ἐν καιρῷ αὐτοῦ, καὶ ἕσπερον
ἐπὶ κόμης αὐτοῦ ἄξεις αὐτόν, ἐπίστασαι δὲ τροπὰς οὐρανοῦ. ἢ τὰ
ὑπ᾽ οὐρανὸν ὁμοθυμαδὸν γινόμενα, καλέσεις δὲ νέφος φωνῇ
καὶ τρόμῳ ὕδατος λάβρου ὑπακούσεταί σου, ἀποστελεῖς δὲ κε-
ραυνοὺς καὶ πορεύσονται, ἐροῦσι δέ σοι τί ἐστι. τίς δὲ ἔδωκε
γυναιξὶν ὑφάσματος σοφίαν, ἢ ποικιλτικὴν ἐπιστήμην. τίς δὲ
ὁ ἀριθμῶν νέφη σοφίᾳ. οὐρανὸν δὲ εἰς γῆν ἔκλινε. κέχυται δὲ
ὥσπερ γῆ κονία. κεκόλληκα δὲ αὐτὸν ὥσπερ λίθῳ κύβον. θηρεύ-
σεις δὲ λέουσι βοράν. ψυχὰς δὲ δρακόντων ἐμπλήσεις. δε-
δοίκασι γὰρ ἐν κοίταις αὐτῶν. κάθηνται ἐν ὕλαις ἐνεδρεύον-
τες. τίς δὲ ἡτοίμασε κόρακι βοράν. νεοσσοὶ γὰρ αὐτοῦ πρὸς
κύριον κεκράγασι πλανώμενοι, τὰ σῖτα ζητοῦντες.

Κεφ. λϛ. 36.

I ἔγνως καιρὸν τοκετοῦ τραγελάφων πέτρας. ἐ-
b φύλαξας δὲ ὠδῖνας ἐλάφων. ἠρίθμησας δὲ μῆνας
αὐτῶν πλήρης τοκετοῦ αὐτῶν; ὠδῖνας δὲ αὐτῶν ἔλυ-
σας, ἐξέθρεψας δὲ τὰ παιδία ἔξω φόβου, ὠδῖνας δὲ αὐτῶν, ἐ-
ξαποστελεῖς, ἀπορρήξουσι τὰ τέκνα αὐτῶν, πληθυνθήσονται
ἐν γενήματι, ἐξελεύσονται καὶ οὐ μὴ ἀνακάμψωσιν αὐτοῖς.
τίς δέ ἐστιν ὁ ἀφεὶς ὄνον ἄγριον ἐλεύθερον, δεσμοὺς δὲ αὐτοῦ τίς
ἔλυσεν; ἐθέμην δὲ τὴν δίαιταν αὐτοῦ ἔρημον, καὶ τὰ σκηνώματα
αὐτοῦ ἁλμυρίδα, καταγελῶν πολυοχλίας πόλεως· μέμψιν δὲ
φορολόγου οὐκ ἀκούων, κατασκέψεται ὄρη νομὴν αὐτοῦ, καὶ ὀ-
πίσω παντὸς χλωροῦ ζητεῖ. βουλήσεται δέ σοι μονόκερως δου-
λεῦσαι, ἢ κοιμηθῆναι ἐπὶ φάτνης σου; δήσεις δὲ ἐν ἱμᾶσι
ζυγὸν αὐτοῦ. ἢ ἑλκύσει σου αὔλακας ἐν πεδίῳ; πέποιθας τε
ἐπ᾿ αὐτῷ, ὅτι πολλὴ ἡ ἰσχὺς αὐτοῦ. ἐπαφήσεις δὲ αὐτῷ
τὰ ἔργα σου, πιστεύσεις δὲ ὅτι ἀποδώσει σοι τὸν σπόρον. εἰσοί-
σει δέ σοι τὴν ἅλωνα; πτέρυξ τερπομένων νεέλασσα, ἐὰν συλ-
λάβῃ ἀσίδα καὶ νέσσα. ὅτι ἀφήσει εἰς γῆν τὰ ᾠὰ αὐτῆς καὶ ἐ-
πὶ χοῦν θάλψει, καὶ ἐπελάθετο, ὅτι ποὺς σκορπιεῖ καὶ θηρία ἀ-
γροῦ καταπατήσει. ἀπεσκλήρυνε τὰ τέκνα αὐτῆς, ὥστε μὴ ἑ-
αυτήν. εἰς κενὸν ἐκοπίασεν ἄνευ φόβου ὅτι κατεσιώπησεν αὐ-
τῇ ὁ θεὸς σοφίαν, καὶ οὐκ ἐμέρισεν αὐτῇ ἐν τῇ συνέσει. κατὰ
καιρὸν ἐν ὕψει ὑψώσει, καὶ καταγελάσεται ἵππου, καὶ τοῦ
ἐπιβάτου αὐτοῦ. εἰ σὺ περιέθηκας ἵππῳ δύναμιν. ἐνέδυσας
δὲ τραχήλῳ αὐτοῦ φόβον. περιέθηκας δὲ αὐτῷ πανοπλίαν,
δόξαν δὲ στηθέων αὐτοῦ τόλμη, ἀνορύσσων ἐν ποσὶ γαυριᾷ. ἐκπο-
ρεύεται δὲ εἰς πεδίον ἐν ἰσχύι. συναντῶν βέλη καταγελᾷ.
καὶ οὐ μὴ ἀποστραφῇ ἀπὸ σιδήρου. ἐπ᾿ αὐτῷ γαυριᾷ. τόξον
καὶ μάχαιρα. καὶ ὀργῇ ἀφανιεῖ τὴν γῆν. οὐ μὴ πιστεύσῃ ἕως ἂν
σημάνῃ σάλπιγξ. σάλπιγγος δὲ σημαινούσης, λέγει εὖ-
γε. πόρρωθεν δὲ ὀσφραίνεται πολέμου σὺν ἅλματι καὶ κραυγῇ

ἐκ δὲ τῆς σῆς ἐπιστήμης, ἕστηκεν ἱέραξ ἀναπετάσας τὰς πτέρυγας ἀκίνητος καθορῶν τὰ πρὸς νότον. ἐπὶ δὲ τῷ σῷ προστάγματι ὑψοῦται ἀετός. γὺψ δὲ ἐπὶ νοσσιᾶς αὐτοῦ καθεσθεὶς αὐλίζεται ἐπ' ἐξοχῇ πέτρας καὶ ἀποκρύφῳ. ἐκεῖ σε ὢν ζητεῖ τὰ σῖτα. πόῤῥωθεν οἱ ὀφθαλμοὶ αὐτοῦ σκοπεύουσι. νεοσσοὶ δὲ αὐτοῦ φύρονται ἐν αἵματι. οὗ δ' ἂν ὦσι τεθνεῶτες, παραχρῆμα εὑρίσκονται. καὶ ἀπεκρίθη κύριος ὁ θεὸς τῷ ἰὼβ καὶ εἶπεν. μὴ κρίσιν μετὰ ἱκανοῦ κρίνεις; ἐλέγχων θεὸν ἀποκριθήσεται αὐτήν. Ὑπολαβὼν δὲ ἰὼβ λέγει τῷ κυρίῳ. τί ἔτι ἐγὼ κρίνομαι νουθετούμενος καὶ ἐλέγχων κύριον, ἀκούων τοιαῦτα οὐθὲν ὤν. ἐγὼ δὲ τίνα ἀπόκρισιν δῶ πρὸς ταῦτα. χεῖρα θήσω ἐπὶ στόματί μου. ἅπαξ λελάληκα. ἐπὶ δὲ τῷ δευτέρῳ οὐ προσθήσω.

## Κεφάλαιον μ. 40.

Τι δὲ ὑπολαβὼν ὁ κύριος, εἶπε τῷ ἰὼβ ἐκ τοῦ νέ-
ἔ φους. Μή. ἀλλὰ ζῶσαι ὥσπερ ἀνὴρ τὴν ὀσφύν σου.
ἐρωτήσω δέ σε, σὺ δέ μοι ἀποκρίθητι. ἢ ἀποποιῇ μου τὸ κρίμα. οἴει δέ με, ἢ ἄλλως σοι κεχρηματικέναι. ἢ ἵνα ἀναφανῇς δίκαιος; ἢ βραχίων σοί ἐστι κατὰ τοῦ κυρίου. ἢ φωνῇ κατ' αὐτὸν βροντᾷς. ἀνάλαβε δὲ ὕψος καὶ δύναμιν. δόξαν δὲ καὶ τιμὴν ἀμφίασαι. ἀπόστειλον δὲ ἀγγέλους ὀργῇ. πάντα δὲ ὑβριστὴν ταπείνωσον. ὑπερήφανον δὲ σβέσον. ἀσεβεῖς δὲ παραχρῆμα κρύψον. σῆψον δὲ ὁμοθυμαδὸν εἰς γῆν ἔξω. τὰ δὲ πρόσωπα αὐτῶν ἀτιμίας ἔμπλησον. κρύψον δὲ εἰς γῆν ἔξω. ὁμολογήσω ἄρα ὅτι δύναται ἡ δεξιά σου σῶσαι. ἀλλὰ δὴ ἰδοὺ θηρία παρὰ σοί. χόρτον ἴσα βουσὶν ἐσθίει. ἰδοὺ δὴ ἡ ἰσχὺς αὐτοῦ ἐπ' ὀσφύϊ. ἡ δὲ δύναμις αὐτοῦ ἐπ' ὀμφαλοῦ γαστρός. ἔστησεν οὐρὰν ὡς κυπάρισσον. τὰ δὲ νεῦρα αὐτοῦ συμπέπλεκται. αἱ πλευραὶ αὐτοῦ πλευραὶ χάλκειαι. ἡ δὲ ῥάχις αὐτοῦ σίδηρος χυτός. τουτέστιν ἀρχὴ πλάσματος κυρίου. πεποιη-

μένος ἐγκαταπαίζεσθαι ὑπὸ τῶν ἀγγέλων αὐτοῦ ἐπελθὼν δὲ ἐπ᾽ ὄρους ἀκρότομον· ἐποίησε χαρμονὴν τετράποσιν ἐν τῷ ταρτάρῳ· ὑπὸ παντοδαπὰ δένδρα κοιμᾶται· παρὰ πάπυρον καὶ κάλαμον, καὶ βούτομον· καὶ κάλαμον· σκιάζονται δὲ ἐν αὐτῷ δένδρα μεγάλα σὺν ὀροδάμνοις· καὶ κλῶνες ἄγνου· ἐὰν γένηται πλήμμυρα, οὐ μὴ αἰσθηθῇ· πέποιθεν ὅτι προσκρούσει ὁ Ἰορδάνης εἰς τὸ στόμα αὐτοῦ· ἐν τῷ ὀφθαλμῷ αὐτοῦ δέξεται αὐτόν· ἐνσκολιευόμενος, τρήσει ῥῖνα· ἄξεις δὲ δράκοντα ἐν ἀγκίστρῳ· περιθήσεις δὲ φορβαίαν περὶ ῥῖνα αὐτοῦ· ἢ δήσεις κρίκον ἐν τῷ μυκτῆρι αὐτοῦ· ψελίῳ δὲ τρυπήσεις τὸ χεῖλος αὐτοῦ, λαλήσει δέ σοι δεήσει· ἱκετηρίως μαλακῶς, θήσεται δὲ μετὰ σοῦ διαθήκην· λήψῃ δὲ αὐτὸν δοῦλον αἰώνιον, παίξῃ δὲ ἐν αὐτῷ ὥσπερ ὀρνέῳ· ἢ δήσεις αὐτὸν ὥσπερ στρουθίον παιδίῳ· ἐν σιτοῦνται δὲ ἐν αὐτῷ ἔθνη· μεριτεύονται δὲ αὐτὸν Φοινίκων ἔθνη· πᾶν δὲ πλωτὸν συνελθόν· οὐ μὴ ἐνέγκωσι βύρσαν μίαν οὐρᾶς αὐτοῦ· καὶ ἐν πλοίοις ἁλιέων κεφαλὴν αὐτοῦ· ἐπιθήσεις δὲ αὐτῷ χεῖρας· μνησθεὶς πόλεμον ἐν σώματι αὐτοῦ· καὶ μηκέτι γινέσθω.

## Κεφάλαιον μά. 41.

Οὐχ ἑώρακας αὐτόν; οὐδὲ ἐπὶ τοῖς λεγομένοις τεθαύμακας; οὐ δέδοικας, ὅτι ἡτοίμασταί μοι; τίς γάρ ἐστιν ὁ ἐμοὶ ἀντιστάς, ἢ τίς ἀντιστήσεταί μοι, καὶ ὑπομενεῖ· εἰ πᾶσα ἡ ὑπ᾽ οὐρανὸν ἐμή ἐστιν· οὐ σιωπήσομαι δι᾽ αὐτόν· καὶ λόγος δυνάμεως ἐλεήσει τὸν ἴσον αὐτῷ· τίς ἀποκαλύψει πρόσωπον ἐνδύσεως αὐτοῦ· εἰς δὲ πτύξιν θώρακος αὐτοῦ· τίς ἂν εἰσέλθοι πύλας προσώπου αὐτοῦ· τίς ἀνοίξει· κύκλῳ ὀδόντων αὐτοῦ φόβος· τὰ ἔγκατα αὐτοῦ ἀσπίδες χαλκαῖ· σύνδεσμος δὲ αὐτοῦ, ὥσπερ σμυρίτης λίθος· εἷς τοῦ ἑνὸς κολλῶνται· πνεῦμα δὲ οὐ μὴ διέλθῃ αὐτόν· ὡς ἀνὴρ τῷ ἀδελφῷ αὐτοῦ προσκολληθήσεται· συνέχονται καὶ οὐ μὴ ἀποσπασθῶσιν· ἐν πταρμῷ αὐ-

τοῦ ἐπιφαύσκεται φέγγος. οἱ δὲ ὀφθαλμοὶ αὐτοῦ εἶδος ἑωσφόρου. ἐκ στόματος αὐτοῦ ἐκπορεύονται ὡς λαμπάδες καιόμεναι. καὶ διαρριπτοῦνται. ὡς ἐσχάραι πυρός. ἐκ μυκτήρων αὐτοῦ ἐκπορεύεται ὡς καπνός. καμίνου καιομένης πυρὶ ἀνθράκων. ἡ ψυχὴ αὐτοῦ, ὡς ἄνθρακες. ὡς φλὸξ δὲ ἐκ στόματος αὐτοῦ ἐκπορεύεται. ἐν δὲ τραχήλῳ αὐτοῦ αὐλίζεται δύναμις. ἔμπροσθεν αὐτοῦ τρέχει ἀπώλεια. σάρκες δὲ σώματος αὐτοῦ, κεκόλληνται. Καταχέει ἐπ' αὐτόν, οὐ σαλευθήσεται. ἡ καρδία αὐτοῦ, πέπηγεν ὡς λίθος. ἕστηκε δὲ, ὥσπερ ἄκμων ἀνήλατος. στραφέντος δὲ αὐτοῦ, φόβος θηρίοις τετράποσιν ἐπὶ γῆς ἁλλομένοις. ἐὰν συναντήσωσιν αὐτῷ λόγχαι, οὐθὲν οὐ μὴ ποιήσωσι δόρυ ἐπηρμένον καὶ θώρακα. ἥγηται μὲν γὰρ σίδηρον ἄχυρα. χαλκὸν δὲ ὥσπερ ξύλον σαπρόν. οὐ μὴ τρώσῃ αὐτὸν τόξον χάλκεον. ἥγηται πετροβόλον μὲν χόρτον. ὡς καλάμη ἐλογίσθησαν σφῦραι. καταγελᾷ δὲ σεισμοῦ πυρφόρου. ἡ στρωμνὴ αὐτοῦ ὀβελίσκοι ὀξεῖς. πᾶς δὲ, χρυσὸς θαλάσσης ἐπ' αὐτὸν ὥσπερ πηλὸς ἀμύθητος. ἀναζεῖ τὴν ἄβυσσον ὥσπερ χαλκεῖον. ἥγηται δὲ τὴν θάλασσαν, ὥσπερ ἐξάλειπτρον τὸν δὲ τάρταρον τῆς ἀβύσσου ὥσπερ αἰχμάλωτον. ἐλογίσατο ἄβυσσον εἰς περίπατον. οὐκ ἔστιν οὐδὲν ἐπὶ τῆς γῆς ὅμοιον αὐτῷ. πεποιημένον ἐγκαταπαίζεσθαι ὑπὸ τῶν ἀγγέλων μου. πᾶν ὑψηλὸν ὁρᾷ. αὐτὸς δὲ βασιλεὺς πάντων τῶν ἐν τοῖς ὕδασιν.

Κεφάλαιον. μβ΄ 42.

Γολαβὼν δὲ Ἰὼβ τῷ κυρίῳ λέγει. οἶδα ὅτι πάντα
ὑ δύνασαι. ἀδυνατεῖ δέ σοι οὐδέν. τίς γάρ ἐστιν ὁ κρύ-
πτων σε βουλήν. φειδόμενος δὲ ῥημάτων, καὶ σὲ
οἴεται κρύπτειν. τίς δὲ ἀναγγελεῖ μοι ἃ οὐκ ᾔδειν. μεγάλα καὶ θαυμαστὰ ἃ οὐκ ἠπιστάμην. ἄκουσον δέ μου κύριε ἵνα κἀγὼ λαλήσω. ἐρωτήσω δέ σε, σὺ δέ με δίδαξον. ἀκοὴν μὲν ὠτός, ἤκουόν σου τὸ πρότερον. νῦν δὲ ὀφθαλμός μου ἑώ-

ρακε. διὸ ἐφαύλισα ἐμαυτὸν, καὶ ἐτάκην. ἥγημαι δὲ ἐμαυ-
τὸν γῆν καὶ σποδόν.

Ἐγένετο δὲ μετὰ τὸ λαλῆσαι τὸν κύριον πάντα τὰ ῥήμα-
τα ταῦτα τῷ ἰώβ. εἶπεν ὁ κύριος ἐλιφὰζ τῷ θαιμανίτῃ. ἥ-
μαρτες σύ. καὶ οἱ δύο φίλοι σου. οὐ γὰρ ἐλαλήσατε ἐνώπιόν
μου ἀληθὲς οὐδέν. ὥσπερ ὁ θεράπων μου ἰώβ. νῦν δὲ λάβετε
ἑπτὰ μόσχους, καὶ ἑπτὰ κριούς, καὶ πορεύθητε πρὸς τὸν θεράπον-
τά μου ἰώβ. καὶ ποιήσει κάρπωσιν ὑπὲρ ὑμῶν. ἰὼβ δὲ ὁ θερά-
πων μου εὔξεται περὶ ὑμῶν ὅτι εἰ μὴ πρόσωπον αὐτοῦ λήψο-
μαι. εἰ μὴ γὰρ δι' αὐτόν. ἀπώλεσα ἂν ὑμᾶς. οὐ γὰρ ἐλαλήσα-
τε ἀληθὲς κατὰ τοῦ θεράποντός μου ἰώβ.

Ἐπορεύθη δὲ ἐλιφὰζ ὁ θαιμανίτης. καὶ βαλδὰδ ὁ σαυχίτης
καὶ σοφὰρ ὁ μιναῖος, καὶ ἐποίησαν καθὼς συνέταξεν αὐτοῖς ὁ
κύριος. καὶ ἔλυσε τὴν ἁμαρτίαν αὐτοῖς διὰ ἰώβ. ὁ δὲ κύριος
ηὔξησε τὸν ἰώβ. εὐξαμένου δὲ αὐτοῦ, καὶ περὶ τῶν φίλων αὐτοῦ. καὶ
ἀφῆκεν αὐτοῖς τὴν ἁμαρτίαν. ἔδωκεν δὲ ὁ κύριος διπλᾶ ὅσα
ἦν ἔμπροσθεν ἰὼβ εἰς διπλασιασμόν.

Ἤκουσαν δὲ πάντες οἱ ἀδελφοὶ αὐτοῦ. καὶ αἱ ἀδελφαὶ αὐτοῦ
πάντα τὰ συμβεβηκότα αὐτῷ. καὶ ἦλθον πρὸς αὐτόν. καὶ πάν-
τες ὅσοι ᾔδεισαν αὐτὸν ἐκ πρώτου. φαγόντες καὶ δὲ καὶ πιόντες
παρ' αὐτῷ, παρεκάλεσαν αὐτόν. καὶ ἐθαύμασαν ἐπὶ πᾶσιν
οἷς ἐπήγαγεν ἐπ' αὐτῷ ὁ κύριος. Ἔδωκεν δὲ αὐτῷ ἕκαστος
ἀμνάδα μίαν. καὶ τετράδραχμον χρυσοῦν ἄσημον. ὁ δὲ κύρι-
ος εὐλόγησε τὰ ἔσχατα ἰώβ, ἢ τὰ ἔμπροσθεν. ἦν δὲ τὰ κτή-
νη αὐτοῦ. πρόβατα μύρια τετρακισχίλια. καὶ κάμηλοι ἑξακισχίλιαι
ζεύγη βοῶν χίλια. ὄνοι θήλειαι νομάδες χίλιαι. γεννῶνται δὲ
αὐτῷ υἱοὶ ἑπτά. καὶ θυγατέρες τρεῖς. καὶ ἐκάλεσε τὴν μὲν
πρώτην, ἡμέραν. τὴν δὲ δευτέραν, κασίαν. τὴν δὲ τρίτην, ἀ-
μαλθαίας κέρας. καὶ οὐχ εὑρέθησαν κατὰ τὰς θυγατέρας ἰὼβ
βελτίους αὐτῶν ἐν τῇ ὑπ' οὐρανόν. ἔδωκε δὲ αὐτοῖς ὁ πατὴρ

κληρονομίαν ἐν τοῖς ἀδελφοῖς. ἔζησε δὲ ἰὼβ μετὰ τὴν πληγὴν ἔτη ἑκατὸν ἑβδομήκοντα. τὰ δὲ πάντα ἔζησεν. ἔτη διακόσια τεσσαράκοντα ὀκτώ. καὶ εἶδεν ἰὼβ τοὺς υἱοὺς αὐτοῦ. καὶ τοὺς υἱοὺς τῶν υἱῶν αὐτοῦ, τετάρτην γενεάν. καὶ ἐτελεύτησεν ἰὼβ πρεσβύτερος, καὶ πλήρης ἡμερῶν. γέγραπται δὲ αὐτὸν πάλιν ἀναστήσεσθαι μεθ᾽ ὧν ὁ κύριος ἀνίστησιν. οὗτος ἑρμηνεύεται ἐκ τῆς συριακῆς βίβλου. ἐν μὲν γῇ κατοικῶν τῇ αὐσίτιδι. ἐπὶ τοῖς ὁρίοις τῆς ἰδουμαίας, καὶ ἀραβίας προϋπῆρχεν δὲ αὐτῷ ὄνομα ἰωβάβ. λαβὼν δὲ γυναῖκα ἀράβισσαν γεννᾷ υἱὸν ᾧ ὄνομα ἐννών, ἦν δὲ αὐτὸς πατρὸς μὲν ζαρὲ τῶν ἠσαῦ υἱῶν υἱός. μητρὸς δὲ βοσσόρας. ὥστε εἶναι αὐτὸν πέμπτον ἀπὸ ἀβραάμ. καὶ οὗτοι οἱ βασιλεῖς οἱ βασιλεύσαντες ἐν ἐδώμ. ἧς καὶ αὐτὸς ἦρξε χώρας. πρῶτος βαλὰκ ὁ τοῦ βεώρ. καὶ ὄνομα τῇ πόλει αὐτοῦ δενναβά. μετὰ δὲ τῆς βαλάκ. ἰωβὰβ ὁ καλούμενος ἰώβ. μετὰ δὲ τοῦτον, ἀσὼμ ὁ ὑπάρχων ἡγεμὼν ἐκ τῆς θαιμανίτιδος χώρας. μετὰ δὲ τοῦτον, ἀδὰδ υἱὸς βαδάδ. ὁ ἐκκόψας μαδιὰμ ἐν τῷ πεδίῳ μωάβ, καὶ ὄνομα τῇ πόλει αὐτοῦ γεθθαΐμ. οἱ δὲ ἐλθόντες πρὸς αὐτὸν φίλοι ἐλιφὰζ τῶν ἠσαῦ υἱῶν. θαιμανῶν βασιλεὺς. βαλδὰδ ὁ σαυχέων τύραννος. σωφὰρ ὁ μιναίων βασιλεύς.

Τέλος Ἰώβ.

Ψαλμὸς τοῦ Δαβὶδ ἀνεπίγραφος παρ' ἑβραίοις.

## ΔΑΒΙ'Δ ΠΡΟΦΗ'ΤΟΥ ΚΑΙ' ΒΑ-
## ΣΙΛΕ'ΩΣ ΜΕ'ΛΟΣ.

α'

ΜΑΚΑ'ΡΙΟΣ ΑΝΗ'Ρ ὃς οὐκ ἐπορεύθη ἐν βουλῇ ἀσεβῶν· καὶ ἐν ὁδῷ, ἁμαρτωλῶν οὐκ ἔστη· καὶ ἐπὶ καθέδρᾳ λοιμῶν οὐκ ἐκάθισεν. Ἀλλ' ἢ ἐν τῷ νόμῳ κυρίου τὸ θέλημα αὐτοῦ. καὶ ἐν τῷ νόμῳ αὐτοῦ μελετήσει ἡμέρας καὶ νυκτός. Καὶ ἔσαι ὡς τὸ ξύλον τὸ πεφυτευμένον παρὰ τὰς διεξόδους τῶν ὑδάτων ὃ τὸν καρπὸν αὐτοῦ δώσει ἐν καιρῷ αὐτοῦ. Καὶ τὸ φύλλον αὐτοῦ οὐκ ἀπορρυήσεται. καὶ πάντα ὅσα ἂν ποιῇ κατευοδωθήσεται. Οὐχ οὕτως οἱ ἀσεβεῖς οὐχ οὕτως. ἀλλ' ἢ ὡσεὶ χνοῦς ὃν ἐκρίπτει ὁ ἄνεμος ἀπὸ προσώπου τῆς γῆς. Διὰ τοῦτο οὐκ ἀναστήσονται ἀσεβεῖς ἐν κρίσει. οὐδὲ ἁμαρτωλοὶ ἐν βουλῇ δικαίων. Ὅτι γινώσκει κύριος ὁδὸν δικαίων. καὶ ὁδὸς ἀσεβῶν ἀπολεῖται.

Ψαλμὸς τοῦ Δαβίδ. β'

Να τί ἐφρύαξαν ἔθνη καὶ λαοὶ ἐμελέτησαν κενά.
ἰ Παρέστησαν οἱ βασιλεῖς τῆς γῆς, καὶ οἱ ἄρχοντες
συνήχθησαν ἐπὶ τὸ αὐτό. κατὰ τοῦ κυρίου καὶ κα-

τὰ τοῦ χριστοῦ αὐτοῦ. Διαῤῥήξωμεν τοὺς δεσμοὺς αὐτῶν, καὶ ἀποῤῥίψωμεν ἀφ' ἡμῶν τὸν ζυγὸν αὐτῶν. Ὁ κατοικῶν ἐν οὐρανοῖς ἐκγελάσεται αὐτούς, καὶ ὁ κύριος ἐκμυκτηριεῖ αὐτούς. Τότε λαλήσει πρὸς αὐτοὺς ἐν ὀργῇ αὐτοῦ, καὶ ἐν τῷ θυμῷ αὐτοῦ ταράξει αὐτούς. Ἐγὼ δὲ κατεστάθην βασιλεὺς ὑπ' αὐτοῦ, ἐπὶ σιὼν ὄρος τὸ ἅγιον αὐτοῦ, διαγγέλλων τὸ πρόσταγμα κυρίου. Κύριος εἶπε πρός με, υἱός μου εἶ σύ, ἐγὼ σήμερον γεγέννηκά σε. Αἴτησαι παρ' ἐμοῦ καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου, καὶ τὴν κατάσχεσίν σου τὰ πέρατα τῆς γῆς. Ποιμανεῖς αὐτοὺς ἐν ῥάβδῳ σιδηρᾷ, ὡς σκεύη κεραμέως συντρίψεις αὐτούς. Καὶ νῦν βασιλεῖς σύνετε, παιδεύθητε πάντες οἱ κρίνοντες τὴν γῆν. Δουλεύσατε τῷ κυρίῳ ἐν φόβῳ, καὶ ἀγαλλιᾶσθε αὐτῷ ἐν τρόμῳ. Δράξασθε παιδείας μήποτε ὀργισθῇ κύριος, καὶ ἀπολεῖσθε ἐξ ὁδοῦ δικαίας. Ὅταν ἐκκαυθῇ ἐν τάχει ὁ θυμὸς αὐτοῦ, μακάριοι πάντες οἱ πεποιθότες ἐπ' αὐτῷ.

Ψαλμὸς τῷ Δαβίδ, ὁπότε ἀπεδίδρασκεν ἀπὸ προσώπου ἀβεσαλὼμ τοῦ υἱοῦ αὐτοῦ.

Ε τί ἐπληθύνθησαν οἱ θλίβοντές με, πολλοὶ ἐπανίσταντται ἐπ' ἐμέ. Πολλοὶ λέγουσι τῇ ψυχῇ μου οὐκ ἔστι σωτηρία αὐτῷ ἐν τῷ θεῷ αὐτοῦ. Σὺ δὲ κύριε ἀντιλήπτωρ μου εἶ, δόξα μου καὶ ὑψῶν τὴν κεφαλήν μου. Φωνῇ μου πρὸς κύριον ἐκέκραξα, καὶ ἐπήκουσέ μου ἐξ ὄρους ἁγίου αὐτοῦ. Ἐγὼ δὲ ἐκοιμήθην καὶ ὕπνωσα, ἐξηγέρθην ὅτι κύριος ἀντιλήψεταί μου. Οὐ φοβηθήσομαι ἀπὸ μυριάδων λαοῦ, τῶν κύκλῳ συνεπιτιθεμένων μοι. ἀνάστα κύριε σῶσόν με ὁ θεός μου. Ὅτι σὺ ἐπάταξας πάντας τοὺς ἐχθραίνοντάς μοι ματαίως, ὀδόντας ἁμαρτωλῶν συνέτριψας. Τοῦ κυρίου ἡ σωτηρία, καὶ ἐπὶ τὸν λαόν σου ἡ εὐλογία σου. Δόξα.

Εἰς τὸ τέλος ἐν ὕμνοις ψαλμὸς τῷ Δαβίδ.

Ν τῷ ἐπικαλεῖσθαί με εἰσήκουσάς μου ὁ θεὸς τῆς
δ δικαιοσύνης μου· ἐν θλίψει ἐπλάτυνάς με· οἰκτεί-
ρησόν με, καὶ εἰσάκουσον τῆς προσευχῆς μου.
Υἱοὶ ἀνθρώπων· ἕως πότε βαρυκάρδιοι· ἵνα τί ἀγαπᾶτε μαται-
ότητα· καὶ ζητεῖτε ψεῦδος; Καὶ γνῶτε ὅτι ἐθαυμάστωσε κύρι-
ος τὸν ὅσιον αὐτοῦ· κύριος εἰσακούσεταί μου ἐν τῷ κεκραγέ-
ναι με πρὸς αὐτόν. Ὀργίζεσθε καὶ μὴ ἁμαρτάνετε· ἃ λέγετε
ἐν ταῖς καρδίαις ὑμῶν· ἐπὶ ταῖς κοίταις ὑμῶν κατανύγητε.
Θύσατε θυσίαν δικαιοσύνης καὶ ἐλπίσατε ἐπὶ κύριον. πολλοὶ
λέγουσι, τίς δείξει ἡμῖν τὰ ἀγαθά. Ἐσημειώθη ἐφ' ἡμᾶς τὸ
φῶς τοῦ προσώπου σου κύριε. ἔδωκας εὐφροσύνην εἰς τὴν καρ-
δίαν μου. Ἀπὸ καρποῦ σίτου· οἴνου, καὶ ἐλαίου αὐτῶν ἐπλη-
θύνθησαν. Ἐν εἰρήνῃ ἐπὶ τὸ αὐτὸ κοιμηθήσομαι καὶ ὑπνώσω.
Ὅτι σὺ κύριε κατὰ μόνας ἐπ' ἐλπίδι κατῴκισάς με.

Ὑπὲρ τῆς κληρονομούσης ψαλμὸς τῷ Δαβίδ. ε

Ἀ ῥήματά μου ἐνώτισαι κύριε· σύνες τῆς κραυγῆς
Τ μου· πρόσχες τῇ φωνῇ τῆς δεήσεώς μου· ὁ βασι-
λεῦ μου καὶ ὁ θεός μου. Ὅτι πρὸς σὲ προσεύξο-
μαι κύριε· τὸ πρωῒ εἰσακούσῃ τῆς φωνῆς μου. Τὸ πρωῒ παρα-
στήσομαί σοι, καὶ ἐπόψει με· ὅτι οὐχὶ θεὸς θέλων ἀνομίαν σὺ
εἶ. Οὐ παροικήσει σοι πονηρευόμενος· οὐδὲ διαμενοῦσι πα-
ράνομοι κατέναντι τῶν ὀφθαλμῶν σου. Ἐμίσησας πάντας
τοὺς ἐργαζομένους τὴν ἀνομίαν· ἀπολεῖς πάντας τοὺς λαλοῦν-
τας τὸ ψεῦδος. Ἄνδρα αἱμάτων καὶ δόλιον βδελύσσεται κύ-
ριος· ἐγὼ δὲ ἐν πλήθει τοῦ ἐλέους σου· Εἰσελεύσομαι εἰς
τὸν οἶκόν σου· προσκυνήσω πρὸς ναὸν ἅγιόν σου· ἐν φόβῳ σου
Κύριε ὁδήγησόν με ἐν τῇ δικαιοσύνῃ σου· ἕνεκα τῶν ἐχθρῶν
μου κατεύθυνον ἐνώπιόν σου τὴν ὁδόν μου. Ὅτι οὐκ ἔστιν ἐν τῷ
στόματι αὐτῶν ἀλήθεια, ἡ καρδία αὐτῶν ματαία. Τάφος ἀνεῳ-
γμένος ὁ λάρυγξ αὐτῶν· ταῖς γλώσσαις αὐτῶν ἐδολιοῦσαν.

κρῖνον

κρίνον αὐτοὺς ὁ θεός. Ἀποπεσάτωσαν ἀπὸ τῶν διαβουλιῶν αὐ-
τῶν. κατὰ δὲ πλῆθος τῶν ἀσεβειῶν αὐτῶν ἔξωσον αὐτούς. ὅτι
παρεπίκρανάν σε κύριε. Καὶ εὐφρανθείησαν πάντες οἱ ἐλπί-
ζοντες ἐπὶ σέ. εἰς αἰῶνα ἀγαλλιάσονται, καὶ κατασκηνώσεις ἐν
αὐτοῖς. Καὶ καυχήσονται ἐν σοὶ πάντες οἱ ἀγαπῶντες τὸ ὄνο-
μά σου, ὅτι σὺ εὐλογήσεις δίκαιον. Κύριε ὡς ὅπλῳ εὐδοκί-
ας ἐστεφάνωσας ἡμᾶς.

Εἰς τὸ τέλος ἐν ὕμνοις ὑπὲρ τῆς ὀγδόης
ψαλμὸς τοῦ Δαβίδ. ς.

Κύριε μὴ τῷ θυμῷ σου ἐλέγξῃς με μηδὲ τῇ ὀργῇ
κ σου παιδεύσῃς με. Ἐλέησόν με κύριε, ὅτι ἀσθενής εἰ-
μι. ἴασαί με κύριε, ὅτι ἐταράχθη τὰ ὀστᾶ μου. Καὶ
ἡ ψυχή μου ἐταράχθη σφόδρα. καὶ σὺ κύριε ἕως πότε. ἐπίστρε-
ψον κύριε καὶ ῥῦσαι τὴν ψυχήν μου. Σῶσόν με ἕνεκεν τοῦ ἐλέους
σου. ὅτι οὐκ ἔστιν ἐν τῷ θανάτῳ ὁ μνημονεύων σου. ἐν δὲ τῷ ᾅδῃ τίς
ἐξομολογήσεταί σοι; Ἐκοπίασα ἐν τῷ στεναγμῷ μου. λούσω
καθ' ἑκάστην νύκτα τὴν κλίνην μου, ἐν δάκρυσί μου τὴν στρω-
μνήν μου βρέξω. Ἐταράχθη ἀπὸ θυμοῦ ὁ ὀφθαλμός μου. ἐπα-
λαιώθην ἐν πᾶσι τοῖς ἐχθροῖς μου. Ἀπόστητε ἀπ' ἐμοῦ πάντες οἱ
ἐργαζόμενοι τὴν ἀνομίαν. ὅτι εἰσήκουσε κύριος τῆς φωνῆς τοῦ
κλαυθμοῦ μου. Ἤκουσε κύριος τῆς δεήσεώς μου. κύριος τὴν
προσευχήν μου προσεδέξατο. Αἰσχυνθείησαν καὶ ταραχθείη-
σαν πάντες οἱ ἐχθροί μου. ἀποστραφείησαν, καὶ καταισχυνθείη-
σαν σφόδρα διὰ τάχους. Δόξα.

Ψαλμὸς τοῦ Δαβίδ. ὃν ᾖσε τῷ κυρίῳ ὑπὲρ
τῶν λόγων Χουσὶ υἱοῦ Ἰεμενί. ζ

Κύριε ὁ θεός μου ἐπὶ σοὶ ἤλπισα σῶσόν με ἐκ πάντων
κ τῶν διωκόντων με, καὶ ῥῦσαί με. Μήποτε ἁρπά-
σῃ ὡς λέων τὴν ψυχήν μου. μὴ ὄντος λυτρουμένου
μηδὲ σώζοντος. Κύριε ὁ θεός μου εἰ ἐποίησα τοῦτο. εἰ ἔστιν

ἀδικία ἐν χερσί μου, εἰ ἀνταπέδωκα τοῖς ἀνταποδιδοῦσί μοι κακά, ἀποπέσοιμι ἄρα ἀπὸ τῶν ἐχθρῶν μου κενός. Καταδιώξαι ἄρα ὁ ἐχθρὸς τὴν ψυχήν μου, καὶ καταλάβοι· καὶ καταπατήσαι εἰς γῆν τὴν ζωήν μου· καὶ τὴν δόξαν μου εἰς χοῦν κατασκηνώσαι. Ἀνάστηθι κύριε ἐν ὀργῇ σου· ὑψώθητι ἐν τοῖς πέρασι τῶν ἐχθρῶν σου. Καὶ ἐξεγέρθητι κύριε ὁ θεός μου, ἐν προστάγματι ᾧ ἐνετείλω· καὶ συναγωγὴ λαῶν κυκλώσει σε. καὶ ὑπὲρ ταύτης εἰς ὕψος ἐπίστρεψον, κύριος κρινεῖ λαούς. Κρῖνόν μοι κύριε κατὰ τὴν δικαιοσύνην μου, καὶ κατὰ τὴν ἀκακίαν μου ἐπ' ἐμοί. Συντελεσθήτω δὴ πονηρία ἁμαρτωλῶν, καὶ κατευθυνεῖς δίκαιον· ἐτάζων καρδίας, καὶ νεφροὺς ὁ θεός. Δ ία ἡ βοήθειά μου παρὰ τοῦ θεοῦ τοῦ σώζοντος τοὺς εὐθεῖς τῇ καρδίᾳ. Ὁ θεὸς κριτὴς δίκαιος καὶ ἰσχυρὸς καὶ μακρόθυμος καὶ μὴ ὀργὴν ἐπάγων καθ' ἑκάστην ἡμέραν. Ἐὰν μὴ ἐπιστραφῆτε, τὴν ῥομφαίαν αὐτοῦ στιλβώσει· τὸ τόξον αὐτοῦ ἐνέτεινε καὶ ἡτοίμασεν αὐτό. Καὶ ἐν αὐτῷ ἡτοίμασε σκεύη θανάτου· τὰ βέλη αὐτοῦ τοῖς καιομένοις ἐξειργάσατο. Ἰδοὺ ὠδίνησεν ἀδικίαν· συνέλαβε πόνον καὶ ἔτεκεν ἀνομίαν. Λάκκον ὤρυξε καὶ ἀνέσκαψεν αὐτόν καὶ ἐμπεσεῖται εἰς βόθρον ὃν εἰργάσατο. Ἐπιστρέψει ὁ πόνος αὐτοῦ εἰς κεφαλὴν αὐτοῦ· καὶ ἐπὶ κορυφὴν αὐτοῦ ἡ ἀδικία αὐτοῦ καταβήσεται. Ἐξομολογήσομαι τῷ κυρίῳ κατὰ τὴν δικαιοσύνην αὐτοῦ· καὶ ψαλῶ τῷ ὀνόματι κυρίου τοῦ ὑψίστου.

Εἰς τὸ τέλος· ὑπὲρ τῶν ληνῶν·

ψαλμὸς τῷ Δαβίδ. η.

Κύριε ὁ κύριος ἡμῶν ὡς θαυμαστὸν τὸ ὄνομά σου ἐν πάσῃ
κ τῇ γῇ. Ὅτι ἐπήρθη ἡ μεγαλοπρέπειά σου ὑπεράνω
τῶν οὐρανῶν. Ἐκ στόματος νηπίων καὶ θηλαζόντων
κατηρτίσω αἶνον, ἕνεκα τῶν ἐχθρῶν σου τοῦ καταλῦσαι ἐχθρὸν
καὶ ἐκδικητήν. Ὅτι ὄψομαι τοὺς οὐρανούς, ἔργα τῶν δακτύ-
λων σου, σελήνην καὶ ἀστέρας ἃ σὺ ἐθεμελίωσας. Τί ἐστιν ἄν-

ἄνθρωπος ὅτι μιμνήσκῃ αὐτοῦ· ἢ υἱὸς ἀνθρώπου ὅτι ἐπισκέπτῃ αὐ-
τόν. Ἠλάττωσας αὐτὸν βραχύ τι παρ' ἀγγέλους· δόξῃ καὶ τιμῇ
ἐστεφάνωσας αὐτόν· καὶ κατέστησας αὐτὸν ἐπὶ τὰ ἔργα τῶν χει-
ρῶν σου. Πάντα ὑπέταξας ὑπὸ κάτω τῶν ποδῶν αὐτοῦ· πρό-
βατα καὶ βόας ἁπάσας· ἔτι δὲ τὸ τὰ κτήνη τοῦ πεδίου. Τὰ πε-
τεινὰ τοῦ οὐρανοῦ καὶ τοὺς ἰχθύας τῆς θαλάσσης· τὰ διαπο-
ρευόμενα τρίβους θαλασσῶν. Κύριε ὁ κύριος ἡμῶν ὡς θαυμα-
στὸν ὄνομά σου ἐν πάσῃ τῇ γῇ. Δόξα. κάθισμα.

Εἰς τὸ τέλος ὑπὲρ τῶν κρυφίων
τοῦ υἱοῦ ψαλμὸς τῷ Δαβίδ, θ

ε Ἐξομολογήσομαί σοι κύριε ἐν ὅλῃ καρδίᾳ μου· διηγή-
σομαι πάντα τὰ θαυμάσιά σου. Εὐφρανθήσομαι καὶ
ἀγαλλιάσομαι ἐν σοί· ψαλῶ τῷ ὀνόματί σου ὕψιστε.
Ἐν τῷ ἀποστραφῆναι τὸν ἐχθρόν μου εἰς τὰ ὀπίσω· ἀσθενήσου-
σι καὶ ἀπολοῦνται ἀπὸ προσώπου σου. Ὅτι ἐποίησας τὴν
κρίσιν μου καὶ τὴν δίκην μου· ἐκάθισας ἐπὶ θρόνου ὁ κρίνων τὴν
δικαιοσύνην. Ἐπετίμησας ἔθνεσι καὶ ἀπώλετο ὁ ἀσεβής· τὸ ὄνο-
μα αὐτῶν ἐξήλειψας εἰς τὸν αἰῶνα· καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Τοῦ
ἐχθροῦ ἐξέλιπον αἱ ῥομφαῖαι εἰς τέλος, καὶ πόλεις καθεῖλες.
Ἀπώλετο τὸ μνημόσυνον αὐτοῦ μετ' ἤχου· καὶ ὁ κύριος εἰς τὸν
αἰῶνα μένει. Ἡτοίμασας ἐν κρίσει τὸν θρόνον αὐτοῦ· καὶ αὐ-
τὸς κρινεῖ τὴν οἰκουμένην ἐν δικαιοσύνῃ· κρινεῖ λαοὺς ἐν εὐθύ-
τητι· καὶ ἐγένετο κύριος καταφυγὴ τῷ πένητι· βοηθὸς ἐν εὐ-
καιρίαις ἐν θλίψεσι. Καὶ ἐλπισάτωσαν ἐπί σοι οἱ γινώσκοντες
τὸ ὄνομά σου ὅτι οὐκ ἐγκατέλιπες τοὺς ἐκζητοῦντάς σε κύριε. Ψά-
λατε τῷ κυρίῳ τῷ κατοικοῦντι ἐν σιών· ἀναγγείλατε ἐν τοῖς ἔθνε-
σιν τὰ ἐπιτηδεύματα αὐτοῦ. Ὅτι ὁ ἐκζητῶν τὰ αἵματα αὐτῶν
ἐμνήσθη· οὐκ ἐπελάθετο τῆς κραυγῆς τῶν πενήτων. Ἐλέησόν με
κύριε ἴδε τὴν ταπείνωσίν μου ἐκ τῶν ἐχθρῶν μου. Ὁ ὑψῶν με ἐκ
τῶν πυλῶν τοῦ θανάτου· ὅπως ἂν ἐξαγγείλω πάσας τὰς αἰνέσεις

σου ἐν ταῖς πύλαις τῆς θυγατρὸς σιών· ἀγαλλιασώμεθα ἐπὶ τῷ
σωτηρίῳ σου. ἐνεπάγησαν ἔθνη ἐν διαφθορᾷ ᾗ ἐποίησαν. Εν
παγίδι ταύτῃ ᾗ ἔκρυψαν συνελήφθη ὁ πούς αὐτῶν. Γινώσκε-
ται κύριος κρίματα ποιῶν. ἐν τοῖς ἔργοις τῶν χειρῶν αὐτοῦ
συνελήφθη ὁ ἁμαρτωλός. Αποστραφήτωσαν οἱ ἁμαρτωλοὶ εἰς
τὸν ᾅδην. πάντα τὰ ἔθνη τὰ ἐπιλανθανόμενα τοῦ θεοῦ. Οτι οὐκ
εἰς τέλος ἐπιλησθήσεται ὁ πτωχός. ἡ ὑπομονὴ τῶν πενήτων,
οὐκ ἀπολεῖται εἰς τέλος. Ανάστηθι κύριε μὴ κραταιούσθω ἄν-
θρωπος. κριθήτωσαν ἔθνη ἐνώπιόν σου. Κατάστησον κύριε νομο
θέτην ἐπ' αὐτούς. γνώτωσαν ἔθνη ὅτι ἄνθρωποί εἰσιν. Ινα τί κύριε
ἀφέστηκας μακρόθεν ὑπερορᾷς ἐν εὐκαιρίαις ἐν θλίψεσιν. Εν
τῷ ὑπερηφανεύεσθαι τὸν ἀσεβῆ ἐμπυρίζεται ὁ πτωχός. συλ-
λαμβάνονται ἐν διαβουλίοις οἷς διαλογίζονται. Οτι ἐπαινεῖ-
ται ὁ ἁμαρτωλὸς ἐν ταῖς ἐπιθυμίαις τῆς ψυχῆς αὐτοῦ. καὶ ὁ ἀ-
δικῶν εὐλογεῖται. Παρώξυνε τὸν κύριον ὁ ἁμαρτωλός, κατὰ
τὸ πλῆθος τῆς ὀργῆς αὐτοῦ οὐκ ἐκζητήσει. Οὐκ ἔστιν ὁ θεὸς
ἐνώπιον αὐτοῦ, βεβηλοῦνται αἱ ὁδοὶ αὐτοῦ ἐν παντὶ καιρῷ.
Ανταναιρεῖται τὰ κρίματά σου ἀπὸ προσώπου αὐτοῦ, πάντων
τῶν ἐχθρῶν αὐτοῦ κατακυριεύσει. Εἶπε γὰρ ἐν καρδίᾳ αὐτοῦ οὐ μὴ
σαλευθῶ, ἀπὸ γενεᾶς εἰς γενεὰν ἄνευ κακοῦ. Οὗ ἀρᾶς τὸ στόμα
αὐτοῦ γέμει καὶ πικρίας καὶ δόλου. ὑπὸ τὴν γλῶσσαν αὐτοῦ κόπος
καὶ πόνος. Εγκάθηται ἐνέδρᾳ μετὰ πλουσίων, ἐν ἀποκρύφοις
ἀποκτεῖναι ἀθῷον. Οἱ ὀφθαλμοὶ αὐτοῦ εἰς τὸν πένητα ἀποβλέ-
πουσιν. ἐνεδρεύει ἐν ἀποκρύφῳ ὡς λέων ἐν τῇ μάνδρᾳ αὐτοῦ
Ενεδρεύει τοῦ ἁρπάσαι πτωχόν, ἁρπάσαι πτωχὸν ἐν τῷ ἑλκύ-
σαι αὐτόν. Εν τῇ παγίδι αὐτοῦ ταπεινώσει αὐτόν, κύψει καὶ
πεσεῖται ἐν τῷ αὐτὸν κατακυριεῦσαι τῶν πενήτων. Εἶπε γὰρ
ἐν καρδίᾳ αὐτοῦ ἐπιλέλησται ὁ θεός, ἀπέστρεψε τὸ πρόσωπον αὐ-
τοῦ τοῦ μὴ βλέπειν εἰς τέλος. Ανάστηθι κύριε ὁ θεός μου ὑψωθή-
τω ἡ χείρ σου μὴ ἐπιλάθῃ τῶν πενήτων σου εἰς τέλος. Ενεκα

τίνος παρώργισεν ὁ ἀσεβὴς τὸν θεὸν, εἶπε γὰρ τῷ ἐν καρδίᾳ
αὐτοῦ οὐκ ἐκζητήσει. Βλέπεις ὅτι σὺ πόνον καὶ θυμὸν κατανοεῖς,
τοῦ παραδοῦναι αὐτὸν εἰς χεῖράς σου. Σοὶ ἐγκαταλέλειπται ὁ
πτωχὸς, ὀρφανῷ σὺ ἦσθα βοηθός. Σύντριψον τὸν βραχίονα τοῦ ἁ-
μαρτωλοῦ καὶ πονηροῦ. ζητηθήσεται ἡ ἁμαρτία αὐτοῦ καὶ οὐ μὴ
εὑρεθῇ. Κύριος βασιλεύει εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰ-
ῶνος, ἀπολεῖσθε ἔθνη ἐκ τῆς γῆς αὐτοῦ, τὴν ἐπιθυμίαν τῶν πε-
νήτων εἰσήκουσας κύριε, τῇ ἑτοιμασίᾳ τῆς καρδίας αὐτῶν
προσέσχε τὸ οὖς σου. Κρῖναι ὀρφανῷ καὶ ταπεινῷ, ἵνα μὴ προσ-
θῇ ἔτι τοῦ μεγαλαυχεῖν ἄνθρωπος ἐπὶ τῆς γῆς.

Εἰς τὸ τέλος ψαλμὸς τῷ Δαβίδ. ι.

Γὶ τῷ κυρίῳ πέποιθα πῶς ἐρεῖτε τῇ ψυχῇ μου. με-
ε ταναστεύου ἐπὶ τὰ ὄρη ὡς στρουθίον. Ὅτι ἰδοὺ οἱ ἁ-
μαρτωλοὶ ἐνέτειναν τόξον, ἡτοίμασαν βέλη εἰς φα-
ρέτραν. τοῦ κατατοξεῦσαι ἐν σκοτομήνῃ τοὺς εὐθεῖς τῇ καρδίᾳ.
Ὅτι ἃ σὺ κατηρτίσω αὐτοὶ καθεῖλον. ὁ δὲ δίκαιος τί ἐποίησε;
Κύριος ἐν ναῷ ἁγίῳ αὐτοῦ, κύριος ἐν οὐρανῷ ὁ θρόνος αὐτοῦ.
Οἱ ὀφθαλμοὶ αὐτοῦ εἰς τὸν πένητα ἐπιβλέπουσι. τὰ βλέφαρα
αὐτοῦ ἐξετάζει τοὺς υἱοὺς τῶν ἀνθρώπων. Κύριος ἐξετάζει τὸν
δίκαιον καὶ τὸν ἀσεβῆ. ὁ δὲ ἀγαπῶν τὴν ἀδικίαν, μισεῖ τὴν ἑ-
αυτοῦ ψυχήν. Ἐπιβρέξει ἐπὶ ἁμαρτωλοὺς παγίδας. πῦρ καὶ θεῖ-
ον καὶ πνεῦμα καταιγίδος, ἡ μερὶς τοῦ ποτηρίου αὐτῶν. Ὅτι δί-
καιος κύριος καὶ δικαιοσύνας ἠγάπησεν εὐθύτητας εἶδε τὸ
πρόσωπον αὐτοῦ.

Εἰς τὸ τέλος ὑπὲρ τῆς ὀγδόης
ψαλμὸς τῷ Δαβίδ. ια.

Ωσόν με κύριε, ὅτι ἐκλέλοιπεν ὅσιος. ὅτι ὠλιγώ-
σ θησαν αἱ ἀλήθειαι ἀπὸ τῶν υἱῶν τῶν ἀνθρώπων. Μά-
ταια ἐλάλησεν ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ. χείλη
δόλια, ἐν καρδίᾳ. καὶ ἐν καρδίᾳ ἐλάλησε κακά. Ἐξολοθρεύ-

σαι κύριος πάντα τὰ χείλη τὰ δόλια· καὶ γλῶσσαν μεγαλοῤῥήμονα. Τοὺς εἰπόντας τὴν γλῶσσαν ἡμῶν μεγαλυνοῦμεν· τὰ χείλη ἡμῶν παρ' ἡμῖν ἐστι· τίς ἡμῶν κύριός ἐστιν. Ἕνεκεν τῆς ταλαιπωρίας τῶν πτωχῶν καὶ τοῦ στεναγμοῦ τῶν πενήτων, νῦν ἀναστήσομαι λέγει κύριος. Θήσομαι ἐν σωτηρίῳ, παῤῥησιάσομαι ἐν αὐτῷ. Τὰ λόγια κυρίου, λόγια ἁγνά· ἀργύριον πεπυρωμένον, δοκίμιον τῇ γῇ, κεκαθαρισμένον ἑπταπλασίως. Σὺ κύριε φυλάξεις ἡμᾶς καὶ διατηρήσαις ἡμᾶς, ἀπὸ τῆς γενεᾶς ταύτης, καὶ εἰς τὸν αἰῶνα. Κύκλῳ οἱ ἀσεβεῖς περιπατοῦσι, κατὰ τὸ ὕψος σου ἐπολυώρησας τοὺς υἱοὺς τῶν ἀνθρώπων.

Εἰς τὸ τέλος ψαλμὸς τῷ Δαβίδ, ιβ.

Ως πότε κύριε ἐπιλήσῃ μου εἰς τέλος· ἕως πότε ἀποστρέψεις τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ. Ἕως τίνος θήσομαι βουλὰς ἐν ψυχῇ μου, ὀδύνας ἐν καρδίᾳ μου ἡμέρας καὶ νυκτός. ἕως πότε ὑψωθήσεται ὁ ἐχθρός μου ἐπ' ἐμέ. ἐπίβλεψον, εἰσάκουσόν μου κύριε ὁ θεός μου. Φώτισον τοὺς ὀφθαλμούς μου μήποτε ὑπνώσω εἰς θάνατον, μήποτε εἴπῃ ὁ ἐχθρός μου ἴσχυσα πρὸς αὐτόν. Οἱ θλίβοντές με ἀγαλλιάσονται ἐὰν σαλευθῶ. ἐγὼ δὲ ἐπὶ τῷ ἐλέει σου ἤλπισα. Ἀγαλλιάσεται ἡ καρδία μου ἐπὶ τῷ σωτηρίῳ σου. ᾄσω τῷ κυρίῳ τῷ εὐεργετήσαντί με. καὶ ψαλῶ τῷ ὀνόματι κυρίου τοῦ ὑψίστου.

Εἰς τὸ τέλος ψαλμὸς τῷ Δαβίδ. ιγ΄.

Ιπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ οὐκ ἔστι θεός. Διεφθάρησαν καὶ ἐβδελύχθησαν ἐν ἐπιτηδεύμασιν. οὐκ ἔστι ποιῶν χρηστότητα οὐκ ἔστιν, ἕως ἑνός. Κύριος ἐκ τοῦ οὐρανοῦ διέκυψεν ἐπὶ τοὺς υἱοὺς τῶν ἀνθρώπων. τοῦ ἰδεῖν εἰ ἔστι συνιῶν, ἢ ἐκζητῶν τὸν θεόν. Πάντες ἐξέκλιναν ἅμα ἠχρειώθησαν. οὐκ ἔστι ποιῶν χρηστότητα, οὐκ ἔστιν ἕως ἑνός. Οὐχὶ γνώσονται πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν, οἱ ἐσθίοντες τὸν λαόν μου ἐν βρώσει ἄρτου. Τὸν κύριον οὐκ ἐπεκαλέσαντο. ἐκεῖ ἐδειλίασαν φό-

τῷ, οὗ οὐκ ἦν φόβος. Ὅτι κύριος ἐν γενεᾷ δικαίᾳ. βουλὴν πτω-
χοῦ κατῃσχύνατε, ὅτι κύριος ἐλπὶς αὐτοῦ ἐστι. Τίς δώσει ἐκ σι-
ὼν τὸ σωτήριον τοῦ ἰσραήλ. ἐν τῷ ἐπιστρέψαι κύριον τὴν αἰχμα-
λωσίαν τοῦ λαοῦ αὐτοῦ. ἀγαλλιάσεται ἰακὼβ καὶ εὐφρανθήσε-
ται ἰσραήλ. Δόξα.

Εἰς τὸ τέλος ψαλμὸς τῷ Δαβίδ, ιδ΄.

Υριε, τίς παροικήσει ἐν τῷ σκηνώματί σου ἢ τίς κα-
κ τασκηνώσει ἐν ὄρει ἁγίῳ σου. Πορευόμενος ἄμωμος
καὶ ἐργαζόμενος δικαιοσύνην. Λαλῶν ἀλήθειαν ἐν
καρδίᾳ αὐτοῦ. ὃς οὐκ ἐδόλωσεν ἐν γλώσσῃ αὐτοῦ. Καὶ οὐκ ἐποίη-
σε τῷ πλησίον αὐτοῦ κακόν. καὶ ὀνειδισμὸν οὐκ ἔλαβεν ἐπὶ τοῖς ἐγ-
γιστα αὐτοῦ. Ἐξουδένωται ἐνώπιον αὐτοῦ πονηρευόμενος. τοὺς
δὲ φοβουμένους τὸν κύριον δοξάσει. Ὁ ὀμνύων τῷ πλησίον αὐ-
τοῦ καὶ οὐκ ἀθετῶν. τὸ ἀργύριον αὐτοῦ οὐκ ἔδωκεν ἐπὶ τόκῳ.
καὶ δῶρα ἐπ' ἀθῴοις οὐκ ἔλαβεν. Ὁ ποιῶν ταῦτα οὐ σαλευ-
θήσεται εἰς τὸν αἰῶνα.

Στηλογραφία τῷ Δαβίδ. ιε.

Υλαξόν με κύριε ὅτι ἐπὶ σοὶ ἤλπισα. εἶπα τῷ κυρίῳ,
φ κύριός μου εἶ σύ. ὅτι τῶν ἀγαθῶν μου οὐ χρείαν ἔ-
χεις. Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν
ὁ κύριος. πάντα τὰ θελήματα αὐτοῦ ἐν αὐτοῖς. Ἐπληθύνθησαν αἱ
ἀσθένειαι αὐτῶν. μετὰ ταῦτα ἐτάχυναν. Οὐ μὴ συναγάγω τὰς
συναγωγὰς αὐτῶν ἐξ αἱμάτων. οὐδ' οὐ μὴ μνησθῶ τῶν ὀνομάτων
αὐτῶν διὰ χειλέων μου. Κύριος μερὶς τῆς κληρονομίας μου καὶ
τοῦ ποτηρίου μου. σὺ εἶ ὁ ἀποκαθιστῶν τὴν κληρονομίαν μου ἐ-
μοί. Σχοινία ἐπέπεσάν μοι ἐν τοῖς κρατίστοις. καὶ γὰρ ἡ κλη-
ρονομία μου κρατίστη μοί ἐστιν. Εὐλογήσω τὸν κύριον τὸν συνετί-
σαντά με, ἔτι δὲ καὶ ἕως νυκτὸς ἐπαίδευσάν με οἱ νεφροί μου.
Προωρώμην τὸν κύριον ἐνώπιόν μου διαπαντός. ὅτι ἐκ δεξιῶν
μου ἐστίν, ἵνα μὴ σαλευθῶ. Διὰ τοῦτο εὐφράνθη ἡ καρδία μου.

καὶ ἠγαλλιάσατο ἡ γλῶσσά μου· ἔτι δὲ καὶ ἡ σάρξ μου κατα
σκηνώσει ἐπ' ἐλπίδι. Ὅτι οὐκ ἐγκαταλείψεις τὴν ψυχήν μου
εἰς ᾅδην, οὐδὲ δώσεις τὸν ὅσιόν σου ἰδεῖν διαφθοράν. Ἐγνώρι
σάς μοι ὁδοὺς ζωῆς· πληρώσεις με εὐφροσύνης μετὰ τοῦ προσώ
που σου· τερπνότητες ἐν τῇ δεξιᾷ σου εἰς τέλος.

## Προσευχὴ τοῦ Δαβίδ, ιϛʹ.

Εἰσάκουσον κύριε δικαιοσύνης μου· πρόσχες τῇ δεή
σει μου. Ἐνώτισαι τὴν προσευχήν μου οὐκ ἐν χείλεσι
δολίοις. Ἐκ προσώπου σου τὸ κρίμα μου ἐξέλθοι· οἱ ὀ
φθαλμοί μου ἰδέτωσαν εὐθύτητας. Ἐδοκίμασας τὴν καρδίαν μου
ἐπεσκέψω νυκτός, ἐπύρωσάς με καὶ οὐχ εὑρέθη ἐν ἐμοὶ ἀδικία.
Ὅπως ἂν μὴ λαλήσῃ τὸ στόμα μου τὰ ἔργα τῶν ἀνθρώπων, διὰ
τοὺς λόγους τῶν χειλέων σου ἐγὼ ἐφύλαξα ὁδοὺς σκληράς. Κα
τάρτισαι τὰ διαβήματά μου ἐν ταῖς τρίβοις σου· ἵνα μὴ σα
λευθῶσι τὰ διαβήματά μου. Ἐγὼ ἐκέκραξα ὅτι ἐπήκουσάς μου
ὁ θεός· κλῖνον τὸ οὖς σου ἐμοί, καὶ εἰσάκουσον τῶν ῥημάτων μου. Θαυ
μάστωσον τὰ ἐλέη σου ὁ σώζων τοὺς ἐλπίζοντας ἐπὶ σέ. Ἐκ τῶν
ἀνθεστηκότων τῇ δεξιᾷ σου, φύλαξόν με κύριε ὡς κόρην ὀφθαλ
μοῦ. Ἐν σκέπῃ τῶν πτερύγων σου σκεπάσεις με. ἀπὸ προσώ
που ἀσεβῶν τῶν ταλαιπωρησάντων με. Οἱ ἐχθροί μου τὴν ψυ
χήν μου περιέσχον, τὸ στέαρ αὐτῶν συνέκλεισαν. τὸ στόμα αὐτῶν ἐ
λάλησεν ὑπερηφανίαν. Ἐκβαλόντες με νυνὶ περιεκύκλωσάν
με, τοὺς ὀφθαλμοὺς αὐτῶν ἔθεντο ἐκκλῖναι ἐν τῇ γῇ. Ὑπέλα
βόν με ὡσεὶ λέων ἕτοιμος εἰς θήραν· καὶ ὡσεὶ σκύμνος οἰκῶν
ἐν ἀποκρύφοις. Ἀνάστηθι κύριε πρόφθασον αὐτούς, καὶ ὑποσκέ
λισον αὐτούς· ῥῦσαι τὴν ψυχήν μου ἀπὸ ἀσεβοῦς· ῥομφαίαν σου
ἀπὸ ἐχθρῶν τῆς χειρός σου. Κύριε ἀπὸ ὀλίγων ἀπὸ γῆς διαμέρι
σον αὐτοὺς ἐν τῇ ζωῇ αὐτῶν καὶ τῶν κεκρυμμένων σου ἐπλήσθη ἡ
γαστὴρ αὐτῶν. Ἐχορτάσθησαν υἱῶν, καὶ ἀφῆκαν τὰ κατάλοιπα τοῖς
νηπίοις αὐτῶν. Ἐγὼ δὲ ἐν δικαιοσύνῃ ὀφθήσομαι τῷ προσώπῳ

σου. Χορτασθήσομαι ἐν τῷ ὀφθῆναί μοι τὴν δόξαν σου.

Δόξα. Κάθισμα. β

Εἰς τὸ τέλος τῷ παιδὶ κυρίου τῷ Δαβίδ. ἃ ἐλάλησε τῷ κυρίῳ τοὺς λόγους τῆς ᾠδῆς ταύτης. ἐν ἡμέρᾳ ᾗ ἐῤῥύσατο αὐτὸν ὁ κύριος ἐκ χειρὸς πάντων τῶν ἐχθρῶν αὐτοῦ καὶ ἐκ χειρὸς σαοὺλ καὶ εἶπεν. ιζ´

Γαπήσω σε κύριε ἡ ἰσχύς μου. κύριος στερέωμά
α μου, καὶ καταφυγή μου καὶ ῥύστης μου. Ὁ θεός μου
βοηθός μου καὶ ἐλπιῶ ἐπ᾽ αὐτόν. Ὑπερασπιστής μου
καὶ κέρας σωτηρίας μου καὶ ἀντιλήπτωρ μου. Αἰνῶν ἐπικαλέσομαι τὸν κύριον, καὶ ἐκ τῶν ἐχθρῶν μου σωθήσομαι. Περιέσχον με ὠδῖνες θανάτου καὶ χείμαῤῥοι ἀνομίας ἐξετάραξάν με. Ὠδῖνες ᾅδου περιεκύκλωσάν με. Προέφθασάν με παγίδες θανάτου. Καὶ ἐν τῷ θλίβεσθαί με ἐπεκαλεσάμην τὸν κύριον. καὶ πρὸς τὸν θεόν μου ἐκέκραξα. Ἤκουσεν ἐκ ναοῦ ἁγίου αὐτοῦ φωνῆς μου. καὶ ἡ κραυγή μου ἐνώπιον αὐτοῦ εἰσελεύσεται εἰς τὰ ὦτα αὐτοῦ. Καὶ ἐσαλεύθη καὶ ἔντρομος ἐγενήθη ἡ γῆ. καὶ τὰ θεμέλια τῶν ὀρέων ἐταράχθησαν. καὶ ἐσαλεύθησαν ὅτι ὠργίσθη αὐτοῖς ὁ θεός. Ἀνέβη καπνὸς ἐν ὀργῇ αὐτοῦ καὶ πῦρ ἀπὸ προσώπου αὐτοῦ καταφλεγήσεται. ἄνθρακες ἀνήφθησαν ἐπ᾽ αὐτοῦ. Καὶ ἔκλινεν οὐρανοὺς καὶ κατέβη. καὶ γνόφος ὑπὸ τοὺς πόδας αὐτοῦ. Καὶ ἐπέβη ἐπὶ χερουβὶμ καὶ ἐπετάσθη. ἐπετάσθη ἐπὶ πτερύγων ἀνέμων. Καὶ ἔθετο σκότος ἀποκρυφὴν αὐτοῦ κύκλῳ αὐτοῦ ἡ σκηνὴ αὐτοῦ. σκοτεινὸν ὕδωρ ἐν νεφέλαις ἀέρων. Ἀπὸ τῆς τηλαυγήσεως ἐνώπιον αὐτοῦ αἱ νεφέλαι διῆλθον. χάλαζα καὶ ἄνθρακες πυρός. Καὶ ἐβρόντησεν ἐξ οὐρανοῦ ὁ κύριος. καὶ ὁ ὕψιστος ἔδωκε φωνὴν αὐτοῦ. Ἐξαπέστειλε βέλη καὶ ἐσκόρπισεν αὐτούς. Καὶ ἀστραπὰς ἐπλήθυνε καὶ συνετάραξεν αὐτούς. Καὶ ὤφθησαν αἱ πηγαὶ τῶν ὑδάτων. καὶ ἀνεκαλύφθη τὰ θεμέλια τῆς οἰκουμένης. Ἀπὸ ἐπιτιμήσεώς σου

κύριε· ἀπὸ ἐμπνεύσεως πνεύματος ὀργῆς σου. Ἐξαπέστει-
λεν ἐξ ὕψους καὶ ἔλαβέ με· προσελάβετό με ἐξ ὑδάτων πολ-
λῶν. Ῥύσεταί με ἐξ ἐχθρῶν μου δυνατῶν, καὶ ἐκ τῶν μισούν-
των με ὅτι ἐστερεώθησαν ὑπὲρ ἐμέ. Προέφθασάν με ἐν ἡμέρᾳ
κακώσεώς μου· καὶ ἐγένετο κύριος ἀντιστήριγμά μου. Καὶ ἐξήγα-
γέ με εἰς πλατυσμόν· ῥύσεταί με, ὅτι ἠθέλησέ με. Καὶ ἀνταπο-
δώσει μοι κύριος κατὰ τὴν δικαιοσύνην μου· καὶ κατὰ τὴν
καθαριότητα τῶν χειρῶν μου ἀνταποδώσει μοι. Ὅτι ἐφύλαξα
τὰς ὁδοὺς κυρίου· καὶ οὐκ ἠσέβησα ἀπὸ τοῦ θεοῦ μου. Ὅτι πάντα
τὰ κρίματα αὐτοῦ ἐνώπιόν μου· καὶ τὰ δικαιώματα αὐτοῦ οὐκ ἀ-
πέστησαν ἀπ' ἐμοῦ. Καὶ ἔσομαι ἄμωμος μετ' αὐτοῦ· καὶ φυλάξομαι
ἀπὸ τῆς ἀνομίας μου. Καὶ ἀνταποδώσει μοι κύριος κατὰ τὴν
δικαιοσύνην μου· καὶ κατὰ τὴν καθαριότητα τῶν χειρῶν μου, ἐνώ-
πιον τῶν ὀφθαλμῶν αὐτοῦ. Μετὰ ὁσίου ὅσιος ἔσῃ· καὶ μετὰ
ἀνδρὸς ἀθώου ἀθῶος ἔσῃ. Καὶ μετὰ ἐκλεκτοῦ ἐκλεκτὸς ἔσῃ· καὶ
μετὰ στρεβλοῦ διαστρέψεις. Ὅτι σὺ λαὸν ταπεινὸν σώσεις, καὶ ὀ-
φθαλμοὺς ὑπερηφάνων ταπεινώσεις. Ὅτι σὺ φωτιεῖς λύχνον μου
κύριε· ὁ θεός μου φωτιεῖς τὸ σκότος μου. Ὅτι ἐν σοὶ ῥυσθήσομαι ἀ-
πὸ πειρατηρίου· καὶ ἐν τῷ θεῷ μου ὑπερβήσομαι τεῖχος.
Ὁ θεός μου ἄμωμος ἡ ὁδὸς αὐτοῦ· τὰ λόγια κυρίου πεπυρω-
μένα· ὑπερασπιστής ἐστι πάντων τῶν ἐλπιζόντων ἐπ' αὐτόν.
Ὅτι τίς θεὸς πάρεξ τοῦ κυρίου· ἢ τίς θεὸς πλὴν τοῦ θεοῦ ἡμῶν.
Ὁ θεὸς ὁ περιζωννύων με δύναμιν· καὶ ἔθετο ἄμωμον τὴν ὁ-
δόν μου. Καταρτιζόμενος τοὺς πόδας μου ὡσεὶ ἐλάφου· καὶ
ἐπὶ τὰ ὑψηλὰ ἱστῶν με. Διδάσκων χεῖράς μου εἰς πόλεμον· καὶ
ἔθου τόξον χαλκοῦν τοὺς βραχίονάς μου. Καὶ ἔδωκάς μοι ὑ-
περασπισμὸν σωτηρίας· καὶ ἡ δεξιά σου ἀντελάβετό μου. Καὶ ἡ
παιδεία σου ἀνώρθωσέ με εἰς τέλος· καὶ ἡ παιδεία σου αὐτή με
διδάξει. Ἐπλάτυνας τὰ διαβήματά μου ὑποκάτω μου· καὶ
οὐκ ἠσθένησε τὰ ἴχνη μου. Καταδιώξω τοὺς ἐχθρούς μου

καὶ καταλήψομαι αὐτούς· καὶ οὐκ ἀποστραφήσομαι ἕως ἂν ἐκλείπωσιν. Ἐκθλίψω αὐτοὺς, καὶ οὐ μὴ δύνωνται στῆναι· πεσοῦνται ὑπὸ τοὺς πόδας μου. Καὶ περιέζωσάς με δύναμιν εἰς πόλεμον συνεπόδισας πάντας τοὺς ἐπανισταμένους ἐπ᾽ ἐμὲ ὑποκάτω μου. Καὶ τοὺς ἐχθρούς μου ἔδωκάς μοι νῶτον· καὶ τοὺς μισοῦντάς με ἐξωλόθρευσας. Ἐκέκραξαν καὶ οὐκ ἦν ὁ σώζων· πρὸς κύριον καὶ οὐκ εἰσήκουσεν αὐτῶν. Καὶ λεπτυνῶ αὐτοὺς ὡσεὶ χοῦν κατὰ πρόσωπον ἀνέμου· ὡς πηλὸν πλατειῶν λεανῶ αὐτούς. Ῥύσαι με ἐξ ἀντιλογίας λαοῦ· καταστήσεις με εἰς κεφαλὴν ἐθνῶν. Λαὸς ὃν οὐκ ἔγνων, ἐδούλευσέ μοι· εἰς ἀκοὴν ὠτίου ὑπήκουσέ μου· υἱοὶ ἀλλότριοι ἐψεύσαντό μοι. Υἱοὶ ἀλλότριοι ἐπαλαιώθησαν καὶ ἐχώλαναν ἀπὸ τῶν τρίβων αὐτῶν. Ζῇ κύριος καὶ εὐλογητὸς ὁ θεός· καὶ ὑψωθήτω ὁ θεὸς τῆς σωτηρίας μου. Ὁ θεὸς ὁ διδοὺς ἐκδικήσεις ἐμοί· καὶ ὑποτάξας λαοὺς ὑπ᾽ ἐμέ· ὁ ῥύστης μου ἐξ ἐχθρῶν μου ὀργίλων. Ἀπὸ τῶν ἐπανισταμένων ἐπ᾽ ἐμὲ ὑψώσεις με· ἀπὸ ἀνδρὸς ἀδίκου ῥύσαί με. Διὰ τοῦτο ἐξομολογήσομαί σοι ἐν ἔθνεσι κύριε, καὶ τῷ ὀνόματί σου ψαλῶ. Μεγαλύνων τὰς σωτηρίας τοῦ βασιλέως· καὶ ποιῶν ἔλεος τῷ χριστῷ αὐτοῦ, τῷ Δαβὶδ καὶ τῷ σπέρματι αὐτοῦ ἕως αἰῶνος. Δόξα.

Εἰς τὸ τέλος ψαλμὸς τῷ Δαβίδ. ιη.

ὁ Ι οὐρανοὶ διηγοῦνται δόξαν θεοῦ· ποίησιν δὲ χειρῶν αὐτοῦ ἀναγγέλλει τὸ στερέωμα. Ἡμέρα τῇ ἡμέρᾳ ἐρεύγεται ῥῆμα· καὶ νὺξ νυκτὶ ἀναγγέλλει γνῶσιν. Οὐκ εἰσὶ λαλιαὶ οὐδὲ λόγοι ὧν οὐχὶ ἀκούονται αἱ φωναὶ αὐτῶν. Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν· καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν. Ἐν τῷ ἡλίῳ ἔθετο τὸ σκήνωμα αὐτοῦ· καὶ αὐτὸς ὡς νυμφίος ἐκπορευόμενος ἐκ παστοῦ αὐτοῦ. Ἀγαλλιάσεται ὡς γίγας δραμεῖν ὁδόν· ἀπ᾽ ἄκρου τοῦ οὐρανοῦ ἡ ἔξοδος αὐτοῦ. Καὶ τὸ κατάντημα αὐτοῦ, ἕως ἄκρου τοῦ

οὐρανοῦ. καὶ οὐκ ἔστιν ὃς ἀποκρυβήσεται τῆς θέρμης αὐτοῦ. Ὁ
νόμος κυρίου ἄμωμος ἐπιστρέφων ψυχάς. ἡ μαρτυρία κυρίου πι
στὴ σοφίζουσα νήπια. Τὰ δικαιώματα κυρίου εὐθεῖα εὐφραίνον
τα καρδίαν. ἡ ἐντολὴ κυρίου τηλαυγὴς φωτίζουσα ὀφθαλμούς.
Ὁ φόβος κυρίου ἁγνὸς, διαμένων εἰς αἰῶνα αἰῶνος. τὰ κρί
ματα κυρίου ἀληθινά. δεδικαιωμένα, ἐπὶ τὸ αὐτό. Ἐπιθυμητὰ
ὑπὲρ χρυσίον καὶ λίθον τίμιον πολύν. καὶ γλυκύτερα ὑπὲρ μέ
λι καὶ κηρίον. Καὶ γὰρ ὁ δοῦλός σου φυλάσσει αὐτά. ἐν τῷ
φυλάσσειν αὐτὰ ἀνταπόδοσις πολλή. Παραπτώματα τίς συ
νήσει. ἐκ τῶν κρυφίων μου καθάρισόν με. καὶ ἀπὸ ἀλλοτρίων
φεῖσαι τοῦ δούλου σου. Ἐὰν μή μου κατακυριεύσωσι. τότε ἄμω
μος ἔσομαι. καὶ καθαρισθήσομαι ἀπὸ ἁμαρτίας μεγάλης.
Καὶ ἔσονται εἰς εὐδοκίαν τὰ λόγια τοῦ στόματός μου. καὶ ἡ με
λέτη τῆς καρδίας μου ἐνώπιόν σου διαπαντός. Κύριε βοηθέ
μου καὶ λυτρωτά μου.

Εἰς τὸ τέλος ψαλμὸς τῷ Δαβίδ. ιθ

πακούσαί σου κύριος ἐν ἡμέρᾳ θλίψεως. ὑπερα
ε σπίσαί σου τὸ ὄνομα τοῦ θεοῦ Ἰακώβ. Ἐξαποστείλαι
σοι βοήθειαν ἐξ ἁγίου. καὶ ἐκ Σιὼν ἀντιλάβοιτό σου.
Μνησθείη πάσης θυσίας σου καὶ τὸ ὁλοκαύτωμά σου πιανάτω.
Δώη σοι κύριος κατὰ τὴν καρδίαν σου. καὶ πᾶσαν τὴν βουλήν
σου πληρώσαι. Ἀγαλλιασόμεθα ἐπὶ τῷ σωτηρίῳ σου. καὶ ἐν
ὀνόματι κυρίου θεοῦ ἡμῶν μεγαλυνθησόμεθα. Πληρώσαι κύρι
ος πάντα τὰ αἰτήματά σου. νῦν ἔγνων ὅτι ἔσωσε κύριος τὸν
χριστὸν αὐτοῦ. Ἐπακούσεται αὐτοῦ ἐξ οὐρανοῦ ἁγίου αὐτοῦ. ἐν
δυναστείαις ἡ σωτηρία τῆς δεξιᾶς αὐτοῦ. Οὗτοι ἐν ἅρμασι καὶ
οὗτοι ἐν ἵπποις. ἡμεῖς δὲ ἐν ὀνόματι κυρίου θεοῦ ἡμῶν ἐπικαλε
σόμεθα. Αὐτοὶ συνεποδίσθησαν καὶ ἔπεσον. ἡμεῖς δὲ ἀνέστη
μεν καὶ ἀνωρθώθημεν. Κύριε σῶσον τὸν βασιλέα καὶ ἐπάκου
σον ἡμῶν, ἐν ᾗ ἂν ἡμέρᾳ ἐπικαλεσώμεθά σε.

Ψαλμὸς τῷ Δαβίδ. κ'

Κύριε ἐν τῇ δυνάμει σου εὐφρανθήσεται ὁ βασι-
κ λεύς. καὶ ἐπὶ τῷ σωτηρίῳ σου ἀγαλλιάσεται σφό-
δρα. Τὴν ἐπιθυμίαν τῆς καρδίας αὐτοῦ, ἔδωκας
αὐτῷ. καὶ τὴν θέλησιν τῶν χειλέων αὐτοῦ, οὐκ ἐστέρησας αὐ-
τόν. Ὅτι προέφθασας αὐτὸν ἐν εὐλογίαις χρηστότητος. ἔθηκας
ἐπὶ τὴν κεφαλὴν αὐτοῦ στέφανον ἐκ λίθου τιμίου. Ζωὴν ᾐτή-
σατό σε, καὶ ἔδωκας αὐτῷ μακρότητα ἡμερῶν, εἰς αἰῶνα αἰῶ-
νος. Μεγάλη ἡ δόξα αὐτοῦ ἐν τῷ σωτηρίῳ σου. δόξαν καὶ
μεγαλοπρέπειαν ἐπιθήσεις ἐπ' αὐτόν. Ὅτι δώσεις αὐτῷ εὐλο-
γίαν εἰς αἰῶνα αἰῶνος. εὐφρανεῖς αὐτὸν ἐν χαρᾷ μετὰ τοῦ
προσώπου σου. Ὅτι ὁ βασιλεὺς ἐλπίζει ἐπὶ κύριον. καὶ ἐν τῷ
ἐλέει τοῦ ὑψίστου οὐ μὴ σαλευθῇ. Εὑρεθείη ἡ χείρ σου πᾶσι τοῖς
ἐχθροῖς σου. ἡ δεξιά σου εὕροι πάντας τοὺς μισοῦντάς σε. Ὅτι
θήσεις αὐτοὺς ὡς κλίβανον πυρὸς εἰς καιρὸν τοῦ προσώπου σου
κύριος ἐν ὀργῇ αὐτοῦ συνταράξει αὐτούς. καὶ καταφάγεται
αὐτοὺς πῦρ. Τὸν καρπὸν αὐτῶν ἀπὸ τῆς γῆς ἀπολεῖς. καὶ τὸ
σπέρμα αὐτῶν ἀπὸ υἱῶν ἀνθρώπων. Ὅτι ἔκλιναν εἰς σὲ κακά.
διελογίσαντο βουλὰς αἷς οὐ μὴ δύνωνται στῆναι. Ὅτι θήσεις αὐ-
τοὺς νῶτον ἐν τοῖς περιλοίποις σου. ἑτοιμάσεις τὸ πρόσωπον αὐ-
τῶν. Ὑψώθητι κύριε ἐν τῇ δυνάμει σου. ᾄσομεν καὶ ψαλοῦ-
μεν τὰς δυναστείας σου. Δόξα.

Εἰς τὸ τέλος ὑπὲρ τῆς ἀντιλήψεως τῆς
ἑωθινῆς, ψαλμὸς τῷ Δαβίδ κα'

Θεὸς ὁ θεός μου πρόσχες μοι, ἵνα τί ἐγκατέλιπές
ε με. μακρὰν ἀπὸ τῆς σωτηρίας μου οἱ λόγοι τῶν
παραπτωμάτων μου. Ὁ θεός μου κεκράξομαι ἡ-
μέρας. καὶ οὐκ εἰσακούσῃ. καὶ νυκτὸς καὶ οὐκ εἰς ἄνοιαν ἐμοί.
Σὺ δὲ ἐν ἁγίῳ κατοικεῖς ὁ ἔπαινος τοῦ ἰσραήλ. Ἐπὶ σοὶ ἤλπισαν
οἱ πατέρες ἡμῶν. ἤλπισαν καὶ ἐρρύσω αὐτούς. Πρὸς σὲ ἐκέ-

κραξαν καὶ ἐσώθησαν· ἐπὶ σοὶ ἤλπισαν· καὶ οὐ κατῃσχύνθησαν. Ἐγὼ
δέ εἰμι σκώληξ καὶ οὐκ ἄνθρωπος· ὄνειδος ἀνθρώπων καὶ ἐξου-
θένημα λαοῦ. Πάντες οἱ θεωροῦντές με ἐξεμυκτήρισάν με·
ἐλάλησαν ἐν χείλεσιν, ἐκίνησαν κεφαλήν. Ἤλπισεν ἐπὶ κύριον
ῥυσάσθω αὐτόν· σωσάτω αὐτὸν, ὅτι θέλει αὐτόν. Ὅτι σὺ εἶ ὁ ἐκ-
σπάσας με ἐκ γαστρός· ἡ ἐλπίς μου ἀπὸ μαστῶν τῆς μητρός μου. ἐπὶ
σὲ ἐπερρίφην ἐκ μήτρας. Ἀπὸ γαστρὸς μητρός μου θεός μου εἶ
σύ· μὴ ἀποστῇς ἀπ' ἐμοῦ. Ὅτι θλῖψις ἐγγύς· ὅτι οὐκ ἔστιν ὁ βοη-
θῶν μοι. Περιεκύκλωσάν με μόσχοι πολλοί· ταῦροι πίονες περι-
έσχον με. Ἤνοιξαν ἐπ' ἐμὲ τὸ στόμα αὐτῶν, ὡς λέων ἁρπάζων
καὶ ὠρυόμενος. Ὡσεὶ ὕδωρ ἐξεχύθη καὶ διεσκορπίσθη πάντα
τὰ ὀστᾶ μου. Ἐγενήθη ἡ καρδία μου ὡσεὶ κηρὸς τηκόμενος ἐν
μέσῳ τῆς κοιλίας μου. Ἐξηράνθη ὡς ὄστρακον ἡ ἰσχύς μου· καὶ ἡ
γλῶσσά μου κεκόλληται τῷ λάρυγγί μου· καὶ εἰς χοῦν θανάτου κα-
τήγαγές με. Ὅτι ἐκύκλωσάν με κύνες πολλοί· συναγωγὴ πο-
νηρευομένων περιέσχον με. Ὤρυξαν χεῖράς μου καὶ πόδας μου· ἐ-
ξηρίθμησαν πάντα τὰ ὀστᾶ μου· αὐτοὶ δὲ κατενόησαν καὶ ἐπεῖδόν με.
Διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς· καὶ ἐπὶ τὸν ἱματισμόν μου
ἔβαλον κλῆρον. Σὺ δὲ κύριε μὴ μακρύνῃς τὴν βοήθειάν σου ἀπ'
ἐμοῦ· εἰς τὴν ἀντίληψίν μου πρόσχες. Ῥῦσαι ἀπὸ ῥομφαίας τὴν
ψυχήν μου· καὶ ἐκ χειρὸς κυνὸς τὴν μονογενῆ μου. Σῶσόν με
ἐκ στόματος λέοντος· καὶ ἀπὸ κεράτων μονοκερώτων, τὴν τα-
πείνωσίν μου. Διηγήσομαι τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου· ἐν
μέσῳ ἐκκλησίας ὑμνήσω σε. Οἱ φοβούμενοι τὸν κύριον αἰνέσα-
τε αὐτόν· ἅπαν τὸ σπέρμα Ἰακὼβ δοξάσατε αὐτόν. Φοβηθή-
τω δὴ ἀπ' αὐτοῦ ἅπαν τὸ σπέρμα Ἰσραήλ. Ὅτι οὐκ ἐξουδένω-
σεν οὐδὲ προσώχθισε τῇ δεήσει τοῦ πτωχοῦ. Οὐδὲ ἀπέστρε-
ψε τὸ πρόσωπον αὐτοῦ ἀπ' ἐμοῦ· καὶ ἐν τῷ κεκραγέναι με πρὸς αὐ-
τὸν εἰσήκουσέ μου. Παρὰ σοῦ ὁ ἔπαινός μου· ἐν ἐκκλησίᾳ μεγά-
λῃ ἐξομολογήσομαί σοι· τὰς εὐχάς μου ἀποδώσω ἐνώπιον τῶν φο-

βουμένων αὐτόν. Φάγονται πένητες καὶ ἐμπλησθήσονται, καὶ αἰνέσουσι κύριον οἱ ἐκζητοῦντες αὐτόν. Ζήσονται αἱ καρδίαι αὐτῶν εἰς αἰῶνα αἰῶνος. Μνησθήσονται καὶ ἐπιστραφήσονται πρὸς κύριον πάντα τὰ πέρατα τῆς γῆς. Καὶ προσκυνήσουσιν ἐνώπιον αὐτοῦ πᾶσαι αἱ πατριαὶ τῶν ἐθνῶν. Οτι τοῦ κυρίου ἡ βασιλεία, καὶ αὐτὸς δεσπόζει τῶν ἐθνῶν. Εφαγον καὶ προσεκύνησαν πάντες οἱ πίονες τῆς γῆς· ἐνώπιον αὐτοῦ προπεσοῦνται πάντες οἱ καταβαίνοντες εἰς γῆν. Καὶ ἡ ψυχή μου αὐτῷ ζῇ, καὶ τὸ σπέρμα μου δουλεύσει αὐτῷ. Αναγγελήσεται τῷ κυρίῳ γενεὰ ἡ ἐρχομένη, καὶ ἀναγγελοῦσι τὴν δικαιοσύνην αὐτοῦ, λαῷ τῷ τεχθησομένῳ ὃν ἐποίησεν ὁ κύριος.

Ψαλμὸς τῷ Δαβίδ. κβ

Κύριος ποιμαίνει με, καὶ οὐδέν με ὑστερήσει. Εἰς τόπον χλόης ἐκεῖ με κατεσκήνωσεν. Επὶ ὕδατος ἀναπαύσεως ἐξέθρεψέ με. Τὴν ψυχήν μου ἐπέστρεψεν. Ο δήγησέ με ἐπὶ τρίβους δικαιοσύνης, ἕνεκεν τοῦ ὀνόματος αὐτοῦ. Εὰν γὰρ καὶ πορευθῶ, ἐν μέσῳ σκιᾶς θανάτου, οὐ φοβηθήσομαι κακά, ὅτι σὺ μετ' ἐμοῦ εἶ. Η ῥάβδος σου καὶ ἡ βακτηρία σου, αὗταί με παρεκάλεσαν. Ητοίμασας ἐνώπιόν μου τράπεζαν ἐξεναντίας τῶν θλιβόντων με. Ελίπανας ἐν ἐλαίῳ τὴν κεφαλήν μου, καὶ τὸ ποτήριόν σου μεθύσκον ὡσεὶ κράτιστον. Καὶ τὸ ἔλεός σου καταδιώξει με πάσας τὰς ἡμέρας τῆς ζωῆς μου. Καὶ τὸ κατοικεῖν με ἐν οἴκῳ κυρίου εἰς μακρότητα ἡμερῶν.

Ψαλμὸς τῷ Δαβίδ. τῆς μιᾶς σαββάτων. κγ

Τοῦ κυρίου ἡ γῆ καὶ τὸ πλήρωμα αὐτῆς, ἡ οἰκουμένη καὶ πάντες οἱ κατοικοῦντες ἐν αὐτῇ. Αὐτὸς ἐπὶ θαλασσῶν, ἐθεμελίωσεν αὐτήν, καὶ ἐπὶ ποταμῶν, ἡτοίμασεν αὐτήν. Τίς ἀναβήσεται εἰς τὸ ὄρος τοῦ κυρίου, ἢ τίς στήσεται ἐν τόπῳ ἁγίῳ αὐτοῦ. Αθῶος χερσὶ καὶ καθαρὸς τῇ καρδίᾳ, ὃς οὐκ ἔλαβεν ἐπὶ ματαίῳ τὴν ψυχὴν αὐτοῦ, καὶ οὐκ

ὤμοσεν ἐπὶ δόλῳ τῷ πλησίον αὐτοῦ. Οὗτος λήψεται εὐλο-
γίαν παρὰ κυρίου, καὶ ἐλεημοσύνην παρὰ θεοῦ σωτῆρος αὐτοῦ.
Αὕτη ἡ γενεά, ζητούντων τὸν κύριον. ζητούντων τὸ πρόσωπον
τοῦ θεοῦ ἰακώβ. Ἄρατε πύλας οἱ ἄρχοντες ὑμῶν, καὶ ἐπάρ-
θητε πύλαι αἰώνιοι, καὶ εἰσελεύσεται ὁ βασιλεὺς τῆς δόξης.
Τίς ἐστιν οὗτος ὁ βασιλεὺς τῆς δόξης. κύριος κραταιὸς καὶ δυ-
νατὸς κύριος δυνατὸς ἐν πολέμῳ. Ἄρατε πύλας οἱ ἄρχον-
τες ὑμῶν, καὶ ἐπάρθητε πύλαι αἰώνιοι. καὶ εἰσελεύσεται ὁ
βασιλεὺς τῆς δόξης. Τίς ἐστιν οὗτος ὁ βασιλεὺς τῆς δόξης.
κύριος τῶν δυνάμεων, αὐτός ἐστιν ὁ βασιλεὺς τῆς δόξης.

Δόξα κάθισμα. γ'

Ψαλμὸς τῷ Δαβίδ. κδ'

Ρὸς σὲ κύριε ἦρα τὴν ψυχήν μου ὁ θεός μου ἐπὶ
π σοὶ πέποιθα, μὴ καταισχυνθείην εἰς τὸν αἰῶνα.
Μὴ δὲ καταγελασάτωσάν με οἱ ἐχθροί μου. καὶ
γὰρ πάντες οἱ ὑπομένοντές σε, οὐ μὴ καταισχυνθῶσιν. Αἰ-
σχυνθήτωσαν οἱ ἀνομοῦντες διακενῆς. Τὰς ὁδούς σου κύριε
γνώρισόν μοι. καὶ τὰς τρίβους σου, δίδαξόν με. Ὁδήγησόν
με ἐπὶ τὴν ἀλήθειάν σου. καὶ δίδαξόν με, ὅτι σὺ εἶ ὁ θεὸς ὁ σω-
τήρ μου. καὶ σὲ ὑπέμεινα ὅλην τὴν ἡμέραν. Μνήσθητι τῶν
οἰκτιρμῶν σου κύριε, καὶ τὰ ἐλέη σου ὅτι ἀπὸ τοῦ αἰῶνός εἰ-
σιν. Ἁμαρτίας νεότητός μου καὶ ἀγνοίας μου, μὴ μνησθῇς.
Κατὰ τὸ ἔλεός σου μνήσθητί μου σύ, ἕνεκεν τῆς χρηστότητός
σου κύριε. Χρηστὸς καὶ εὐθὴς ὁ κύριος. διὰ τοῦτο νομοθετή-
σει ἁμαρτάνοντας ἐν ὁδῷ. Ὁδηγήσει πραεῖς ἐν κρίσει. δι-
δάξει πραεῖς ὁδοὺς αὐτοῦ. Πᾶσαι αἱ ὁδοὶ κυρίου ἔλεος καὶ
ἀλήθεια. τοῖς ἐκζητοῦσι τὴν διαθήκην αὐτοῦ. καὶ τὰ μαρτύρια
αὐτοῦ. Ἕνεκεν τοῦ ὀνόματός σου κύριε, καὶ ἱλάσθητι τῇ ἁμαρ-
τίᾳ μου πολλὴ γάρ ἐστι. Τίς ἄνθρωπος ὁ φοβούμενος τὸν
κύριον. νομοθετήσει αὐτῷ ἐν ὁδῷ, ᾗ ᾑρετίσατο. Ἡ ψυχὴ
αὐτοῦ

αὐτοῦ ἐν ἀγαθοῖς αὐλισθήσεται. καὶ τὸ σπέρμα αὐτοῦ κληρονο-
μήσει γῆν. Κραταίωμα κύριος τῶν φοβουμένων αὐτόν. καὶ ἡ
διαθήκη αὐτοῦ δηλώσει αὐτοῖς. Οἱ ὀφθαλμοί μου διὰ παντὸς
πρὸς τὸν κύριον, ὅτι αὐτὸς ἐκσπάσει ἐκ παγίδος τοὺς πόδας μου.
Ἐπίβλεψον ἐπ᾽ ἐμὲ καὶ ἐλέησόν με. ὅτι μονογενὴς καὶ πτωχὸς
εἰμὶ ἐγώ. Αἱ θλίψεις τῆς καρδίας μου ἐπληθύνθησαν. ἐκ τῶν ἀ-
ναγκῶν μου ἐξάγαγέ με, Ἴδε τὴν ταπείνωσίν μου καὶ τὸν κό-
πον μου. καὶ ἄφες πάσας τὰς ἁμαρτίας μου. Ἴδε τοὺς ἐ-
χθρούς μου ὅτι ἐπληθύνθησαν, καὶ μῖσος ἄδικον ἐμίσησάν με.
Φύλαξον τὴν ψυχήν μου καὶ ῥῦσαί με. μὴ καταισχυνθείην ὅτι
ἤλπισα ἐπὶ σέ. Ἄκακοι καὶ εὐθεῖς ἐκολλῶντό μοι, ὅτι ὑπέμεινά
σε κύριε. Λύτρωσαι ὁ θεὸς τὸν Ἰσραήλ, ἐκ πασῶν τῶν θλίψεων
αὐτοῦ.

Ψαλμὸς τοῦ Δαβίδ. κε.

Κ Ρῖνόν μοι κύριε ὅτι ἐγὼ ἐν ἀκακίᾳ μου ἐπορεύθην.
καὶ ἐπὶ τῷ κυρίῳ ἐλπίζων, οὐ μὴ ἀσθενήσω. Δοκί-
μασόν με κύριε καὶ πείρασόν με. πύρωσον τοὺς νε-
φρούς μου καὶ τὴν καρδίαν μου. Ὅτι τὸ ἔλεός σου κατέναντι τῶν
ὀφθαλμῶν μου ἐστί. καὶ εὐηρέστησα ἐν τῇ ἀληθείᾳ σου. Οὐκ ἐ-
κάθισα μετὰ συνεδρίου ματαιότητος. καὶ μετὰ παρανομούν-
των οὐ μὴ εἰσέλθω. Ἐμίσησα ἐκκλησίαν πονηρευομένων καὶ
μετὰ ἀσεβῶν οὐ μὴ καθίσω. Νίψομαι ἐν ἀθῴοις τὰς χεῖράς μου
καὶ κυκλώσω τὸ θυσιαστήριόν σου κύριε. Τοῦ ἀκοῦσαί με φω-
νῆς αἰνέσεώς σου καὶ διηγήσασθαι πάντα τὰ θαυμάσιά σου.
κύριε ἠγάπησα εὐπρέπειαν οἴκου σου. καὶ τόπον σκηνώματος
δόξης σου. Μὴ συναπολέσῃς μετὰ ἀσεβῶν τὴν ψυχήν μου. καὶ
μετὰ ἀνδρῶν αἱμάτων τὴν ζωήν μου. Ὧν ἐν χερσὶν αἱ ἀνομί-
αι. ἡ δεξιὰ αὐτῶν ἐπλήσθη δώρων. Ἐγὼ δὲ ἐν ἀκακίᾳ μου ἐπο-
ρεύθην. λύτρωσαί με κύριε καὶ ἐλέησόν με. Ὁ πούς μου ἔστη ἐν
εὐθύτητι. ἐν ἐκκλησίαις εὐλογήσω σε κύριε.

Ψαλμὸς τῷ Δαβίδ. πρὸ τοῦ χρισθῆναι. κϛ.

Υριος φωτισμός μου καὶ σωτήρ μου, τίνα φοβηθή-
κ σομαι. Κύριος ὑπερασπιστὴς τῆς ζωῆς μου, ἀπὸ τίνος
δειλιάσω. Ἐν τῷ ἐγγίζειν ἐπ᾽ ἐμὲ κακοῦντας, τοῦ φα-
γεῖν τὰς σάρκας μου. Οἱ θλίβοντές με καὶ οἱ ἐχθροί μου,
αὐτοὶ ἠσθένησαν καὶ ἔπεσον. Ἐὰν παρατάξηται ἐπ᾽ ἐμὲ παρεμ-
βολή, οὐ φοβηθήσεται ἡ καρδία μου. Ἐὰν ἐπαναστῇ ἐπ᾽ ἐμὲ πό-
λεμος ἐν ταύτῃ ἐγὼ ἐλπίζω. Μίαν ᾐτησάμην παρὰ κυρίου, ταύ-
την ζητήσω. τοῦ κατοικεῖν με ἐν οἴκῳ κυρίου πάσας τὰς ἡμέρας τῆς
ζωῆς μου. Τοῦ θεωρεῖν με τὴν τερπνότητα κυρίου, καὶ ἐπισκέ-
πτεσθαι τὸν ναὸν τὸν ἅγιον αὐτοῦ. Ὅτι ἔκρυψέ με ἐν σκηνῇ αὐ-
τοῦ, ἐν ἡμέρᾳ κακῶν μου, ἐσκέπασέ με ἐν ἀποκρύφῳ τῆς
σκηνῆς αὐτοῦ. Ἐν πέτρᾳ ὕψωσέ με. καὶ νῦν ἰδοὺ ὕψωσε κε-
φαλήν μου ἐπ᾽ ἐχθρούς μου. Ἐκύκλωσα καὶ ἔθυσα ἐν τῇ σκη-
νῇ αὐτοῦ θυσίαν αἰνέσεως καὶ ἀλαλαγμοῦ, ᾄσω καὶ ψαλῶ τῷ
κυρίῳ. Εἰσάκουσον κύριε τῆς φωνῆς μου ἧς ἐκέκραξα. ἐλέη-
σόν με, καὶ εἰσάκουσόν μου. Σοὶ εἶπεν ἡ καρδία μου. Κύρι-
ον ζητήσω, ἐξεζήτησέ σε τὸ πρόσωπόν μου, τὸ πρόσωπόν σου
κύριε ζητήσω. Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ᾽ ἐμοῦ,
καὶ μὴ ἐκκλίνῃς ἐν ὀργῇ ἀπὸ τοῦ δούλου σου. Βοηθός μου γε-
νοῦ μὴ ἀποσκορακίσῃς με. καὶ μὴ ἐγκαταλίπῃς με ὁ θεὸς ὁ σω-
τήρ μου. Ὅτι ὁ πατήρ μου καὶ ἡ μήτηρ μου ἐγκατέλιπόν
με. ὁ δὲ κύριος προσελάβετό με. Νομοθέτησόν με κύριε ἐν
τῇ ὁδῷ σου, καὶ ὁδήγησόν με ἐν τρίβῳ εὐθείᾳ ἕνεκα τῶν ἐ-
χθρῶν μου. Μὴ παραδῷς με εἰς ψυχὰς θλιβόντων με. ὅτι ἐπα-
νέστησάν μοι μάρτυρες ἄδικοι καὶ ἐψεύσατο ἡ ἀδικία ἑαυτῇ.
Πιστεύω τοῦ ἰδεῖν τὰ ἀγαθὰ κυρίου ἐν γῇ ζώντων. Ὑπόμεινον τὸν κύ-
ριον. ἀνδρίζου καὶ κραταιούσθω ἡ καρδία σου καὶ ὑπόμεινον τὸν κύ-
ριον.

Δόξα.

Ψαλμὸς τῷ Δαβίδ. κζ.

Ρὸς σὲ κύριε κεκράξομαι. ὁ θεός μου μὴ παρασιωπή
α σῃς ἀπ' ἐμοῦ. καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν
εἰς λάκκον. Εἰσάκουσον κύριε τῆς φωνῆς τῆς δεήσε
ώς μου. ἐν τῷ δέεσθαί με πρὸς σέ. ἐν τῷ αἴρειν με
χεῖράς μου πρὸς ναὸν ἅγιόν σου. Μὴ συνελκύσῃς με μετὰ ἁμαρ
τωλῶν. καὶ μετὰ ἐργαζομένων ἀδικίαν, μὴ συναπολέσῃς με.
Τῶν λαλούντων εἰρήνην μετὰ τῶν πλησίον αὐτῶν. κακὰ δὲ ἐν
ταῖς καρδίαις αὐτῶν. Δὸς αὐτοῖς κύριε κατὰ τὰ ἔργα αὐτῶν. καὶ
κατὰ τὴν πονηρίαν τῶν ἐπιτηδευμάτων αὐτῶν. Κατὰ τὰ ἔρ
γα τῶν χειρῶν αὐτῶν, δὸς αὐτοῖς. ἀπόδος τὸ ἀνταπόδομα αὐ
τῶν, αὐτοῖς. Ὅτι οὐ συνῆκαν εἰς τὰ ἔργα κυρίου. καὶ εἰς τὰ ἔργα
τῶν χειρῶν αὐτοῦ. καθελεῖς αὐτοὺς καὶ οὐ μὴ οἰκοδομήσεις αὐ
τούς. Εὐλογητὸς κύριος ὅτι εἰσήκουσε τῆς φωνῆς τῆς δεήσεώς
μου. Κύριος βοηθός μου καὶ ὑπερασπιστής μου. ἐπ' αὐτῷ ἤλπι
σεν ἡ καρδία μου. καὶ ἐβοηθήθην. Καὶ ἀνέθαλεν ἡ σάρξ μου
καὶ ἐκ θελήματός μου ἐξομολογήσομαι αὐτῷ. Κύριος κραταίω
μα τοῦ λαοῦ αὐτοῦ, καὶ ὑπερασπιστὴς τῶν σωτηρίων τοῦ χριστοῦ αὐ
τοῦ ἐστι. Σῶσον τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου
καὶ ποίμανον αὐτούς, καὶ ἔπαρον αὐτοὺς ἕως τοῦ αἰῶνος.

Ψαλμὸς τῷ Δαβίδ. Ἐξοδίου σκηνῆς κή.

Νέγκατε τῷ κυρίῳ υἱοὶ θεοῦ. ἐνέγκατε τῷ κυρίῳ υἱ
ε οὺς κριῶν. Ἐνέγκατε τῷ κυρίῳ δόξαν καὶ τιμήν. ἐνέγκα
τε τῷ κυρίῳ, δόξαν ὀνόματι αὐτοῦ. προσκυνήσατε τῷ
κυρίῳ ἐν αὐλῇ ἁγίᾳ αὐτοῦ. Φωνὴ κυρίου ἐπὶ τῶν ὑδάτων. ὁ θε
ὸς τῆς δόξης ἐβρόντησε, κύριος ἐπὶ ὑδάτων πολλῶν. Φωνὴ
κυρίου ἐν ἰσχύϊ. φωνὴ κυρίου ἐν μεγαλοπρεπείᾳ. Φωνὴ κυρί
ου συντρίβοντος κέδρους. καὶ συντρίψει κύριος τὰς κέδρους
τοῦ λιβάνου. Καὶ λεπτυνεῖ αὐτὰς ὡς τὸν μόσχον τὸν λίβανον. καὶ
ὁ ἠγαπημένος ὡς υἱὸς μονοκερώτων. Φωνὴ κυρίου διακόπτον
τος φλόγα πυρός. Φωνὴ κυρίου συσσείοντος ἔρημον. καὶ συσσείσει

κύριος τὴν ἔρημον κάδης. φωνὴ κυρίου καταρτιζομένη ἐλά-
φους. καὶ ἀποκαλύψει δρυμούς. καὶ ἐν τῷ ναῷ αὐτοῦ πᾶς τις
λέγει δόξαν. Κύριος τὸν κατακλυσμὸν κατοικιεῖ. καὶ καθιεῖται
κύριος βασιλεὺς εἰς τὸν αἰῶνα. κύριος ἰσχὺν τῷ λαῷ αὐτοῦ δώσει.
κύριος εὐλογήσει τὸν λαὸν αὐτοῦ ἐν εἰρήνῃ.

Ψαλμὸς ᾠδῆς τοῦ ἐγκαινι-
σμοῦ τοῦ οἴκου δαβίδ, κθ΄

ψώσω σε κύριε ὅτι ὑπέλαβές με. καὶ οὐκ εὔφρανας
ὑ τοὺς ἐχθρούς μου ἐπ᾽ ἐμέ. Κύριε ὁ θεός μου ἐκέ-
κραξα πρὸς σὲ καὶ ἰάσω με. Κύριε ἀνήγαγες ἐξ ᾅ-
δου τὴν ψυχήν μου. ἔσωσάς με ἀπὸ τῶν καταβαινόντων εἰς λάκκον.
Ψάλατε τῷ κυρίῳ οἱ ὅσιοι αὐτοῦ. καὶ ἐξομολογεῖσθε τῇ μνή-
μῃ τῆς ἁγιωσύνης αὐτοῦ. Ὅτι ὀργὴ ἐν τῷ θυμῷ αὐτοῦ. καὶ ζωὴ
ἐν τῷ θελήματι αὐτοῦ. Τὸ ἑσπέρας αὐλισθήσεται κλαυθμὸς,
καὶ εἰς τὸ πρωῒ ἀγαλλίασις. Ἐγὼ δὲ εἶπα ἐν τῇ εὐθυμίᾳ μου,
οὐ μὴ σαλευθῶ εἰς τὸν αἰῶνα. Κύριε ἐν τῷ θελήματί σου πα-
ράσχου τῷ κάλλει μου δύναμιν. Ἀπέστρεψας δὲ τὸ πρόσωπόν σου
μου καὶ ἐγενήθην τεταραγμένος. Πρὸς σὲ κύριε κεκράξομαι
καὶ πρὸς τὸν θεόν μου δεηθήσομαι. Τίς ὠφέλεια ἐν τῷ αἵματί
μου. ἐν τῷ καταβαίνειν με εἰς διαφθοράν. Μὴ ἐξομολογήσε-
ταί σοι χοῦς; ἢ ἀναγγελεῖ τὴν ἀλήθειάν σου; Ἤκουσε κύριος
καὶ ἠλέησέ με. κύριος ἐγενήθη βοηθός μου. Ἔστρεψας τὸν κοπε-
τόν μου εἰς χαρὰν ἐμοί. διέρρηξας τὸν σάκκον μου καὶ περιέζω-
σάς με εὐφροσύνην. Ὅπως ἂν ψάλῃ σοι ἡ δόξα μου καὶ οὐ μὴ
κατανυγῶ. κύριε ὁ θεός μου εἰς τὸν αἰῶνα ἐξομολογήσομαί
σοι. δόξα.

Εἰς τὸ τέλος ψαλμὸς τῷ
δαβίδ. ἐκστάσεως λ΄.

Πὶ σοὶ κύριε ἤλπισα μὴ καταισχυνθείην εἰς τὸν αἰῶ-
ἐ να. ἐν τῇ δικαιοσύνῃ σου ῥῦσαί με καὶ ἐξελοῦ με.

κλῖνον πρός με τὸ οὖς σου. τάχυνον τοῦ ἐξελέσθαί με. Γενοῦ
μοι εἰς θεὸν ὑπερασπιστήν. καὶ εἰς οἶκον καταφυγῆς τοῦ σῶσαί
με. Ὅτι κραταίωμά μου καὶ καταφυγή μου εἶ σύ. καὶ ἕνεκεν
τοῦ ὀνόματός σου. ὁδηγήσεις με καὶ διαθρέψεις με. Ἐξάξεις με
ἐκ παγίδος ταύτης ἧς ἔκρυψαν μοι. ὅτι σὺ εἶ ὁ ὑπερασπιστής
μου κύριε. εἰς χεῖράς σου παραθήσομαι τὸ πνεῦμά μου. Ἐλυ-
τρώσω με κύριε ὁ θεὸς τῆς ἀληθείας. Ἐμίσησας τοὺς διαφυλάσ-
σοντας ματαιότητας διακενῆς. Ἐγὼ δὲ ἐπὶ τῷ κυρίῳ ἤλπι-
σα. ἀγαλλιάσομαι καὶ εὐφρανθήσομαι ἐπὶ τῷ ἐλέει σου. Ὅτι
ἐπεῖδες ἐπὶ τὴν ταπείνωσίν μου. ἔσωσας ἐκ τῶν ἀναγκῶν τὴν
ψυχήν μου. καὶ οὐ συνέκλεισάς με εἰς χεῖρας ἐχθρῶν, ἔστη-
σας ἐν εὐρυχώρῳ τοὺς πόδας μου. Ἐλέησόν με κύριε, ὅτι θλίβομαι.
ἐταράχθη ἐν θυμῷ ὁ ὀφθαλμός μου. ἡ ψυχή μου καὶ ἡ γα-
στήρ μου. Ὅτι ἐξέλιπεν ἐν ὀδύνῃ ἡ ζωή μου. καὶ τὰ ἔτη μου ἐν
στεναγμοῖς. Ἠσθένησεν ἐν πτωχείᾳ ἡ ἰσχύς μου. καὶ τὰ ὀστᾶ μου
ἐταράχθησαν. Παρὰ πάντας τοὺς ἐχθρούς μου ἐγενήθην ὄ-
νειδος. καὶ τοῖς γείτοσί μου σφόδρα. καὶ φόβος τοῖς γνωστοῖς
μου. Οἱ θεωροῦντές με ἔξω ἔφυγον ἀπ᾽ ἐμοῦ. ἐπελήσθην ὡσεὶ
νεκρὸς ἀπὸ καρδίας. Ἐγενήθην ὡσεὶ σκεῦος ἀπολωλός. ὅ-
τι ἤκουσα ψόγον πολλῶν παροικούντων κυκλόθεν. Ἐν τῷ ἐ-
πισυναχθῆναι αὐτοὺς ἅμα ἐπ᾽ ἐμέ. τοῦ λαβεῖν τὴν ψυχήν μου
ἐβουλεύσαντο. Ἐγὼ δὲ ἐπὶ σοὶ κύριε ἤλπισα. εἶπα, σὺ εἶ ὁ θε-
ός μου ἐν ταῖς χερσί σου, οἱ κλῆροί μου. Ῥῦσαί με ἐκ χειρὸς ἐ-
χθρῶν μου, καὶ ἐκ τῶν καταδιωκόντων με. Ἐπίφανον τὸ πρό-
σωπόν σου ἐπὶ τὸν δοῦλόν σου. σῶσόν με ἐν τῷ ἐλέει σου. κύ-
ριε μὴ καταισχυνθείην, ὅτι ἐπεκαλεσάμην σε. Αἰσχυνθείησαν ἀσε-
βεῖς καὶ καταχθείησαν εἰς ᾅδου. Ἄλαλα γενηθήτω τὰ χείλη τὰ δό-
λια τὰ λαλοῦντα κατὰ τοῦ δικαίου ἀνομίαν, ἐν ὑπερηφανίᾳ,
καὶ ἐξουδενώσει. Ὡς πολὺ τὸ πλῆθος τῆς χρηστότητός σου
κύριε, ἧς ἔκρυψας τοῖς φοβουμένοις σε. Ἐξειργάσω τοῖς ἐλ-

πίζουσιν ἐπὶ σέ. ἐναντίον τῶν υἱῶν τῶν ἀνθρώπων. Καταχρύ-
ψεις αὐτοὺς ἐν ἀποκρύφῳ τοῦ προσώπου σου. ἀπὸ ταραχῆς ἀν-
θρώπων. Σκεπάσεις αὐτοὺς, ἐν σκηνῇ ἀπὸ ἀντιλογίας γλωσσῶν
εὐλογητὸς κύριος ὅτι ἐθαυμάστωσε τὸ ἔλεος αὐτοῦ. ἐν πόλει
περιοχῆς. Εγὼ δὲ εἶπα ἐν τῇ ἐκστάσει μου ἀπέῤῥιμμαι ἀπὸ
προσώπου τῶν ὀφθαλμῶν σου. Διὰ τοῦτο εἰσήκουσας τῆς φω-
νῆς τῆς δεήσεώς μου ἐν τῷ κεκραγέναι με πρὸς σέ. Αγαπήσα-
τε τὸν κύριον πάντες οἱ ὅσιοι αὐτοῦ. ὅτι ἀληθείας ἐκζητεῖ κύ-
ριος. καὶ ἀνταποδίδωσι τοῖς περισσῶς ποιοῦσιν ὑπερηφανί-
αν. Ανδρίζεσθε καὶ κραταιούσθω ἡ καρδία ὑμῶν, πάντες οἱ
ἐλπίζοντες ἐπὶ κύριον.

Ψαλμὸς τῷ Δαβὶδ συνέσεως λα.

Ακάριοι ὧν ἀφέθησαν αἱ ἀνομίαι. καὶ ὧν ἐπεκαλύ-
μ φθησαν αἱ ἁμαρτίαι. Μακάριος ἀνὴρ, ᾧ οὐ μὴ λογί-
σηται κύριος ἁμαρτίαν. οὐδὲ ἔστιν ἐν τῷ στόματι
αὐτοῦ δόλος. Οτι ἐσίγησα, ἐπαλαιώθη τὰ ὀστᾶ μου. ἀπὸ τοῦ κράζειν
με ὅλην τὴν ἡμέραν. Οτι ἡμέρας καὶ νυκτὸς, ἐβαρύνθη ἐπ' ἐ-
μὲ ἡ χείρ σου. ἐστράφην εἰς ταλαιπωρίαν, ἐν τῷ ἐμπαγῆναί
μοι ἄκανθαν. Τὴν ἀνομίαν μου ἐγνώρισα, καὶ τὴν ἁμαρτίαν
μου οὐκ ἐκάλυψα. Εἶπα ἐξαγορεύσω κατ' ἐμοῦ, τὴν ἀνομίαν
μου τῷ κυρίῳ, καὶ σὺ ἀφῆκας, τὴν ἀσέβειαν τῆς καρδίας μου
Υπὲρ ταύτης προσεύξεται πρὸς σὲ πᾶς ὅσιος ἐν καιρῷ εὐ-
θέτῳ. Πλὴν ἐν κατακλυσμῷ ὑδάτων πολλῶν, πρὸς αὐτὸν
οὐκ ἐγγιοῦσι. Σύ μου εἶ καταφυγὴ ἀπὸ θλίψεως τῆς περιε-
χούσης με, τὸ ἀγαλλίαμά μου λύτρωσαί με ἀπὸ τῶν κυκλωσάν-
των με. Συνετιῶ σε καὶ συμβιβῶ σε, ἐν ὁδῷ ταύτῃ ᾗ πορεύσῃ. ἐ-
πιστηριῶ ἐπὶ σὲ τοὺς ὀφθαλμούς μου. Μὴ γίνεσθε ὡς ἵππος καὶ
ἡμίονος οἷς οὐκ ἔστι σύνεσις. Εν κημῷ καὶ χαλινῷ τὰς σιαγό-
νας αὐτῶν ἄγξαις, τῶν μὴ ἐγγιζόντων πρὸς σέ. Πολλαὶ αἱ μάστι-
γες τοῦ ἁμαρτωλοῦ. τὸν δὲ ἐλπίζοντα ἐπὶ κύριον, ἔλεος κυκλώ-

σθε. Εὐφράνθητε ἐπὶ κύριον καὶ ἀγαλλιᾶσθε δίκαιοι. καὶ καυχᾶ-
σθε πάντες οἱ εὐθεῖς τῇ καρδίᾳ. Δόξα. κάθισμα δ'.

Ψαλμὸς τῷ δαβίδ. ἀνεπίγρα-
φος παρ' ἑβραίοις λβ'.

Ἀγαλλιᾶσθε δίκαιοι ἐν κυρίῳ. τοῖς εὐθέσι πρέπει αἴνε-
α σις. Ἐξομολογεῖσθε τῷ κυρίῳ ἐν κιθάρᾳ. ἐν ψαλτη-
ρίῳ δεκαχόρδῳ ψάλατε αὐτῷ. Ἄσατε αὐτῷ ᾆ-
σμα καινόν. καλῶς ψάλατε αὐτῷ ἐν ἀλαλαγμῷ. Ὅτι εὐθὺς ὁ
λόγος τοῦ κυρίου, καὶ πάντα τὰ ἔργα αὐτοῦ ἐν πίστει. Ἀγα-
πᾷ, ἐλεημοσύνην καὶ κρίσιν ὁ κύριος. τοῦ ἐλέους κυρίου πλή-
ρης ἡ γῆ. Τῷ λόγῳ κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν, καὶ τῷ
πνεύματι τοῦ στόματος αὐτοῦ, πᾶσα ἡ δύναμις αὐτῶν. Συνά-
γων ὡσεὶ ἀσκὸν, ὕδατα θαλάσσης. τιθεὶς ἐν θησαυροῖς ἀβύσ-
σους. Φοβηθήτω τὸν κύριον πᾶσα ἡ γῆ. ἀπ' αὐτοῦ δὲ σαλευ-
θήτωσαν πάντες οἱ κατοικοῦντες τὴν οἰκουμένην. Ὅτι αὐ-
τὸς εἶπε καὶ ἐγενήθησαν. αὐτὸς ἐνετείλατο καὶ ἐκτίσθησαν.
Κύριος διασκεδάζει βουλὰς ἐθνῶν. ἀθετεῖ δὲ λογισμοὺς λα-
ῶν. καὶ ἀθετεῖ βουλὰς ἀρχόντων. Ἡ δὲ βουλὴ τοῦ κυρίου εἰς τὸν
αἰῶνα μένει. λογισμοὶ τῆς καρδίας αὐτοῦ εἰς γενεὰν καὶ γενεάν.
Μακάριον τὸ ἔθνος οὗ ἐστι κύριος ὁ θεὸς αὐτοῦ. λαὸς ὃν ἐξελέ-
ξατο εἰς κληρονομίαν ἑαυτῷ. Ἐξ οὐρανοῦ ἐπέβλεψεν ὁ κύρι-
ος. εἶδε πάντας τοὺς υἱοὺς τῶν ἀνθρώπων. Ἐξ ἑτοίμου κατοικητη-
ρίου αὐτοῦ. ἐπέβλεψεν ἐπὶ πάντας τοὺς κατοικοῦντας τὴν
γῆν. Ὁ πλάσας κατὰ μόνας τὰς καρδίας αὐτῶν. ὁ συνι-
εὶς εἰς πάντα τὰ ἔργα αὐτῶν. Οὐ σώζεται βασιλεὺς, διὰ
πολλὴν δύναμιν. καὶ γίγας οὐ σωθήσεται ἐν πλήθει ἰσχύ-
ος αὐτοῦ. Ψευδὴς ἵππος εἰς σωτηρίαν. ἐν δὲ πλήθει δυ-
νάμεως αὐτοῦ οὐ σωθήσεται. Ἰδοὺ οἱ ὀφθαλμοὶ κυρίου ἐπὶ
τοὺς φοβουμένους αὐτόν. τοὺς ἐλπίζοντας ἐπὶ τὸ ἔλεος αὐ-
τοῦ. Ῥύσασθαι ἐκ θανάτου τὰς ψυχὰς αὐτῶν καὶ διαθρέψαι

αὐτοὺς ἐν λιμῷ. Ἡ δὲ ψυχὴ ἡμῶν ὑπομένει τῷ κυρίῳ. ὅτι βοηθὸς καὶ ὑπερασπιστὴς ἡμῶν ἐστιν. Ὅτι ἐν αὐτῷ εὐφρανθήσεται ἡ καρδία ἡμῶν. καὶ ἐν τῷ ὀνόματι τῷ ἁγίῳ αὐτοῦ ἠλπίσαμεν. Γένοιτο κύριε τὸ ἔλεός σου ἐφ' ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ.

Ψαλμὸς τῷ δαβίδ. ὅτε ἠλλοίωσε τὸ πρόσωπον αὐτοῦ ἐναντίον ἀβιμέλεχ καὶ ἀπέλυσεν αὐτὸν καὶ ἀπῆλθεν. λγ΄

Εὐλογήσω τὸν κύριον ἐν παντὶ καιρῷ. διαπαντὸς ἡ αἴνεσις αὐτοῦ ἐν τῷ στόματί μου. Ἐν τῷ κυρίῳ ἐπαινεθήσεται ἡ ψυχή μου ἀκουσάτωσαν πραεῖς καὶ εὐφρανθήτωσαν. Μεγαλύνατε τὸν κύριον σὺν ἐμοί. καὶ ὑψώσωμεν τὸ ὄνομα αὐτοῦ ἐπὶ τὸ αὐτό. Ἐξεζήτησα τὸν κύριον, καὶ ἐπήκουσέ μου. καὶ ἐκ πασῶν τῶν θλίψεών μου, ἐρρύσατό με. Προσέλθετε πρὸς αὐτὸν καὶ φωτίσθητε. καὶ τὰ πρόσωπα ὑμῶν, οὐ μὴ καταισχυνθῇ. Οὗτος ὁ πτωχὸς ἐκέκραξε, καὶ ὁ κύριος εἰσήκουσεν αὐτοῦ. καὶ ἐκ πασῶν τῶν θλίψεων αὐτοῦ ἔσωσεν αὐτόν. Παρεμβαλεῖ ἄγγελος κυρίου κύκλῳ τῶν φοβουμένων αὐτόν. καὶ ῥύσεται αὐτούς. Γεύσασθε καὶ ἴδετε ὅτι χρηστὸς ὁ κύριος. μακάριος ἀνὴρ ὃς ἐλπίζει ἐπ' αὐτόν. Φοβήθητε τὸν κύριον, πάντες οἱ ἅγιοι αὐτοῦ ὅτι οὐκ ἔστιν ὑστέρημα τοῖς φοβουμένοις αὐτόν. Πλούσιοι ἐπτώχευσαν καὶ ἐπείνασαν. οἱ δὲ ἐκζητοῦντες τὸν κύριον οὐκ ἐλαττωθήσονται παντὸς ἀγαθοῦ. Δεῦτε τέκνα ἀκούσατέ μου, φόβον κυρίου διδάξω ὑμᾶς. Τίς ἐστιν ἄνθρωπος ὁ θέλων ζωὴν ἀγαπῶν ἡμέρας ἰδεῖν ἀγαθάς. Παῦσον τὴν γλῶσσάν σου ἀπὸ κακοῦ. καὶ χείλη σου τοῦ μὴ λαλῆσαι δόλον. Ἔκκλινον ἀπὸ κακοῦ, καὶ ποίησον ἀγαθόν. ζήτησον εἰρήνην καὶ δίωξον αὐτήν. Ὀφθαλμοὶ κυρίου ἐπὶ δικαίους, καὶ ὦτα αὐτοῦ εἰς δέησιν αὐτῶν. Πρόσωπον δὲ κυρίου ἐπὶ ποιοῦντας κακὰ τοῦ ἐξολοθρεῦσαι ἐκ γῆς τὸ μνημόσυνον

αὐτῶν. Ἐκέκραξαν οἱ δίκαιοι καὶ ὁ κύριος εἰσήκουσεν αὐτῶν καὶ ἐκ πασῶν τῶν θλίψεων αὐτῶν, ἐρρύσατο αὐτούς. Ἐγγὺς κύριος τοῖς συντετριμμένοις τὴν καρδίαν. καὶ τοὺς ταπεινοὺς τῷ πνεύματι σώσει. Πολλαὶ αἱ θλίψεις τῶν δικαίων. καὶ ἐκ πασῶν αὐτῶν. ῥύσεται αὐτοὺς ὁ κύριος. Φυλάσσει κύριος πάντα τὰ ὀστᾶ αὐτῶν. ἓν ἐξ αὐτῶν οὐ συντριβήσεται. Θάνατος ἁμαρτωλῶν πονηρός. καὶ οἱ μισοῦντες τὸν δίκαιον πλημμελήσουσι. Λυτρώσεται κύριος ψυχὰς δούλων αὐτοῦ, καὶ οὐ μὴ πλημμελήσουσι, πάντες οἱ ἐλπίζοντες ἐπ' αὐτόν.

Δόξα.

Ψαλμὸς τοῦ Δαβίδ. λδ

Δίκασον κύριε τοὺς ἀδικοῦντάς με. πολέμησον τοὺς πολεμοῦντάς με. Ἐπιλαβοῦ ὅπλου καὶ θυρεοῦ, καὶ ἀνάστηθι εἰς τὴν βοήθειάν μου. Ἔκχεον ῥομφαίαν καὶ σύγκλεισον ἐξεναντίας τῶν καταδιωκόντων με. εἰπὸν τῇ ψυχῇ μου, σωτηρία σου εἰμὶ ἐγώ. Αἰσχυνθήτωσαν καὶ ἐντραπήτωσαν οἱ ζητοῦντες τὴν ψυχήν μου. Ἀποστραφήτωσαν εἰς τὰ ὀπίσω καὶ καταισχυνθήτωσαν οἱ λογιζόμενοί μοι κακά. Γενηθήτωσαν ὡσεὶ χνοῦς κατὰ πρόσωπον ἀνέμου. καὶ ἄγγελος κυρίου ἐκθλίβων αὐτούς. Γενηθήτω ἡ ὁδὸς αὐτῶν, σκότος καὶ ὀλίσθημα. καὶ ἄγγελος κυρίου καταδιώκων αὐτούς. Ὅτι δωρεὰν ἔκρυψάν μοι διαφθορὰν παγίδος αὐτῶν. ματαίως ὠνείδισαν τὴν ψυχήν μου. Ἐλθέτω αὐτῷ παγὶς ἣν οὐ γινώσκει. καὶ ἡ θήρα ἣν ἔκρυψε συλλαβέτω αὐτόν. καὶ ἐν τῇ παγίδι πεσεῖται ἐν αὐτῇ. Ἡ δὲ ψυχή μου ἀγαλλιάσεται ἐπὶ τῷ κυρίῳ. τερφθήσεται ἐπὶ τῷ σωτηρίῳ αὐτοῦ. Πάντα τὰ ὀστᾶ μου ἐροῦσι, κύριε κύριε τίς ὅμοιός σοι. Ῥυόμενος πτωχὸν ἐκ χειρὸς στερεωτέρων αὐτοῦ. καὶ πτωχὸν καὶ πένητα. ἀπὸ τῶν διαρπαζόντων αὐτόν. Ἀναστάντες μοι μάρτυρες ἄδικοι, ἃ οὐκ ἐγίνωσκον ἠρώτων με. Ἀνταπεδίδοσάν μοι πονηρὰ ἀντὶ ἀγα-

θεν· καὶ ἀτεκνίαν τῇ ψυχῇ μου. Ἐγὼ δὲ ἐν τῷ αὐτοὺς παρενοχλεῖν μοι, ἐνεδυόμην σάκκον. Καὶ ἐταπείνουν ἐν νηστείᾳ τὴν ψυχήν μου· καὶ ἡ προσευχή μου· εἰς κόλπον μου ἀποστραφήσεται. Ὡς πλησίον ὡς ἀδελφῷ ἡμετέρῳ οὕτως εὐηρέστουν· ὡς πενθῶν καὶ σκυθρωπάζων, οὕτως ἐταπεινούμην. Καὶ κατ᾽ ἐμοῦ εὐφράνθησαν καὶ συνήχθησαν· συνήχθησαν ἐπ᾽ ἐμὲ μάστιγες καὶ οὐκ ἔγνων. Διεσχίσθησαν καὶ οὐ κατενύγησαν. ἐπείρασάν με ἐξεμυκτήρισάν με μυκτηρισμῷ. ἔβρυξαν ἐπ᾽ ἐμὲ τοὺς ὀδόντας αὐτῶν. Κύριε πότε ἐπόψῃ. ἀποκατάστησον τὴν ψυχήν μου ἀπὸ τῆς κακουργίας αὐτῶν· ἀπὸ λεόντων τὴν μονογενῆ μου. Ἐξομολογήσομαί σοι ἐν ἐκκλησίᾳ πολλῇ· ἐν λαῷ βαρεῖ αἰνέσω σε. Μὴ ἐπιχαρείησάν μοι οἱ ἐχθραίνοντές μοι ἀδίκως· οἱ μισοῦντές με δωρεὰν καὶ διανεύοντες ὀφθαλμοῖς. Ὅτι ἐμοὶ μὲν εἰρηνικὰ ἐλάλουν· καὶ ἐπ᾽ ὀργὴν δόλους διελογίζοντο. Καὶ ἐπλάτυναν ἐπ᾽ ἐμὲ τὸ στόμα αὐτῶν. εἶπον εὖγε εὖγε εἶδον οἱ ὀφθαλμοὶ ἡμῶν.

Εἶδες κύριε μὴ παρασιωπήσῃς· κύριε μὴ ἀποστῇς ἀπ᾽ ἐμοῦ. Ἐξεγέρθητι κύριε καὶ πρόσχες τῇ κρίσει μου. ὁ θεός μου, καὶ ὁ κύριός μου εἰς τὴν δίκην μου. Κρῖνόν με κύριε κατὰ τὴν δικαιοσύνην σου. κύριε ὁ θεός μου καὶ μὴ ἐπιχαρείησάν μοι. Μὴ εἴποισαν ἐν καρδίαις αὐτῶν. Εὖγε εὖγε τῇ ψυχῇ ἡμῶν· μὴ δὲ εἴποιεν κατεπίομεν αὐτόν. Αἰσχυνθείησαν καὶ ἐντραπείησαν, ἅμα οἱ ἐπιχαίροντες τοῖς κακοῖς μου. Ἐνδυσάσθωσαν αἰσχύνην καὶ ἐντροπὴν οἱ μεγαλορρημονοῦντες ἐπ᾽ ἐμέ. Ἀγαλλιάσθωσαν καὶ εὐφρανθήτωσαν, οἱ θέλοντες τὴν δικαιοσύνην μου. Καὶ εἰπάτωσαν διαπαντὸς μεγαλυνθήτω ὁ κύριος οἱ θέλοντες τὴν εἰρήνην τοῦ δούλου αὐτοῦ. Καὶ ἡ γλῶσσά μου μελετήσει τὴν δικαιοσύνην σου· ὅλην τὴν ἡμέραν τὸν ἔπαινόν σου.

Εἰς τὸ τέλος τῷ παιδὶ κυρίου τῷ Δαβὶδ λε.

Ησὶν ὁ παράνομος τοῦ ἁμαρτάνειν ἐν ἑαυτῷ· οὐκ
φ ἔστι φόβος θεοῦ ἀπέναντι τῶν ὀφθαλμῶν αὐτοῦ.
Ὅτι ἐδόλωσεν ἐνώπιον αὐτοῦ, τοῦ εὑρεῖν τὴν ἀνομίαν αὐτοῦ καὶ μισῆσαι. Τὰ ῥήματα τοῦ στόματος αὐτοῦ ἀνομία καὶ δόλος· οὐκ ἠβουλήθη συνιέναι τοῦ ἀγαθῦναι. Ἀνομίαν διελογίσατο ἐπὶ τῆς κοίτης αὐτοῦ· παρέστη πάσῃ ὁδῷ, οὐκ ἀγαθῇ· κακίᾳ δὲ οὐ προσώχθισε. Κύριε ἐν τῷ οὐρανῷ τὸ ἔλεός σου· καὶ ἡ ἀλήθειά σου ἕως τῶν νεφελῶν. Ἡ δικαιοσύνη σου ὡς ὄρη θεοῦ, τὰ κρίματά σου, ἄβυσσος πολλή. Ἀνθρώπους καὶ κτήνη σώσεις κύριε. ὡς ἐπλήθυνας τὸ ἔλεός σου ὁ θεός. Οἱ δὲ υἱοὶ τῶν ἀνθρώπων ἐν σκέπῃ τῶν πτερύγων σου ἐλπιοῦσι. Μεθυσθήσονται ἀπὸ πιότητος οἴκου σου· καὶ τὸν χειμάρρουν τῆς τρυφῆς σου ποτιεῖς αὐτούς. Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς· ἐν τῷ φωτί σου ὀψόμεθα φῶς. Παράτεινον τὸ ἔλεός σου, τοῖς γινώσκουσί σε· καὶ τὴν δικαιοσύνην σου, τοῖς εὐθέσι τῇ καρδίᾳ. Μὴ ἐλθέτω μοι ποὺς ὑπερηφανίας· καὶ χεὶρ ἁμαρτωλοῦ μὴ σαλεύσαι με. Ἐκεῖ ἔπεσον πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν· ἐξώσθησαν, καὶ οὐ μὴ δύνωνται στῆναι. Δόξα.

Ψαλμὸς τοῦ Δαβίδ. λϛ΄

Η παραζήλου ἐν πονηρευομένοις μηδὲ ζήλου τοὺς
μ ποιοῦντας τὴν ἀνομίαν. Ὅτι ὡσεὶ χόρτος ταχὺ
ἀποξηρανθήσονται· καὶ ὡσεὶ λάχανα χλόης ταχὺ ἀποπεσοῦνται. Ελπισον ἐπὶ κύριον καὶ ποίει χρηστότητα· καὶ κατασκήνου τὴν γῆν καὶ ποιμανθήσῃ ἐπὶ τῷ πλούτῳ αὐτῆς. Κατατρύφησον τοῦ κυρίου, καὶ δώῃ σοι τὰ αἰτήματα τῆς καρδίας σου. Ἀποκάλυψον πρὸς κύριον τὴν ὁδόν σου· καὶ ἔλπισον ἐπ' αὐτόν, καὶ αὐτὸς ποιήσει. Καὶ ἐξοίσει ὡς φῶς τὴν δικαιοσύνην σου· καὶ τὸ κρίμά σου, ὡς μεσημβρίαν. Ὑποτάγηθι τῷ κυρίῳ, καὶ ἱκέτευσον αὐτόν. Μὴ παραζήλου ἐν τῷ κατευοδουμένῳ ἐν τῇ ὁδῷ αὐτοῦ. ἐν ἀνθρώπῳ ποιοῦντι παρανομίαν.

Παῦσαι ἀπὸ ὀργῆς, καὶ ἐγκατάλιπε θυμόν· μὴ παραζήλου ὥστε πονηρεύεσθαι. Ὅτι οἱ πονηρευόμενοι ἐξολοθρευθήσονται. οἱ δὲ ὑπομένοντες τὸν κύριον, αὐτοὶ κληρονομήσουσι γῆν. Καὶ ἔτι ὀλίγον καὶ οὐ μὴ ὑπάρξῃ ὁ ἁμαρτωλός. καὶ ζητήσεις τὸν τόπον αὐτοῦ καὶ οὐ μὴ εὕρῃς. Οἱ δὲ πραεῖς κληρονομήσουσι γῆν. καὶ κατατρυφήσουσιν ἐπὶ πλήθει εἰρήνης. Παρατηρήσεται ὁ ἁμαρτωλὸς τὸν δίκαιον. καὶ βρύξει ἐπ᾽ αὐτὸν τοὺς ὀδόντας αὐτοῦ. Ὁ δὲ κύριος ἐκγελάσεται αὐτόν. ὅτι προβλέπει ὅτι ἥξει ἡ ἡμέρα αὐτοῦ. Ῥομφαίαν ἐσπάσαντο οἱ ἁμαρτωλοί. ἐνέτειναν τόξον αὐτῶν. Τοῦ καταβαλεῖν πτωχὸν καὶ πένητα. τοῦ σφάξαι τοὺς εὐθεῖς τῇ καρδίᾳ. Ἡ ῥομφαία αὐτῶν εἰσέλθοι εἰς τὰς καρδίας αὐτῶν. καὶ τὰ τόξα αὐτῶν συντριβείη. Κρεῖσσον ὀλίγον τῷ δικαίῳ, ὑπὲρ πλοῦτον ἁμαρτωλῶν πολύν. Ὅτι βραχίονες ἁμαρτωλῶν συντριβήσονται. ὑποστηρίζει δὲ τοὺς δικαίους ὁ κύριος. Γινώσκει κύριος τὰς ὁδοὺς τῶν ἀμώμων. καὶ ἡ κληρονομία αὐτῶν, εἰς αἰῶνα ἔσται. Οὐ καταισχυνθήσονται ἐν καιρῷ πονηρῷ. καὶ ἐν ἡμέραις λιμοῦ, χορτασθήσονται. ὅτι οἱ ἁμαρτωλοὶ ἀπολοῦνται. Οἱ δὲ ἐχθροὶ τοῦ κυρίου. ἅμα τῷ δοξασθῆναι αὐτοὺς καὶ ὑψωθῆναι. ἐκλείποντες ὡσεὶ καπνὸς ἐξέλιπον. Δανείζεται ὁ ἁμαρτωλὸς, καὶ οὐκ ἀποτίσει. ὁ δὲ δίκαιος, οἰκτείρει καὶ δίδωσιν. Ὅτι οἱ εὐλογοῦντες αὐτὸν κληρονομήσουσι γῆν. οἱ δὲ καταρώμενοι αὐτὸν ἐξολοθρευθήσονται. Παρὰ κυρίου τὰ διαβήματα ἀνθρώπου κατευθύνεται. καὶ τὴν ὁδὸν αὐτοῦ θελήσει σφόδρα. Ὅταν πέσῃ οὐ καταραχθήσεται. ὅτι κύριος ἀντιστηρίζει χεῖρα αὐτοῦ. Νεώτερος ἐγενόμην, καὶ γὰρ ἐγήρασα. καὶ οὐκ εἶδον δίκαιον ἐγκαταλελειμμένον. οὐδὲ τὸ σπέρμα αὐτοῦ ζητοῦν ἄρτους. Ὅλην τὴν ἡμέραν ἐλεεῖ καὶ δανείζει ὁ δίκαιος. καὶ τὸ σπέρμα αὐτοῦ εἰς εὐλογίαν ἔσται. Ἔκκλινον ἀπὸ κακοῦ, καὶ ποίησον ἀγαθόν. καὶ κατασκήνου εἰς αἰῶνα αἰῶνος. Ὅτι κύριος ἀγα

πᾶ κρίσιν· καὶ οὐκ ἐγκαταλείψει τοὺς ὁσίους αὐτοῦ εἰς τὸν αἰῶ
να φυλαχθήσονται. Ἄνομοι δὲ ἐκδιωχθήσονται· καὶ σπέρμα
ἀσεβῶν ἐξολοθρευθήσεται. Δίκαιοι δὲ κληρονομήσουσι γῆν·
καὶ κατασκηνώσουσιν εἰς αἰῶνα αἰῶνος ἐπ' αὐτῆς. Στόμα
δικαίου μελετήσει σοφίαν· καὶ ἡ γλῶσσα αὐτοῦ, λαλήσει κρί-
σιν. Ὁ νόμος τοῦ θεοῦ αὐτοῦ ἐν καρδίᾳ αὐτοῦ· καὶ οὐχ ὑποσκε-
λισθήσεται τὰ διαβήματα αὐτοῦ. Κατανοεῖ ὁ ἁμαρτωλὸς τὸν
δίκαιον, καὶ ζητεῖ τοῦ θανατῶσαι αὐτόν. Ὁ δὲ κύριος οὐ μὴ
ἐγκαταλίποι αὐτὸν, εἰς τὰς χεῖρας αὐτοῦ· οὐδ' οὐ μὴ καταδικά-
σηται αὐτὸν, ὅταν κρίνηται αὐτῷ. Ὑπόμενον τὸν κύριον καὶ
φύλαξον τὴν ὁδὸν αὐτοῦ· καὶ ὑψώσει σε τοῦ κατακληρονομῆ-
σαι γῆν· ἐν τῷ ἐξολοθρεύεσθαι ἁμαρτωλοὺς ὄψει. Εἶδον τὸν
ἀσεβῆ ὑπερυψούμενον, καὶ ἐπαιρόμενον, ὡς τὰς κέδρους τοῦ
λιβάνου. Καὶ παρῆλθον καὶ ἰδοὺ οὐκ ἦν· καὶ ἐζήτησα αὐτὸν
καὶ οὐχ εὑρέθη ὁ τόπος αὐτοῦ. Φύλασσε ἀκακίαν, καὶ ἴδε εὐ-
θύτητα· ὅτι ἐστὶν ἐγκατάλειμμα ἀνθρώπῳ εἰρηνικῷ. Οἱ δὲ
παράνομοι ἐξολοθρευθήσονται ἐπιτοαυτό· τὰ ἐγκαταλείμμα-
τα τῶν ἀσεβῶν ἐξολοθρευθήσονται. Σωτηρία δὲ τῶν δικαί-
ων παρὰ κυρίου· καὶ ὑπερασπιστὴς αὐτῶν ἐστιν, ἐν καιρῷ θλί-
ψεως. Καὶ βοηθήσει αὐτοῖς κύριος καὶ ῥύσεται αὐτούς· καὶ
ἐξελεῖται αὐτοὺς ἐξ ἁμαρτωλῶν· καὶ σώσει αὐτοὺς, ὅτι ἤλπι-
σαν ἐπ' αὐτόν. Δόξα, κάθισμα. ε

Ψαλμὸς τῷ Δαβὶδ εἰς ἀνάμνησιν πε-
ρὶ τοῦ σαββάτου. λζ'

ύριε μὴ τῷ θυμῷ σου ἐλέγξῃς με· μηδὲ τῇ ὀρ-
κ γῇ σου παιδεύσῃς με. Ὅτι τὰ βέλη σου ἐνεπά-
γησάν μοι· καὶ ἐπεστήριξας ἐπ' ἐμὲ τὴν χεῖρά σου.
Οὐκ ἔστιν ἴασις ἐν τῇ σαρκί μου ἀπὸ προσώπου τῆς ὀργῆς σου·
οὐκ ἔστιν εἰρήνη ἐν τοῖς ὀστέοις μου, ἀπὸ προσώπου τῶν ἁμαρτιῶν
μου. Ὅτι αἱ ἀνομίαι μου ὑπερῆραν τὴν κεφαλήν μου· ὡσεὶ

φορτίον βαρὺ ἐβαρύνθησαν ἐπ' ἐμέ. Προσώζεσαν καὶ ἐσάπη-
σαν οἱ μώλωπές μου, ἀπὸ προσώπου τῆς ἀφροσύνης μου. Ἐτα-
λαιπώρησα καὶ κατεκάμφθην ἕως τέλους. ὅλην τὴν ἡμέραν,
σκυθρωπάζων ἐπορευόμην. Ὅτι αἱ ψόαι μου ἐπλήσθησαν ἐμ-
παιγμάτων καὶ οὐκ ἔστιν ἴασις ἐν τῇ σαρκί μου. Ἐκακώθην καὶ ἐ-
ταπεινώθην ἕως σφόδρα· ὠρυόμην ἀπὸ στεναγμοῦ τῆς καρδίας
μου. Κύριε ἐναντίον σου πᾶσα ἡ ἐπιθυμία μου καὶ ὁ στεναγμός
μου ἀπὸ σοῦ οὐκ ἀπεκρύβη. Ἡ καρδία μου ἐταράχθη· ἐγκατέ-
λιπέ με ἡ ἰσχύς μου· καὶ τὸ φῶς τῶν ὀφθαλμῶν μου, καὶ αὐτὸ οὐκ
ἔστι μετ' ἐμοῦ. Οἱ φίλοι μου καὶ οἱ πλησίον μου, ἐξ ἐναντίας μου
ἤγγισαν καὶ ἔστησαν. Καὶ οἱ ἔγγιστά μου, ἀπὸ μακρόθεν ἔστησαν· καὶ
ἐξεβιάζοντο, οἱ ζητοῦντες τὴν ψυχήν μου. Καὶ οἱ ζητοῦντες τὰ
κακά μοι, ἐλάλησαν ματαιότητας· καὶ δολιότητας ὅλην τὴν ἡ-
μέραν ἐμελέτησαν. Ἐγὼ δὲ ὡσεὶ κωφὸς οὐκ ἤκουον· καὶ ὡσεὶ
ἄλαλος οὐκ ἀνοίγων τὸ στόμα αὐτοῦ. Καὶ ἐγενόμην, ὡσεὶ ἄνθρω-
πος οὐκ ἀκούων· καὶ οὐκ ἔχων ἐν τῷ στόματι αὐτοῦ ἐλεγμούς.
Ὅτι ἐπὶ σοὶ κύριε ἤλπισα· σὺ εἰσακούσῃ κύριε ὁ θεός μου. Ὅτι εἶπα
μήποτε ἐπιχαρῶσί μοι οἱ ἐχθροί μου. Καὶ ἐν τῷ σαλευθῆναι
πόδας μου, ἐπ' ἐμὲ ἐμεγαλοῤῥημόνησαν. Ὅτι ἐγὼ εἰς μάστιγας ἕ-
τοιμος· καὶ ἡ ἀλγηδών μου ἐνώπιόν μου ἐστὶ διαπαντός. Ὅτι τὴν
ἀνομίαν μου ἐγὼ ἀναγγελῶ· καὶ μεριμνήσω ὑπὲρ τῆς ἁμαρτίας
μου. Οἱ δὲ ἐχθροί μου ζῶσι καὶ κεκραταίωνται ὑπὲρ ἐμέ· καὶ ἐπλη-
θύνθησαν οἱ μισοῦντές με ἀδίκως. Οἱ ἀνταποδιδόντες μοι κα-
κὰ ἀντὶ ἀγαθῶν, ἐνδιέβαλλόν με, ἐπεὶ κατεδίωκον ἀγαθωσύ-
νην. Μὴ ἐγκαταλίπῃς με κύριε ὁ θεός μου, μὴ ἀποστῇς ἀπ' ἐμοῦ.
Πρόσχες εἰς τὴν βοήθειάν μου, κύριε τῆς σωτηρίας μου.

Εἰς τὸ τέλος τῷ Ἰδιθοὺμ ᾠδὴ τῷ Δαβίδ. λη'

Εἶπα, φυλάξω τὰς ὁδούς μου, τοῦ μὴ ἁμαρτάνειν
με ἐν γλώσσῃ μου. Ἐθέμην τῷ στόματί μου φυ-
λακὴν, ἐν τῷ συστῆναι τὸν ἁμαρτωλὸν ἐναντί

ὄν μου. Ἐκωφώθην καὶ ἐταπεινώθην καὶ ἐσίγησα ἐξ ἀγαθῶν, καὶ τὸ ἄλγημά μου ἀνεκαινίσθη. Ἐθερμάνθη ἡ καρδία μου ἐντός μου. καὶ ἐν τῇ μελέτῃ μου ἐκκαυθήσεται πῦρ. Ἐλάλησα ἐν γλώσσῃ μου. γνώρισόν μοι κύριε τὸ πέρας μου. Καὶ τὸν ἀριθμὸν τῶν ἡμερῶν μου τίς ἐστιν, ἵνα γνῶ τί ὑστερῶ ἐγώ. Ἰδοὺ παλαιστὰς ἔθου τὰς ἡμέρας μου. καὶ ἡ ὑπόστασίς μου ὡσεὶ οὐθὲν ἐνώπιόν σου. Πλὴν τὰ σύμπαντα ματαιότης. πᾶς ἄνθρωπος ζῶν. μέντοιγε ἐν εἰκόνι διαπορεύεται ἄνθρωπος, πλὴν μάτην ταράσσεται. Θησαυρίζει καὶ οὐ γινώσκει τίνι συνάξει αὐτά. καὶ νῦν τίς ἡ ὑπομονή μου. οὐχὶ ὁ κύριος; καὶ ἡ ὑπόστασίς μου, παρὰ σοῦ ἐστιν. Ἀπὸ πασῶν τῶν ἀνομιῶν μου, ῥῦσαί με. ὄνειδος ἄφρονι ἔδωκάς με. Ἐκωφώθην καὶ οὐκ ἤνοιξα τὸ στόμα μου. ὅτι σὺ ἐποίησας. ἀπόστησον ἀπ᾽ ἐμοῦ τὰς μάστιγάς σου. Ἀπὸ γὰρ τῆς ἰσχύος τῆς χειρός σου, ἐγὼ ἐξέλιπον. ἐν ἐλεγμοῖς ὑπὲρ ἀνομίας ἐπαίδευσας ἄνθρωπον. Καὶ ἐξέτηξας ὡς ἀράχνην τὴν ψυχὴν αὐτοῦ. πλὴν μάτην πᾶς ἄνθρωπος. Εἰσάκουσον τῆς προσευχῆς μου κύριε, καὶ τῆς δεήσεώς μου. ἐνώτισαι τῶν δακρύων μου Μὴ παρασιωπήσῃς. ὅτι πάροικος ἐγώ εἰμι παρὰ σοί. καὶ παρεπίδημος, καθὼς πάντες οἱ πατέρες μου. Ἄνες μοι ἵνα ἀναψύξω, πρὸ τοῦ με ἀπελθεῖν, καὶ οὐκέτι οὐ μὴ ὑπάρξω.

Εἰς τὸ τέλος ψαλμὸς τῷ Δαβίδ. λθʹ

Ὑπομένων ὑπέμεινα τὸν κύριον, καὶ προσέσχε μοι. καὶ
β εἰσήκουσε τῆς δεήσεώς μου. Καὶ ἀνήγαγέ με
ἐκ λάκκου ταλαιπωρίας, καὶ ἀπὸ πηλοῦ ἰλύος.
Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου, καὶ κατεύθυνε τὰ διαβήματά μου. Καὶ ἐνέβαλεν εἰς τὸ στόμα μου, ᾆσμα καινόν, ὕμνον τῷ θεῷ ἡμῶν. Ὄψονται πολλοὶ καὶ φοβηθήσονται. καὶ ἐλπιοῦσιν ἐπὶ κύριον. Μακάριος ἀνήρ, οὗ ἐστι τὸ ὄνομα κυρίου ἐλπὶς αὐτοῦ καὶ οὐκ ἐπέβλεψεν εἰς ματαιότητας, καὶ μανίας ψευδεῖς. Πολλὰ ἐποίησας σὺ κύριε ὁ θεός μου τὰ θαυμάσιά σου. καὶ τοῖς

διαλογισμοῖς σου, οὐκ ἔστι τίς ὁμοιωθήσεταί σοι. Ἀπήγγει-
λα καὶ ἐλάλησα. ἐπληθύνθησαν ὑπὲρ ἀριθμόν. Θυσίαν καὶ
προσφορὰν, οὐκ ἠθέλησας. σῶμα δὲ κατηρτίσω μοι. Ὁλο-
καυτώματα καὶ περὶ ἁμαρτίας οὐκ ἐζήτησας. τότε εἶπον,
ἰδοὺ ἥκω. Ἐν κεφαλίδι βιβλίου γέγραπται περὶ ἐμοῦ, τοῦ
ποιῆσαι τὸ θέλημά σου ὁ θεός μου ἠβουλήθην. καὶ τὸν νόμον σου
ἐν μέσῳ τῆς κοιλίας μου. Εὐηγγελισάμην δικαιοσύνην ἐν
ἐκκλησίᾳ μεγάλῃ. Ἰδοὺ τὰ χείλη μου οὐ μὴ κωλύσω. κύριε
σὺ ἔγνως. Τὴν δικαιοσύνην σου, οὐκ ἔκρυψα ἐν τῇ καρδίᾳ
μου. τὴν ἀλήθειάν σου, καὶ τὸ σωτήριόν σου εἶπα. Οὐκ
ἔκρυψα τὸ ἔλεός σου καὶ τὴν ἀλήθειάν σου ἀπὸ συναγωγῆς
πολλῆς. Σὺ δὲ κύριε μὴ μακρύνῃς τοὺς οἰκτιρμούς σου ἀπ' ἐ-
μοῦ. τὸ ἔλεός σου καὶ ἡ ἀλήθειά σου, διαπαντὸς ἀντιλάβοιντό
μου. Ὅτι περιέσχον με κακὰ ὧν οὐκ ἔστιν ἀριθμός. κατέλα-
βόν με αἱ ἀνομίαι μου, καὶ οὐκ ἠδυνήθην τοῦ βλέπειν. Ἐπλη-
θύνθησαν ὑπὲρ τὰς τρίχας τῆς κεφαλῆς μου. καὶ ἡ καρδία μου
ἐγκατέλιπέ με. Εὐδόκησον κύριε τοῦ ῥύσασθαί με. κύριε εἰς τὸ
βοηθῆσαί μοι πρόσχες. Καταισχυνθείησαν καὶ ἐντραπείησαν
ἅμα. οἱ ζητοῦντες τὴν ψυχήν μου τοῦ ἐξᾶραι αὐτήν. Ἀπο-
στραφείησαν εἰς τὰ ὀπίσω καὶ καταισχυνθείησαν, οἱ θέλοντές μοι
κακά. Κομισάσθωσαν παραχρῆμα αἰσχύνην αὐτῶν, οἱ λέγον-
τές μοι. εὖγε εὖγε. Ἀγαλλιάσθωσαν καὶ εὐφρανθήτωσαν ἐ-
πὶ σοί, πάντες οἱ ζητοῦντές σε κύριε. Καὶ εἰπάτωσαν διαπαν-
τὸς μεγαλυνθήτω ὁ κύριος. οἱ ἀγαπῶντες τὸ σωτήριόν
σου. Ἐγὼ δὲ πτωχός εἰμι καὶ πένης, κύριος φροντιεῖ μου.
Βοηθός μου καὶ ὑπερασπιστής μου εἶ σὺ ὁ θεός μου, μὴ χρονίσῃς.
Δόξα.

Εἰς τὸ τέλος ψαλμὸς τῷ Δαβίδ. μ΄

Ακάριος ὁ συνιῶν ἐπὶ πτωχὸν καὶ πένητα. ἐν ἡμέρᾳ
μ πονηρᾷ ῥύσεται αὐτὸν ὁ κύριος. Κύριος διαφυλά-
ξαι αὐτὸν καὶ ζήσαι αὐτόν. καὶ μακαρίσαι αὐτὸν ἐν τῇ γῇ
καὶ μὴ παραδῷ αὐτὸν εἰς χεῖρας ἐχθρῶν αὐτοῦ. Κύριος βοηθή-
σει αὐτῷ ἐπὶ κλίνης ὀδύνης αὐτοῦ. ὅλην τὴν κοίτην αὐτοῦ, ἔστρε-
ψας ἐν τῇ ἀῤῥωστίᾳ αὐτοῦ. Ἐγὼ εἶπα, κύριε ἐλέησόν με, ἴασαι
τὴν ψυχήν μου. ὅτι ἥμαρτόν σοι. Οἱ ἐχθροί μου εἶπον κακά μοι.
πότε ἀποθανεῖται καὶ ἀπολεῖται τὸ ὄνομα αὐτοῦ. Καὶ εἰσεπορεύετο τοῦ
ἰδεῖν. μάτην ἐλάλει ἡ καρδία αὐτοῦ. συνήγαγεν ἀνομίαν ἑαυτῷ.
ἐξεπορεύετο ἔξω καὶ ἐλάλει ἐπιτοαυτό. Κατ' ἐμοῦ ἐψιθύριζον πάν-
τες οἱ ἐχθροί μου κατ' ἐμοῦ ἐλογίζοντο κακά μοι. Λόγον παρά-
νομον κατέθεντο κατ' ἐμοῦ. μὴ ὁ κοιμώμενος οὐχὶ προσθήσει τοῦ
ἀναστῆναι; Καὶ γὰρ ὁ ἄνθρωπος τῆς εἰρήνης μου ἐφ' ὃν ἤλπισα.
ὁ ἐσθίων ἄρτους μου ἐμεγάλυνεν ἐπ' ἐμὲ πτερνισμόν. Σὺ δὲ κύ-
ριε ἐλέησόν με. καὶ ἀνάστησόν με, καὶ ἀνταποδώσω αὐτοῖς. Ἐν τού-
τῳ ἔγνων ὅτι τεθέληκάς με. ὅτι οὐ μὴ ἐπιχαρῇ ὁ ἐχθρός μου
ἐπ' ἐμέ. Ἐμοῦ δὲ διὰ τὴν ἀκακίαν ἀντελάβου. καὶ ἐβεβαίω-
σάς με ἐνώπιόν σου εἰς τὸν αἰῶνα. Εὐλογητὸς κύριος ὁ θεὸς ἰσρα-
ὴλ ἀπὸ τοῦ αἰῶνος καὶ εἰς τὸν αἰῶνα. γένοιτο γένοιτο.

Εἰς τὸ τέλος εἰς σύνεσιν τοῖς υἱοῖς κορέ. μά.

Ν τρόπον ἐπιποθεῖ ἡ ἔλαφος ἐπὶ τὰς πηγὰς τῶν ὑδά-
ὃ των, οὕτως ἐπιποθεῖ ἡ ψυχή μου πρὸς σὲ ὁ θεός. Ἐδί-
ψησεν ἡ ψυχή μου πρὸς τὸν θεὸν τὸν ἰσχυρὸν τὸν ζῶντα
Πότε ἥξω καὶ ὀφθήσομαι τῷ προσώπῳ τοῦ θεοῦ. Ἐγενήθη τὰ
δάκρυά μου ἐμοὶ ἄρτος ἡμέρας καὶ νυκτός. ἐν τῷ λέγεσθαί
μοι καθ' ἑκάστην ἡμέραν, ποῦ ἐστιν ὁ θεός σου; Ταῦτα ἐμνήσθην
καὶ ἐξέχεα ἐπ' ἐμὲ τὴν ψυχήν μου. ὅτι διελεύσομαι ἐν τόπῳ
σκηνῆς θαυμαστῆς ἕως τοῦ οἴκου τοῦ θεοῦ. Ἐν φωνῇ ἀγαλλιάσεως
καὶ ἐξομολογήσεως ἤχου ἑορτάζοντος. Ἵνα τί περίλυπος εἶ ἡ
ψυχή μου, καὶ ἵνα τί συνταράσσεις με. Ἔλπισον ἐπὶ τὸν θεόν, ὅτι

ἐξομολογήσομαι αὐτῷ· σωτήριον τοῦ προσώπου μου καὶ ὁ θε-
ός μου. Πρὸς ἐμαυτὸν ἡ ψυχή μου ἐταράχθη· διὰ τοῦτο μνησθή-
σομαί σου ἐκ γῆς ἰορδάνου καὶ ἑρμωνιείμ, ἀπὸ ὄρους μικροῦ.
Ἄβυσσος ἄβυσσον ἐπικαλεῖται εἰς φωνὴν τῶν καταῤῥακτῶν σου.
Πάντες οἱ μετεωρισμοί σου, καὶ τὰ κύματά σου, ἐπ' ἐμὲ διῆλ-
θον. Ἡμέρας ἐντελεῖται κύριος τὸ ἔλεος αὐτοῦ· καὶ νυκτὸς ᾠδὴ
αὐτῷ παρ' ἐμοί· Προσευχὴ τῷ θεῷ τῆς ζωῆς μου. ἐρῶ τῷ
θεῷ ἀντιλήπτωρ μου εἶ. Διὰ τί μου ἐπελάθου, καὶ ἵνα τί σκυθρω-
πάζων πορεύομαι ἐν τῷ ἐκθλίβειν τὸν ἐχθρόν. Ἐν τῷ κατα-
θλᾶσθαι τὰ ὀστᾶ μου, ὠνείδιζόν με οἱ ἐχθροί μου. Ἐν τῷ λέγειν
αὐτούς μοι καθ' ἑκάστην ἡμέραν, ποῦ ἐστιν ὁ θεός σου. Ἵνα τί πε-
ρίλυπος εἶ ἡ ψυχή μου, καὶ ἵνα τί συνταράσσεις με. Ἔλπισον ἐ-
πὶ τὸν θεόν, ὅτι ἐξομολογήσομαι αὐτῷ· σωτήριον τοῦ προσώπου
μου· καὶ ὁ θεός μου.

Ψαλμὸς τῷ Δαβίδ· ἀνεπίγραφος
παρ' ἑβραίοις. μβ΄

Ρῖνόν μοι ὁ θεός, καὶ δίκασον τὴν δίκην μου, ἐξ ἔθνους
κ οὐχ ὁσίου· ἀπὸ ἀνθρώπου ἀδίκου, καὶ δολίου ῥῦσαί
με. Ὅτι σὺ εἶ ὁ θεὸς κραταίωμά μου· ἵνα τί ἀπώσω
με καὶ ἵνα τί σκυθρωπάζων πορεύομαι ἐν τῷ ἐκθλίβειν τὸν ἐ-
χθρόν; Ἐξαπόστειλον τὸ φῶς σου καὶ τὴν ἀλήθειάν σου· αὐτά με
ὡδήγησαν καὶ ἤγαγόν με εἰς ὄρος ἅγιόν σου· καὶ εἰς τὰ σκηνώ-
ματά σου. Καὶ εἰσελεύσομαι πρὸς τὸ θυσιαστήριον τοῦ θεοῦ· πρὸς
τὸν θεὸν τὸν εὐφραίνοντα τὴν νεότητά μου. Ἐξομολογήσομαί σοι
ἐν κιθάρᾳ ὁ θεὸς ὁ θεός μου· ἵνα τί περίλυπος εἶ ἡ ψυχή μου,
καὶ ἵνα τί συνταράσσεις με. Ἐλπισον ἐπὶ τὸν θεόν· ὅτι ἐξομολο-
γήσομαι αὐτῷ· σωτήριον τοῦ προσώπου μου, καὶ ὁ θεός μου.
Δόξα.

Εἰς τὸ τέλος τοῖς υἱοῖς κορὲ εἰς σύνεσιν. μγ΄.

Θεὸς ἐν τοῖς ὠσὶν ἡμῶν ἠκούσαμεν. καὶ οἱ πατέρες
ε ἡμῶν ἀνήγγειλαν ἡμῖν. Ἔργον, ὃ εἰργάσω ἐν ταῖς ἡ-
μέραις αὐτῶν, ἐν ἡμέραις ἀρχαίαις. Ἡ χείρ σου ἔ-
θνη ἐξωλόθρευσε, καὶ κατεφύτευσας αὐτούς· Ἐκάκωσας λαοὺς
καὶ ἐξέβαλες αὐτούς. Οὐ γὰρ ἐν τῇ ῥομφαίᾳ αὐτῶν. ἐκληρο-
νόμησαν γῆν. καὶ ὁ βραχίων αὐτῶν, οὐκ ἔσωσεν αὐτούς. Ἀλλ'
ἡ δεξιά σου, καὶ ὁ βραχίων σου καὶ ὁ φωτισμὸς τοῦ προσώπου
σου. ὅτι εὐδόκησας ἐν αὐτοῖς. Σὺ εἶ αὐτὸς ὁ βασιλεύς μου, καὶ
ὁ θεός μου, ὁ ἐντελλόμενος τὰς σωτηρίας ἰακώβ. Ἐν σοὶ τοὺς
ἐχθροὺς ἡμῶν κερατιοῦμεν. καὶ ἐν τῷ ὀνόματί σου ἐξουδενώσο-
μεν τοὺς ἐπανισταμένους ἡμῖν. Οὐ γὰρ ἐπὶ τῷ τόξῳ μου ἐλπιῶ, καὶ ἡ
ῥομφαία μου οὐ σώσει με. Ἔσωσας γὰρ ἡμᾶς ἐκ τῶν θλιβόν-
των ἡμᾶς. καὶ τοὺς μισοῦντας ἡμᾶς κατῄσχυνας. Ἐν τῷ θεῷ
ἐπαινεσθησόμεθα ὅλην τὴν ἡμέραν. καὶ ἐν τῷ ὀνόματί σου, ἐξομο-
λογησόμεθα εἰς τὸν αἰῶνα. Νυνὶ δὲ ἀπώσω καὶ κατῄσχυνας
ἡμᾶς. καὶ οὐκ ἐξελεύσῃ ὁ θεὸς ἐν ταῖς δυνάμεσιν ἡμῶν. Ἀπέ-
στρεψας ἡμᾶς εἰς τὰ ὀπίσω παρὰ τοὺς ἐχθροὺς ἡμῶν. καὶ οἱ μι-
σοῦντες ἡμᾶς διήρπαζον ἑαυτοῖς. Ἔδωκας ἡμᾶς ὡς πρόβα-
τα βρώσεως. καὶ ἐν τοῖς ἔθνεσι διέσπειρας ἡμᾶς. Ἀπέδου
τὸν λαόν σου ἄνευ τιμῆς. καὶ οὐκ ἦν πλῆθος ἐν τοῖς ἀλαλάγμασιν
αὐτῶν. Ἔθου ἡμᾶς ὄνειδος τοῖς γείτοσιν ἡμῶν, μυκτηρισμὸν καὶ
χλευασμὸν τοῖς κύκλῳ ἡμῶν. Ἔθου ἡμᾶς εἰς παραβολὴν
ἐν τοῖς ἔθνεσι. κίνησιν κεφαλῆς ἐν τοῖς λαοῖς. Ὅλην τὴν ἡμέ-
ραν ἡ ἐντροπή μου κατεναντίον μου ἐστί. καὶ ἡ αἰσχύνη τοῦ προ-
σώπου μου ἐκάλυψέ με. Ἀπὸ φωνῆς ὀνειδίζοντος καὶ καταλαλοῦν-
τος. ἀπὸ προσώπου ἐχθροῦ καὶ ἐκδιώκοντος. Ταῦτα πάντα
ἦλθεν ἐφ' ἡμᾶς, καὶ οὐκ ἐπελαθόμεθά σου. καὶ οὐκ ἠδικήσαμεν ἐν
τῇ διαθήκῃ σου. Καὶ οὐκ ἀπέστη εἰς τὰ ὀπίσω ἡ καρδία ἡμῶν.
καὶ ἐξέκλινας τὰς τρίβους ἡμῶν ἀπὸ τῆς ὁδοῦ σου. Ὅτι ἐταπείνω-
σας ἡμᾶς ἐν τόπῳ κακώσεως. καὶ ἐπεκάλυψεν ἡμᾶς σκιὰ θανάτου.

εἰ ἐπελαθόμεθα τοῦ ὀνόματος τοῦ θεοῦ ἡμῶν, καὶ εἰ διεπετάσα-
μεν χεῖρας ἡμῶν πρὸς θεὸν ἀλλότριον. Οὐχὶ ὁ θεὸς ἐκζητήσει
ταῦτα; αὐτὸς γὰρ γινώσκει τὰ κρύφια τῆς καρδίας. Ὅτι ἕνεκά
σου θανατούμεθα ὅλην τὴν ἡμέραν. ἐλογίσθημεν ὡς πρόβα-
τα σφαγῆς. Ἐξεγέρθητι. ἵνα τί ὑπνοῖς κύριε; ἀνάστηθι καὶ μὴ
ἀπώσῃ εἰς τέλος. ἵνα τί τὸ πρόσωπόν σου ἀποστρέφεις. ἐπιλαν-
θάνῃ τῆς πτωχείας ἡμῶν, καὶ τῆς θλίψεως ἡμῶν. Ὅτι ἐταπεινώ-
θη εἰς χοῦν ἡ ψυχὴ ἡμῶν. ἐκολλήθη εἰς γῆν ἡ γαστὴρ ἡμῶν. Ἀ-
νάστα κύριε βοήθησον ἡμῖν, καὶ λύτρωσαι ἡμᾶς ἕνεκεν τοῦ ὀνόμα-
τός σου.

Εἰς τὸ τέλος ὑπὲρ τῶν ἀλλοιωθησομένων τοῖς
υἱοῖς κορὲ εἰς σύνεσιν, ᾠδὴ, ὑ-
πὲρ τοῦ ἀγαπητοῦ. μδ´.

Ἐξηρεύξατο ἡ καρδία μου λόγον ἀγαθόν. λέγω ἐγὼ
ξ τὰ ἔργα μου τῷ βασιλεῖ. Ἡ γλῶσσά μου κάλαμος
γραμματέως ὀξυγράφου. Ὡραῖος κάλλει παρὰ τοὺς
υἱοὺς τῶν ἀνθρώπων. ἐξεχύθη χάρις ἐν χείλεσί σου. διὰ τοῦτο εὐ-
λόγησέ σε ὁ θεὸς εἰς τὸν αἰῶνα. Περίζωσαι τὴν ῥομφαίαν σου ἐπὶ
τὸν μηρόν σου δυνατέ. Τῇ ὡραιότητί σου, καὶ τῷ κάλλει σου. καὶ
ἔντεινον καὶ κατευοδοῦ καὶ βασίλευε. Ἕνεκεν ἀληθείας καὶ πρα-
ότητος καὶ δικαιοσύνης. καὶ ὁδηγήσει σε θαυμαστῶς ἡ δεξιά
σου. Τὰ βέλη σου ἠκονημένα δυνατέ. λαοὶ ὑπὸ κάτω σου πεσοῦν-
ται ἐν καρδίᾳ τῶν ἐχθρῶν τοῦ βασιλέως. Ὁ θρόνος σου ὁ θεὸς
εἰς τὸν αἰῶνα τοῦ αἰῶνος ῥάβδος εὐθύτητος, ἡ ῥάβδος τῆς βασιλεί-
ας σου. Ἠγάπησας δικαιοσύνην, καὶ ἐμίσησας ἀνομίαν. διὰ
τοῦτο ἔχρισέ σε ὁ θεὸς ὁ θεός σου, ἔλαιον ἀγαλλιάσεως παρὰ
τοὺς μετόχους σου. Σμύρνα καὶ στακτὴ καὶ κασία ἀπὸ τῶν ἱματί-
ων σου. ἀπὸ βάρεων ἐλεφαντίνων ἐξ ὧν εὔφρανάν σε. θυγατέρες
βασιλέων ἐν τῇ τιμῇ σου. Παρέστη ἡ βασίλισσα ἐκ δεξιῶν σου.
ἐν ἱματισμῷ διαχρύσῳ περιβεβλημένη πεποικιλμένη. Ἄκου-

σου θύγατερ καὶ ἴδε, καὶ κλῖνον τὸ οὖς σου· καὶ ἐπιλάθου τοῦ λα-
οῦ σου, καὶ τοῦ οἴκου τοῦ πατρός σου. Καὶ ἐπιθυμήσει ὁ βασιλεὺς
τοῦ κάλλους σου. ὅτι αὐτός ἐστι κύριός σου, καὶ προσκυνήσεις αὐ-
τῷ. Καὶ θυγάτηρ τύρου ἐν δώροις. τὸ πρόσωπόν σου λιτανεύ-
σουσιν οἱ πλούσιοι τοῦ λαοῦ. Πᾶσα ἡ δόξα τῆς θυγατρὸς τοῦ βα-
σιλέως ἔσωθεν. ἐν κροσσωτοῖς χρυσοῖς περιβεβλημένη πεποικιλ-
μένη. ἀπενεχθήσονται τῷ βασιλεῖ παρθένοι ὀπίσω αὐτῆς. αἱ
πλησίον αὐτῆς ἀπενεχθήσονταί σοι. Ἀπενεχθήσονται ἐν εὐ-
φροσύνῃ καὶ ἀγαλλιάσει. ἀχθήσονται εἰς ναὸν βασιλέως. Ἀντὶ τῶν
πατέρων σου, ἐγεννήθησαν οἱ υἱοί σου. καταστήσεις αὐτοὺς ἄρχον-
τας ἐπὶ πᾶσαν τὴν γῆν. Μνησθήσομαι τοῦ ὀνόματός σου ἐν πά-
σῃ γενεᾷ, καὶ γενεᾷ. Διὰ τοῦτο λαοὶ ἐξομολογήσονταί σοι εἰς τὸν
αἰῶνα. καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Εἰς τὸ τέλος ὑπὲρ τῶν υἱῶν κορὲ ὑπὲρ τῶν κρυ-
φίων ψαλμός. μέ.

Θεὸς ἡμῶν καταφυγὴ καὶ δύναμις. βοηθὸς ἐν θλί-
β ψεσι ταῖς εὑρούσαις ἡμᾶς σφόδρα. Διὰ τοῦτο οὐ φο-
βηθησόμεθα ἐν τῷ ταράσσεσθαι τὴν γῆν. καὶ μετα-
τίθεσθαι ὄρη ἐν καρδίαις θαλασσῶν. Ἤχησαν καὶ ἐταράχθησαν
τὰ ὕδατα αὐτῶν. ἐταράχθησαν τὰ ὄρη ἐν τῇ κραταιότητι αὐτοῦ.
Τοῦ ποταμοῦ τὰ ὁρμήματα εὐφραίνουσι τὴν πόλιν τοῦ θεοῦ.
ἡγίασε τὸ σκήνωμα αὐτοῦ ὁ ὕψιστος. Ὁ θεὸς ἐν μέσῳ αὐτῆς,
καὶ οὐ σαλευθήσεται. βοηθήσει αὐτῇ ὁ θεὸς τὸ πρὸς πρωῒ πρωΐ. Ἐ-
ταράχθησαν ἔθνη. ἔκλιναν βασιλεῖαι. ἔδωκε φωνὴν αὐτοῦ ὁ ὕψι-
στος, ἐσαλεύθη ἡ γῆ. Κύριος τῶν δυνάμεων μεθ' ἡμῶν. ἀντιλήπτωρ
ἡμῶν ὁ θεὸς ἰακώβ. Δεῦτε καὶ ἴδετε τὰ ἔργα τοῦ θεοῦ. ἃ ἔθετο τέ-
ρατα ἐπὶ τῆς γῆς. ἀνταναιρῶν πολέμους μέχρι τῶν περάτων τῆς
γῆς. Τόξον συντρίψει καὶ συνθλάσει ὅπλον. καὶ θυρεοὺς κατα-
καύσει ἐν πυρί. Σχολάσατε καὶ γνῶτε, ὅτι ἐγώ εἰμι ὁ θεός.
ὑψωθήσομαι ἐν τοῖς ἔθνεσιν. ὑψωθήσομαι ἐν τῇ γῇ. Κύριος

τῶν δυνάμεων μεθ' ἡμῶν· ἀντιλήπτωρ ἡμῶν ὁ θεὸς ἰακώβ.

Δόξα κάθισμα. ϛ´

Εἰς τὸ τέλος ὑπὲρ τῶν υἱῶν κορὲ ψαλμός. μϛ´

Αντα τὰ ἔθνη κροτήσατε χεῖρας· ἀλαλάξατε τῷ θε-
π ῷ ἐν φωνῇ ἀγαλλιάσεως. Οτι κύριος ὕψιστος· φοβερὸς
βασιλεὺς μέγας, ἐπὶ πᾶσαν τὴν γῆν. Υπέταξε λα-
οὺς ἡμῖν, καὶ ἔθνη ὑπὸ τοὺς πόδας ἡμῶν. Εξελέξατο ἡμῖν τὴν κλη-
ρονομίαν ἑαυτοῦ· τὴν καλλονὴν ἰακὼβ, ἣν ἠγάπησεν. Ανέβη ὁ
θεὸς ἐν ἀλαλαγμῷ· κύριος ἐν φωνῇ σάλπιγγος. Ψάλατε τῷ
θεῷ ἡμῶν, ψάλατε· ψάλατε τῷ βασιλεῖ ἡμῶν, ψάλατε. Οτι
βασιλεὺς πάσης τῆς γῆς ὁ θεὸς, ψάλατε συνετῶς. Εβασίλευ-
σεν ὁ θεὸς ἐπὶ τὰ ἔθνη· ὁ θεὸς κάθηται ἐπὶ θρόνου ἁγίου αὐ-
τοῦ. Αρχοντες λαῶν συνήχθησαν μετὰ τοῦ θεοῦ ἀβραάμ, ὅτι
τοῦ θεοῦ οἱ κραταιοὶ, τῆς γῆς σφόδρα ἐπήρθησαν.

Ψαλμὸς ᾠδῆς τοῖς υἱοῖς κορὲ
δευτέρᾳ σαββάτου. μζ´

Εγας κύριος, καὶ αἰνετὸς σφόδρα· ἐν πόλει τοῦ θεοῦ ἡ-
μ μῶν ἐν ὄρει ἁγίῳ αὐτοῦ. Εὐρίζων ἀγαλλιάματι πά-
σης τῆς γῆς· ὄρη σιὼν τὰ πλευρὰ τοῦ βοῤῥᾶ· ἡ πόλις
τοῦ βασιλέως τοῦ μεγάλου. Ο θεὸς ἐν ταῖς βάρεσιν αὐτῆς γι-
νώσκεται· ὅταν ἀντιλαμβάνηται αὐτῆς. Οτι ἰδοὺ οἱ βασιλεῖς
τῆς γῆς συνήχθησαν ἐπὶ τὸ αὐτό. Αὐτοὶ ἰδόντες οὕτως ἐθαύμα-
σαν· ἐταράχθησαν, ἐσαλεύθησαν· τρόμος ἐπελάβετο αὐτῶν.
Εκεῖ ὠδῖνες ὡς τικτούσης· ἐν πνεύματι βιαίῳ συντρίψεις πλοῖα
θαρσεῖς. Καθάπερ ἠκούσαμεν, οὕτως καὶ εἴδομεν· ἐν πό-
λει κυρίου τῶν δυνάμεων, ἐν πόλει τοῦ θεοῦ ἡμῶν. Ο θεὸς ἐθε-
μελίωσεν αὐτὴν εἰς τὸν αἰῶνα. ὑπελάβομεν ὁ θεὸς τὸ ἔλεός
σου, ἐν μέσῳ τοῦ λαοῦ σου. Κατὰ τὸ ὄνομά σου ὁ θεὸς, οὕτως
καὶ ἡ αἴνεσίς σου ἐπὶ τὰ πέρατα τῆς γῆς, δικαιοσύνης πλήρης
ἡ δεξιά σου. Εὐφρανθήτω ὄρος σιὼν, καὶ ἀγαλλιάσθωσαν αἱ θυ-

γατέρες τῆς Ἰουδαίας ἕνεκεν τῶν κριμάτων σου κύριε. Κυκλώσατε Σιὼν, καὶ περιλάβετε αὐτὴν, διηγήσασθε ἐν τοῖς πύργοις αὐτῆς. Θέσθε τὰς καρδίας ὑμῶν εἰς τὴν δύναμιν αὐτῆς. καὶ καταδιέλεσθε τὰς βάρεις αὐτῆς. ὅπως ἂν διηγήσησθε εἰς γενεὰν ἑτέραν. Ὅτι οὗτός ἐστιν ὁ θεὸς ἡμῶν. εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. αὐτὸς ποιμανεῖ ἡμᾶς εἰς τοὺς αἰῶνας.

Εἰς τὸ τέλος τοῖς υἱοῖς Κορὲ ψαλμός. μή

Κούσατε ταῦτα πάντα τὰ ἔθνη. ἐνωτίσασθε πάντες
ἀ οἱ κατοικοῦντες τὴν οἰκουμένην. Οἵ τε γηγενεῖς
καὶ υἱοὶ τῶν ἀνθρώπων. ἐπὶ τὸ αὐτὸ πλούσιος καὶ πένης.

Τὸ στόμα μου λαλήσει σοφίαν, καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν. Κλινῶ εἰς παραβολὴν, τὸ οὖς μου. ἀνοίξω ἐν ψαλτηρίῳ τὸ πρόβλημά μου. Ἵνα τί φοβοῦμαι ἐν ἡμέρᾳ πονηρᾷ. ἡ ἀνομία τῆς πτέρνης μου, κυκλώσει με. Οἱ πεποιθότες ἐπὶ τῇ δυνάμει αὐτῶν, καὶ ἐπὶ τῷ πλήθει τοῦ πλούτου αὐτῶν καυχώμενοι. Ἀδελφὸς οὐ λυτροῦται, λυτρώσεται ἄνθρωπος; οὐ δώσει τῷ θεῷ ἐξίλασμα ἑαυτοῦ; Καὶ τὴν τιμὴν τῆς λυτρώσεως τῆς ψυχῆς αὐτοῦ. καὶ ἐκοπίασεν εἰς τὸν αἰῶνα, καὶ ζήσεται εἰς τέλος. Οὐκ ὄψεται καταφθορὰν ὅταν ἴδῃ σοφοὺς ἀποθνήσκοντας. ἐπὶ τὸ αὐτὸ ἄφρων, καὶ ἄνους ἀπολοῦνται. Καὶ καταλείψουσιν ἀλλοτρίοις τὸν πλοῦτον αὐτῶν. καὶ οἱ τάφοι αὐτῶν, οἰκίαι αὐτῶν εἰς τὸν αἰῶνα. Σκηνώματα αὐτῶν, εἰς γενεὰν καὶ γενεάν. ἐπεκαλέσαντο τὰ ὀνόματα αὐτῶν ἐπὶ τῶν γαιῶν αὐτῶν. Καὶ ἄνθρωπος ἐν τιμῇ ὢν, οὐ συνῆκε παρασυνεβλήθη τοῖς κτήνεσιν τοῖς ἀνοήτοις, καὶ ὡμοιώθη αὐτοῖς. Αὕτη ἡ ὁδὸς αὐτῶν σκάνδαλον αὐτοῖς, καὶ μετὰ ταῦτα ἐν τῷ στόματι αὐτῶν εὐδοκήσουσιν. Ὡς πρόβατα ἐν ᾅδῃ ἔθεντο θάνατος ποιμανεῖ αὐτούς. Καὶ κατακυριεύσουσιν αὐτῶν, οἱ εὐθεῖς τὸ πρωΐ. καὶ ἡ βοήθεια αὐτῶν, παλαιωθήσεται ἐν τῷ ᾅδῃ. ἐκ τῆς δόξης αὐτῶν ἐξώσθησαν. Πλὴν ὁ θεὸς λυτρώσεται τὴν

ψυχήν μου ἐκ χειρὸς ᾅδου· ὅταν λαμβάνῃ με. Μὴ φοβοῦ, ὅταν
πλουτήσῃ ἄνθρωπος, ἢ ὅταν πληθυνθῇ ἡ δόξα τοῦ οἴκου αὐτοῦ.
Ὅτι οὐκ ἐν τῷ ἀποθνήσκειν αὐτὸν, λήψεται τὰ πάντα· οὐ
δὲ συγκαταβήσεται αὐτῷ ἡ δόξα αὐτοῦ. Ὅτι ἡ ψυχὴ αὐτοῦ
ἐν τῇ ζωῇ αὐτοῦ εὐλογηθήσεται· ἐξομολογήσεταί σοι ὅταν ἀ
γαθύνῃς αὐτῷ. Εἰσελεύσεται ἕως γενεᾶς πατέρων αὐτοῦ· ἕως
αἰῶνος οὐκ ὄψεται φῶς. Καὶ ἄνθρωπος ἐν τιμῇ ὢν οὐ συνῆκε
παρασυνεβλήθη τοῖς κτήνεσι τοῖς ἀνοήτοις, καὶ ὡμοιώθη αὐ
τοῖς. Δόξα. μθ.

Ψαλμὸς τῷ ἀσάφ.

Θεὸς θεῶν κύριος ἐλάλησε, καὶ ἐκάλεσε τὴν γῆν· ἀ
θ ἀπὸ ἀνατολῶν ἡλίου μέχρι δυσμῶν. Ἐκ σιὼν ἡ εὐπρέ
πεια τῆς ὡραιότητος αὐτοῦ. Ὁ θεὸς ἐμφανῶς ἥξει, ὁ θε
ὸς ἡμῶν, καὶ οὐ παρασιωπήσεται. Πῦρ ἐνώπιον αὐτοῦ καυθή
σεται· καὶ κύκλῳ αὐτοῦ, καταιγὶς σφόδρα. Προσκαλέσεται
τὸν οὐρανὸν ἄνω, καὶ τὴν γῆν τοῦ διακρῖναι τὸν λαὸν αὐτοῦ.
Συναγάγετε αὐτῷ τοὺς ὁσίους αὐτοῦ· τοὺς διατιθεμένους τὴν
διαθήκην αὐτοῦ ἐπὶ θυσίαις. Καὶ ἀναγγελοῦσιν οἱ οὐρανοὶ τὴν
δικαιοσύνην αὐτοῦ, ὅτι ὁ θεὸς κριτής ἐστιν. Ἄκουσον λαός μου,
καὶ λαλήσω σοι, ἰσραὴλ καὶ διαμαρτύρομαί σοι, ὁ θεὸς ὁ θεός
σου εἰμὶ ἐγώ. Οὐκ ἐπὶ ταῖς θυσίαις σου ἐλέγξω σε, τὰ δὲ ὁλο
καυτώματά σου, ἐνώπιόν μου ἐστὶ διαπαντός. Οὐ δέξομαι
ἐκ τοῦ οἴκου σου μόσχους, οὐδὲ ἐκ τῶν ποιμνίων σου χιμάρους
Ὅτι ἐμά ἐστι πάντα τὰ θηρία τοῦ ἀγροῦ, κτήνη ἐν τοῖς ὄρεσι καὶ
βόες. Ἔγνωκα πάντα τὰ πετεινὰ τοῦ οὐρανοῦ· καὶ ὡραιότης ἀ
γροῦ μετ' ἐμοῦ ἐστιν. Ἐὰν πεινάσω, οὐ μή σοι εἴπω· ἐμὴ γάρ ἐ
στιν ἡ οἰκουμένη, καὶ τὸ πλήρωμα αὐτῆς. Μὴ φάγομαι κρέα
ταύρων· ἢ αἷμα τράγων πίομαι; Θῦσον τῷ θεῷ θυσίαν αἰνέ
σεως καὶ ἀπόδος τῷ ὑψίστῳ τὰς εὐχάς σου. Καὶ ἐπικάλεσαί
με ἐν ἡμέρᾳ θλίψεώς σου, καὶ ἐξελοῦμαί σε, καὶ δοξάσεις με.

Τῷ δὲ ἁμαρτωλῷ εἶπεν ὁ θεός· ἵνα τί σὺ ἐκδιηγῇ τὰ δι-
καιώματά μου· καὶ ἀναλαμβάνεις τὴν διαθήκην μου διὰ
στόματός σου. Σὺ δὲ ἐμίσησας παιδείαν· καὶ ἐξέβαλλες τοὺς
λόγους μου εἰς τὰ ὀπίσω. Εἰ ἐθεώρεις κλέπτην συνέτρεχες
αὐτῷ, καὶ μετὰ μοιχοῦ τὴν μερίδα σου ἐτίθεις. Τὸ στόμα σου
ἐπλεόνασε κακίαν· καὶ ἡ γλῶσσά σου, περιέπλεκε δολιότη-
τας. Καθήμενος κατὰ τοῦ ἀδελφοῦ σου κατελάλεις· καὶ κα-
τὰ τοῦ υἱοῦ τῆς μητρός σου ἐτίθεις σκάνδαλον. Ταῦτα ἐποί-
ησας, καὶ ἐσίγησα· ὑπέλαβες ἀνομίαν, ὅτι ἔσομαί σοι ὅμοι-
ος. Ἐλέγξω σε· καὶ παραστήσω κατὰ πρόσωπόν σου τὰς ἁ-
μαρτίας σου. Σύνετε δὴ ταῦτα οἱ ἐπιλανθανόμενοι τοῦ θεοῦ·
μή ποτε ἁρπάσῃ, καὶ οὐ μὴ ᾖ ὁ ῥυόμενος. Θυσία αἰνέσεως
δοξάσει με· καὶ ἐκεῖ ὁδὸς ἣ δείξω αὐτῷ τὸ σωτήριόν μου.

Εἰς τὸ τέλος ψαλμὸς τῷ Δαβίδ· ἐν τῷ ἐλθεῖν πρὸς αὐ-
τὸν Νάθαν τὸν προφήτην, ἡνίκα εἰσῆλθε πρὸς Βηρσαβεὲ
τὴν γυναῖκα οὐρίου. ν

Ἐλέησόν με ὁ θεὸς, κατὰ τὸ μέγα ἔλεός σου. Καὶ
κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου, ἐξάλειψον
τὸ ἀνόμημά μου. Ἐπιπλεῖον πλῦνόν με ἀπὸ τῆς
ἀνομίας μου· καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με. Ὅτι
τὴν ἀνομίαν μου ἐγὼ γινώσκω· καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μου
ἐστὶ διαπαντός. Σοὶ μόνῳ ἥμαρτον, καὶ τὸ πονηρὸν ἐνώπιόν
σου ἐποίησα. Ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου, καὶ νι-
κήσῃς ἐν τῷ κρίνεσθαί σε. Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφ-
θην· καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου. Ἰδοὺ γὰρ ἀ-
λήθειαν ἠγάπησας· τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου,
ἐδήλωσάς μοι. Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι· πλυ-
νεῖς με καὶ ὑπὲρ χιόνα λευκανθήσομαι. Ἀκουτιεῖς μοι, ἀγαλ-
λίασιν, καὶ εὐφροσύνην· ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου· καὶ πά-
σας τὰς ἀνομίας μου ἐξάλειψον. Καρδίαν καθαρὰν κτίσον ἐν
ἐμοὶ ὁ θεός· καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.
Μὴ ἀπορρίψῃς με ἀπὸ τοῦ προσώπου σου· καὶ τὸ πνεῦμά σου τὸ
ἅγιον, μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ. Ἀπόδος μοι τὴν ἀγαλλίασιν
τοῦ σωτηρίου σου, καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με. Διδά-
ξω ἀνόμους τὰς ὁδούς σου· καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι. Ῥῦ-
σαί με ἐξ αἱμάτων ὁ θεὸς ὁ θεὸς τῆς σωτηρίας μου· ἀγαλλιά-
σεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου. Κύριε τὰ χείλη
μου ἀνοίξεις· καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου. Ὅτι
εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκή-
σεις. Θυσία τῷ θεῷ, πνεῦμα συντετριμμένον· καρδίαν συν-
τετριμμένην, καὶ τεταπεινωμένην ὁ θεὸς οὐκ ἐξουδενώσει.
Ἀγάθυνον κύριε ἐν τῇ εὐδοκίᾳ σου τὴν σιών· καὶ οἰκοδομη-
θήτω τὰ τείχη ἱερουσαλήμ. Τότε εὐδοκήσεις θυσίαν δι-
καιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα· τότε ἀνοίσουσιν ἐπὶ
τὸ θυσιαστήριόν σου μόσχους. Δόξα.

Εἰς τὸ τέλος συνέσεως τοῦ δαβίδ, ἐν τῷ ἐλθεῖν δωὴκ τὸν ἰ-
δουμαῖον, καὶ ἀναγγεῖλαι τῷ σαοὺλ καὶ εἰπεῖν αὐτῷ, ἦλθε
δαβὶδ εἰς τὸν οἶκον ἀβιμέλεχ. να΄

Ι΄ ἐγκαυχᾷ ἐν κακίᾳ ὁ δυνατός· ἀνομίαν ὅλην
Τ τὴν ἡμέραν, ἀδικίαν ἐλογίσατο ἡ γλῶσσά σου.
Ὡσεὶ ξυρὸν ἠκονημένον ἐποίησας δόλον. Ἠγάπη-
σας κακίαν ὑπὲρ ἀγαθωσύνην· ἀδικίαν ὑπὲρ τὸ λαλῆσαι δικαιο-
σύνην. Ἠγάπησας πάντα ῥήματα καταποντισμοῦ· γλῶσσαν δο-
λίαν. Διὰ τοῦτο ὁ θεὸς καθελεῖ σε εἰς τέλος· ἐκτίλαι σε καὶ
μεταναστεύσαι σε, ἀπὸ σκηνώματός σου· καὶ τὸ ῥίζωμά σου
ἐκ γῆς ζώντων. Ὄψονται δίκαιοι καὶ φοβηθήσονται, καὶ ἐπ'
αὐτὸν γελάσονται καὶ ἐροῦσιν. Ἰδοὺ ἄνθρωπος, ὃς οὐκ ἔθε-
το τὸν θεὸν βοηθὸν αὐτοῦ. Ἀλλ' ἐπήλπισεν ἐπὶ τῷ πλήθει τοῦ

πλούτου αὐτοῦ. Καὶ ἐνεδυναμώθη ἐπὶ τῇ ματαιότητι αὐτοῦ.
Ἐγὼ δὲ ὡσεὶ ἐλαία κατάκαρπος ἐν τῷ οἴκῳ τοῦ θεοῦ. Ἤλ-
πισα ἐπὶ τὸ ἔλεος τοῦ θεοῦ εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ
αἰῶνος. Ἐξομολογήσομαί σοι εἰς τὸν αἰῶνα, ὅτι ἐποίησας. καὶ
ὑπομενῶ τὸ ὄνομά σου, ὅτι χρηστὸν ἐναντίον τῶν ὁσίων σου.

Εἰς τὸ τέλος ὑπὲρ μαελὲθ συνέσεως τῷ δαβίδ. νβ΄

Ἶπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ οὐκ ἔστι θεός. Διεφθά-
ε̃ ρησαν καὶ ἐβδελύχθησαν ἐν ἀνομίαις. οὐκ ἔστι ποι-
ῶν ἀγαθόν. Ὁ θεὸς ἐκ τοῦ οὐρανοῦ διέκυψεν ἐπὶ
τοὺς υἱοὺς τῶν ἀνθρώπων, τοῦ ἰδεῖν εἰ ἔστι συνιῶν, ἢ ἐκζητῶν τὸν
θεόν. Πάντες ἐξέκλιναν, ἅμα ἠχρειώθησαν. οὐκ ἔστι ποιῶν ἀγα-
θὸν οὐκ ἔστιν ἕως ἑνός. Οὐχὶ γνώσονται πάντες οἱ ἐργαζόμε-
νοι τὴν ἀνομίαν. οἱ κατεσθίοντες τὸν λαόν μου ἐν βρώσει ἄρ-
του. Τὸν κύριον οὐκ ἐπεκαλέσαντο. ἐκεῖ ἐφοβήθησαν φόβον,
οὗ οὐκ ἦν φόβος. Ὅτι ὁ θεὸς διεσκόρπισεν ὀστᾶ ἀνθρωπαρέ-
σκων. κατῃσχύνθησαν ὅτι ὁ θεὸς ἐξουδένωσεν αὐτούς. Τίς δώ-
σει ἐκ σιὼν τὸ σωτήριον τοῦ ἰσραήλ. ἐν τῷ ἐπιστρέψαι τὸν θεὸν
τὴν αἰχμαλωσίαν τοῦ λαοῦ αὐτοῦ. Ἀγαλλιάσεται ἰακὼβ καὶ
εὐφρανθήσεται ἰσραήλ.

Εἰς τὸ τέλος ἐν ὕμνοις συνέσεως, τῷ δαβίδ. ἐν τῷ ἐλ-
θεῖν τοὺς ζιφαίους καὶ εἰπεῖν τῷ σαούλ, οὐκ ἰδοὺ δαβὶδ κέ-
κρυπται παρ᾽ ἡμῖν; νγ΄

Θεὸς ἐν τῷ ὀνόματί σου σῶσόν με, καὶ ἐν τῇ δυ-
ό νάμει σου κρῖνόν με. Ὁ θεὸς εἰσάκουσον τῆς προ-
σευχῆς μου. ἐνώτισαι τὰ ῥήματα τοῦ στόματός μου.
Ὅτι ἀλλότριοι ἐπανέστησαν ἐπ᾽ ἐμέ. καὶ κραταιοὶ ἐζήτησαν τὴν
ψυχήν μου. καὶ οὐ προέθεντο τὸν θεὸν ἐνώπιον αὐτῶν. Ἰδοὺ γὰρ
ὁ θεὸς βοηθεῖ μοι. καὶ ὁ κύριος ἀντιλήπτωρ τῆς ψυχῆς μου. Ἀ-
ποστρέψει τὰ κακὰ τοῖς ἐχθροῖς μου. ἐν τῇ ἀληθείᾳ σου ἐξολόθρευ-
σον αὐτούς. Ἑκουσίως θύσω σοι. ἐξομολογήσομαι τῷ ὀνό-

ματί σου κύριε, ὅτι ἀγαθόν. Ὅτι ἐκ πάσης θλίψεως ἐῤῥύ-
σω με. καὶ ἐν τοῖς ἐχθροῖς μου ἐπεῖδεν ὁ ὀφθαλμός μου.

Εἰς τὸ τέλος ἐν ὕμνοις συνέσεως τῷ ἀσάφ. νδ

Ἐνώτισαι ὁ θεὸς τὴν προσευχήν μου, καὶ μὴ ὑπε-
ρίδῃς τὴν δέησίν μου. πρόσχες μοι, καὶ εἰσάκου-
σόν μου. Ἐλυπήθην ἐν τῇ ἀδολεσχίᾳ μου, καὶ ἐ-
ταράχθην. ἀπὸ φωνῆς ἐχθροῦ καὶ ἀπὸ θλίψεως ἁμαρτωλοῦ.
Ὅτι ἐξέκλιναν ἐπ' ἐμὲ ἀνομίαν. καὶ ἐν ὀργῇ ἐνεκότουν μοι.
Ἡ καρδία μου ἐταράχθη ἐν ἐμοί. καὶ δειλία θανάτου ἐπέπε-
σεν ἐπ' ἐμέ. Φόβος καὶ τρόμος ἦλθεν ἐπ' ἐμέ, καὶ ἐκάλυ-
ψέ με σκότος. Καὶ εἶπα, τίς δώσει μοι πτέρυγας ὡσεὶ περι-
στερᾶς. καὶ πετασθήσομαι, καὶ καταπαύσω. Ἰδοὺ ἐμάκρυνα
φυγαδεύων καὶ ηὐλίσθην ἐν τῇ ἐρήμῳ. Προσεδεχόμην τὸν θε-
ὸν τὸν σώζοντά με, ἀπὸ ὀλιγοψυχίας, καὶ ἀπὸ καταιγίδος. Κα-
ταπόντισον κύριε, καὶ καταδίελε τὰς γλώσσας αὐτῶν. ὅτι εἶδον
ἀνομίαν καὶ ἀντιλογίαν ἐν τῇ πόλει. Ἡμέρας καὶ νυκτὸς κυ-
κλώσει αὐτὴν ἐπὶ τὰ τείχη αὐτῆς. καὶ ἀνομία, καὶ κόπος ἐν
μέσῳ αὐτῆς καὶ ἀδικία. Καὶ οὐκ ἐξέλιπεν ἐκ τῶν πλατει-
ῶν αὐτῆς τόκος καὶ δόλος. Ὅτι εἰ ὁ ἐχθρὸς ὠνείδισέ με ὑ-
πήνεγκα ἄν. Καὶ εἰ ὁ μισῶν με ἐπ' ἐμὲ ἐμεγαλοῤῥημόνησεν
ἐκρύβην ἂν ἀπ' αὐτοῦ. Σὺ δὲ ἄνθρωπε ἰσόψυχε, ἡγεμών μου
καὶ γνωστέ μου. Ὃς ἐπὶ τὸ αὐτὸ ἐγλύκανάς μοι ἐδέσματα. ἐν
τῷ οἴκῳ τοῦ θεοῦ ἐπορεύθημεν ἐν ὁμονοίᾳ. Ἐλθέτω δὴ θά-
νατος ἐπ' αὐτούς. καὶ καταβήτωσαν εἰς ἅδου ζῶντες. Ὅτι
πονηρία ἐν ταῖς παροικίαις αὐτῶν. ἐν μέσῳ αὐτῶν. Ἐγὼ
πρὸς τὸν θεὸν ἐκέκραξα, καὶ ὁ κύριος εἰσήκουσέ μου. Ἑσπέ-
ρας καὶ πρωῒ καὶ μεσημβρίας, διηγήσομαι καὶ ἀπαγγελῶ. καὶ
εἰσακούσεται τῆς φωνῆς μου. Λυτρώσεται ἐν εἰρήνῃ τὴν ψυ-
χήν μου. ἀπὸ τῶν ἐγγιζόντων μοι, ὅτι ἐν πολλοῖς ἦσαν σὺν ἐ-

μοί. Εἰσακούσεται ὁ θεὸς καὶ ταπεινώσει αὐτούς, ὁ ὑπάρχων πρὸ τῶν αἰώνων. Οὐ γάρ ἐστιν αὐτοῖς ἀντάλλαγμα. ὅτι οὐκ ἐφοβήθησαν τὸν θεόν. ἐξέτεινε τὴν χεῖρα αὐτοῦ ἐν τῷ ἀποδιδόναι. Ἐβεβήλωσαν τὴν διαθήκην αὐτοῦ. διεμερίσθησαν ἀπὸ ὀργῆς τοῦ προσώπου αὐτοῦ. καὶ ἤγγισαν αἱ καρδίαι αὐτῶν. Ἡπαλύνθησαν οἱ λόγοι αὐτῶν ὑπὲρ ἔλαιον. καὶ αὐτοί εἰσι βολίδες. Ἐπίῤῥιψον ἐπὶ κύριον τὴν μέριμνάν σου, καὶ αὐτός σε διαθρέψει. οὐ δώσει εἰς τὸν αἰῶνα σάλον τῷ δικαίῳ. Σὺ δὲ ὁ θεὸς κατάξεις αὐτοὺς εἰς φρέαρ διαφθορᾶς. Ἄνδρες αἱμάτων καὶ δολιότητος, οὐ μὴ ἡμισεύσωσι τὰς ἡμέρας αὐτῶν ἐγὼ δὲ κύριε ἐλπιῶ ἐπὶ σέ.

Δόξα κάθισμα. ζ'

Εἰς τὸ τέλος ὑπὲρ τοῦ λαοῦ τοῦ ἀπὸ τῶν ἁγίων μεμακρυμμένων. τῷ δαβὶδ εἰς στηλογραφίαν ὁπότε ἐκράτησαν αὐτὸν οἱ ἀλλόφυλοι ἐν γέθ. νε

λέησόν με ὁ θεός, ὅτι κατεπάτησέ με ἄνθρωπος
ε ὅλην τὴν ἡμέραν πολεμῶν ἔθλιψέ με. Κατεπάτησάν με οἱ ἐχθροί μου ὅλην τὴν ἡμέραν. ὅτι πολλοὶ οἱ πολεμοῦντές με ἀπὸ ὕψους. Ἡμέρας οὐ φοβηθήσομαι. ἐγὼ δὲ ἐλπιῶ ἐπὶ σέ. Ἐν τῷ θεῷ ἐπαινέσω τοὺς λόγους μου. ἐπὶ τῷ θεῷ ἤλπισα, οὐ φοβηθήσομαι, τί ποιήσει μοι σάρξ Ὅλην τὴν ἡμέραν τοὺς λόγους μου ἐβδελύσσοντο. κατ' ἐμοῦ πάντες οἱ διαλογισμοὶ αὐτῶν εἰς κακόν. Παροικήσουσι καὶ κατακρύψουσιν αὐτοί. τὴν πτέρναν μου φυλάξουσι. Καθάπερ ὑπέμειναν τὴν ψυχήν μου, ὑπὲρ τοῦ μηθενὸς σώσεις αὐτούς. ἐν ὀργῇ λαοὺς κατάξεις. Ὁ θεὸς τὴν ζωήν μου ἐξήγγειλά σοι ἔθου τὰ δάκρυά μου ἐνώπιόν σου, ὡς καὶ ἐν τῇ ἐπαγγελίᾳ σου Ἐπιστρέψουσιν οἱ ἐχθροί μου εἰς ταοπίσω. ἐν ᾗ ἂν ἡμέρᾳ ἐπικαλέσωμαί σε, ἰδοὺ ἔγνων ὅτι θεός μου εἶ σύ. Ἐπὶ τῷ θεῷ αἰνέσω ῥῆμα. ἐπὶ τῷ κυρίῳ αἰνέσω λόγον. ἐπὶ τῷ θεῷ ἤλπισα

οὐ φοβηθήσομαι τί ποιήσει μοι ἄνθρωπος. Ἐν ἐμοὶ ὁ θεὸς,
εὐχαὶ ἃς ἀποδώσω αἰνέσεώς σου. Ὅτι ἐῤῥύσω τὴν ψυχήν
μου ἐκ θανάτου. τοὺς ὀφθαλμούς μου ἀπὸ δακρύων. καὶ τοὺς πό
δας μου, ἀπὸ ὀλισθήματος. Εὐαρεστήσω ἐνώπιον κυρίου, ἐν
φωτὶ ζώντων.

Εἰς τὸ τέλος μὴ διαφθείρῃς, τῷ Δαβὶδ εἰς στηλογρα
φίαν ἐν τῷ αὐτὸν ἀποδιδράσκειν ἀπὸ προ
σώπου σαοὺλ εἰς τὸ σπήλαιον. νϛ´

Ἐλέησόν με ὁ θεὸς, ἐλέησόν με. ὅτι ἐπὶ σοὶ πέποι
ε θεν ἡ ψυχή μου. Καὶ ἐν τῇ σκιᾷ τῶν πτερύγων
σου ἐλπιῶ. ἕως οὗ παρέλθοι ἡ ἀνομία. Κεκρά
ξομαι πρὸς τὸν θεὸν τὸν ὕψιστον. τὸν θεὸν τὸν εὐεργετήσαντά με.
Ἐξαπέστειλεν ἐξ οὐρανοῦ καὶ ἔσωσέ με. ἔδωκεν εἰς ὄνειδος τοὺς
καταπατοῦντάς με. Ἐξαπέστειλεν ὁ θεὸς τὸ ἔλεος αὐτοῦ, καὶ
τὴν ἀλήθειαν αὐτοῦ. καὶ ἐῤῥύσατο τὴν ψυχήν μου ἐκ μέσου
σκύμνων. ἐκοιμήθην τεταραγμένος. Υἱοὶ ἀνθρώπων. οἱ ὀδόν
τες αὐτῶν, ὅπλα καὶ βέλη. καὶ ἡ γλῶσσα αὐτῶν, μάχαιρα
ὀξεῖα. Ὑψώθητι ἐπὶ τοὺς οὐρανοὺς ὁ θεὸς, καὶ ἐπὶ πᾶσαν τὴν
γῆν ἡ δόξα σου. Παγίδα ἡτοίμασαν τοῖς ποσί μου. καὶ κα
τέκαμψαν τὴν ψυχήν μου. Ὤρυξαν πρὸ προσώπου μου βό
θρον καὶ ἐνέπεσον εἰς αὐτόν. ΔΙΑΨΑΛΜΑ.
Ἑτοίμη ἡ καρδία μου ὁ θεός. ἑτοίμη ἡ καρδία μου. ᾄσομαι καὶ
ψαλῶ ἐν τῇ δόξῃ μου. Ἐξεγέρθητι ἡ δόξα μου ἐξεγέρθητι ψαλ
τήριον καὶ κιθάρα. ἐξεγερθήσομαι ὄρθρου. Ἐξομολογήσο
μαί σοι ἐν λαοῖς κύριε, ψαλῶ σοι ἐν ἔθνεσιν. Ὅτι ἐμεγαλύν
θη ἕως τῶν οὐρανῶν τὸ ἔλεός σου. καὶ ἕως τῶν νεφελῶν ἡ ἀ
λήθειά σου. Ὑψώθητι ἐπὶ τοὺς οὐρανοὺς ὁ θεὸς, καὶ ἐπὶ πᾶσαν
τὴν γῆν ἡ δόξα σου.

Εἰς τὸ τέλος μὴ διαφθείρῃς τῷ Δαβὶδ εἰς
στηλογραφίαν. νζ´

Ι ἀληθῶς ἄρα δικαιοσύνην λαλεῖτε, εὐθείας κρίνετε υἱοὶ τῶν ἀνθρώπων. Καὶ γὰρ ἐν καρδίᾳ ἀνομίαν ἐργάζεσθε ἐν τῇ γῇ· ἀδικίαν αἱ χεῖρες ὑμῶν συμπλέκουσιν. Ἀπηλλοτριώθησαν οἱ ἁμαρτωλοὶ ἀπὸ μήτρας· ἐπλανήθησαν ἀπὸ γαστρός· ἐλάλησαν ψευδῆ. Θυμὸς αὐτοῖς κατὰ τὴν ὁμοίωσιν τοῦ ὄφεως· ὡσεὶ ἀσπίδος κωφῆς καὶ βυούσης τὰ ὦτα αὐτῆς. Ἥτις οὐκ εἰσακούσεται φωνῆς ἐπᾳδόντων· φαρμακοῦται φαρμακευομένη παρὰ σοφοῦ. Ὁ θεὸς συντρίψει τοὺς ὀδόντας αὐτῶν ἐν τῷ στόματι αὐτῶν· τὰς μύλας τῶν λεόντων συνέθλασεν ὁ κύριος. Ἐξουδενωθήσονται ὡσεὶ ὕδωρ διαπορευόμενον· ἐντενεῖ τὸ τόξον αὐτοῦ ἕως οὗ ἀσθενήσουσιν. Ὡσεὶ κηρὸς τακεὶς ἀνταναιρεθήσονται· ἐπέσε πῦρ ἐπ' αὐτοὺς, καὶ οὐκ εἶδον τὸν ἥλιον. Πρὸ τοῦ συνιέναι τὰς ἀκάνθας ὑμῶν τὴν ῥάμνον, ὡσεὶ ζῶντας ὡσεὶ ἐν ὀργῇ καταπίεται αὐτούς. Εὐφρανθήσεται δίκαιος ὅταν ἴδῃ ἐκδίκησιν· τὰς χεῖρας αὐτοῦ νίψεται ἐν τῷ αἵματι τοῦ ἁμαρτωλοῦ. Καὶ ἐρεῖ ἄνθρωπος, εἰ ἄρα ἐστὶ καρπὸς τῷ δικαίῳ· ἄρα ἐστὶν ὁ θεὸς κρίνων αὐτοὺς ἐν τῇ γῇ. Δόξα.

Εἰς τὸ τέλος μὴ διαφθείρῃς τῷ δαβὶδ εἰς στηλογραφίαν· ὁπότε ἀπέστειλε σαοὺλ καὶ ἐφύλαξε τὸν οἶκον αὐτοῦ τοῦ θανατῶσαι αὐτόν· νή.

Ξελοῦ με ἐκ τῶν ἐχθρῶν μου ὁ θεός· καὶ ἐκ τῶν ἐπανισταμένων ἐπ' ἐμὲ, λύτρωσαί με. Ῥῦσαί με ἐκ τῶν ἐργαζομένων τὴν ἀνομίαν· καὶ ἐξ ἀνδρῶν αἱμάτων σῶσόν με. Ὅτι ἰδοὺ ἐθήρευσαν τὴν ψυχήν μου· ἐπέθεντο ἐπ' ἐμὲ κραταιοί. Οὔτε ἡ ἀνομία μου· οὔτε ἡ ἁμαρτία μου κύριε· ἄνευ ἀνομίας ἔδραμον καὶ κατεύθυνα. Ἐξεγέρθητι εἰς συνάντησίν μου καὶ ἴδε· καὶ σὺ κύριε ὁ θεὸς τῶν δυνάμεων ὁ θεὸς τοῦ ἰσραήλ. Πρόσχες τοῦ ἐπισκέψασθαι πάντα τὰ ἔθνη· μὴ οἰκτειρήσῃς πάντας τοὺς ἐργαζομένους τὴν ἀνομίαν. Ἐπιστρέψουσιν εἰς ἑσπέραν· καὶ λιμώξουσιν ὡς κύων, καὶ κυκλώσουσι πόλιν. Ἰδοὺ αὐτοὶ ἀποφθέγξονται ἐν τῷ στόματι αὐτῶν· καὶ ῥομφαία ἐν τοῖς

χείλεσιν αὐτῶν. ὅτι τίς ἤκουσε. Καὶ σὺ κύριε ἐκγελάσεις αὐτούς. ἐξουδενώσεις πάντα τὰ ἔθνη. Τὸ κράτος μου πρὸς σὲ φυλάξω. ὅτι σὺ ὁ θεὸς ἀντιλήπτωρ μου εἶ. Ο θεός μου, τὸ ἔλεος αὐτοῦ προφθάσει με. ὁ θεός μου δείξει μοι ἐν τοῖς ἐχθροῖς μου. Μὴ ἀποκτείνῃς αὐτούς, μήποτε ἐπιλάθωνται τοῦ νόμου σου. Διασκόρπισον αὐτοὺς ἐν τῇ δυνάμει σου. καὶ κατάγαγε αὐτοὺς ὁ ὑπερασπιστής μου κύριε. Αμαρτία στόματος αὐτῶν, λόγος χειλέων αὐτῶν. καὶ συλληφθήτωσαν ἐν τῇ ὑπερηφανίᾳ αὐτῶν. Καὶ ἐξ ἀρᾶς καὶ ψεύδους διαγγελήσονται ἐν συντελείᾳ. ἐν ὀργῇ συντελείας καὶ οὐ μὴ ὑπάρξωσι. Καὶ γνώσονται ὅτι ὁ θεὸς δεσπόζει τοῦ ἰακὼβ, καὶ τῶν περάτων τῆς γῆς. Επιστρέψουσιν εἰς ἑσπέραν. καὶ λιμώξουσιν ὡς κύων. καὶ κυκλώσουσιν πόλιν. Αὐτοὶ διασκορπισθήσονται τοῦ φαγεῖν. ἐὰν δὲ μὴ χορτασθῶσι, καὶ γογγύσουσιν. Εγὼ δὲ ᾄσομαι τῇ δυνάμει σου. καὶ ἀγαλλιάσομαι τὸ πρωῒ τὸ ἔλεός σου. Οτι ἐγενήθης ἀντιλήπτωρ μου καὶ καταφυγή μου. ἐν ἡμέρᾳ θλίψεώς μου. Βοηθός μου εἶ, σοὶ ψαλῶ. ὅτι σὺ ὁ θεὸς ἀντιλήπτωρ μου εἶ, ὁ θεός μου τὸ ἔλεός μου.

Εἰς τὸ τέλος τοῖς ἀλλοιωθησομένοις εἰς στηλογραφίαν τῷ δαβὶδ εἰς διδαχήν. ὁπότε ἐνεπύρισε τὴν μεσοποταμίαν συρίας, καὶ τὴν συρίαν σοβάλ. καὶ ἐπέστρεψεν ἰωὰβ καὶ ἐπάταξε τὴν ἐδὼμ ἐν τῇ φάραγγι τῶν ἁλῶν. δώδεκα χιλιάδας.

νθ'

Θεὸς ἀπώσω ἡμᾶς καὶ καθεῖλες ἡμᾶς. ὠργίσθης
θ καὶ ᾠκτείρησας ἡμᾶς. Συνέσεισας τὴν γῆν καὶ συνετάραξας αὐτήν. ἴασαι τὰ συντρίμματα αὐτῆς, ὅτι ἐσαλεύθη. Εδειξας τῷ λαῷ σου σκληρά. ἐπότισας ἡμᾶς οἶνον κατανύξεως. Εδωκας τοῖς φοβουμένοις σε σημείωσιν. τοῦ φυγεῖν ἀπὸ προσώπου τόξου. ΔΙΑΨΑΛΜΑ.

Οπως

Ὅπως ἂν ῥυσθῶσιν οἱ ἀγαπητοί σου, σῶσον τῇ δεξιᾷ σου καὶ ἐπάκουσόν μου. Ὁ θεὸς ἐλάλησεν ἐν τῷ ἁγίῳ αὐτοῦ· ἀγαλλιάσομαι καὶ διαμεριῶ σίκιμα· καὶ τὴν κοιλάδα τῶν σκηνῶν διαμετρήσω. Ἐμός ἐστι γαλαὰδ καὶ ἐμός ἐστι μανασσῆς· καὶ ἐφραὶμ κραταίωσις τῆς κεφαλῆς μου· Ἰούδας βασιλεύς μου, μωὰβ λέβης τῆς ἐλπίδος μου. Ἐπὶ τὴν ἰδουμαίαν ἐκτενῶ τὸ ὑπόδημά μου· ἐμοὶ ἀλλόφυλοι ὑπετάγησαν. Τίς ἀπάξει με εἰς πόλιν περιοχῆς, ἢ τίς ὁδηγήσει με ἕως τῆς ἰδουμαίας. Οὐχὶ σὺ ὁ θεὸς ὁ ἀπωσάμενος ἡμᾶς; καὶ οὐκ ἐξελεύσῃ ὁ θεὸς ἐν ταῖς δυνάμεσιν ἡμῶν. Δὸς ἡμῖν βοήθειαν ἐκ θλίψεως· καὶ ματαία σωτηρία ἀνθρώπου. Ἐν τῷ θεῷ ποιήσομεν δύναμιν· καὶ αὐτὸς ἐξουδενώσει τοὺς θλίβοντας ἡμᾶς.

Εἰς τὸ τέλος ἐν ὕμνοις τῷ δαβὶδ ψαλμός. ξ.

Ισάκουσον ὁ θεὸς τῆς δεήσεώς μου, πρόσχες τῇ προσευχῇ μου. Ἀπὸ τῶν περάτων τῆς γῆς, πρὸς σὲ ἐκέκραξα· ἐν τῷ ἀκηδιάσαι τὴν καρδίαν μου, ἐν πέτρᾳ ὕψωσάς με. Ὡδήγησάς με, ὅτι ἐγενήθης ἐλπίς μου· πύργος ἰσχύος ἀπὸ προσώπου ἐχθροῦ. Παροικήσω ἐν τῷ σκηνώματί σου εἰς τοὺς αἰῶνας· σκεπασθήσομαι ἐν τῇ σκέπῃ τῶν πτερύγων σου. Ὅτι σὺ ὁ θεὸς εἰσήκουσας τῶν εὐχῶν μου· ἔδωκας κληρονομίαν τοῖς φοβουμένοις τὸ ὄνομά σου. Ἡμέρας ἐφ᾽ ἡμέρας τοῦ βασιλέως προσθήσεις, τὰ ἔτη αὐτοῦ ἕως ἡμέρας γενεᾶς καὶ γενεᾶς. Διαμενεῖ τὸν αἰῶνα ἐνώπιον τοῦ θεοῦ· ἔλεος καὶ ἀλήθειαν αὐτοῦ τίς ἐκζητήσει. Οὕτως ψαλῶ τῷ ὀνόματί σου εἰς τοὺς αἰῶνας, τοῦ ἀποδοῦναί με τὰς εὐχάς μου ἡμέραν ἐξ ἡμέρας. Δόξα

Εἰς τὸ τέλος ὑπὲρ ἰδιθοὺμ ψαλμὸς τῷ δαβίδ. ξα

Υχὶ τῷ θεῷ ὑποταγήσεται ἡ ψυχή μου; παρ᾽ αὐτοῦ γὰρ τὸ σωτήριόν μου. Καὶ γὰρ αὐτὸς θεός μου, καὶ σωτήρ μου· ἀντιλήπτωρ μου οὐ μὴ σαλευθῶ πλεῖον.

πλῆθον. Ἕως πότε ἐπιτίθεσθε ἐπ' ἄνθρωπον. φονεύετε πάντες ὑ-
μεῖς, ὡς τοίχῳ κεκλιμένῳ, καὶ φραγμῷ ὠσμένῳ. Πλὴν τὴν
τιμήν μου ἐβουλεύσαντο ἀπώσασθαι. ἔδραμον ἐν δίψῃ. Τῷ στό-
ματι αὐτῶν εὐλόγουν. καὶ τῇ καρδίᾳ αὐτῶν κατηρῶντο. Πλὴν
τῷ θεῷ ὑποτάγηθι ἡ ψυχή μου. ὅτι παρ' αὐτοῦ ἡ ὑπομονή
μου. Ὅτι αὐτὸς θεός μου, καὶ σωτήρ μου. ἀντιλήπτωρ μου οὐ
μὴ μεταναστεύσω. Ἐπὶ τῷ θεῷ τὸ σωτήριόν μου, καὶ ἡ δόξα μου
Ὁ θεὸς τῆς βοηθείας μου, καὶ ἡ ἐλπίς μου ἐπὶ τῷ θεῷ. ἐλπίσατε
ἐπ' αὐτὸν πᾶσα συναγωγὴ λαῶν. Ἐκχέατε ἐνώπιον αὐτοῦ τὰς
καρδίας ὑμῶν. ὅτι ὁ θεὸς βοηθὸς ἡμῶν. Πλὴν μάταιοι, οἱ υἱοὶ
τῶν ἀνθρώπων. ψευδεῖς οἱ υἱοὶ τῶν ἀνθρώπων. ἐν ζυγοῖς τοῦ ἀδι-
κῆσαι, αὐτοὶ ἐκ ματαιότητος ἐπὶ τὸ αὐτό. Μὴ ἐλπίζετε ἐπ' ἀ-
δικίαν. καὶ ἐπὶ ἅρπαγμα μὴ ἐπιποθεῖτε, πλοῦτος ἐὰν ῥέῃ,
μὴ προστίθεσθε καρδίαν. Ἅπαξ ἐλάλησεν ὁ θεὸς, δύο ταῦτα ἤ-
κουσα. ὅτι τὸ κράτος τοῦ θεοῦ. καὶ σοῦ κύριε τὸ ἔλεος. Ὅτι σὺ
ἀποδώσεις ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ.

Ψαλμὸς τῷ Δαβὶδ ἐν τῷ εἶναι αὐτὸν ἐν τῇ
ἐρήμῳ τῆς Ἰουδαίας ξβ.

Ὁ θεὸς ὁ θεός μου, πρὸς σὲ ὀρθρίζω. ἐδίψησέ σε ἡ ψυ-
χή μου. ποσαπλῶς σοι ἡ σάρξ μου. Ἐν γῇ ἐρήμῳ
καὶ ἀβάτῳ καὶ ἀνύδρῳ. οὕτως ἐν τῷ ἁγίῳ ὤφθην
σοι. τοῦ ἰδεῖν τὴν δύναμίν σου καὶ τὴν δόξαν σου. Ὅτι κρεῖσσον τὸ
ἔλεός σου ὑπὲρ ζωάς. τὰ χείλη μου ἐπαινέσουσί σε. Οὕτως εὐ-
λογήσω σε ἐν τῇ ζωῇ μου. ἐν τῷ ὀνόματί σου ἀρῶ τὰς χεῖράς
μου. Ὡς ἐκ στέατος καὶ πιότητος ἐμπλησθείη ἡ ψυχή μου καὶ χεί-
λη ἀγαλλιάσεως αἰνέσει τὸ στόμα μου. Εἰ ἐμνημόνευόν σου ἐπὶ
τῆς στρωμνῆς μου, ἐν τοῖς ὄρθροις ἐμελέτων εἰς σέ. Ὅτι ἐγενή-
θης βοηθός μου. καὶ ἐν τῇ σκέπῃ τῶν πτερύγων σου ἀγαλλιάσο-
μαι. Ἐκολλήθη ἡ ψυχή μου ὀπίσω σου. ἐμοῦ δὲ ἀντελάβετο ἡ
δεξιά σου. Αὐτοὶ δὲ εἰς μάτην ἐζήτησαν τὴν ψυχήν μου. εἰσελεύ-

σονται εἰς τὰ κατώτατα τῆς γῆς. Παραδοθήσονται εἰς χεῖρας
ῥομφαίας· μερίδες ἀλωπέκων ἔσονται. Ὁ δὲ βασιλεὺς εὐφραν-
θήσεται ἐπὶ τῷ θεῷ· ἐπαινεθήσεται πᾶς ὁ ὀμνύων ἐν αὐτῷ.
Ὅτι ἐνεφράγη στόμα λαλούντων ἄδικα.

Εἰς τὸ τέλος ψαλμὸς τῷ Δαβίδ. ξγ´

Ισάκουσον ὁ θεὸς φωνῆς μου, ἐν τῷ δέεσθαί με πρὸς
σέ· ἀπὸ φόβου ἐχθροῦ ἐξελοῦ τὴν ψυχήν μου. Σκέ-
πασόν με ἀπὸ συστροφῆς πονηρευομένων· ἀπὸ πλή-
θους ἐργαζομένων ἀδικίαν. Οἵτινες ἠκόνησαν ὡς ῥομφαίαν
τὰς γλώσσας αὐτῶν· ἐνέτειναν τόξον αὐτῶν πρᾶγμα πικρόν.
Τοῦ κατατοξεῦσαι ἐν ἀποκρύφοις ἄμωμον· ἐξάπινα κατατο-
ξεύσουσιν αὐτόν, καὶ οὐ φοβηθήσονται. Ἐκραταίωσαν ἑαυτοῖς
λόγον πονηρόν, διηγήσαντο τοῦ κρύψαι παγίδας. Εἶπον, τίς ὄ-
ψεται αὐτούς. ἐξηρεύνησαν ἀνομίαν. ἐξέλιπον ἐξερευνῶντες
ἐξερευνήσεις. Προσελεύσεται ἄνθρωπος καὶ καρδία βαθεῖα. καὶ
ὑψωθήσεται ὁ θεός. Βέλος νηπίων ἐγενήθησαν αἱ πληγαὶ αὐ-
τῶν· καὶ ἐξησθένησαν ἐπ᾽ αὐτοὺς αἱ γλῶσσαι αὐτῶν. Ἐταρά-
χθησαν πάντες οἱ θεωροῦντες αὐτούς· καὶ ἐφοβήθη πᾶς ἄν-
θρωπος. Καὶ ἀνήγγειλαν τὰ ἔργα τοῦ θεοῦ, καὶ τὰ ποιήμα-
τα αὐτοῦ συνῆκαν. Εὐφρανθήσεται δίκαιος ἐν τῷ κυρίῳ, καὶ
ἐλπιεῖ ἐπ᾽ αὐτόν. Καὶ ἐπαινεθήσονται πάντες οἱ εὐθεῖς τῇ καρ-
δίᾳ. Δόξα. κάθισμα η´

Εἰς τὸ τέλος ψαλμὸς ᾠδῆς τῷ δαβίδ. ᾠδὴ ἱερεμίου
καὶ ἰεζεκιὴλ τοῦ λαοῦ τῆς παροικίας.
ὅτε ἔμελλον ἐκπορεύεσθαι. ξδ´

οἰ πρέπει ὕμνος ὁ θεὸς ἐν σιών· καὶ σοὶ ἀποδοθήσε-
σ ται εὐχὴ ἐν ἱερουσαλήμ. Εἰσάκουσον προσευχῆς μου·
πρὸς σὲ πᾶσα σὰρξ ἥξει. Λόγοι ἀνόμων ὑπερεδυνα-
μωσαν ἡμᾶς· καὶ ταῖς ἀσεβείαις ἡμῶν σὺ ἱλάσῃ. Μακάρι-
ος, ὃν ἐξελέξω καὶ προσελάβου· κατασκηνώσει ἐν ταῖς

αὐλαῖς σου. Πλησθησόμεθα ἐν τοῖς ἀγαθοῖς τοῦ οἴκου σου. ἅγι-
ος ὁ ναός σου. θαυμαστὸς ἐν δικαιοσύνῃ. Ἐπάκουσον ἡμῶν
ὁ θεὸς ὁ σωτὴρ ἡμῶν. ἡ ἐλπὶς πάντων τῶν περάτων τῆς γῆς,
καὶ τῶν ἐν θαλάσσῃ μακράν. Ἑτοιμάζων ὄρη ἐν τῇ ἰσχύϊ αὐ-
τοῦ. περιεζωσμένος ἐν δυναστείᾳ. Ὁ συνταράσσων τὸ κύτος τῆς θα-
λάσσης. ἤχους κυμάτων αὐτῆς, τίς ὑποστήσεται; Ταραχθήσον-
ται τὰ ἔθνη καὶ φοβηθήσονται. οἱ κατοικοῦντες τὰ πέρατα
ἀπὸ τῶν σημείων σου. Ἐξόδους πρωΐας καὶ ἑσπέρας τέρ-
ψεις. ἐπεσκέψω τὴν γῆν καὶ ἐμέθυσας αὐτήν. Ἐπλήθυνας
τοῦ πλουτίσαι αὐτήν. ὁ ποταμὸς τοῦ θεοῦ ἐπληρώθη ὑδάτων.
Ἡτοίμασας τὴν τροφὴν αὐτῶν ὅτι οὕτως ἡ ἑτοιμασία. τὰς αὔ-
λακας αὐτῆς μέθυσον. Πλήθυνον τὰ γεννήματα αὐτῆς. ἐν
ταῖς σταγόσιν αὐτῆς εὐφρανθήσεται ἀνατέλλουσα. Εὐλογή-
σεις τὸν στέφανον τοῦ ἐνιαυτοῦ τῆς χρηστότητός σου. καὶ τὰ πεδία
σου πλησθήσονται πιότητος. Πιανθήσονται τὰ ὡραῖα τῆς ἐρή-
μου. καὶ ἀγαλλίασιν οἱ βουνοὶ περιζώσονται. Ἐνεδύσαντο οἱ
κριοὶ τῶν προβάτων. καὶ αἱ κοιλάδες πληθυνοῦσι σῖτον. κεκρά-
ξονται, καὶ γὰρ ὑμνήσουσιν.

Εἰς τὸ τέλος ᾠδὴ ψαλμοῦ ἀναστάσεως. ξε.

Ἀλαλάξατε τῷ κυρίῳ πᾶσα ἡ γῆ. ψάλατε δὴ τῷ ὀ-
α νόματι αὐτοῦ. Δότε δόξαν αἰνέσει αὐτοῦ, εἴπατε τῷ θε-
ῷ ὡς φοβερὰ τὰ ἔργα σου. Ἐν τῷ πλήθει τῆς δυνά-
μεώς σου ψεύσονταί σε οἱ ἐχθροί σου. Πᾶσα ἡ γῆ προσκυνη-
σάτωσάν σοι καὶ ψαλάτωσάν σοι. ψαλάτωσαν δὴ τῷ ὀνόματί
σου ὕψιστε. ΔΙΑΨΑΛΜΑ. Δεῦτε καὶ ἴδετε τὰ ἔργα τοῦ
θεοῦ, ὡς φοβερὸς ἐν βουλαῖς ὑπὲρ τοὺς υἱοὺς τῶν ἀνθρώπων. Ὁ
μεταστρέφων τὴν θάλασσαν εἰς ξηράν. ἐν ποταμῷ διελεύσονται
ποδί. Ἐκεῖ εὐφρανθησόμεθα ἐπ' αὐτῷ τῷ δεσπόζοντι ἐν τῇ δυ-
ναστείᾳ αὐτοῦ τοῦ αἰῶνος. Οἱ ὀφθαλμοὶ αὐτοῦ ἐπὶ τὰ ἔθνη ἐπι-
βλέπουσιν. οἱ παραπικραίνοντες μὴ ὑψούσθωσαν ἐν ἑαυτοῖς.

ΔΙΑΨΑΛΜΑ. Εὐλογεῖτε ἔθνη τὸν θεὸν ἡμῶν, καὶ ἀκουτίσατε τὴν φωνὴν τῆς αἰνέσεως αὐτοῦ. Τοῦ θεμένου τὴν ψυχήν μου εἰς ζωήν, καὶ μὴ δόντος εἰς σάλον τοὺς πόδας μου. ὅτι ἐδοκίμασας ἡμᾶς ὁ θεός. Ἐπύρωσας ἡμᾶς ὡς πυροῦται τὸ ἀργύριον. εἰσήγαγες ἡμᾶς εἰς τὴν παγίδα. Ἔθου θλίψεις ἐπὶ τὸν νῶτον ἡμῶν. ἐπεβίβασας ἀνθρώπους ἐπὶ τὰς κεφαλὰς ἡμῶν. Διήλθομεν διὰ πυρὸς καὶ ὕδατος. καὶ ἐξήγαγες ἡμᾶς εἰς ἀναψυχήν. Εἰσελεύσομαι εἰς τὸν οἶκόν σου ἐν ὁλοκαυτώμασιν. ἀποδώσω σοι τὰς εὐχάς μου, ἃς διέστειλε τὰ χείλη μου. καὶ ἐλάλησε τὸ στόμα μου ἐν τῇ θλίψει μου. Ὁλοκαυτώματα μεμυελωμένα ἀνοίσω σοι μετὰ θυμιάματος καὶ κριῶν, ἀνοίσω σοι βόας μετὰ χιμάρων. ΔΙΑΨΑΛΜΑ. Δεῦτε ἀκούσατε καὶ διηγήσομαι ὑμῖν πάντες οἱ φοβούμενοι τὸν θεόν, ὅσα ἐποίησε τῇ ψυχῇ μου. Πρὸς αὐτὸν τῷ στόματί μου ἐκέκραξα, καὶ ὕψωσα ὑπὸ τὴν γλῶσσάν μου. Ἀδικίαν εἰ ἐθεώρουν ἐν καρδίᾳ μου, μὴ εἰσακουσάτω μου κύριος. Διὰ τοῦτο εἰσήκουσέ μου ὁ θεός. προσέσχε τῇ φωνῇ τῆς δεήσεώς μου. Εὐλογητὸς ὁ θεὸς ὃς οὐκ ἀπέστησε τὴν προσευχήν μου, καὶ τὸ ἔλεος αὐτοῦ ἀπ' ἐμοῦ.

Εἰς τὸ τέλος ἐν ὕμνοις ψαλμὸς
ᾠδῆς τῷ Δαβίδ. ξς

Θεὸς οἰκτειρήσαι ἡμᾶς, καὶ εὐλογήσαι ἡμᾶς· ἐπιφάναι τὸ πρόσωπον αὐτοῦ ἐφ' ἡμᾶς καὶ ἐλεήσαι ὑμᾶς. Τοῦ γνῶναι ἐν τῇ γῇ τὴν ὁδόν σου. ἐν πᾶσιν ἔθνεσι τὸ σωτήριόν σου. Ἐξομολογησάσθωσάν σοι λαοὶ ὁ θεός, ἐξομολογησάσθωσάν σοι λαοὶ πάντες. Εὐφρανθήτωσαν καὶ ἀγαλλιάσθωσαν ἔθνη. ὅτι κρινεῖς λαοὺς ἐν εὐθύτητι, καὶ ἔθνη ἐν τῇ γῇ ὁδηγήσεις. Ἐξομολογησάσθωσάν σοι λαοὶ ὁ θεός, ἐξομολογησάσθωσάν σοι λαοὶ πάντες. γῆ ἔδωκε τὸν καρπὸν αὐτῆς. Εὐλογήσαι ἡμᾶς ὁ θεός. ὁ θεὸς ἡμῶν εὐλογήσαι ἡμᾶς ὁ θεός. Καὶ φοβηθήτωσαν αὐτὸν πάντα τὰ πέρατα τῆς γῆς. Δόξα.

Εἰς τὸ τέλος ᾠδῆς ψαλμὸς τῷ δαβίδ. ξζ

Νασήτω ὁ θεὸς καὶ διασκορπισθήτωσαν οἱ ἐχθροὶ
α αὐτοῦ. καὶ φυγέτωσαν ἀπὸ προσώπου αὐτοῦ οἱ μι-
σοῦντες αὐτόν. Ὡς ἐκλείπει καπνὸς ἐκλιπέτωσαν.
ὡς τήκεται κηρὸς ἀπὸ προσώπου πυρός. Οὕτως ἀπολοῦνται
οἱ ἁμαρτωλοὶ ἀπὸ προσώπου τοῦ θεοῦ. καὶ οἱ δίκαιοι εὐφραν-
θήτωσαν. Ἀγαλλιάσθωσαν ἐνώπιον τοῦ θεοῦ, τερφθήτωσαν ἐν
εὐφροσύνῃ. Ἄσατε τῷ θεῷ. ψάλατε τῷ ὀνόματι αὐτοῦ. ὁδο-
ποιήσατε τῷ ἐπιβεβηκότι ἐπὶ δυσμῶν. Κύριος ὄνομα αὐ-
τῷ, καὶ ἀγαλλιᾶσθε ἐνώπιον αὐτοῦ. Ταραχθήτωσαν ἀπὸ προσώ-
που αὐτοῦ. τοῦ πατρὸς τῶν οὐρανῶν καὶ κριτοῦ τῶν χηρῶν. ὁ θεὸς ἐν
τόπῳ ἁγίῳ αὐτοῦ. Ὁ θεὸς κατοικίζει μονοτρόπους ἐν οἴκῳ, ἐξά-
γων πεπεδημένους ἐν ἀνδρείᾳ. Ὁμοίως τοὺς παραπικραίνοντας
τοὺς κατοικοῦντας ἐν τάφοις. Ὁ θεὸς ἐν τῷ ἐκπορεύεσθαί
σε ἐνώπιον τοῦ λαοῦ σου, ἐν τῷ διαβαίνειν σε ἐν τῇ ἐρήμῳ. Γῆ
ἐσείσθη. καὶ γὰρ οἱ οὐρανοὶ ἔσταξαν. ἀπὸ προσώπου τοῦ θεοῦ τοῦ σινᾶ.
ἀπὸ προσώπου τοῦ θεοῦ ἰσραήλ. Βροχὴν ἑκούσιον ἀφοριεῖς ὁ θε-
ὸς τῇ κληρονομίᾳ σου. καὶ ἠσθένησε, σὺ δὲ κατηρτίσω αὐτήν.
Τὰ ζῷά σου κατοικοῦσιν ἐν αὐτῇ. ἡτοίμασας ἐν τῇ χρηστότητί σου
τῷ πτωχῷ ὁ θεός. Κύριος δώσει ῥῆμα τοῖς εὐαγγελιζομένοις δυνάμει
πολλῇ. ὁ βασιλεὺς τῶν δυνάμεων τοῦ ἀγαπητοῦ. τῇ ὡραιότητι τοῦ οἴκου
διελέσθαι σκῦλα. Ἐὰν κοιμηθῆτε ἀνὰ μέσον τῶν κλήρων πτέρυγες
περιστερᾶς περιηργυρωμέναι. καὶ τὰ μετάφρενα αὐτῆς ἐν χλωρότη-
τι χρυσίου. Ἐν τῷ διαστέλλειν τὸν ἐπουράνιον βασιλεῖς ἐπ' αὐτῆς, χι-
ονωθήσονται ἐν σελμών. Ὄρος τοῦ θεοῦ ὄρος πῖον. ὄρος τετυρω-
μένον, ὄρος πῖον. Ἵνα τί ὑπολαμβάνετε ὄρη τετυρωμένα. τὸ ὄ-
ρος ὃ εὐδόκησεν ὁ θεὸς κατοικεῖν ἐν αὐτῷ. Καὶ γὰρ ὁ κύριος κατα-
σκηνώσει εἰς τέλος. τὸ ἅρμα τοῦ θεοῦ μυριοπλάσιον. χιλιάδες εὐθη-
νούντων. Κύριος ἐν αὐτοῖς ἐν σιναῒ ἐν τῷ ἁγίῳ. ἀνέβης εἰς ὕ-
ψος ᾐχμαλώτευσας αἰχμαλωσίαν. Ἔλαβες δόματα ἐν ἀν-

θρώποις. καὶ γὰρ ἀπειθοῦντας τοῦ κατασκηνῶσαι. Κύριος ὁ
θεὸς εὐλογητός. εὐλογητὸς κύριος ἡμέραν καθ' ἡμέραν. Κα-
τευοδώσαι ἡμῖν ὁ θεὸς τῶν σωτηρίων ἡμῶν. ὁ θεὸς ἡμῶν, ὁ θε-
ὸς τοῦ σώζειν, καὶ τοῦ κυρίου κυρίου αἱ διέξοδοι τοῦ θανάτου.
Πλὴν ὁ θεὸς συνθλάσει κεφαλὰς ἐχθρῶν αὐτοῦ. κορυφὴν τρι-
χὸς διαπορευομένων ἐν πλημμελείαις αὐτῶν. Εἶπε κύριος,
ἐκ βασὰν ἐπιστρέψω ἐπιστρέψω. ἐν βυθοῖς θαλάσσης. Ὅπως ἂν
βαφῇ ὁ πούς σου ἐν αἵματι. ἡ γλῶσσα τῶν κυνῶν σου ἐξ ἐ-
χθρῶν παρ' αὐτοῦ. Ἐθεωρήθησαν αἱ πορεῖαί σου ὁ θεός. αἱ πο-
ρεῖαι τοῦ θεοῦ μου τοῦ βασιλέως τοῦ ἐν τῷ ἁγίῳ. Προέφθα-
σαν ἄρχοντες ἐχόμενα ψαλλόντων. ἐν μέσῳ νεανίδων τυμπα-
νιστριῶν. Ἐν ἐκκλησίαις εὐλογεῖτε τὸν θεόν. κύριον ἐκ πηγῶν ἰ-
σραήλ. Ἐκεῖ βενιαμὶν νεώτερος ἐν ἐκστάσει. ἄρχοντες ἰούδα ἡ-
γεμόνες αὐτῶν. ἄρχοντες ζαβουλών. ἄρχοντες νεφθαλείμ. Ἔν-
τειλαι ὁ θεὸς τῇ δυνάμει σου. δυνάμωσον ὁ θεός, τοῦτο, ὃ κα-
τειργάσω ἐν ἡμῖν. ἀπὸ τοῦ ναοῦ σου ἐπὶ ἱερουσαλήμ. Σοὶ οἴ-
σουσι βασιλεῖς δῶρα. ἐπιτίμησον τοῖς θηρίοις τοῦ καλάμου. Ἡ συ-
ναγωγὴ τῶν ταύρων ἐν ταῖς δαμάλεσι τῶν λαῶν. τοῦ ἐγκλεισθῆ-
ναι τοὺς δεδοκιμασμένους τῷ ἀργυρίῳ. Διασκόρπισον ἔθνη
τὰ τοὺς πολέμους θέλοντα. ἥξουσι πρέσβεις ἐξ αἰγύπτου. αἰθιο-
πία προφθάσει χεῖρα αὐτῆς τῷ θεῷ. Αἱ βασιλεῖαι τῆς γῆς, ᾄ-
σατε τῷ θεῷ, ψάλατε τῷ κυρίῳ. ΔΙΑΨΑΛΜΑ. Τῷ
ἐπιβεβηκότι ἐπὶ τὸν οὐρανὸν τοῦ οὐρανοῦ κατὰ ἀνατολάς. Ἰδοὺ
δώσει τῇ φωνῇ αὐτοῦ, φωνὴν δυνάμεως, δότε δόξαν τῷ θεῷ.
Ἐπὶ τὸν ἰσραὴλ ἡ μεγαλοπρέπεια αὐτοῦ. καὶ ἡ δύναμις αὐτοῦ
ἐν ταῖς νεφέλαις. Θαυμαστὸς ὁ θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ. ὁ θεὸς
ἰσραήλ. Αὐτὸς δώσει δύναμιν καὶ κραταίωσιν τῷ λαῷ αὐτοῦ
εὐλογητὸς ὁ θεός.

Εἰς τὸ τέλος ὑπὲρ τῶν ἀλλοιωθησομένων
Ψαλμὸς τῷ δαβίδ. ξή

Ωσόν με ὁ θεὸς ὅτι εἰσήλθοσαν ὕδατα ἕως ψυχῆς μου. Ενεπάγην εἰς ἰλὺν βυθοῦ, καὶ οὐκ ἔστιν ὑπόστασις. ἦλθον εἰς τὰ βάθη τῆς θαλάσσης, καὶ καταιγὶς κατεπόντισέ με. Εκοπίασα κράζων, ἐβραχίασεν ὁ λάρυγξ μου. Εξέλιπον οἱ ὀφθαλμοί μου ἀπὸ τοῦ ἐλπίζειν με ἐπὶ τὸν θεόν μου. Επληθύνθησαν ὑπὲρ τὰς τρίχας τῆς κεφαλῆς μου, οἱ μισοῦντές με δωρεάν. Εκραταιώθησαν οἱ ἐχθροί μου, οἱ ἐκδιώκοντές με ἀδίκως. Α οὐχ ἥρπαζον, τότε ἀπετίννυον. Ο θεὸς σὺ ἔγνως τὴν ἀφροσύνην μου, καὶ αἱ πλημμέλειαί μου ἀπὸ σοῦ οὐκ ἀπεκρύβησαν. Μὴ αἰσχυνθείησαν ἐπ᾽ ἐμὲ οἱ ὑπομένοντές σε κύριε. κύριε τῶν δυνάμεων. μὴ ἐντραπείησαν ἐπ᾽ ἐμὲ οἱ ζητοῦντές σε ὁ θεὸς τοῦ ἰσραήλ. Οτι ἕνεκά σου ὑπήνεγκα ὀνειδισμόν, ἐκάλυψεν ἐντροπὴ τὸ πρόσωπόν μου. Απηλλοτριωμένος ἐγενήθην τοῖς ἀδελφοῖς μου. καὶ ξένος τοῖς υἱοῖς τῆς μητρός μου. Οτι ὁ ζῆλος τοῦ οἴκου σου κατέφαγέ με. καὶ οἱ ὀνειδισμοὶ τῶν ὀνειδιζόντων σε ἐπέπεσον ἐπ᾽ ἐμέ. Καὶ συνεκάλυψα ἐν νηστείᾳ τὴν ψυχήν μου, καὶ ἐγενήθη εἰς ὀνειδισμοὺς ἐμοί. Καὶ ἐθέμην τὸ ἔνδυμά μου σάκκον, καὶ ἐγενόμην αὐτοῖς εἰς παραβολήν. Κατ᾽ ἐμοῦ ἠδολέσχουν οἱ καθήμενοι ἐν πύλαις, καὶ εἰς ἐμὲ ἔψαλλον οἱ πίνοντες οἶνον. Εγὼ δὲ τῇ προσευχῇ μου πρὸς σὲ κύριε. καιρὸς εὐδοκίας. Ο θεὸς, ἐν τῷ πλήθει τοῦ ἐλέους σου ἐπάκουσόν μου. ἐν ἀληθείᾳ τῆς σωτηρίας σου, σῶσόν με ἀπὸ πηλοῦ, ἵνα μὴ ἐμπαγῶ. Ρυσθείην ἐκ τῶν μισούντων με καὶ ἐκ τῶν βαθέων τῶν ὑδάτων. Μή με καταποντισάτω καταιγὶς ὕδατος. μηδὲ καταπιέτω με βυθός. μηδὲ συσχέτω ἐπ᾽ ἐμὲ φρέαρ τὸ στόμα αὐτοῦ. Εἰσάκουσόν μου κύριε, ὅτι χρηστὸν τὸ ἔλεός σου, κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου, ἐπίβλεψον ἐπ᾽ ἐμέ. Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπὸ τοῦ παιδός σου. ὅτι θλίβομαι, ταχὺ ἐπάκουσόν μου, πρόσχες τῇ ψυχῇ μου, καὶ λύτρωσαι αὐτήν. Ενεκα τῶν ἐχθρῶν μου ῥῦσαί με. σὺ γὰρ γινώσκεις τὸν

ὀνειδισμόν μου, καὶ τὴν αἰσχύνην μου καὶ τὴν ἐντροπήν μου.
Ἐναντίον σου πάντες οἱ θλίβοντές με. ὀνειδισμὸν προσεδόκη-
σεν ἡ ψυχή μου, καὶ ταλαιπωρίαν. Καὶ ὑπέμεινα συλλυπού-
μενον, καὶ οὐχ ὑπῆρξε. καὶ παρακαλοῦντας, καὶ οὐχ εὗρον.
Καὶ ἔδωκαν εἰς τὸ βρῶμά μου χολήν. καὶ εἰς τὴν δίψαν μου
ἐπότισάν με ὄξος. Γενηθήτω ἡ τράπεζα αὐτῶν ἐνώπιον αὐ-
τῶν, εἰς παγίδα καὶ εἰς ἀνταπόδοσιν καὶ εἰς σκάνδαλον.
Σκοτισθήτωσαν οἱ ὀφθαλμοὶ αὐτῶν τοῦ μὴ βλέπειν, καὶ τὸν νῶ-
τον αὐτῶν διαπαντὸς σύγκαμψον. Ἔκχεον ἐπ' αὐτοὺς τὴν ὀρ-
γήν σου. καὶ ὁ θυμὸς τῆς ὀργῆς σου καταλάβοι αὐτούς. Γενη-
θήτω ἡ ἔπαυλις αὐτῶν ἠρημωμένη. καὶ ἐν τοῖς σκηνώμασιν
αὐτῶν, μὴ ἔστω ὁ κατοικῶν. Ὅτι ὃν σὺ ἐπάταξας, αὐτοὶ κατε-
δίωξαν. καὶ ἐπὶ τὸ ἄλγος τῶν τραυμάτων μου προσέθηκαν.
Πρόσθες ἀνομίαν ἐπὶ τῇ ἀνομίᾳ αὐτῶν. καὶ μὴ εἰσελθέτω-
σαν ἐν δικαιοσύνῃ σου. Ἐξαλειφθήτωσαν ἐκ βίβλου ζώντων
καὶ μετὰ δικαίων μὴ γραφήτωσαν. Πτωχὸς καὶ ἀλγῶν εἰμι
ἐγώ. ἡ σωτηρία σου ὁ θεός, ἀντιλάβοιτό μου. Αἰνέσω τὸ ὄνο-
μα τοῦ θεοῦ μου μετ' ᾠδῆς. μεγαλυνῶ αὐτὸν ἐν αἰνέσει. καὶ ἀ-
ρέσει τῷ θεῷ ὑπὲρ μόσχον νέον. κέρατα ἐκφέροντα καὶ ὁ-
πλάς. Ἰδέτωσαν πτωχοὶ καὶ εὐφρανθήτωσαν. ἐκζητήσατε τὸν
θεὸν καὶ ζήσεται ἡ ψυχὴ ὑμῶν. Ὅτι εἰσήκουσε τῶν πενήτων
ὁ κύριος. καὶ τοὺς πεπεδημένους αὐτοῦ οὐκ ἐξουδένωσεν.
Αἰνεσάτωσαν αὐτὸν οἱ οὐρανοὶ καὶ ἡ γῆ. θάλασσα καὶ πάντα
τὰ ἕρποντα ἐν αὐτῇ. Ὅτι ὁ θεὸς σώσει τὴν σιών. καὶ οἰκο-
δομηθήσονται αἱ πόλεις τῆς ἰουδαίας. Καὶ κατοικήσουσιν
ἐκεῖ, καὶ κληρονομήσουσιν αὐτήν. καὶ τὸ σπέρμα τῶν δούλων
σου καθέξουσιν αὐτήν. Καὶ οἱ ἀγαπῶντες τὸ ὄνομά σου κα-
τασκηνώσουσιν ἐν αὐτῇ.

Εἰς τὸ τέλος τῷ Δαβίδ εἰς ἀνάμνησιν, εἰς τὸ
σῶσαί με κύριον.

Θεὸς τὴν βοήθειάν μου πρόσχες· κύριε εἰς τὸ βοη-
ε θῆσαί μοι σπεῦσον. Αἰσχυνθήτωσαν καὶ ἐντραπή-
τωσαν οἱ ζητοῦντες τὴν ψυχήν μου. Αποστραφή-
τωσαν εἰς τὰ ὀπίσω, καὶ καταισχυνθήτωσαν οἱ βουλόμενοί μοι
κακά. Αποστραφήτωσαν παραυτίκα αἰσχυνόμενοι οἱ λέγοντές
μοι εὖγε εὖγε. Αγαλλιάσθωσαν καὶ εὐφρανθήτωσαν ἐπὶ σοὶ
πάντες οἱ ζητοῦντές σε ὁ θεός. Καὶ λεγέτωσαν διαπαντὸς
μεγαλωθήτω ὁ κύριος, οἱ ἀγαπῶντες τὸ σωτήριόν σου. Ε-
γὼ δὲ πτωχός εἰμι καὶ πένης, ὁ θεὸς βοήθησόν μοι· βοηθός μου
καὶ ῥύστης μου εἶ σύ, κύριε μὴ χρονίσῃς.

Δόξα κάθισμα. θ

Τῷ Δαβὶδ ψαλμὸς τῶν υἱῶν Ἰωναδὰβ, καὶ τῶν πρώτως αἰχμα-
λωτισθέντων· ἀνεπίγραφος παρ' ἑβραίοις. ο

Πὶ σοὶ κύριε ἤλπισα, μὴ καταισχυνθείην εἰς τὸν αἰῶ-
ξ να. Εν τῇ δικαιοσύνῃ σου ῥῦσαί με καὶ ἐξελοῦ με.
Κλῖνον πρὸς με τὸ οὖς σου καὶ σῶσόν με. Γενοῦ
μοι εἰς θεὸν ὑπερασπιστήν. καὶ εἰς τόπον ὀχυρὸν τοῦ σῶσαί με.
Οτι στερέωμά μου καὶ καταφυγή μου εἶ σύ. Ο θεός μου ῥῦσαί
με ἐκ χειρὸς ἁμαρτωλοῦ· ἐκ χειρὸς παρανομοῦντος, καὶ ἀδι-
κοῦντος. Οτι σὺ εἶ ἡ ὑπομονή μου κύριε, κύριε ἡ ἐλπίς μου
ἐκ νεότητός μου. Επὶ σὲ ἐπεστηρίχθην ἀπὸ γαστρός· ἐκ κοιλί-
ας μητρός μου, σύ μου εἶ σκεπαστής. Εν σοὶ ἡ ὕμνησίς μου δια-
παντός· ὡσεὶ τέρας ἐγενήθην τοῖς πολλοῖς· καὶ σὺ βοηθός μου
κραταιός. Πληρωθήτω τὸ στόμα μου αἰνέσεως, ὅπως ὑμνήσω
τὴν δόξαν σου· ὅλην τὴν ἡμέραν τὴν μεγαλοπρέπειάν σου.
Μὴ ἀποῤῥίψῃς με εἰς καιρὸν γήρως· ἐν τῷ ἐκλείπειν τὴν ἰ-
σχύν μου μὴ ἐγκαταλίπῃς με. Οτι εἶπον οἱ ἐχθροί μου ἐμοί·
καὶ οἱ φυλάσσοντες τὴν ψυχήν μου ἐβουλεύσαντο ἐπιτοαυτό.
Λέγοντες, ὁ θεὸς ἐγκατέλιπεν αὐτόν· καταδιώξατε καὶ κατα-
λάβετε αὐτόν, ὅτι οὐκ ἔστιν ὁ ῥυόμενος. Ο θεός μου μὴ μακρύ-

νῇς ἀπ' ἐμοῦ. ὁ θεός μου, εἰς τὴν βοήθειάν μου πρόσχες. Αἰσχυνθήτωσαν καὶ ἐκλιπέτωσαν οἱ ἐν διαβάλλοντες τὴν ψυχήν μου· περιβαλλέσθωσαν αἰσχύνην καὶ ἐντροπὴν οἱ ζητοῦντες τὰ κακά μοι. Ἐγὼ δὲ διαπαντὸς ἐλπιῶ ἐπὶ σέ. καὶ προσθήσω ἐπὶ πᾶσαν τὴν αἴνεσίν σου. Τὸ στόμα μου ἐξαγγελεῖ τὴν δικαιοσύνην σου ὅλην τὴν ἡμέραν τὴν σωτηρίαν σου. Ὅτι οὐκ ἔγνων γραμματείας, εἰσελεύσομαι ἐν δυναστείᾳ κυρίου. κύριε μνησθήσομαι τῆς δικαιοσύνης σου μόνου. Ὁ θεός μου ἃ ἐδίδαξάς με ἐκ νεότητός μου, καὶ μέχρι τοῦ νῦν ἀναγγελῶ τὰ θαυμάσιά σου. καὶ ἕως γήρως καὶ πρεσβείου. Ὁ θεός μου μὴ ἐγκαταλίπῃς με ἕως ἂν ἀπαγγελῶ τὸν βραχίονά σου τῇ γενεᾷ πάσῃ τῇ ἐρχομένῃ. Τὴν δυναστείαν σου καὶ τὴν δικαιοσύνην σου ὁ θεὸς ἕως τῶν ὑψίστων. ἃ ἐποίησάς μοι μεγαλεῖα, ὁ θεὸς τίς ὅμοιός σοι. Ὅσας ἔδειξάς μοι θλίψεις πολλὰς καὶ κακάς. καὶ ἐπιστρέψας ἐζωοποίησάς με. καὶ ἐκ τῶν ἀβύσσων τῆς γῆς ἀνήγαγές με. Ἐπλεόνασας ἐπ' ἐμὲ τὴν μεγαλωσύνην σου. καὶ ἐπιστρέψας παρεκάλεσάς με. καὶ ἐκ τῶν ἀβύσσων τῆς γῆς πάλιν ἀνήγαγές με. Καὶ γὰρ ἐγὼ ἐξομολογήσομαί σοι ἐν λαοῖς κύριε ἐν σκεύεσι ψαλμοῦ τὴν ἀλήθειάν σου ὁ θεός. Ψαλῶ σοι ἐν κιθάρᾳ ὁ ἅγιος τοῦ Ἰσραήλ. Ἀγαλλιάσονται τὰ χείλη μου ὅταν ψάλω σοι, καὶ ἡ ψυχή μου, ἣν ἐλυτρώσω. Ἔτι δὲ καὶ ἡ γλῶσσά μου ὅλην τὴν ἡμέραν μελετήσει τὴν δικαιοσύνην σου. Ὅταν αἰσχυνθῶσι καὶ ἐντραπῶσιν, οἱ ζητοῦντες τὰ κακά μοι.

Εἰς Σαλωμὼν ψαλμὸς τοῦ Δαβίδ. οα'

ὁ Θεός, τὸ κρῖμά σου τῷ βασιλεῖ δός. καὶ τὴν δικαιοσύνην σου τῷ υἱῷ τοῦ βασιλέως. Κρίνειν τὸν λαόν σου ἐν δικαιοσύνῃ, καὶ τοὺς πτωχούς σου ἐν κρίσει. Ἀναλαβέ-

τὰ τὰ ὄρη εἰρήνην τῷ λαῷ, καὶ οἱ βουνοὶ δικαιοσύνην. Κρινεῖ τοὺς πτωχοὺς τοῦ λαοῦ, καὶ σώσει τοὺς υἱοὺς τῶν πενήτων. Καὶ ταπεινώσει συκοφάντην. καὶ συμπαραμενεῖ τῷ ἡλίῳ. Καὶ πρὸ τῆς σελήνης γενεὰς γενεῶν. Καταβήσεται ὡς ὑετὸς ἐπὶ πόκον. καὶ ὡσεὶ σταγὼν ἡ στάζουσα ἐπὶ τὴν γῆν. Ανατελεῖ ἐν ταῖς ἡμέραις αὐτοῦ δικαιοσύνη. καὶ πλῆθος εἰρήνης, ἕως οὗ ἀνταναιρεθῇ ἡ σελήνη. Καὶ κατακυριεύσει ἀπὸ θαλάσσης ἕως θαλάσσης καὶ ἀπὸ ποταμῶν ἕως περάτων τῆς οἰκουμένης. Ενώπιον αὐτοῦ προπεσοῦνται αἰθίοπες. καὶ οἱ ἐχθροὶ αὐτοῦ, χοῦν λείξουσι. Βασιλεῖς θαρσεῖς καὶ νῆσοι, δῶρα προσοίσουσι. βασιλεῖς ἀράβων, καὶ σαβᾶ δῶρα προσάξουσι. Καὶ προσκυνήσουσιν αὐτῷ, πάντες οἱ βασιλεῖς τῆς γῆς. πάντα τὰ ἔθνη δουλεύσουσιν αὐτῷ. Οτι ἐρρύσατο πτωχὸν ἐκ δυνάστου. καὶ πένητα, ᾧ οὐχ ὑπῆρχε βοηθός. Φείσεται πτωχοῦ καὶ πένητος. καὶ ψυχὰς πενήτων σώσει. Εκ τόκου καὶ ἐξ ἀδικίας λυτρώσεται τὰς ψυχὰς αὐτῶν. καὶ ἔντιμον τὸ ὄνομα αὐτοῦ, ἐνώπιον αὐτῶν. Καὶ ζήσεται καὶ δοθήσεται αὐτῷ ἐκ τοῦ χρυσίου τῆς ἀραβίας. καὶ προσεύξονται περὶ αὐτοῦ διαπαντός. Ολην τὴν ἡμέραν εὐλογήσουσιν αὐτόν. ἔσται στήριγμα ἐν τῇ γῇ ἐπ᾽ ἄκρων τῶν ὀρέων. Υπεραρθήσεται ὑπὲρ τὸν λίβανον ὁ καρπὸς αὐτοῦ. καὶ ἐξανθήσουσιν ἐκ πόλεως, ὡσεὶ χόρτος τῆς γῆς. Εσται τὸ ὄνομα αὐτοῦ εὐλογημένον εἰς τοὺς αἰῶνας· πρὸ τοῦ ἡλίου διαμενεῖ τὸ ὄνομα αὐτοῦ. Καὶ ἐνευλογηθήσονται ἐν αὐτῷ πᾶσαι αἱ φυλαὶ τῆς γῆς. πάντα τὰ ἔθνη μακαριοῦσιν αὐτόν. Εὐλογητὸς κύριος ὁ θεὸς τοῦ ἰσραήλ. ὁ ποιῶν θαυμάσια μόνος. Καὶ εὐλογημένον τὸ ὄνομα τῆς δόξης αὐτοῦ εἰς τὸν αἰῶνα. καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Καὶ πληρωθήσεται τῆς δόξης αὐτοῦ πᾶσα ἡ γῆ. γένοιτο γένοιτο.

Δόξα.

Ἐξέλιπον οἱ ὕμνοι δαβὶδ υἱοῦ ἰεσσαί.
ψαλμὸς τῷ ἀσάφ. οβ
Σ ἀγαθὸς ὁ θεὸς τῷ ἰσραήλ, τοῖς εὐθέσι τῇ καρδίᾳ.
α Ἐμοῦ δὲ παρὰ μικρὸν ἐσαλεύθησαν οἱ πόδες. παρ'
ὀλίγον ἐξεχύθη τὰ διαβήματά μου. Ὅτι ἐζήλω
σα ἐπὶ τοῖς ἀνόμοις εἰρήνην ἁμαρτωλῶν θεωρῶν. Ὅτι οὐκ ἔ
στιν ἀνάνευσις ἐν τῷ θανάτῳ αὐτῶν. καὶ στερέωμα ἐν τῇ μά
στιγι αὐτῶν. Ἐν κόποις ἀνθρώπων οὐκ εἰσί. καὶ μετὰ ἀνθρώ
πων οὐ μαστιγωθήσονται. διὰ τοῦτο ἐκράτησεν αὐτοὺς ἡ ὑπερ
ηφανία αὐτῶν εἰς τέλος. Περιεβάλοντο ἀδικίαν καὶ ἀσέβει
αν ἑαυτῶν. ἐξελεύσεται ὡς ἐκ στέατος ἡ ἀδικία αὐτῶν.
Διήλθοσαν εἰς διάθεσιν καρδίας. διενοήθησαν, καὶ ἐλάλη
σαν ἐν πονηρίᾳ. ἀδικίαν εἰς τὸ ὕψος ἐλάλησαν. Ἔθεντο εἰς
οὐρανὸν τὸ στόμα αὐτῶν. καὶ ἡ γλῶσσα αὐτῶν διῆλθεν ἐπὶ τῆς
γῆς. Διὰ τοῦτο ἐπιστρέψει ὁ λαός μου ἐνταῦθα. καὶ ἡμέραι
πλήρεις εὑρεθήσονται ἐν αὐτοῖς. Καὶ εἶπον πῶς ἔγνω ὁ θεός
καὶ εἰ ἔστι γνῶσις ἐν τῷ ὑψίστῳ. Ἰδοὺ οὗτοι οἱ ἁμαρτωλοὶ καὶ
εὐθηνοῦντες εἰς τὸν αἰῶνα, κατέσχον πλούτου. Καὶ εἶπα, ἄρα μα
ταίως ἐδικαίωσα τὴν καρδίαν μου. καὶ ἐνιψάμην ἐν ἀθῴοις
τὰς χεῖράς μου. Καὶ ἐγενόμην μεμαστιγωμένος ὅλην τὴν ἡ
μέραν. καὶ ὁ ἔλεγχός μου εἰς τὰς πρωΐας. Εἰ ἔλεγον διηγή
σομαι οὕτως. ἰδοὺ τῇ γενεᾷ τῶν υἱῶν σου ἠσυνθέτηκας, καὶ
ὑπέλαβον τοῦ γνῶναι. Τοῦτο κόπος ἐστὶν ἐνώπιόν μου. ἕως οὗ
εἰσέλθω εἰς τὸ ἁγιαστήριον τοῦ θεοῦ καὶ συνῶ εἰς τὰ ἔσχατα αὐ
τῶν. Πλὴν διὰ τὰς δολιότητας αὐτῶν, ἔθου αὐτοῖς κακά·
κατέβαλες αὐτοὺς ἐν τῷ ἐπαρθῆναι. Πῶς ἐγένοντο εἰς ἐρή
μωσιν ἐξάπινα. ἐξέλιπον, ἀπώλοντο, διὰ τὴν ἀνομίαν αὐτῶν
Ὡσεὶ ἐνύπνιον ἐξεγειρομένου. κύριε ἐν τῇ πόλει σου τὴν εἰκό
να αὐτῶν ἐξουδενώσεις. Ὅτι ἐξεκαύθη ἡ καρδία μου, καὶ οἱ
νεφροί μου, ἠλλοιώθησαν. Κἀγὼ ἐξουδενωμένος, καὶ οὐκ ἔγνων.

κτηνώδης ἐγενήθην παρὰ σοί, κἀγὼ διαπαντὸς μετὰ σοῦ. Ἐκράτησας τῆς χειρὸς τῆς δεξιᾶς μου. καὶ ἐν τῇ βουλῇ σου ὡδήγησάς με. καὶ μετὰ δόξης προσελάβου με. Τί γάρ μοι ὑπάρχει ἐν τῷ οὐρανῷ. καὶ παρὰ σοῦ τί ἠθέλησα ἐπὶ τῆς γῆς. Ἐξέλιπεν ἡ καρδία μου, καὶ ἡ σάρξ μου, ὁ θεὸς τῆς καρδίας μου. καὶ ἡ μερίς μου, ὁ θεὸς μου εἰς τὸν αἰῶνα. Ὅτι ἰδοὺ οἱ μακρύνοντες ἑαυτοὺς ἀπὸ σοῦ, ἀπολοῦνται. ἐξωλόθρευσας πάντα τὸν πορνεύοντα ἀπὸ θεοῦ. Ἐμοὶ δὲ τὸ προσκολλᾶσθαι τῷ θεῷ ἀγαθόν ἐστι. τίθεσθαι ἐν τῷ κυρίῳ τὴν ἐλπίδα μου. Τοῦ ἐξαγγεῖλαί με πάσας τὰς αἰνέσεις σου, ἐν ταῖς πύλαις τῆς θυγατρὸς σιών.

Συνέσεως τῷ ἀσάφ. ογʹ

Ἱνατί ὁ θεὸς ἀπώσω εἰς τέλος. ὠργίσθη ὁ θυμός σου ἐπὶ πρόβατα νομῆς σου. Μνήσθητι τῆς συναγωγῆς σου ἧς ἐκτήσω ἀπ᾽ ἀρχῆς. ἐλυτρώσω ῥάβδον κληρονομίας σου. Ὄρος σιὼν τοῦτο ὃ κατεσκήνωσας ἐν αὐτῷ. ἔπαρον τὰς χεῖράς σου ἐπὶ τὰς ὑπερηφανίας αὐτῶν εἰς τέλος. Ὅσα ἐπονηρεύσατο ὁ ἐχθρὸς ἐν τῷ ἁγίῳ σου. καὶ ἐνεκαυχήσαντο οἱ μισοῦντές σε ἐν μέσῳ τῆς ἑορτῆς σου. Ἔθεντο τὰ σημεῖα αὐτῶν, σημεῖα. καὶ οὐκ ἔγνωσαν. ὡς εἰς τὴν ἔξοδον ὑπεράνω. Ὡς ἐν δρυμῷ ξύλων, ἀξίναις ἐξέκοψαν τὰς θύρας αὐτῆς ἐπὶ τὸ αὐτό. ἐν πελέκει καὶ λαξευτηρίῳ κατέρραξαν αὐτήν. Ἐνεπύρισαν ἐν πυρὶ τὸ ἁγιαστήριόν σου. εἰς τὴν γῆν ἐβεβήλωσαν τὸ σκήνωμα τοῦ ὀνόματός σου. Εἶπον ἐν τῇ καρδίᾳ αὐτῶν αἱ συγγένειαι αὐτῶν ἐπὶ τὸ αὐτό. δεῦτε καὶ καταπαύσωμεν πάσας τὰς ἑορτὰς τοῦ θεοῦ ἀπὸ τῆς γῆς. Τὰ σημεῖα αὐτῶν, οὐκ εἴδομεν. οὐκ ἔστιν ἔτι προφήτης. καὶ ἡμᾶς οὐ γνώσεται ἔτι. Ἕως πότε ὁ θεός, ὀνειδιεῖ ὁ ἐχθρός. παροξυνεῖ ὁ ὑπεναντίος τὸ ὄνομά σου εἰς τέλος. Ἱνατί ἀποστρέφεις τὴν χεῖρά σου, καὶ τὴν δεξιάν σου ἐκ μέσου τοῦ κόλπου σου εἰς

τέλος. Ὁ δὲ θεὸς, βασιλεὺς ἡμῶν πρὸ αἰῶνος. εἰργάσατο σωτηρίαν ἐν μέσῳ τῆς γῆς. Σὺ ἐκραταίωσας ἐν τῇ δυνάμει σου τὴν θάλασσαν. σὺ συνέτριψας τὰς κεφαλὰς τῶν δρακόντων ἐπὶ τοῦ ὕδατος. Σὺ συνέθλασας τὴν κεφαλὴν τοῦ δράκοντος. ἔδωκας αὐτὸν βρῶμα λαοῖς τοῖς αἰθίοψι. Σὺ διέῤῥηξας πηγὰς καὶ χειμάῤῥους. σὺ ἐξήρανας ποταμοὺς ἠθάμ. Σή ἐστιν ἡ ἡμέρα, καὶ σή ἐστιν ἡ νύξ. σὺ κατηρτίσω φαῦσιν καὶ ἥλιον. Σὺ ἐποίησας πάντα τὰ ὡραῖα τῆς γῆς. θέρος καὶ ἔαρ σὺ ἔπλασας αὐτά, μνήσθητι ταύτης. Ἐχθρὸς ὠνείδισε τὸν κύριον. καὶ λαὸς ἄφρων παρώξυνε τὸ ὄνομά σου. Μὴ παραδῷς τοῖς θηρίοις ψυχὴν ἐξομολογουμένην σοι. τῶν ψυχῶν τῶν πενήτων σου, μὴ ἐπιλάθῃ εἰς τέλος. Ἐπίβλεψον εἰς τὴν διαθήκην σου. ὅτι ἐπληρώθησαν οἱ ἐσκοτισμένοι τῆς γῆς οἴκων ἀνομιῶν. Μὴ ἀποστραφήτω τεταπεινωμένος κατῃσχυμμένος πτωχὸς καὶ πένης, αἰνέσουσι τὸ ὄνομά σου. Ἀνάστα ὁ θεὸς δίκασον τὴν δίκην σου. μνήσθητι τοῦ ὀνειδισμοῦ σου τοῦ ὑπὸ ἄφρονος ὅλην τὴν ἡμέραν. Μὴ ἐπιλάθῃ τῆς φωνῆς τῶν οἰκετῶν σου. ἡ ὑπερηφανία τῶν μισούντων σε, ἀνέβη διαπαντός.

Δόξα.

Εἰς τὸ τέλος μὴ διαφθείρῃς ψαλμὸς ᾠδῆς τῷ ἀσάφ. οδʹ

Ξομολογησόμεθά σοι ὁ θεὸς, ἐξομολογησόμεθά
ε σοι. καὶ ἐπικαλεσόμεθα τὸ ὄνομά σου. Διηγήσομαι πάντα τὰ θαυμάσιά σου, ὅταν λάβω καιρόν, ἐγὼ εὐθύτητα κρινῶ. Ἐτάκη ἡ γῆ καὶ πάντες οἱ κατοικοῦντες ἐν αὐτῇ. ΔΙΑΨΑΛΜΑ. Ἐγὼ ἐστερέωσα τοὺς στύλους αὐτῆς. Εἶπα τοῖς παρανομοῦσι, μὴ παρανομεῖτε. καὶ τοῖς ἁμαρτάνουσι μὴ ὑψοῦτε κέρας. Μὴ ἐπαίρετε εἰς ὕψος τὸ κέρας ὑμῶν, καὶ μὴ λαλεῖτε κατὰ τοῦ θεοῦ ἀδικίαν. Ὅτι, οὔτε ἐξ ἐξόδων, οὔτε ἀπὸ δυσμῶν. οὔτε ἀπὸ ἐρήμων ὀρέων. ὅτι ὁ θεὸς

ὸς κριτής ἐστι. Τοῦτον ταπεινοῖ καὶ τοῦτον ὑψοῖ. ὅτι ποτήριον
ἐν χειρὶ κυρίου, οἴνου ἀκράτου πλῆρες κεράσματος. Καὶ ἔ-
κλινεν ἐκ τούτου, εἰς τοῦτο. πλὴν ὁ τρυγίας αὐτοῦ οὐκ ἐξεκενώθη.
Πίονται πάντες οἱ ἁμαρτωλοὶ τῆς γῆς. ἐγὼ δὲ ἀγαλλιάσο-
μαι εἰς τὸν αἰῶνα. ψαλῶ τῷ θεῷ ἰακώβ. Καὶ πάντα τὰ κέρα-
τα τῶν ἁμαρτωλῶν συνθλάσω. καὶ ὑψωθήσεται τὸ κέρας τοῦ
δικαίου.

Εἰς τὸ τέλος ἐν ὕμνοις. ψαλμὸς τῷ ἀσάφ.
ᾠδὴ πρὸς τὸν ἀσύριον. οε

Νωσὸς ἐν τῇ ἰουδαίᾳ ὁ θεός. ἐν τῷ ἰσραὴλ μέ-
γ γα τὸ ὄνομα αὐτοῦ. Καὶ ἐγενήθη ἐν εἰρήνῃ ὁ τό-
πος αὐτοῦ. καὶ τὸ κατοικητήριον αὐτοῦ ἐν σιών.
Ἐκεῖ συνέτριψε τὰ κράτη τῶν τόξων. ὅπλον καὶ ῥομφαίαν καὶ
πόλεμον. Φωτίζεις σὺ θαυμαστῶς ἀπὸ ὀρέων αἰωνίων. ἐτα-
ράχθησαν πάντες οἱ ἀσύνετοι τῇ καρδίᾳ. Ὕπνωσαν ὕπνον αὐ-
τῶν, καὶ οὐχ εὗρον οὐδέν. πάντες οἱ ἄνδρες τοῦ πλούτου ταῖς
χερσὶν αὐτῶν. Ἀπὸ ἐπιτιμήσεώς σου ὁ θεὸς ἰακώβ. ἐνύστα-
ξαν οἱ ἐπιβεβηκότες τοῖς ἵπποις. Σὺ φοβερὸς εἶ, καὶ τίς ἀντι-
στήσεταί σοι. ἀπὸ τότε ἡ ὀργή σου. Ἐκ τοῦ οὐρανοῦ, ἠκούτισας
κρίσιν. Γῆ ἐφοβήθη καὶ ἡσύχασεν, ἐν τῷ ἀναστῆναι εἰς κρί-
σιν τὸν θεόν. τοῦ σῶσαι πάντας τοὺς πραεῖς τῆς γῆς. ΔΙΑ-
ΨΑΛΜΑ. Ὅτι ἐνθύμιον ἀνθρώπου ἐξομολογήσεταί σοι
καὶ ἐγκατάλειμμα ἐνθυμίου ἑορτάσει σοι. Εὔξασθε καὶ ἀ-
πόδοτε κυρίῳ τῷ θεῷ ἡμῶν. πάντες οἱ κύκλῳ αὐτοῦ οἴσουσι
δῶρα. Τῷ φοβερῷ καὶ ἀφαιρουμένῳ πνεύματα ἀρχόντων,
φοβερῷ παρὰ τοῖς βασιλεῦσι τῆς γῆς.

Εἰς τὸ τέλος ὑπὲρ ἰδιθοὺμ ψαλμὸς τῷ ἀσάφ. ος

Ωνῇ μου πρὸς κύριον ἐκέκραξα. φωνῇ μου πρὸς τὸν
φ θεόν, καὶ προσέσχε μοι. Ἐν ἡμέρᾳ θλίψεώς μου
τὸν θεὸν ἐξεζήτησα. ταῖς χερσί μου νυκτὸς ἐναντί-
ον αὐτοῦ

ἐν αὐτοῦ, καὶ οὐκ ἠπατήθην. Ἀπηνήνατο παρακληθῆναι ἡ ψυχή μου· ἐμνήσθην τοῦ θεοῦ, καὶ εὐφράνθην. Ἠδολέσχησα καὶ ὠλιγοψύχησε τὸ πνεῦμά μου. ΔΙΑΨΑΛΜΑ. Προκατελάβοντο φυλακὰς οἱ ὀφθαλμοί μου. Ἐταράχθην καὶ οὐκ ἐλάλησα. διελογισάμην ἡμέρας ἀρχαίας· καὶ ἔτη αἰώνια ἐμνήσθην καὶ ἐμελέτησα. Νυκτὸς μετὰ τῆς καρδίας μου ἠδολέσχουν καὶ ἔσκαλλε τὸ πνεῦμά μου. Μὴ εἰς τοὺς αἰῶνας ἀπώσεται κύριος, καὶ οὐ προσθήσει τοῦ εὐδοκῆσαι ἔτι. ἢ εἰς τέλος τὸ ἔλεος αὐτοῦ ἀποκόψει; Συνετέλεσε ῥῆμα ἀπὸ γενεᾶς εἰς γενεάν; Μὴ ἐπιλήσεται τοῦ οἰκτειρῆσαι ὁ θεός; Ἢ συνέξει ἐν τῇ ὀργῇ αὐτοῦ τοὺς οἰκτιρμοὺς αὐτοῦ. ΔΙΑΨΑΛΜΑ. Καὶ εἶπα νῦν ἠρξάμην. Αὕτη ἡ ἀλλοίωσις τῆς δεξιᾶς τοῦ ὑψίστου· ἐμνήσθην τῶν ἔργων κυρίου. Ὅτι μνησθήσομαι ἀπὸ τῆς ἀρχῆς τῶν θαυμασίων σου· καὶ μελετήσω ἐν πᾶσι τοῖς ἔργοις σου. Καὶ ἐν τοῖς ἐπιτηδεύμασί σου ἀδολεσχήσω. ὁ θεὸς ἐν τῷ ἁγίῳ ἡ ὁδός σου. Τίς θεὸς μέγας ὡς ὁ θεὸς ἡμῶν. σὺ εἶ ὁ θεὸς ὁ ποιῶν θαυμάσια. Ἐγνώρισας ἐν τοῖς λαοῖς τὴν δύναμίν σου· ἐλυτρώσω ἐν τῷ βραχίονί σου τὸν λαόν σου· τοὺς υἱοὺς Ἰακὼβ, καὶ Ἰωσήφ. Εἴδοσάν σε ὕδατα ὁ θεός. εἴδοσάν σε ὕδατα καὶ ἐφοβήθησαν. Ἐταράχθησαν ἄβυσσοι, πλῆθος ἤχους ὑδάτων· φωνὴν ἔδωκαν αἱ νεφέλαι. Καὶ γὰρ τὰ βέλη σου διαπορεύονται· φωνὴ τῆς βροντῆς σου ἐν τῷ τροχῷ. Ἔφαναν αἱ ἀστραπαί σου τῇ οἰκουμένῃ, ἐσαλεύθη, καὶ ἔντρομος ἐγενήθη ἡ γῆ. Ἐν τῇ θαλάσσῃ αἱ ὁδοί σου· καὶ αἱ τρίβοι σου, ἐν ὕδασι πολλοῖς· καὶ τὰ ἴχνη σου, οὐ γνωσθήσονται. Ὡδήγησας ὡς πρόβατα τὸν λαόν σου, ἐν χειρὶ Μωϋσῆ καὶ Ἀαρών.

Δόξα, κάθισμα ι.

# ΨΑΛΤΗ,

## ΣΤΙΧΟΙ ΕΙΣ ΤΟΝ ΘΕΙΟΝ ΔΑΒΙΔ

Σίγησον Ὀρφεῦ, ῥίψον Ἑρμῆ τὴν λύραν.
Τρίπους ὁ Δελφοῖς, δῦνον εἰς λήθην ἔτι.
Δαβὶδ γὰρ ἡμῖν, πνεύματος κρούων λύραν,
Τρανεῖ τὰ κρυπτὰ τῶν θεοῦ μυστηρίων.
Πλήθην παλαιῶν, ἱστορεῖ τεραστίων.
Κινεῖ πρὸς ὕμνον τοῦ κτίσαντος, τὴν κτίσιν.
Ἅπαντας σώζων, μυσταγωγεῖ καὶ γράφει.
Ἁμαρτάνοντας, εἰς ἐπιστροφὴν φέρει.
Πολλοῖς σὺν ἄλλοις, καὶ κριτοῦ δηλῶν κρίσιν.
Σμήχειν διδάσκει, ψυχικὰς ἁμαρτάδας.
Τῷ θεῷ δόξα

## ΑΡΜΟΝΙΗΣ ΙΕΡΗΣ ΜΕΛΙΗΔΕΑ ΑΣΜΑΤΑ ΔΑΒΙΔ, ΣΥΝΕσεως τοῦ ἀσάφ.

ΠΡοσέχετε λαός μου τῷ νόμῳ μου. κλίνατε τὸ οὖς ὑμῶν εἰς τὰ ῥήματα τοῦ στόματός μου. Ἀνοίξω ἐν παραβολαῖς τὸ στόμα μου. φθέγξομαι προβλήματα ἀπ' ἀρχῆς. Ὅσα ἠκούσαμεν καὶ ἔγνωμεν αὐτά. καὶ οἱ πατέρες ἡμῶν διηγήσαντο ἡμῖν. Οὐκ ἐκρύβη ἀπὸ τῶν

τέκνων αὐτῶν εἰς γενεὰν ἑτέραν. ἀπαγγέλλοντες τὰς αἰνέσεις τοῦ κυρίου καὶ τὰς δυναστείας αὐτοῦ. Καὶ τὰ θαυμάσια αὐτοῦ ἃ ἐποίησε. καὶ ἀνέστησε μαρτύριον ἐν ἰακώβ. καὶ νόμον ἔθετο ἐν ἰσραήλ. Ὅσα ἐνετείλατο τοῖς πατράσιν ἡμῶν. τοῦ γνωρίσαι αὐτὰ τοῖς υἱοῖς αὐτῶν. Ὅπως ἂν γνῷ γενεὰ ἑτέρα υἱοὶ τεχθησόμενοι. καὶ ἀναστήσονται καὶ ἀπαγγελοῦσιν αὐτὰ τοῖς υἱοῖς αὐτῶν. Ἵνα θῶνται ἐπὶ τὸν θεὸν τὴν ἐλπίδα αὐτῶν, καὶ μὴ ἐπιλάθωνται τῶν ἔργων τοῦ θεοῦ. Καὶ τὰς ἐντολὰς αὐτοῦ ἐκζητήσωσιν. Ἵνα μὴ γένωνται ὡς οἱ πατέρες αὐτῶν, γενεὰ σκολιὰ καὶ παραπικραίνουσα. Γενεὰ ἥτις οὐ κατεύθυνε τὴν καρδίαν ἑαυτῆς. καὶ οὐκ ἐπιστώθη μετὰ τοῦ θεοῦ τὸ πνεῦμα αὐτῆς. Υἱοὶ ἐφραὶμ ἐντείνοντες καὶ βάλλοντες τόξοις. ἐστράφησαν ἐν ἡμέρᾳ πολέμου. Οὐκ ἐφύλαξαν τὴν διαθήκην τοῦ θεοῦ καὶ ἐν τῷ νόμῳ αὐτοῦ οὐκ ἐβουλήθησαν πορεύεσθαι. Καὶ ἐπελάθοντο τῶν εὐεργεσιῶν αὐτοῦ καὶ τῶν θαυμασίων αὐτοῦ ὧν ἔδειξεν αὐτοῖς. Ἐναντίον τῶν πατέρων αὐτῶν ἃ ἐποίησε θαυμάσια. ἐν γῇ αἰγύπτῳ ἐν πεδίῳ τάνεως. Διέῤῥηξε θάλασσαν καὶ διήγαγεν αὐτούς. παρέστησε ὕδατα ὡσεὶ ἀσκόν. Καὶ ὡδήγησεν αὐτοὺς ἐν νεφέλῃ ἡμέρας. καὶ ὅλην τὴν νύκτα ἐν φωτισμῷ πυρός. Διέῤῥηξε πέτραν ἐν ἐρήμῳ. καὶ ἐπότισεν αὐτοὺς ὡς ἐν ἀβύσσῳ πολλῇ. Καὶ ἐξήγαγεν ὕδωρ ἐκ πέτρας. καὶ κατήγαγεν ὡς ποταμοὺς ὕδατα. καὶ προσέθεντο ἔτι τοῦ ἁμαρτάνειν αὐτῷ. Παρεπίκραναν τὸν ὕψιστον ἐν ἀνύδρῳ καὶ ἐξεπείρασαν τὸν θεὸν ἐν ταῖς καρδίαις αὐτῶν. Τοῦ αἰτῆσαι βρώματα ταῖς ψυχαῖς αὐτῶν. καὶ κατελάλησαν τοῦ θεοῦ καὶ εἶπον. Μὴ δυνήσεται ὁ θεὸς ἑτοιμάσαι τράπεζαν ἐν ἐρήμῳ. ἐπεὶ ἐπάταξε πέτραν. καὶ ἐῤῥύησαν ὕδατα καὶ χείμαῤῥοι κατεκλύσθησαν. Μὴ καὶ ἄρτον δύναται δοῦναι. ἢ ἑτοιμάσαι τράπεζαν τῷ λαῷ αὐτοῦ. Διὰ τοῦτο ἤκουσεν κύριος καὶ ἀνελάβετο καὶ πῦρ ἀνήφθη ἐν ἰακώβ, καὶ ὀργὴ ἀνέβη ἐπὶ τὸν ἰσραήλ. Ὅτι οὐκ ἐπίστευσαν ἐν τῷ θεῷ. οὐδὲ ἤλπι

σεν ἐπὶ τὸ σωτήριον αὐτοῦ. Καὶ ἐνετείλατο νεφέλαις ὑπεράνωθεν, καὶ θύρας οὐρανοῦ ἀνέῳξε. Καὶ ἔβρεξεν αὐτοῖς μάννα φαγεῖν, καὶ ἄρτον οὐρανοῦ ἔδωκεν αὐτοῖς. Ἄρτον ἀγγέλων ἔφαγεν ἄνθρωπος, ἐπισιτισμὸν ἀπέστειλεν αὐτοῖς εἰς πλησμονήν. Ἀπῆρεν νότον ἐξ οὐρανοῦ. καὶ ἐπήγαγεν ἐν τῇ δυνάμει αὐτοῦ λίβα. Καὶ ἔβρεξεν ἐπ᾽ αὐτοὺς ὡσεὶ χοῦν σάρκας. Καὶ ὡσεὶ ἄμμον θαλασσῶν πετεινὰ πτερωτά. Καὶ ἐπέπεσον ἐν μέσῳ τῆς παρεμβολῆς αὐτῶν κύκλῳ τῶν σκηνωμάτων αὐτῶν. καὶ ἔφαγον καὶ ἐνεπλήσθησαν σφόδρα. καὶ τὴν ἐπιθυμίαν αὐτῶν ἤνεγκεν αὐτοῖς. οὐκ ἐστερήθησαν ἀπὸ τῆς ἐπιθυμίας αὐτῶν. Ἔτι τῆς βρώσεως οὔσης ἐν τῷ στόματι αὐτῶν. καὶ ὀργὴ τοῦ θεοῦ ἀνέβη ἐπ᾽ αὐτούς. Καὶ ἀπέκτεινεν ἐν τοῖς πλείοσιν αὐτῶν καὶ τοὺς ἐκλεκτοὺς τοὺς ἰσραὴλ συνεπόδησεν. Ἐν πᾶσι τούτοις ἥμαρτον ἔτι. καὶ οὐκ ἐπίστευσαν ἐν τοῖς θαυμασίοις αὐτοῦ. Καὶ ἐξέλιπον ἐν ματαιότητι αἱ ἡμέραι αὐτῶν. καὶ τὰ ἔτη αὐτῶν μετὰ σπουδῆς. Ὅταν ἀπέκτενεν αὐτοὺς τότε ἐξεζήτουν αὐτόν. καὶ ἐπέστρεφον καὶ ὤρθριζον πρὸς τὸν θεόν. Καὶ ἐμνήσθησαν ὅτι ὁ θεὸς βοηθὸς αὐτῶν ἐστι. καὶ ὁ θεὸς ὁ ὕψιστος λυτρωτὴς αὐτῶν ἐστι. Καὶ ἠγάπησαν αὐτὸν ἐν τῷ στόματι αὐτῶν. καὶ τῇ γλώσσῃ αὐτῶν ἐψεύσαντο αὐτῷ. Ἡ δὲ καρδία αὐτῶν οὐκ εὐθεῖα μετ᾽ αὐτοῦ. οὐδὲ ἐπιστώθησαν ἐν τῇ διαθήκῃ αὐτοῦ. Αὐτὸς δέ ἐστιν οἰκτίρμων καὶ ἱλάσκεται ταῖς ἁμαρτίαις αὐτῶν καὶ οὐ διαφθερεῖ. καὶ πληθυνεῖ τοῦ ἀποστρέψαι τὸν θυμὸν αὐτοῦ. καὶ οὐχὶ ἐκκαύσει πᾶσαν τὴν ὀργὴν αὐτοῦ. Καὶ ἐμνήσθη ὅτι σάρξ εἰσί. πνεῦμα πορευόμενον καὶ οὐκ ἐπιστρέφον. Ποσάκις παρεπίκραναν αὐτὸν ἐν τῇ ἐρήμῳ παρώργησαν αὐτὸν ἐν γῇ ἀνύδρῳ. Καὶ ἐπέστρεψαν καὶ ἐπείρασαν τὸν θεόν. καὶ τὸν ἅγιον τοῦ ἰσραὴλ παρώξυναν. Καὶ ἐμνήσθησαν τῆς χειρὸς αὐτοῦ ἡμέρας. ἧς ἐλυτρώσατο αὐτοὺς ἐκ χειρὸς θλίβοντος. Ὡς ἔθετο ἐν αἰγύπτῳ τὰ σημεῖα αὐτοῦ. καὶ τὰ τέρατα αὐτοῦ ἐν πεδίῳ τάνεως, καὶ μετέστρεψεν εἰς αἷμα

τοὺς ποταμοὺς αὐτῶν· καὶ τὰ ὀμβρήματα αὐτῶν ὅπως μὴ πίωσιν. Ἐξαπέστειλεν εἰς αὐτοὺς κυνόμυιαν, καὶ κατέφαγεν αὐτοὺς καὶ βάτραχον καὶ διέφθειρεν αὐτούς. Καὶ ἔδωκε τῇ ἐρυσίβῃ τοὺς καρποὺς αὐτῶν· καὶ τοὺς πόνους αὐτῶν τῇ ἀκρίδι. Ἀπέκτεινεν ἐν χαλάζῃ τὴν ἄμπελον αὐτῶν, καὶ τὰς συκαμίνους αὐτῶν, ἐν τῇ πάχνῃ. Καὶ παρέδωκεν εἰς χάλαζαν τὰ κτήνη αὐτῶν καὶ τὴν ὕπαρξιν αὐτῶν τῷ πυρί. Ἐξαπέστειλεν εἰς αὐτοὺς ὀργὴν θυμοῦ αὐτοῦ· θυμὸν καὶ ὀργὴν καὶ θλῖψιν ἀποστολὴν δι' ἀγγέλων πονηρῶν. Ὡδοποίησε τρίβον τῇ ὀργῇ αὐτοῦ. καὶ οὐκ ἐφείσατο ἀπὸ θανάτου τῶν ψυχῶν αὐτῶν καὶ τὰ κτήνη αὐτῶν εἰς θάνατον συνέκλεισε. Καὶ ἐπάταξε πᾶν πρωτότοκον ἐν γῇ αἰγύπτῳ ἀπ' ἀρχὴν παντὸς πόνου αὐτῶν ἐν τοῖς σκηνώμασι χάμ. Καὶ ἀπῆρεν ὡς πρόβατα τὸν λαὸν αὐτοῦ. καὶ ἀνήγαγεν αὐτοὺς ὡσεὶ ποίμνιον ἐν ἐρήμῳ. Καὶ ὡδήγησεν αὐτοὺς ἐπ' ἐλπίδι καὶ οὐκ ἐδειλίασαν· καὶ τοὺς ἐχθροὺς αὐτῶν ἐκάλυψε θάλασσα. Καὶ εἰσήγαγεν αὐτοὺς εἰς ὄρος ἁγιάσματος αὐτοῦ. ὄρος τοῦτο ὃ ἐκτήσατο ἡ δεξιὰ αὐτοῦ. Καὶ ἐξέβαλεν ἀπὸ προσώπου αὐτῶν ἔθνη· καὶ ἐκληροδότησεν αὐτοὺς ἐν σχοινίῳ κληροδοσίας, καὶ κατεσκήνωσεν ἐν τοῖς σκηνώμασιν αὐτῶν τὰς φυλὰς τοῦ ἰσραήλ. Καὶ ἐπείρασαν καὶ παρεπίκραναν τὸν θεὸν τὸν ὕψιστον· καὶ τὰ μαρτύρια αὐτοῦ οὐκ ἐφυλάξαντο. Καὶ ἐπέστρεψαν καὶ ἠθέτησαν καθὼς καὶ οἱ πατέρες αὐτῶν, μετεστράφησαν εἰς τόξον στρεβλόν. Καὶ παρώργισαν αὐτὸν ἐν τοῖς βουνοῖς αὐτῶν, καὶ ἐν τοῖς γλυπτοῖς αὐτῶν παρεζήλωσαν αὐτόν. Ἤκουσεν ὁ θεὸς καὶ ὑπερεῖδε, καὶ ἐξουδένωσε σφόδρα τὸν ἰσραήλ. Καὶ ἀπώσατο τὴν σκηνὴν σιλὼμ σκήνωμα ὃ κατεσκήνωσεν ἐν ἀνθρώποις, Καὶ παρέδωκεν εἰς αἰχμαλωσίαν τὴν ἰσχὺν αὐτῶν. καὶ τὴν καλλονὴν αὐτῶν εἰς χεῖρας ἐχθρῶν. Καὶ συνέκλεισεν ἐν ῥομφαίᾳ τὸν λαὸν αὐτοῦ, καὶ τὴν κληρονομίαν αὐτοῦ ὑπερεῖδε. Τοὺς νεανίσκους αὐτοῦ κατέφαγε πῦρ· καὶ αἱ παρθένοι αὐτῶν οὐκ

ἐπενθήθησαν. Οἱ ἱερεῖς αὐτῶν ἐν ῥομφαίᾳ ἔπεσον· καὶ αἱ χῆ-
ραι αὐτῶν οὐ κλαυθήσονται. Καὶ ἐξηγέρθη ὡς ὁ ὑπνῶν κύριος
ὡς δυνατὸς καὶ κεκραιπαληκὼς ἐξ οἴνου. Καὶ ἐπάταξε τοὺς ἐχθροὺς
αὐτοῦ εἰς τὰ ὀπίσω· ὄνειδος αἰώνιον ἔδωκεν αὐτοῖς. Καὶ ἀπώσατο
τὸ σκήνωμα ἰωσήφ, καὶ τὴν φυλὴν ἐφραὶμ οὐκ ἐξελέξατο.
Καὶ ἐξελέξατο τὴν φυλὴν ἰούδα, τὸ ὄρος τὸ σιὼν ὃ ἠγάπησε.
Καὶ ᾠκοδόμησεν ὡς μονοκερώτων τὸ ἁγίασμα αὐτοῦ. ἐν τῇ γῇ
ἐθεμελίωσεν αὐτὴν εἰς τὸν αἰῶνα. Καὶ ἐξελέξατο δαβὶδ τὸν δοῦ-
λον αὐτοῦ, καὶ ἀνέλαβεν αὐτὸν ἐκ τῶν ποιμνίων τῶν προβάτων. Ἐ-
ξόπισθεν τῶν λοχευομένων ἔλαβεν αὐτόν. ποιμαίνειν ἰακὼβ
τὸν δοῦλον αὐτοῦ, καὶ ἰσραὴλ τὴν κληρονομίαν αὐτοῦ. Καὶ ἐποί-
μανεν αὐτοὺς ἐν τῇ ἀκακίᾳ τῆς καρδίας αὐτοῦ, καὶ ἐν ταῖς συνέ-
σεσι τῶν χειρῶν αὐτοῦ ὡδήγησεν αὐτούς. Δόξα.

Ψαλμὸς τῷ ἀσάφ. οή

Θεὸς ἤλθοσαν ἔθνη εἰς τὴν κληρονομίαν σου, ἐμίαν-
ναν τὸν ναὸν τὸν ἅγιόν σου. Ἔθεντο ἱερουσαλὴμ ὡς ὀπω-
ροφυλάκιον. ἔθεντο τὰ θνησιμαῖα τῶν δούλων σου,
βρώματα τοῖς πετεινοῖς τοῦ οὐρανοῦ. Τὰς σάρκας τῶν ὁσίων
σου τοῖς θηρίοις τῆς γῆς. Ἐξέχεαν τὸ αἷμα αὐτῶν ὡσεὶ ὕδωρ.
κύκλῳ ἱερουσαλὴμ καὶ οὐκ ἦν ὁ θάπτων. Ἐγενήθημεν ὄνει-
δος τοῖς γείτοσιν ἡμῶν μυκτηρισμὸς καὶ χλευασμὸς τοῖς κύκλῳ
ἡμῶν. Ἕως πότε κύριε ὀργισθήσῃ εἰς τέλος. ἐκκαυθήσεται ὡς
πῦρ ὁ ζῆλός σου. Ἔκχεον τὴν ὀργήν σου ἐπὶ τὰ ἔθνη τὰ μὴ γι-
νώσκοντά σε καὶ ἐπὶ βασιλείας, αἳ τὸ ὄνομά σου οὐκ ἐπεκαλέσαν-
το. Ὅτι κατέφαγον τὸν ἰακὼβ, καὶ τὸν τόπον αὐτοῦ ἠρήμωσαν.
Μὴ μνησθῇς ἡμῶν ἀνομιῶν ἀρχαίων. Ταχὺ προκαταλαβέ-
τωσαν ἡμᾶς οἱ οἰκτιρμοί σου κύριε. Ὅτι ἐπτωχεύσαμεν σφό-
δρα. Βοήθησον ἡμῖν ὁ θεὸς ὁ σωτὴρ ἡμῶν. ἕνεκεν τῆς δόξης τοῦ
ὀνόματός σου κύριε ῥῦσαι ἡμᾶς. Καὶ ἱλάσθητι ταῖς ἁμαρτίαις
ἡμῶν ἕνεκεν τοῦ ὀνόματός σου. Μήποτε εἴπωσι τὰ ἔθνη.

ποῦ ἐστιν ὁ θεὸς αὐτῶν. καὶ γνωσθήτω ἐν τοῖς ἔθνεσιν ἐνώπιον τῶν ὀφθαλμῶν ἡμῶν. ἡ ἐκδίκησις τοῦ αἵματος τῶν δούλων σου τοῦ ἐκκεχυμένου. Εἰσελθέτω ἐνώπιόν σου ὁ στεναγμὸς τῶν πεπεδημένων. Κατὰ τὴν μεγαλωσύνην τοῦ βραχίονός σου, περιποίησαι τοὺς υἱοὺς τῶν τεθανατωμένων. Ἀπόδος τοῖς γείτοσιν ἡμῶν ἑπταπλασίονα εἰς τὸν κόλπον αὐτῶν. τὸν ὀνειδισμὸν αὐτῶν ὃν ὠνείδισάν σε κύριε. Ἡμεῖς δὲ λαός σου καὶ πρόβατα νομῆς σου. Ἀνθομολογησόμεθά σοι ὁ θεὸς εἰς τὸν αἰῶνα. εἰς γενεὰν καὶ γενεὰν ἐξαγγελοῦμεν τὴν αἴνεσίν σου.

Εἰς τὸ τέλος ὑπὲρ τῶν ἀλλοιωθησομένων μαρτύριον τῷ ἀσάφ. ψαλμὸς ὑπὲρ τοῦ ἀσσυρίου. οθ

Ποιμαίνων τὸν ἰσραὴλ πρόσχες ὁ ὁδηγῶν ὡσεὶ πρόβατον τὸν ἰωσήφ. Ὁ καθήμενος ἐπὶ τῶν χερουβὶμ ἐμφάνηθι. ἐνώπιον ἐφραὶμ καὶ βενιαμὶν καὶ μανασσῆ. Ἐξέγειρον τὴν δυναστείαν σου καὶ ἐλθὲ εἰς τὸ σῶσαι ἡμᾶς. Ὁ θεὸς ἐπίστρεψον ἡμᾶς. καὶ ἐπίφανον τὸ πρόσωπόν σου καὶ σωθησόμεθα. Κύριε ὁ θεὸς τῶν δυνάμεων ἕως πότε ὀργίζῃ ἐπὶ τὴν προσευχὴν τῶν δούλων σου. Ψωμιεῖς ἡμᾶς ἄρτον δακρύων. καὶ ποτιεῖς ἡμᾶς ἐν δάκρυσιν ἐν μέτρῳ. Ἔθου ἡμᾶς εἰς ἀντιλογίαν τοῖς γείτοσιν ἡμῶν. καὶ οἱ ἐχθροὶ ἡμῶν ἐμυκτήρισαν ἡμᾶς. Κύριε ὁ θεὸς τῶν δυνάμεων ἐπίστρεψον ἡμᾶς. καὶ ἐπίφανον τὸ πρόσωπόν σου καὶ σωθησόμεθα. Ἄμπελον ἐξ αἰγύπτου μετῆρας. ἐξέβαλες ἔθνη καὶ κατεφύτευσας αὐτήν. Ὡδοποίησας ἔμπροσθεν αὐτῆς καὶ κατεφύτευσας τὰς ῥίζας αὐτῆς. καὶ ἐπλήρωσε τὴν γῆν. Ἐκάλυψεν ὄρη ἡ σκιὰ αὐτῆς καὶ αἱ ἀναδενδράδες αὐτῆς τὰς κέδρους τοῦ θεοῦ. Ἐξέτεινε τὰ κλήματα αὐτῆς, ἕως θαλάσσης, καὶ ἕως ποταμῶν τὰς παραφυάδας αὐτῆς. Ἵνα τί καθεῖλες τὸν φραγμὸν αὐτῆς καὶ τρυγῶσιν αὐτὴν πάντες οἱ παραπορευόμενοι τὴν ὁδόν. Ἐλυμήνατο αὐτὴν ὗς ἐκ δρυμοῦ, καὶ μονιὸς ἄγριος

τενεμήσατο αὐτήν. Ὁ θεὸς τῶν δυνάμεων ἐπίστρεψον δή·
καὶ ἐπίβλεψον ἐξ οὐρανοῦ καὶ ἴδε. Καὶ ἐπίσκεψαι τὴν ἄμπε-
λον ταύτην, καὶ κατάρτισαι αὐτήν, ἣν ἐφύτευσεν ἡ δεξιά σου.
Καὶ ἐπὶ υἱὸν ἀνθρώπου ὃν ἐκραταίωσας σεαυτῷ. Ἐμπεπυ-
ρισμένη πυρὶ καὶ ἀνεσκαμμένη, ἀπὸ ἐπιτιμήσεως τοῦ προσώ-
που σου ἀπολοῦνται. Γενηθήτω ἡ χείρ σου ἐπ' ἄνδρα δεξιᾶς
σου, καὶ ἐπὶ υἱὸν ἀνθρώπου ὃν ἐκραταίωσας σεαυτῷ. Καὶ οὐ μὴ
ἀποστῶμεν ἀπὸ σοῦ· ζωώσεις ἡμᾶς, καὶ τὸ ὄνομά σου ἐπικαλεσόμε-
θα. Κύριε ὁ θεὸς τῶν δυνάμεων ἐπίστρεψον ἡμᾶς· καὶ ἐπίφανον τὸ
πρόσωπόν σου καὶ σωθησόμεθα.

Εἰς τὸ τέλος ὑπὲρ τῶν ληνῶν ψαλ-
μὸς ᾠδῆς τῷ ἀσάφ. π

Γαλλιᾶσθε τῷ θεῷ τῷ βοηθῷ ἡμῶν· ἀλαλάξατε τῷ
α θεῷ ἰακώβ. Λάβετε ψαλμὸν καὶ δότε τύμπανον·
ψαλτήριον τερπνὸν μετὰ κιθάρας. Σαλπίσατε ἐν
νεομηνίᾳ σάλπιγγι, ἐν εὐσήμῳ ἡμέρᾳ ἑορτῆς ὑμῶν. Ὅτι πρό-
σταγμα τῷ ἰσραὴλ ἐστί· καὶ κρῖμα τῷ θεῷ ἰακώβ. Μαρτύριον
ἐν τῷ ἰωσὴφ ἔθετο αὐτόν, ἐν τῷ ἐξελθεῖν αὐτὸν ἐκ γῆς αἰγύπτου.
Γλῶσσαν ἣν οὐκ ἔγνω ἤκουσεν, ἀπέστησεν ἀπὸ ἄρσεων τὸν νῶ-
τον αὐτοῦ. Αἱ χεῖρες αὐτοῦ ἐν τῷ κοφίνῳ ἐδούλευσαν, ἐν θλί-
ψει ἐπεκαλέσω με καὶ ἐρρυσάμην σε. Ἐπήκουσά σου ἐν ἀποκρύ-
φῳ καταιγίδος. ΔΙΑΨΑΛΜΑ. Ἐδοκίμασά σε ἐπὶ ὕδατος
ἀντιλογίας. Ἄκουσον λαός μου καὶ διαμαρτύρομαί σοι. Ἰσραὴλ ἐ-
ὰν ἀκούσῃς μου οὐκ ἔσται ἐν σοὶ θεὸς πρόσφατος οὐδὲ προσκυνή-
σεις θεῷ ἀλλοτρίῳ. Ἐγὼ γάρ εἰμι κύριος ὁ θεός σου, ὁ ἀναγα-
γών σε ἐκ γῆς αἰγύπτου. Πλάτυνον τὸ στόμα σου, καὶ πληρώσω αὐ-
τό. Καὶ οὐκ ἤκουσεν ὁ λαός μου τῆς φωνῆς μου, καὶ ἰσραὴλ οὐ προ-
σέσχε μοι. Καὶ ἐξαπέστειλα αὐτοὺς κατὰ τὰ ἐπιτηδεύματα
τῶν καρδιῶν αὐτῶν, πορεύσονται ἐν τοῖς ἐπιτηδεύμασιν αὐτῶν.
Εἰ ὁ λαός μου ἤκουσέ μου ἰσραὴλ ταῖς ὁδοῖς μου εἰ ἐπορεύθησαν

τοῦ μηδενὶ ἂν τοὺς ἐχθροὺς αὐτῶν ἐταπείνωσα. Καὶ ἐπὶ τοὺς θλίβοντας αὐτοὺς ἐπέβαλον ἂν τὴν χεῖρά μου. Οἱ ἐχθροὶ κυρίου ἐψεύσαντο αὐτῷ. καὶ ἔσται ὁ καιρὸς αὐτῶν εἰς τὸν αἰῶνα. καὶ ἐψώμισεν αὐτοὺς ἐκ στέατος πυροῦ. καὶ ἐκ πέτρας μέλι ἐχόρτασεν αὐτούς. Δόξα.

Ψαλμὸς τοῦ ἀσάφ. πα

Θεὸς ἔστη ἐν συναγωγῇ θεῶν. ἐν μέσῳ δὲ θεοὺς
α διακρινεῖ. Ἕως πότε κρίνετε ἀδικίαν. καὶ πρόσω-
πα ἁμαρτωλῶν λαμβάνετε. Κρίνατε ὀρφανῷ καὶ πτωχῷ. ταπεινὸν καὶ πένητα δικαιώσατε. Ἐξέλεσθε πένητα καὶ πτωχόν. ἐκ χειρὸς ἁμαρτωλοῦ ῥύσασθε αὐτόν. Οὐκ ἔγνωσαν οὐδὲ συνῆκαν ἐν σκότει διαπορεύονται. Σαλευθήτωσαν πάντα τὰ θεμέλια τῆς γῆς. Ἐγὼ εἶπα θεοί ἐστε καὶ υἱοὶ ὑψίστου πάντες. ὑμεῖς δὲ ὡς ἄνθρωποι ἀποθνήσκετε καὶ ὡς εἷς τῶν ἀρχόντων πίπτετε. Ἀνάστα ὁ θεὸς κρίνων τὴν γῆν ὅτι σὺ κατακληρονομήσεις ἐν πᾶσι τοῖς ἔθνεσιν.

Ὠιδὴ ψαλμοῦ τοῦ ἀσάφ. πβ

Θεὸς τίς ὁμοιωθήσεταί σοι. μὴ σιγήσῃς μηδὲ κα-
α ταπραΰνῃς ὁ θεός. Ὅτι ἰδοὺ οἱ ἐχθροί σου ἤχη-
σαν. καὶ οἱ μισοῦντές σε ἦραν κεφαλήν. Ἐπὶ τὸν λαόν σου κατεπανουργεύσαντο γνώμην. καὶ ἐβουλεύσαντο κατὰ τῶν ἁγίων σου. Εἶπαν δεῦτε καὶ ἐξολοθρεύσωμεν αὐτοὺς ἐξ ἔθνους. καὶ οὐ μὴ μνησθῇ τὸ ὄνομα ἰσραὴλ ἔτι. Ὅτι ἐβουλεύσαντο ἐν ὁμονοίᾳ ἐπὶ τὸ αὐτό. κατὰ σοῦ διαθήκην διέθεντο. Τὰ σκηνώματα τῶν ἰδουμαίων καὶ οἱ ἰσμαηλῖται. Μωὰβ καὶ οἱ ἀγαρηνοί. Γεβὰλ καὶ ἀμμὼν καὶ ἀμαλήκ. Ἀλλόφυλοι μετὰ τῶν κατοικούντων τύρον. Καὶ γὰρ καὶ ἀσοὺρ συμπαρεγένετο μετ' αὐτῶν. ἐγενήθησαν εἰς ἀντίληψιν τοῖς υἱοῖς λώτ.

ΔΙΑΨΑΛΜΑ. Ποίησον αὐτοῖς ὡς τῇ μαδιὰμ καὶ τῷ σισάρᾳ. ὡς τῷ ἰαβεὶμ ἐν τῷ χειμάρρῳ κισῶν. Ἐξωλο-

ἐξολοθρεύθησαν ἐν ἀενδώρ· ἐγενήθησαν ὡσεὶ κόπρος τῇ γῇ. Θοῦ
τοὺς ἄρχοντας αὐτῶν ὡς τὸν ὠρὴβ καὶ ζὴβ καὶ ζεβεὲ καὶ σαλμα-
νᾶ πάντας τοὺς ἄρχοντας αὐτῶν. Οἵτινες εἶπον κληρονομή-
σωμεν ἑαυτοῖς τὸ ἁγιαστήριον τοῦ θεοῦ. Ὁ θεός μου θοῦ αὐτοὺς ὡς
τροχόν· ὡς καλάμην κατὰ πρόσωπον ἀνέμου. Ὡσεὶ πῦρ ὃ δια-
φλέξει δρυμόν· ὡσεὶ φλὸξ ἣ κατακαύσει ὄρη. Οὕτως καταδιώ-
ξεις αὐτοὺς ἐν τῇ καταιγίδι σου· καὶ ἐν τῇ ὀργῇ σου συνταράξεις
αὐτούς. Πλήρωσον τὰ πρόσωπα αὐτῶν ἀτιμίας· καὶ ζητήσουσι τὸ
ὄνομά σου κύριε. Αἰσχυνθήτωσαν καὶ ταραχθήτωσαν εἰς τὸν αἰῶνα τοῦ
αἰῶνος καὶ ἐντραπήτωσαν καὶ ἀπολέσθωσαν. Καὶ γνώτωσαν
ὅτι ὄνομά σοι κύριος· σὺ μόνος ὕψιστος ἐπὶ πᾶσαν τὴν γῆν.

Εἰς τὸ τέλος ὑπὲρ τῶν ληνῶν
τοῖς υἱοῖς κορὲ ψαλμός. πγ'

Σ ἀγαπητὰ τὰ σκηνώματά σου κύριε τῶν δυνά-
ω μεων. Ἐπιποθεῖ καὶ ἐκλείπει ἡ ψυχή μου εἰς τὰς
αὐλὰς τοῦ κυρίου. Ἡ καρδία μου καὶ ἡ σάρξ μου ἠ-
γαλλιάσαντο ἐπὶ θεὸν ζῶντα. Καὶ γὰρ στρουθίον εὗρεν ἑαυτῷ οἰ-
κίαν· καὶ τρυγὼν νοσσιὰν ἑαυτῇ· οὗ θήσει τὰ νοσσία ἑαυτῆς. Τὰ
θυσιαστήριά σου κύριε τῶν δυνάμεων· ὁ βασιλεύς μου καὶ ὁ θε-
ός μου. Μακάριοι οἱ κατοικοῦντες ἐν τῷ οἴκῳ σου· εἰς τοὺς
αἰῶνας τῶν αἰώνων αἰνέσουσί σε. ΔΙΑΨΑΛΜΑ.
Μακάριος ἀνὴρ ᾧ ἐστὶν ἀντίληψις αὐτοῦ παρὰ σοῦ· ἀναβάσεις
ἐν τῇ καρδίᾳ αὐτοῦ διέθετο. Εἰς τὴν κοιλάδα τοῦ κλαυθμῶ-
νος· εἰς τὸν τόπον ὃν ἔθετο· καὶ γὰρ εὐλογίας δώσει ὁ νομοθετῶν. Πο-
ρεύσονται ἐκ δυνάμεως εἰς δύναμιν· ὀφθήσεται ὁ θεὸς τῶν θεῶν ἐν
σιών. Κύριε ὁ θεὸς τῶν δυνάμεων, εἰσάκουσον τῆς προσευχῆς μου· ἐνώ-
τισαι ὁ θεὸς ἰακώβ. ΔΙΑΨΑΛΜΑ. Ὑπερασπιστὰ ἡ-
μῶν, ἴδε ὁ θεός· καὶ ἐπίβλεψον εἰς τὸ πρόσωπον τοῦ χριστοῦ σου.
Ὅτι κρείσσων ἡμέρα μία ἐν ταῖς αὐλαῖς σου ὑπὲρ χιλιάδας.
Ἐξελεξάμην παραρριπτεῖσθαι ἐν τῷ οἴκῳ τοῦ θεοῦ μου μᾶλλον,

ἢ οἰκεῖν με ἐν σκηνώμασιν ἁμαρτωλῶν. Ὅτι ἔλεος καὶ ἀ-
λήθειαν ἀγαπᾷ κύριος. ὁ θεὸς χάριν καὶ δόξαν δώσει.
Κύριος οὐ στερήσει τὰ ἀγαθὰ τοῖς πορευομένοις ἐν ἀκακίᾳ.
Κύριε ὁ θεὸς τῶν δυνάμεων· μακάριος ἄνθρωπος ὁ ἐλπί-
ζων ἐπὶ σέ.

Εἰς τὸ τέλος τοῖς υἱοῖς κορὲ ψαλμός. πδ

Υδόκησας κύριε τὴν γῆν σου· ἀπέστρεψας τὴν αἰ-
ἐ χμαλωσίαν ἰακώβ. Ἀφῆκας τὰς ἀνομίας τοῦ
λαοῦ σου· ἐκάλυψας πάσας τὰς ἁμαρτίας αὐτῶν.
Κατέπαυσας πᾶσαν τὴν ὀργήν σου ἀπέστρεψας ἀπὸ ὀργῆς θυμοῦ
σου. Ἐπίστρεψον ἡμᾶς ὁ θεὸς τῶν σωτηρίων ἡμῶν· καὶ ἀπόστρεψον
τὸν θυμόν σου ἀφ' ἡμῶν. Μὴ εἰς τοὺς αἰῶνας ὀργισθῇς ἡμῖν; ἢ δι-
ατενεῖς τὴν ὀργήν σου ἀπὸ γενεᾶς εἰς γενεάν; Ὁ θεός· σὺ ἐπι-
στρέψας ζωώσεις ἡμᾶς· καὶ ὁ λαός σου, εὐφρανθήσεται ἐπὶ σοί.
Δεῖξον ἡμῖν κύριε τὸ ἔλεός σου· καὶ τὸ σωτήριόν σου δῴης ἡμῖν.
Ἀκούσομαι τί λαλήσει ἐν ἐμοὶ κύριος ὁ θεός. Ὅτι λαλήσει
εἰρήνην ἐπὶ τὸν λαὸν αὐτοῦ· καὶ ἐπὶ τοὺς ὁσίους αὐτοῦ· καὶ ἐπὶ τοὺς ἐ-
πιστρέφοντας καρδίαν ἐπ' αὐτόν. Πλὴν ἐγγὺς τῶν φοβουμένων
αὐτὸν τὸ σωτήριον αὐτοῦ. τοῦ κατασκηνῶσαι δόξαν ἐν τῇ γῇ ἡ-
μῶν. Ἔλεος καὶ ἀλήθεια συνήντησαν· δικαιοσύνη καὶ εἰρήνη
κατεφίλησαν. Ἀλήθεια ἐκ τῆς γῆς ἀνέτειλε· καὶ δικαιοσύνη
ἐκ τοῦ οὐρανοῦ διέκυψε. Καὶ γὰρ ὁ κ͞ς δώσει χρηστότητα· καὶ
ἡ γῆ ἡμῶν δώσει τὸν καρπὸν αὐτῆς. Δικαιοσύνη ἐνώπιον αὐ-
τοῦ προπορεύσεται· καὶ θήσει εἰς ὁδὸν τὰ διαβήματα αὐτοῦ.

Δόξα. Κάθισμα. ιά

Προσευχὴ τοῦ Δαβίδ. πε

Λῖνον κύριε τὸ οὖς σου κ(αὶ) ἐπάκουσόν μου ὅτι πτω-
κ χὸς καὶ πένης εἰμὶ ἐγώ. Φύλαξον τὴν ψυχήν μου
ὅτι ὅσιός εἰμι· σῶσον τὸν δοῦλόν σου ὁ θεός μου,
τὸν ἐλπίζοντα ἐπὶ σέ. Ἐλέησόν με κύριε ὅτι πρὸς σὲ κε-

κράξομαι ὅλην τὴν ἡμέραν. Εὔφρανον τὴν ψυχὴν τοῦ δούλου σου ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου. Οτι σὺ κύριε χρηστὸς καὶ ἐπιεικὴς, καὶ πολυέλεος πᾶσι τοῖς ἐπικαλουμένοις σε. Ενώτισαι κύριε τὴν προσευχήν μου· καὶ πρόσχες τῇ φωνῇ τῆς δεήσεώς μου. Εν ἡμέρᾳ θλίψεώς μου ἐκέκραξα πρὸς σὲ, ὅτι ἐπήκουσάς μου. Οὐκ ἔστιν ὅμοιός σοι ἐν θεοῖς κύριε, καὶ οὐκ ἔστι κατὰ τὰ ἔργα σου. Πάντα τὰ ἔθνη ὅσα ἐποίησας, ἥξουσι καὶ προσκυνήσουσιν ἐνώπιόν σου κύριε. Καὶ δοξάσουσι τὸ ὄνομά σου, ὅτι μέγας εἶ σύ· καὶ ποιῶν θαυμάσια· σὺ εἶ θεὸς μόνος. Οδήγησόν με κύριε ἐν τῇ ὁδῷ σου· καὶ πορεύσομαι ἐν τῇ ἀληθείᾳ σου. Εὐφρανθήτω ἡ καρδία μου τοῦ φοβεῖσθαι τὸ ὄνομά σου. Εξομολογήσομαί σοι κύριε ὁ θεός μου ἐν ὅλῃ καρδίᾳ μου, καὶ δοξάσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα. Οτι τὸ ἔλεός σου μέγα ἐπ' ἐμέ· καὶ ἐῤῥύσω τὴν ψυχήν μου ἐξ ᾅδου κατωτάτου. ὁ θεὸς, παράνομοι ἐπανέστησαν ἐπ' ἐμέ· καὶ συναγωγὴ κραταιῶν ἐζήτησαν τὴν ψυχήν μου· καὶ οὐ προέθεντό σε ἐνώπιον αὐτῶν. Καὶ σὺ κύριε ὁ θεός μου οἰκτίρμων καὶ ἐλεήμων· μακρόθυμος καὶ πολυέλεος καὶ ἀληθινός. Επίβλεψον ἐπ' ἐμὲ καὶ ἐλέησόν με· δὸς τὸ κράτος σου τῷ παιδί σου· καὶ σῶσον τὸν υἱὸν τῆς παιδίσκης σου. Ποίησον μετ' ἐμοῦ σημεῖον εἰς ἀγαθόν· καὶ ἰδέτωσαν οἱ μισοῦντές με· καὶ αἰσχυνθήτωσαν. Οτι σὺ κύριε ἐβοήθησάς μοι καὶ παρεκάλεσάς με.

Τοῖς υἱοῖς κορὲ ψαλμὸς ᾠδῆς. πϛ

Οἱ θεμέλιοι αὐτοῦ ἐν τοῖς ὄρεσι τοῖς ἁγίοις. Αγαπᾷ κύριος τὰς πύλας σιών, ὑπὲρ πάντα τὰ σκηνώματα ἰακώβ. Δεδοξασμένα ἐλαλήθη περὶ σοῦ ἡ πόλις τοῦ θεοῦ. Μνησθήσομαι ῥαὰβ καὶ βαβυλῶνος τοῖς γινώσκουσί με. Καὶ ἰδοὺ ἀλλόφυλοι καὶ τύρος καὶ λαὸς τῶν αἰθιόπων· οὗτοι ἐγεννήθησαν ἐκεῖ. Μήτηρ σιὼν ἐρεῖ ἄνθρωπος καὶ ἄνθρωπος ἐγεννήθη ἐν αὐτῇ· καὶ αὐτὸς ἐθεμελίωσεν αὐ-

τὴν ὁ ὕψιστος. Κύριος διηγήσεται ἐν γραφῇ λαῶν καὶ ἀρχόν-
των τούτων τῶν γεγενημένων ἐν αὐτῇ. Ὡς εὐφραινομένων
πάντων ἡ κατοικία ἐν σοί.

Ὠδὴ ψαλμοῦ τοῖς υἱοῖς κορὲ, εἰς τὸ τέλος ὑ-
πὲρ μαελὲθ τοῦ ἀποκριθῆναι, συνέσεως
αἰθὰμ τῷ ἰσραηλίτῃ πζ'

ύριε ὁ θεὸς τῆς σωτηρίας μου, ἡμέρας ἐκέκραξα
κ καὶ ἐν νυκτὶ ἐναντίον σου. Εἰσελθέτω ἐνώπιόν σου
ἡ προσευχή μου. Κλῖνον τὸ οὖς σου εἰς τὴν δέη-
σίν μου. ὅτι ἐπλήσθη κακῶν ἡ ψυχή μου καὶ ἡ ζωή μου τῷ ᾅ-
δῃ ἤγγισε. Προσελογίσθην μετὰ τῶν καταβαινόντων εἰς λάκ-
κον. Ἐγενήθην ὡσεὶ ἄνθρωπος ἀβοήθητος. ἐν νεκροῖς ἐλεύθε-
ρος. Ὡσεὶ τραυματίαι καθεύδοντες ἐν τάφῳ ὧν οὐκ ἐμνή-
σθης ἔτι. καὶ αὐτοὶ ἐκ τῆς χειρός σου ἀπώσθησαν. Ἔθεντό με
ἐν λάκκῳ κατωτάτῳ. ἐν σκοτεινοῖς καὶ ἐν σκιᾷ θανάτου.
Ἐπ' ἐμὲ ἐπεστηρίχθη ὁ θυμός σου καὶ πάντας τοὺς μετεωρισμούς
σου ἐπήγαγες ἐπ' ἐμέ. ΔΙΑΨΑΛΜΑ. Ἐμάκρυ-
νας τοὺς γνωστούς μου ἀπ' ἐμοῦ. ἔθεντό με βδέλυγμα ἑαυτοῖς.
Παρεδόθην καὶ οὐκ ἐξεπορευόμην. οἱ ὀφθαλμοί μου ἠσθένησαν
ἀπὸ πτωχείας. Ἐκέκραξα πρὸς σὲ κύριε ὅλην τὴν ἡμέραν.
διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου. Μὴ τοῖς νεκροῖς ποιήσεις
θαυμάσια, ἢ ἰατροὶ ἀναστήσουσι καὶ ἐξομολογήσονταί σοι;
Μὴ διηγήσεταί τις ἐν τῷ τάφῳ τὸ ἔλεός σου, καὶ τὴν ἀλή-
θειάν σου ἐν τῇ ἀπωλείᾳ; Μὴ γνωσθήσεται ἐν τῷ σκότει
τὰ θαυμάσιά σου. καὶ ἡ δικαιοσύνη σου ἐν γῇ ἐπιλελησμένῃ;
Κἀγὼ πρὸς σὲ κύριε ἐκέκραξα. καὶ τὸ πρωῒ ἡ προσευχή μου
προφθάσει σε. Ἵνα τί κύριε ἀπωθῇ τὴν ψυχήν μου, ἀποστρέ-
φεις τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ; Πτωχός εἰμι ἐγὼ, καὶ ἐν κό-
ποις ἐκ νεότητός μου. ὑψωθεὶς δὲ ἐταπεινώθην καὶ ἐξηπορή-
θην. Ἐπ' ἐμὲ διῆλθον αἱ ὀργαί σου. οἱ φοβερισμοί σου ἐξετά-

ραξάν με. ἐκύκλωσάν με ὡσεὶ ὕδωρ. Ὅλην τὴν ἡμέραν περι-
έσχον με ἅμα. ἐμάκρυνας ἀπ' ἐμοῦ φίλον καὶ πλησίον. καὶ τοὺς
γνωστούς μου ἀπὸ ταλαιπωρίας. Δόξα.

Συνέσεως αἰθὰμ τῷ ἰσραηλίτῃ. πη

Α' ἐλέη σου κύριε εἰς τὸν αἰῶνα ᾄσομαι. εἰς γενεὰν
τ καὶ γενεὰν ἀπαγγελῶ τὴν ἀλήθειάν σου ἐν τῷ στόμα-
τί μου. Ὅτι εἶπας εἰς τὸν αἰῶνα ἔλεος οἰκοδομη-
θήσεται. ἐν τοῖς οὐρανοῖς ἑτοιμασθήσεται ἡ ἀλήθειά σου.
Διεθέμην διαθήκην τοῖς ἐκλεκτοῖς μου, ὤμοσα δαβὶδ τῷ δού-
λῳ μου. ἕως τοῦ αἰῶνος. Ἑτοιμάσω τὸ σπέρμα σου. καὶ οἰκο-
δομήσω εἰς γενεὰν καὶ γενεὰν τὸν θρόνον σου. Ἐξομολογή-
σονται οἱ οὐρανοὶ τὰ θαυμάσιά σου κύριε. καὶ γὰρ τὴν ἀλή-
θειάν σου ἐν ἐκκλησίᾳ ἁγίων. Ὅτι τίς ἐν νεφέλαις ἰσωθήσε-
ται τῷ κυρίῳ. ὁμοιωθήσεται τῷ κυρίῳ ἐν υἱοῖς θεοῦ. Ὁ θε-
ὸς ἐνδοξαζόμενος ἐν βουλῇ ἁγίων. μέγας καὶ φοβερὸς ἐστὶν ἐ-
πὶ πάντας τοὺς περικύκλῳ αὐτοῦ. Κύριε ὁ θεὸς τῶν δυνάμε-
ων, τίς ὅμοιός σοι δυνατὸς εἶ κύριε, καὶ ἡ ἀλήθειά σου κύκλῳ
σου. Σὺ δεσπόζεις τοῦ κράτους τῆς θαλάσσης. τὸν δὲ σάλον τῶν
κυμάτων αὐτῆς, σὺ καταπραΰνεις. Σὺ ἐταπείνωσας ὡς τραυ-
ματίαν ὑπερήφανον. ἐν τῷ βραχίονι τῆς δυνάμεώς σου, διε-
σκόρπισας τοὺς ἐχθρούς σου. Σοί εἰσιν οἱ οὐρανοί, καὶ σή ἐ-
στιν ἡ γῆ. τὴν οἰκουμένην, καὶ τὸ πλήρωμα αὐτῆς σὺ ἐθεμελίω-
σας τὸν βορρᾶν καὶ τὴν θάλασσαν σὺ ἔκτισας. Θαβὼρ καὶ
ἑρμὼν ἐν τῷ ὀνόματί σου ἀγαλλιάσονται. σὸς ὁ βραχίων με-
τὰ δυναστείας. Κραταιωθήτω ἡ χείρ σου. ὑψωθήτω ἡ δεξιά
σου. Δικαιοσύνη καὶ κρίμα ἑτοιμασία τοῦ θρόνου σου. Ἔλεος
καὶ ἀλήθεια προπορεύσονται πρὸ προσώπου σου. Μακάρι-
ος ὁ λαὸς ὁ γινώσκων ἀλαλαγμόν. Κύριε ἐν τῷ φωτὶ τοῦ
προσώπου σου πορεύσονται. καὶ ἐν τῷ ὀνόματί σου ἀγαλλι-
άσονται ὅλην τὴν ἡμέραν. καὶ ἐν τῇ δικαιοσύνῃ σου ὑψωθή-

σονται. Ὅτι καύχημα τῆς δυνάμεως αὐτῶν σὺ εἶ. καὶ ἐν τῇ
εὐδοκίᾳ σου ὑψωθήσεται τὸ κέρας ἡμῶν. Ὅτι τοῦ κυρίου ἡ
ἀντίληψις. καὶ τοῦ ἁγίου ἰσραὴλ βασιλέως ἡμῶν. Τότε ἐλά-
λησας ἐν ὁράσει τοῖς υἱοῖς σου καὶ εἶπας ἐθέμην βοήθειαν ἐπὶ δυ-
νατόν. ὕψωσα ἐκλεκτὸν ἐκ τοῦ λαοῦ μου. Εὗρον δαβὶδ τὸν δοῦ-
λόν μου, ἐν ἐλαίῳ ἁγίῳ μου ἔχρισα αὐτόν. Ἡ γὰρ χείρ μου
συναντιλήψεται αὐτῷ. καὶ ὁ βραχίων μου κατισχύσει αὐτόν.
Οὐκ ὠφελήσει ἐχθρὸς ἐν αὐτῷ. καὶ υἱὸς ἀνομίας, οὐ προσθή-
σει τοῦ κακῶσαι αὐτόν. Καὶ συγκόψω ἀπὸ προσώπου αὐ-
τοῦ τοὺς ἐχθροὺς αὐτοῦ. καὶ τοὺς μισοῦντας αὐτὸν τροπώσομαι.
Καὶ ἡ ἀλήθειά μου καὶ τὸ ἔλεός μου μετ᾽ αὐτοῦ. καὶ ἐν τῷ ὀ-
νόματί μου ὑψωθήσεται τὸ κέρας αὐτοῦ. Καὶ θήσομαι ἐν θα-
λάσσῃ χεῖρα αὐτοῦ καὶ ἐν ποταμοῖς δεξιὰν αὐτοῦ. Αὐτὸς ἐπι-
καλέσεταί με, πατήρ μου εἶ σύ. θεός μου καὶ ἀντιλήπτωρ τῆς
σωτηρίας μου. Κἀγὼ πρωτότοκον θήσομαι αὐτόν. ὑψηλὸν
παρὰ τοῖς βασιλεῦσι τῆς γῆς. Εἰς τὸν αἰῶνα φυλάξω αὐτῷ τὸ
ἔλεός μου. καὶ ἡ διαθήκη μου πιστὴ αὐτῷ. Καὶ θήσομαι εἰς τὸν
αἰῶνα τοῦ αἰῶνος τὸ σπέρμα αὐτοῦ. καὶ τὸν θρόνον αὐτοῦ ὡς τὰς
ἡμέρας τοῦ οὐρανοῦ. Ἐὰν ἐγκαταλίπωσιν οἱ υἱοὶ αὐτοῦ τὸν νό-
μον μου. καὶ τοῖς κρίμασί μου μὴ πορευθῶσιν. Ἐὰν τὰ δι-
καιώματά μου βεβηλώσωσι. καὶ τὰς ἐντολάς μου μὴ φυλά-
ξωσιν. Ἐπισκέψομαι ἐν ῥάβδῳ τὰς ἀνομίας αὐτῶν. καὶ ἐν
μάστιξι τὰς ἀδικίας αὐτῶν. Τὸ δὲ ἔλεός μου, οὐ μὴ διασκε-
δάσω ἀπ᾽ αὐτῶν. οὐδ᾽ οὐ μὴ ἀδικήσω ἐν τῇ ἀληθείᾳ μου.
Οὐδ᾽ οὐ μὴ βεβηλώσω τὴν διαθήκην μου. καὶ τὰ ἐκπορευό-
μενα διὰ τῶν χειλέων μου, οὐ μὴ ἀθετήσω. Ἅπαξ ὤμοσα
ἐν τῷ ἁγίῳ μου, εἰ τῷ δαβὶδ ψεύσομαι. Τὸ σπέρμα αὐ-
τοῦ εἰς τὸν αἰῶνα μενεῖ. καὶ ὁ θρόνος αὐτοῦ ὡς ὁ ἥλιος ἐνώπιόν
μου. Καὶ ὡς ἡ σελήνη κατηρτισμένη εἰς τὸν αἰῶνα. καὶ ὁ
μάρτυς ἐν οὐρανῷ πιστός. ΔΙΑΨΑΛΜΑ.

Σὺ δὲ ἀπώσω καὶ ἐξουδένωσας· ἀνεβάλου τὸν χριστόν σου.
Κατέστρεψας τὴν διαθήκην τοῦ δούλου σου· ἐβεβήλωσας εἰς
τὴν γῆν τὸ ἁγίασμα αὐτοῦ. Καθεῖλες πάντας τοὺς φραγμοὺς
αὐτοῦ· ἔθου τὰ ὀχυρώματα αὐτοῦ δειλίαν. Διήρπαζον αὐτὸν
πάντες οἱ διοδεύοντες ὁδόν· ἐγενήθη ὄνειδος τοῖς γείτο-
σιν αὐτοῦ. Ὕψωσας τὴν δεξιὰν τῶν θλιβόντων αὐτόν· εὔφρα-
νας πάντας τοὺς ἐχθροὺς αὐτοῦ. Ἀπέστρεψας τὴν βοήθειαν τῆς
ῥομφαίας αὐτοῦ· καὶ οὐκ ἀντελάβου αὐτοῦ ἐν τῷ πολέμῳ.
Κατέλυσας ἀπὸ καθαρισμοῦ αὐτοῦ· τὸν θρόνον αὐτοῦ εἰς τὴν
γῆν κατέρραξας. Ἐσμίκρυνας τὰς ἡμέρας τοῦ χρόνου αὐτοῦ·
κατέχεας αὐτοῦ αἰσχύνην. Ἕως πότε κύριε ἀποστρέφῃ εἰς τέλος
ἐκκαυθήσεται ὡς πῦρ ἡ ὀργή σου. Μνήσθητι τίς μου ἡ ὑπόστα-
σις μὴ γὰρ ματαίως ἔκτισας πάντας τοὺς υἱοὺς τῶν ἀνθρώπων.
Τίς ἐστιν ἄνθρωπος, ὃς ζήσεται καὶ οὐκ ὄψεται θάνατον· ῥύσεται
τὴν ψυχὴν αὐτοῦ ἐκ χειρὸς ᾅδου. ΔΙΑΨΑΛΜΑ.
Ποῦ εἰσι τὰ ἐλέη σου τὰ ἀρχαῖα κύριε· ἃ ὤμοσας τῷ Δαβὶδ
ἐν τῇ ἀληθείᾳ σου. Μνήσθητι κύριε τοῦ ὀνειδισμοῦ τῶν δού-
λων σου· οὗ ὑπέσχον ἐν τῷ κόλπῳ μου πολλῶν ἐθνῶν. Οὗ ὠ-
νείδισαν οἱ ἐχθροί σου κύριε· οὗ ὠνείδισαν τὸ ἀντάλλαγμα τοῦ
χριστοῦ σου. Εὐλογητὸς κύριος εἰς τὸν αἰῶνα· γένοιτο γένοιτο.

Δόξα.

Προσευχὴ μωϋσῆ ἀνθρώπῳ θεοῦ. πθ

ύριε καταφυγὴ ἐγενήθης ἡμῖν ἐν γενεᾷ καὶ γενεᾷ.
* Πρὸ τοῦ ὄρη γενηθῆναι καὶ πλασθῆναι τὴν γῆν καὶ
τὴν οἰκουμένην· καὶ ἀπὸ τοῦ αἰῶνος καὶ ἕως τοῦ αἰῶ-
νος σὺ εἶ. Μὴ ἀποστρέψῃς ἄνθρωπον εἰς ταπείνωσιν· καὶ εἶ-
πας, ἐπιστρέψατε υἱοὶ τῶν ἀνθρώπων. Ὅτι χίλια ἔτη ἐν ὀ-
φθαλμοῖς σου κύριε· ὡς ἡμέρα ἡ ἐχθὲς ἥτις διῆλθε, καὶ φυλακὴ
ἐν νυκτί. Τὰ ἐξουδενώματα αὐτῶν ἔτη ἔσονται. Τὸ πρωῒ ὡσεὶ
χλόη παρέλθοι· τὸ πρωῒ ἀνθήσαι καὶ παρέλθοι. Τὸ ἑσπέρας
ἀποπέσοι.

ἀποπέσοι· σκληρυνθείη καὶ ξηρανθείη. Ὅτι ἐξελίπομεν ἐν τῇ ὀργῇ σου καὶ ἐν τῷ θυμῷ σου ἐταράχθημεν. Ἔθου τὰς ἀνομίας ἡμῶν ἐναντίον σου, ὁ αἰὼν ἡμῶν εἰς φωτισμὸν τοῦ προσώπου σου. Ὅτι πᾶσαι αἱ ἡμέραι ἡμῶν ἐξέλιπον· καὶ ἐν τῇ ὀργῇ σου ἐξελίπομεν. Τὰ ἔτη ἡμῶν ὡσεὶ ἀράχνη ἐμελέτων· αἱ ἡμέραι τῶν ἐτῶν ἡμῶν ἐν αὐτοῖς, ἑβδομήκοντα ἔτη· ἐὰν δὲ ἐν δυναστείαις, ὀγδοήκοντα ἔτη· καὶ τὸ πλεῖον αὐτῶν, κόπος καὶ πόνος. Ὅτι ἐπῆλθε πραΰτης ἐφ' ἡμᾶς καὶ παιδευθησόμεθα. Τίς γινώσκει τὸ κράτος τῆς ὀργῆς σου· καὶ ἀπὸ τοῦ φόβου σου, τὸν θυμόν σου ἐξαριθμήσασθαι. Τὴν δεξιάν σου οὕτως γνώρισόν μοι, καὶ τοὺς πεπεδημένους τῇ καρδίᾳ ἐν σοφίᾳ. Ἐπίστρεψον κύριε ἕως πότε· καὶ παρακλήθητι ἐπὶ τοῖς δούλοις σου. Ἐνεπλήσθημεν τὸ πρωῒ τοῦ ἐλέους σου κύριε· καὶ ἠγαλλιασάμεθα καὶ εὐφράνθημεν. Ἐν πάσαις ταῖς ἡμέραις ἡμῶν εὐφρανθείημεν· ἀνθ' ὧν ἡμερῶν ἐταπείνωσας ἡμᾶς· ἐτῶν ὧν εἴδομεν κακά. Καὶ ἴδε ἐπὶ τοὺς δούλους σου καὶ ἐπὶ τὰ ἔργα σου, καὶ ὁδήγησον τοὺς υἱοὺς αὐτῶν. Καὶ ἔστω ἡ λαμπρότης κυρίου τοῦ θεοῦ ἡμῶν ἐφ' ἡμᾶς· καὶ τὰ ἔργα τῶν χειρῶν ἡμῶν κατεύθυνον ἐφ' ἡμᾶς· καὶ τὸ ἔργον τῶν χειρῶν ἡμῶν κατεύθυνον.

Αἶνος ᾠδῆς τῷ Δαβὶδ ἀνεπίγραφος παρ' ἑβραίοις.

Κατοικῶν ἐν βοηθείᾳ τοῦ ὑψίστου· ἐν σκέπῃ τοῦ θεοῦ
ϟ τοῦ οὐρανοῦ αὐλισθήσεται. Ἐρεῖ τῷ κυρίῳ ἀντιλή-
πτωρ μου εἶ καὶ καταφυγή μου, ὁ θεός μου, καὶ ἐλπιῶ ἐπ' αὐτόν. Ὅτι αὐτὸς ῥύσεταί σε ἐκ παγίδος θηρευτῶν καὶ ἀπὸ λόγου ταραχώδους· ἐν τοῖς μεταφρένοις αὐτοῦ ἐπισκιάσει σοι· καὶ ὑπὸ τὰς πτέρυγας αὐτοῦ ἐλπιεῖς. Ὅπλῳ κυκλώσει σε ἡ ἀλήθεια αὐτοῦ· οὐ φοβηθήσῃ ἀπὸ φόβου νυκτερινοῦ. Ἀπὸ βέλους πετομένου ἡμέρας· ἀπὸ πράγματος ἐν σκότει διαπορευομένου· ἀπὸ συμπτώματος, καὶ δαιμονίου μεσημβρινοῦ. Πεσεῖται ἐκ τοῦ κλίτους σου χιλιάς· καὶ μυριὰς ἐκ δεξιῶν σου· πρὸς σὲ δὲ οὐκ

πλὴν τοῖς ὀφθαλμοῖς σου κατανοήσεις· καὶ ἀνταπόδοσιν ἁ-
μαρτωλῶν ὄψῃ. Ὅτι σὺ κύριε ἡ ἐλπίς μου· τὸν ὕψιστον ἔθου κατα-
φυγήν σου. Οὐ προσελεύσεται πρὸς σὲ κακά· καὶ μάστιξ οὐκ ἐγ-
γιεῖ ἐν τῷ σκηνώματί σου. Ὅτι τοῖς ἀγγέλοις αὐτοῦ ἐντελεῖται πε-
ρὶ σοῦ· τοῦ διαφυλάξαι σε ἐν πάσαις ταῖς ὁδοῖς σου ἐπὶ χειρῶν
ἀροῦσί σε· μήποτε προσκόψῃς πρὸς λίθον τὸν πόδα σου. Ἐπὶ ἀ-
σπίδα καὶ βασιλίσκον ἐπιβήσῃ· καὶ καταπατήσεις λέοντα καὶ
δράκοντα. Ὅτι ἐπ' ἐμὲ ἤλπισε, καὶ ῥύσομαι αὐτόν· σκεπάσω
αὐτόν, ὅτι ἔγνω τὸ ὄνομά μου. Κεκράξεται πρός με, καὶ ἐπακού-
σομαι αὐτοῦ· μετ' αὐτοῦ εἰμὶ ἐν θλίψει· ἐξελοῦμαι αὐτόν· καὶ δο-
ξάσω αὐτόν· μακρότητα ἡμερῶν ἐμπλήσω αὐτόν, καὶ δείξω
αὐτῷ τὸ σωτήριόν μου.

Δόξα, κάθισμα. ιβ

Ψαλμὸς ᾠδῆς εἰς τὴν ἡμέραν τοῦ σαββάτου. ϟα

Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι τῷ κυρίῳ· καὶ ψάλλειν τῷ
α ὀνόματί σου ὕψιστε. Τοῦ ἀναγγέλλειν τὸ πρωῒ τὸ ἔλεός
σου· καὶ τὴν ἀλήθειάν σου κατὰ νύκτα. Ἐν δεκαχόρ-
δῳ ψαλτηρίῳ μετ' ᾠδῆς ἐν κιθάρᾳ. Ὅτι εὔφρανάς με κύριε ἐν
τῷ ποιήματί σου· καὶ ἐν τοῖς ἔργοις τῶν χειρῶν σου ἀγαλλιά-
σομαι. Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου κύριε· σφόδρα ἐβαθύνθη-
σαν οἱ διαλογισμοί σου. Ἀνὴρ ἄφρων οὐ γνώσεται· καὶ ἀσύνε-
τος οὐ συνήσει ταῦτα. Ἐν τῷ ἀνατεῖλαι ἁμαρτωλοὺς ὡσεὶ χόρ-
τον· καὶ διέκυψαν πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν· ὅ-
πως ἂν ἐξολοθρευθῶσιν εἰς τὸν αἰῶνα τοῦ αἰῶνος· σὺ δὲ ὕψιστος
εἰς τὸν αἰῶνα κύριε. Ὅτι ἰδοὺ οἱ ἐχθροί σου κύριε, ὅτι ἰδοὺ οἱ ἐ-
χθροί σου ἀπολοῦνται. Καὶ διασκορπισθήσονται πάντες οἱ ἐρ-
γαζόμενοι τὴν ἀνομίαν· καὶ ὑψωθήσεται ὡς μονοκέρωτος τὸ κέ-
ρας μου· καὶ τὸ γῆράς μου ἐν ἐλαίῳ πίονι. Καὶ ἐπεῖδεν ὁ ὀφθαλ-
μός μου ἐν τοῖς ἐχθροῖς μου· καὶ ἐν τοῖς ἐπανισταμένοις ἐπ' ἐμὲ
πονηρευομένοις ἀκούσεται τὸ οὖς μου. Δίκαιος ὡς φοῖνιξ ἀν-

θήσεται· ὡσεὶ κέδρος ἡ ἐν τῷ λιβάνῳ πληθυνθήσεται. Πεφυ-
τευμένοι ἐν τῷ οἴκῳ κυρίου· ἐν ταῖς αὐλαῖς τοῦ θεοῦ ἡμῶν ἐ-
ξανθήσουσιν. Ἔτι πληθυνθήσονται ἐν γήρει πίονι· καὶ εὐπαθοῦντες
ἔσονται τοῦ ἀναγγεῖλαι. Ὅτι εὐθὴς κύριος ὁ θεὸς ἡμῶν· καὶ οὐκ
ἔστιν ἀδικία ἐν αὐτῷ.

Εἰς τὴν ἡμέραν τοῦ προσαββάτου ὅτε κατῴκισται ἡ γῆ,
αἶνος ᾠδῆς τῷ Δαβίδ. ϟβ

Κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο. Ἐνεδύ-
δ σατο κύριος δύναμιν καὶ περιεζώσατο· καὶ γὰρ ἐστερέω-
σε τὴν οἰκουμένην, ἥτις οὐ σαλευθήσεται. Ἕτοιμος
ὁ θρόνος σου ἀπὸ τότε· ἀπὸ τοῦ αἰῶνος σὺ εἶ. Ἐπῆραν οἱ πο-
ταμοὶ κύριε, ἐπῆραν οἱ ποταμοὶ φωνὰς αὐτῶν. Ἀροῦσιν οἱ πο-
ταμοὶ ἐπιτρίψεις αὐτῶν· ἀπὸ φωνῶν ὑδάτων πολλῶν. Θαυμα-
στοὶ οἱ μετεωρισμοὶ τῆς θαλάσσης· θαυμαστὸς ἐν ὑψηλοῖς ὁ κύρι-
ος. Τὰ μαρτύριά σου ἐπιστώθησαν σφόδρα. Τῷ οἴκῳ σου πρέ-
πει ἁγίασμα κύριε, εἰς μακρότητα ἡμερῶν.

Ψαλμὸς τῷ δαβὶδ τετράδι σαββάτου. ϟγ

Εὸς ἐκδικήσεων κύριος· θεὸς ἐκδικήσεων ἐπαρρη-
θ σιάσατο. Ὑψώθητι ὁ κρίνων τὴν γῆν· ἀπόδος ἀντα-
πόδοσιν τοῖς ὑπερηφάνοις. Ἕως πότε ἁμαρτωλοὶ κύ-
ριε· ἕως πότε ἁμαρτωλοὶ καυχήσονται. Φθέγξονται καὶ λα-
λήσουσιν ἀδικίαν· λαλήσουσιν πάντες οἱ ἐργαζόμενοι τὴν ἀ-
νομίαν. Τὸν λαόν σου κύριε, ἐταπείνωσαν, καὶ τὴν κληρονομίαν σου
ἐκάκωσαν. Χήραν καὶ ὀρφανὸν, ἀπέκτειναν. καὶ προσήλυτον
ἐφόνευσαν. Καὶ εἶπαν οὐκ ὄψεται κύριος· οὐδὲ συνήσει ὁ θεὸς τοῦ
ἰακώβ. Σύνετε δὴ ἄφρονες ἐν τῷ λαῷ· καὶ μωροὶ, πότε
φρονήσατε. Ὁ φυτεύσας τὸ οὖς, οὐχὶ ἀκούει; ἢ ὁ πλάσας τὸν ὀ-
φθαλμὸν οὐχὶ κατανοεῖ; Ὁ παιδεύων ἔθνη, οὐχὶ ἐλέγξει; ὁ δι-
δάσκων ἄνθρωπον γνῶσιν; κύριος γινώσκει τοὺς διαλογισμοὺς
τῶν ἀνθρώπων ὅτι εἰσὶ μάταιοι. Μακάριος ἄνθρωπος ὃν ἂν παι-

δεύσῃς κύριε· καὶ ἐκ τοῦ νόμου σου διδάξῃς αὐτόν. Τοῦ πρα-
ῧναι αὐτὸν ἀφ' ἡμερῶν πονηρῶν. Ἕως οὗ ὀρυγῇ τῷ ἁμαρτω-
λῷ βόθρος. Ὅτι οὐκ ἀπώσεται κύριος τὸν λαὸν αὐτοῦ. καὶ
τὴν κληρονομίαν αὐτοῦ, οὐκ ἐγκαταλείψει. Ἕως οὗ δικαιο-
σύνη ἐπιστρέψει εἰς κρίσιν καὶ ἐχόμενοι αὐτῆς πάντες οἱ εὐθεῖς
τῇ καρδίᾳ. ΔΙΑΨΑΛΜΑ. Τίς ἀναστήσεταί μοι ἐπὶ πο-
νηρευομένοις, ἢ τίς συμπαραστήσεταί μοι ἐπὶ τοῖς ἐργαζομέ-
νοις τὴν ἀνομίαν. Εἰ μὴ ὅτι κύριος ἐβοήθησέ μοι, παραβρα-
χὺ παρῴκησε τῷ ᾅδῃ ἡ ψυχή μου. Εἰ ἔλεγον σεσάλευται ὁ πούς
μου, τὸ ἔλεός σου κύριε ἐβοήθει μοι, κατὰ τὸ πλῆθος τῶν ὀδυνῶν
μου ἐν τῇ καρδίᾳ μου, αἱ παρακλήσεις σου, εὔφραναν τὴν ψυ-
χήν μου. Μὴ συμπροσέστω σοι θρόνος ἀνομίας. ὁ πλάσσων κό-
πον ἐπὶ πρόσταγμα. Θηρεύσουσιν ἐπὶ ψυχὴν δικαίου, καὶ αἷμα
ἀθῷον καταδικάσονται. Καὶ ἐγένετό μοι κύριος, εἰς καταφυ-
γήν. καὶ ὁ θεός μου εἰς βοηθὸν ἐλπίδος μου. Καὶ ἀποδώσει αὐ-
τοῖς κύριος τὴν ἀνομίαν αὐτῶν. καὶ κατὰ τὴν πονηρίαν αὐτῶν.
ἀφανιεῖ αὐτοὺς κύριος ὁ θεός. Δόξα.

Αἶνος ᾠδῆς τῷ Δαβίδ, ἀνεπίγρα-
φος παρ' ἑβραίοις. ϟδ'

Δεῦτε ἀγαλλιασώμεθα τῷ κυρίῳ. ἀλαλάξωμεν τῷ
θεῷ τῷ σωτῆρι ἡμῶν. Προφθάσωμεν τὸ πρόσωπον
αὐτοῦ ἐν ἐξομολογήσει, καὶ ἐν ψαλμοῖς ἀλαλάξωμεν
αὐτῷ. Ὅτι θεὸς μέγας κύριος, καὶ βασιλεὺς μέγας ἐπὶ πᾶσαν
τὴν γῆν. Ὅτι ἐν τῇ χειρὶ αὐτοῦ τὰ πέρατα τῆς γῆς· καὶ τὰ ὕ-
ψη τῶν ὀρέων αὐτοῦ εἰσιν. Ὅτι αὐτοῦ ἐστιν ἡ θάλασσα καὶ αὐτὸς
ἐποίησεν αὐτήν, καὶ τὴν ξηρὰν αἱ χεῖρες αὐτοῦ ἔπλασαν.
Δεῦτε προσκυνήσωμεν, καὶ προσπέσωμεν αὐτῷ, καὶ κλαύσω-
μεν ἐναντίον κυρίου τοῦ ποιήσαντος ἡμᾶς. Ὅτι αὐτός ἐστιν ὁ θεὸς
ἡμῶν καὶ ἡμεῖς λαὸς νομῆς αὐτοῦ, καὶ πρόβατα χειρὸς αὐτοῦ. Σήμε-
ρον ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ σκληρύνητε τὰς καρδίας

ὑμῶν, ὡς ἐν τῷ παραπικρασμῷ. Κατὰ τὴν ἡμέραν τοῦ πειρασμοῦ ἐν τῇ ἐρήμῳ. οὗ ἐπείρασάν με οἱ πατέρες ὑμῶν. Ἐδοκίμασάν με, καὶ εἶδον τὰ ἔργα μου, τεσσαράκοντα ἔτη. προσώχθισα τῇ γενεᾷ ἐκείνῃ. Καὶ εἶπα, ἀεὶ πλανῶνται τῇ καρδίᾳ, αὐτοὶ δὲ οὐκ ἔγνωσαν τὰς ὁδούς μου. Ὡς ὤμοσα ἐν τῇ ὀργῇ μου. εἰ εἰσελεύσονται εἰς τὴν κατάπαυσίν μου.

Αἶνος ᾠδῆς τῷ Δαβίδ, ὅτε ὁ οἶκος ᾠκοδόμηται μετὰ τὴν αἰχμαλωσίαν. ἀνεπίγραφος παρ᾽ ἑβραίοις. ϟε

Σατε τῷ κυρίῳ ᾆσμα καινόν. ᾄσατε τῷ κυρίῳ πᾶ-
α σα ἡ γῆ. Ἄσατε τῷ κυρίῳ. εὐλογήσατε τὸ ὄνομα αὐ-
τοῦ. Εὐαγγελίζεσθε ἡμέραν ἐξ ἡμέρας, τὸ σωτήριον αὐτοῦ. Ἀναγγείλατε ἐν τοῖς ἔθνεσι τὴν δόξαν αὐτοῦ. Ὅτι μέγας κύριος καὶ αἰνετὸς σφόδρα, φοβερός ἐστιν ὑπὲρ πάντας τοὺς θεούς. Ὅτι πάντες οἱ θεοὶ τῶν ἐθνῶν, δαιμόνια. ὁ δὲ κύριος τοὺς οὐρανοὺς ἐποίησεν. Ἐξομολόγησις καὶ ὡραιότης, ἐνώπιον αὐτοῦ. ἁγιωσύνη καὶ μεγαλοπρέπεια, ἐν τῷ ἁγιάσματι αὐτοῦ. Ἐνέγκατε τῷ κυρίῳ αἱ πατριαὶ τῶν ἐθνῶν. ἐνέγκατε τῷ κυρίῳ δόξαν καὶ τιμήν. Ἐνέγκατε τῷ κυρίῳ δόξαν ὀνόματι αὐτοῦ. ἄρατε θυσίας καὶ εἰσπορεύεσθε εἰς τὰς αὐλὰς αὐτοῦ. Προσκυνήσατε τῷ κυρίῳ ἐν αὐλῇ ἁγίᾳ αὐτοῦ. σαλευθήτω ἀπὸ προσώπου αὐτοῦ πᾶσα ἡ γῆ. Εἴπατε ἐν τοῖς ἔθνεσιν, ὅτι κύριος ἐβασίλευσε καὶ γὰρ κατώρθωσε τὴν οἰκουμένην, ἥτις οὐ σαλευθήσεται. κρινεῖ λαοὺς ἐν εὐθύτητι. Εὐφρανέσθωσαν οἱ οὐρανοὶ καὶ ἀγαλλιάσθω ἡ γῆ. σαλευθήτω ἡ θάλασσα, καὶ τὸ πλήρωμα αὐτῆς. Χαρήσεται τὰ πεδία, καὶ πάντα τὰ ἐν αὐτοῖς. τότε ἀγαλλιάσονται πάντα τὰ ξύλα τοῦ δρυμοῦ. Ἀπὸ προσώπου κυρίου, ὅτι ἔρχεται. ὅτι ἔρχεται κρῖναι τὴν γῆν. Κρινεῖ τὴν οἰκουμένην ἐν δικαιοσύνῃ. καὶ λαοὺς ἐν ἀληθείᾳ αὐτοῦ.

Ψαλμὸς τῷ Δαβίδ ὅτε ἡ γῆ αὐτῷ καθίσταται. ἀνεπίγραφος παρ᾽ ἑβραίοις. ϟϛ.

Κύριος ἐβασίλευσεν, ἀγαλλιάσθω ἡ γῆ. εὐφρανθή-
ο τωσαν νῆσοι πολλαί. Νεφέλη καὶ γνόφος κύκλῳ αὐ-
τοῦ. δικαιοσύνη καὶ κρῖμα, κατόρθωσις τοῦ θρόνου αὐ-
τοῦ. Πῦρ ἐνώπιον αὐτοῦ προπορεύσεται. καὶ φλογιεῖ κύκλῳ τοὺς ἐ-
χθροὺς αὐτοῦ. Ἔφαναν αἱ ἀστραπαὶ αὐτοῦ τῇ οἰκουμένῃ. εἶδε
καὶ ἐσαλεύθη ἡ γῆ. Τὰ ὄρη ὡσεὶ κηρὸς ἐτάκησαν ἀπὸ προσώπου
κυρίου ἀπὸ προσώπου κυρίου πάσης τῆς γῆς. Ἀνήγγειλαν οἱ οὐ-
ρανοὶ τὴν δικαιοσύνην αὐτοῦ, καὶ εἴδοσαν πάντες οἱ λαοὶ τὴν δό-
ξαν αὐτοῦ. Αἰσχυνθήτωσαν πάντες οἱ προσκυνοῦντες τοῖς γλυ-
πτοῖς. οἱ ἐγκαυχώμενοι ἐν τοῖς εἰδώλοις αὐτῶν. Προσκυνήσατε
αὐτῷ πάντες ἄγγελοι αὐτοῦ. Ἤκουσε καὶ εὐφράνθη ἡ Σιών. καὶ ἠγαλ-
λιάσαντο αἱ θυγατέρες τῆς Ἰουδαίας. ἕνεκεν τῶν κριμάτων σου
κύριε. Ὅτι σὺ κύριος ὕψιστος ἐπὶ πᾶσαν τὴν γῆν. σφόδρα ὑ-
περυψώθης ὑπὲρ πάντας τοὺς θεούς. Οἱ ἀγαπῶντες τὸν κύρι-
ον, μισεῖτε πονηρά. φυλάσσει κύριος τὰς ψυχὰς τῶν ὁσίων αὐτοῦ.
ἐκ χειρὸς ἁμαρτωλοῦ ῥύσεται αὐτούς. Φῶς ἀνέτειλε τῷ δι-
καίῳ. καὶ τοῖς εὐθέσι τῇ καρδίᾳ εὐφροσύνη. Εὐφράνθητε δίκαιοι
ἐν τῷ κυρίῳ. καὶ ἐξομολογεῖσθε τῇ μνήμῃ τῆς ἁγιωσύνης αὐ-
τοῦ.

Δόξα.

Ψαλμὸς τῷ Δαβίδ. ϟζ

Ἄσατε τῷ κυρίῳ ᾆσμα καινόν. ὅτι θαυμαστὰ ἐποίη-
ια σεν ὁ κύριος. Ἔσωσεν αὐτὸν ἡ δεξιὰ αὐτοῦ. καὶ ὁ βρα-
χίων ὁ ἅγιος αὐτοῦ. Ἐγνώρισε κύριος τὸ σωτήριον αὐ-
τοῦ, ἐναντίον τῶν ἐθνῶν ἀπεκάλυψε τὴν δικαιοσύνην αὐτοῦ. Ἐ-
μνήσθη τοῦ ἐλέους αὐτοῦ τῷ Ἰακώβ. καὶ τῆς ἀληθείας αὐτοῦ. τῷ
Ἰσραήλ. Εἴδοσαν πάντα τὰ πέρατα τῆς γῆς τὸ σωτήριον τοῦ θεοῦ
ἡμῶν. Ἀλαλάξατε τῷ θεῷ πᾶσα ἡ γῆ. ᾄσατε καὶ ἀγαλλιᾶ-
σθε καὶ ψάλατε. Ψάλατε τῷ κυρίῳ ἐν κιθάρᾳ, ἐν κιθάρᾳ καὶ
φωνῇ ψαλμοῦ. ἐν σάλπιγξιν ἐλαταῖς, καὶ φωνῇ σάλπιγγος κε-
ρατίνης. Ἀλαλάξατε ἐνώπιον τοῦ βασιλέως κυρίου. Σαλευθήτω

ἡ θάλασσα καὶ τὸ πλήρωμα αὐτῆς· ἡ οἰκουμένη καὶ πάντες οἱ
κατοικοῦντες ἐν αὐτῇ. Ποταμοὶ κροτήσουσι χειρὶ ἐπιτοαυτό.
τὰ ὄρη ἀγαλλιάσονται ἀπὸ προσώπου κυρίου, ὅτι ἔρχεται. ὅτι ἥκει
κρῖναι τὴν γῆν. Κρινεῖ τὴν οἰκουμένην ἐν δικαιοσύνῃ καὶ λα-
οὺς ἐν εὐθύτητι.

Ψαλμὸς τῷ δαβίδ. ϟη

Ὁ κύριος ἐβασίλευσεν, ὀργιζέσθωσαν λαοί. ὁ καθήμε-
κ νος ἐπὶ τῶν χερουβίμ, σαλευθήτω ἡ γῆ. Κύριος
ἐν σιὼν μέγας. καὶ ὑψηλός ἐστιν ἐπὶ πάντας τοὺς λα-
ούς, Ἐξομολογησάσθωσαν τῷ ὀνόματί σου τῷ μεγάλῳ. ὅτι φοβε-
ρὸν καὶ ἅγιόν ἐστι. καὶ τιμὴ βασιλέως κρίσιν ἀγαπᾷ. Σὺ ἡτοί-
μασας εὐθύτητας. κρίσιν καὶ δικαιοσύνην ἐν ἰακὼβ, σὺ ἐποίη-
σας. Ὑψοῦτε κύριον τὸν θεὸν ἡμῶν. καὶ προσκυνεῖτε τῷ ὑποπο-
δίῳ τῶν ποδῶν αὐτοῦ, ὅτι ἅγιός ἐστι. Μωϋσῆς καὶ ἀαρὼν ἐν
τοῖς ἱερεῦσιν αὐτοῦ. καὶ σαμουὴλ ἐν τοῖς ἐπικαλουμένοις τὸ ὄνομα
αὐτοῦ. Ἐπεκαλοῦντο τὸν κύριον καὶ αὐτὸς εἰσήκουεν αὐτῶν. ἐν στύ-
λῳ νεφέλης ἐλάλει πρὸς αὐτούς. Ὅτι ἐφύλασσον τὰ μαρτύρια
αὐτοῦ. καὶ τὰ προστάγματα αὐτοῦ. ἃ ἔδωκεν αὐτοῖς. Κύριε ὁ
θεὸς ἡμῶν, σὺ ἐπήκουσας αὐτῶν. ὁ θεὸς, σὺ εὐίλατος ἐγίνου αὐ-
τοῖς. καὶ ἐκδικῶν ἐπὶ πάντα τὰ ἐπιτηδεύματα αὐτῶν. Ὑψοῦ-
τε κύριον τὸν θεὸν ἡμῶν. καὶ προσκυνεῖτε εἰς ὄρος ἅγιον αὐτοῦ
ὅτι ἅγιος κύριος ὁ θεὸς ἡμῶν.

Ψαλμὸς τῷ δαβὶδ εἰς ἐξομολόγησιν. ϟθ

Ἀλαλάξατε τῷ θεῷ πᾶσα ἡ γῆ. δουλεύσατε τῷ κυ-
α ρίῳ ἐν εὐφροσύνῃ. Εἰσέλθετε ἐνώπιον αὐτοῦ ἐν ἀγαλ-
λιάσει. γνῶτε ὅτι κύριος αὐτός ἐστιν ὁ θεὸς ἡμῶν. Αὐ-
τὸς ἐποίησεν ἡμᾶς, καὶ οὐχ ἡμεῖς. ἡμεῖς δὲ λαὸς αὐτοῦ καὶ πρόβατα
νομῆς αὐτοῦ. Εἰσέλθετε εἰς τὰς πύλας αὐτοῦ ἐν ἐξομολογήσει. εἰς
τὰς αὐλὰς αὐτοῦ ἐν ὕμνοις. Ἐξομολογεῖσθε αὐτῷ. αἰνεῖτε τὸ ὄνο-
μα αὐτοῦ. ὅτι χρηστὸς κύριος εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Καὶ ἕως γε-
νεᾶς καὶ γενεᾶς ἡ ἀλήθεια αὐτοῦ.

Ψαλμὸς τῷ δαβίδ. ρ

Λεον καὶ κρίσιν ᾄσομαί σοι κύριε. ψαλῶ καὶ συνή-
ε σω ἐν ὁδῷ ἀμώμῳ. πότε ἥξεις πρός με. Διεπορευ-
όμην ἐν ἀκακίᾳ καρδίας μου ἐν μέσῳ τοῦ οἴκου μου.
Οὐ προετιθέμην πρὸ ὀφθαλμῶν μου πρᾶγμα παράνομον. ποι-
οῦντας παραβάσεις ἐμίσησα. Οὐκ ἐκολλήθη μοι καρδία σκαμβή.
ἐκκλίνοντος ἀπ᾽ ἐμοῦ τοῦ πονηροῦ οὐκ ἐγίνωσκον. Τὸν καταλαλοῦν-
τα λάθρα τῶν πλησίον αὐτοῦ τοῦτον ἐξεδίωκον. Ὑπερηφάνῳ ὀφθαλ-
μῷ καὶ ἀπλήστῳ καρδίᾳ, τούτῳ οὐ συνήσθιον. Οἱ ὀφθαλμοί μου
ἐπὶ τοὺς πιστοὺς τῆς γῆς. τοῦ συγκαθῆσθαι αὐτοὺς μετ᾽ ἐμοῦ. Πο-
ρευόμενος ἐν ὁδῷ ἀμώμῳ, οὗτός μοι ἐλειτούργει. Οὐ κατῴ-
κει ἐν μέσῳ τῆς οἰκίας μου, ποιῶν ὑπερηφανίαν. Λαλῶν ἄ-
δικα, οὐ κατεύθυνεν ἐνώπιον τῶν ὀφθαλμῶν μου. Εἰς τὰς
πρωΐας ἀπέκτεινον πάντας τοὺς ἁμαρτωλοὺς τῆς γῆς. Τοῦ ἐ-
ξολοθρεῦσαι ἐκ πόλεως κυρίου πάντας τοὺς ἐργαζομένους τὴν
ἀνομίαν.

Δόξα, κάθισμα. ιγ´

Προσευχὴ τῷ πτωχῷ, ὅταν ἀκηδιάσῃ. καὶ ἐναντίον
κυρίου ἐκχέῃ τὴν δέησιν αὐτοῦ. ρα´

κ Υριε εἰσάκουσον τῆς προσευχῆς μου. καὶ ἡ κραυγή
μου πρὸς σὲ ἐλθέτω. Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν
σου ἀπ᾽ ἐμοῦ. Ἐν ᾗ ἂν ἡμέρᾳ θλίβομαι, κλῖνον πρός με τὸ οὖς
σου. ἐν ᾗ ἂν ἡμέρᾳ ἐπικαλέσωμαί σε, ταχὺ ἐπάκουσόν μου.
Ὅτι ἐξέλιπον ὡσεὶ καπνὸς αἱ ἡμέραι μου. καὶ τὰ ὀστᾶ μου
ὡσεὶ φρύγιον συνεφρύγησαν. Ἐπλήγην ὡσεὶ χόρτος
καὶ ἐξηράνθη ἡ καρδία μου. ὅτι ἐπελαθόμην τοῦ φαγεῖν τὸν
ἄρτον μου. Ἀπὸ φωνῆς τοῦ στεναγμοῦ μου, ἐκολλήθη τὸ ὀ-
στοῦν μου τῇ σαρκί μου. Ὡμοιώθην πελεκᾶνι ἐρημικῷ. ἐγενή-
θην ὡσεὶ νυκτικόραξ ἐν οἰκοπέδῳ. Ἠγρύπνησα καὶ ἐγενόμην
ὡς στρουθίον μονάζον ἐπὶ δώματος. Ὅλην τὴν ἡμέραν, ὠνείδι

ζόν με οἱ ἐχθροί μου· καὶ οἱ ἐπαινοῦντές με κατ' ἐμοῦ ὤμνυον. Ὅτι σποδὸν ὡσεὶ ἄρτον ἔφαγον· καὶ τὸ πόμα μου μετὰ κλαυθμοῦ ἐκίρνων. Ἀπὸ προσώπου τῆς ὀργῆς σου καὶ τοῦ θυμοῦ σου· ὅτι ἐπάρας κατέῤῥαξάς με. Αἱ ἡμέραι μου ὡσεὶ σκιὰ ἐκλίθησαν· κἀγὼ ὡσεὶ χόρτος ἐξηράνθην. Σὺ δὲ κύριε εἰς τὸν αἰῶνα μένεις· καὶ τὸ μνημόσυνόν σου, εἰς γενεάν, καὶ γενεάν. Σὺ ἀναστὰς οἰκτειρήσεις τὴν σιών· ὅτι καιρὸς τοῦ οἰκτειρῆσαι αὐτήν· ὅτι ἥκει καιρός. Ὅτι εὐδόκησαν οἱ δοῦλοί σου, τοὺς λίθους αὐτῆς· καὶ τὸν χοῦν αὐτῆς οἰκτειρήσουσι. Καὶ φοβηθήσονται τὰ ἔθνη τὸ ὄνομα κυρίου· καὶ πάντες οἱ βασιλεῖς τῆς γῆς τὴν δόξαν σου. Ὅτι οἰκοδομήσει κύριος τὴν σιών· καὶ ὀφθήσεται ἐν τῇ δόξῃ αὐτοῦ. Ἐπέβλεψεν ἐπὶ τὴν προσευχὴν τῶν ταπεινῶν· καὶ οὐκ ἐξουδένωσε τὴν δέησιν αὐτῶν. Γραφήτω αὕτη εἰς γενεὰν ἑτέραν· καὶ λαὸς ὁ κτιζόμενος αἰνέσει τὸν κύριον. Ὅτι ἐξέκυψεν ἐξ ὕψους ἁγίου αὐτοῦ· κύριος ἐξ οὐρανοῦ ἐπὶ τὴν γῆν ἐπέβλεψε. Τοῦ ἀκοῦσαι τοῦ στεναγμοῦ τῶν πεπεδημένων· τοῦ λῦσαι τοὺς υἱοὺς τῶν τεθανατωμένων. Τοῦ ἀναγγεῖλαι ἐν σιὼν τὸ ὄνομα κυρίου· καὶ τὴν αἴνεσιν αὐτοῦ ἐν ἱερουσαλήμ. Ἐν τῷ ἐπισυναχθῆναι λαοὺς ἐπὶ τὸ αὐτό· καὶ βασιλεῖς τοῦ δουλεύειν τῷ κυρίῳ. Ἀπεκρίθη αὐτῷ ἐν ὁδῷ ἰσχύος αὐτοῦ τὴν ὀλιγότητα τῶν ἡμερῶν μου, ἀνάγγειλόν μοι. Μὴ ἀναγάγῃς με ἐν ἡμίσει ἡμερῶν μου· ἐν γενεᾷ γενεῶν τὰ ἔτη σου. Κατ' ἀρχὰς σὺ κύριε τὴν γῆν ἐθεμελίωσας· καὶ ἔργα τῶν χειρῶν σου εἰσὶν οἱ οὐρανοί. Αὐτοὶ ἀπολοῦνται σὺ δὲ διαμένεις. Καὶ πάντες ὡς ἱμάτιον παλαιωθήσονται. καὶ ὡσεὶ περιβόλαιον ἑλίξεις αὐτοὺς καὶ ἀλλαγήσονται. Σὺ δὲ ὁ αὐτὸς εἶ, καὶ τὰ ἔτη σου οὐκ ἐκλείψουσιν. Οἱ υἱοὶ τῶν δούλων σου κατασκηνώσουσι· καὶ τὸ σπέρμα αὐτῶν εἰς τὸν αἰῶνα κατευθυνθήσεται.

Ψαλμὸς τῷ Δαβίδ. ρβ

Εὐλόγει ἡ ψυχή μου τὸν κύριον, καὶ πάντα τὰ ἐντός
ξ μου τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ. Εὐλόγει ἡ ψυχή μου τὸν
κύριον, καὶ μὴ ἐπιλανθάνου πάσας τὰς ἀνταποδόσεις

αὐτοῦ. Τὸν εὐιλατεύοντα πάσαις ταῖς ἀνομίαις σου. τὸν ἰώμενον πάσας τὰς νόσους σου. Τὸν λυτρούμενον ἐκ φθορᾶς τὴν ζωήν σου. τὸν στεφανοῦντά σε ἐν ἐλέει καὶ οἰκτιρμοῖς. Τὸν ἐμπιπλῶντα ἐν ἀγαθοῖς τὴν ἐπιθυμίαν σου. ἀνακαινισθήσεται ὡς ἀετοῦ ἡ νεότης σου. Ποιῶν ἐλεημοσύνας ὁ κύριος καὶ κρῖμα πᾶσι τοῖς ἀδικουμένοις. Εγνώρισε τὰς ὁδοὺς αὐτοῦ τῷ μωϋσῇ. τοῖς υἱοῖς ἰσραὴλ τὰ θελήματα αὐτοῦ. Οἰκτίρμων καὶ ἐλεήμων ὁ κ̅ς. μακρόθυμος καὶ πολυέλεος. Οὐκ εἰς τέλος ὀργισθήσεται οὐδὲ εἰς τὸν αἰῶνα μηνιεῖ. οὐ κατὰ τὰς ἀνομίας ἡμῶν ἐποίησεν ἡμῖν. οὐδὲ κατὰ τὰς ἁμαρτίας ἡμῶν ἀνταπέδωκεν ἡμῖν. Οτι κατὰ τὸ ὕψος τοῦ οὐρανοῦ ἀπὸ τῆς γῆς, ἐκραταίωσε κ̅ς τὸ ἔλεος αὐτοῦ ἐπὶ τοὺς φοβουμένους αὐτόν. Καθόσον ἀπέχουσιν ἀνατολαὶ ἀπὸ δυσμῶν. ἐμάκρυνεν ἀφ᾽ ἡμῶν τὰς ἀνομίας ἡμῶν. Καθὼς οἰκτείρει πατὴρ υἱούς, ᾠκτείρησε κ̅ς τοὺς φοβουμένους αὐτόν. Οτι αὐτὸς ἔγνω τὸ πλάσμα ἡμῶν. ἐμνήσθη ὅτι χοῦς ἐσμέν. Ανθρωπος ὡσεὶ χόρτος αἱ ἡμέραι αὐτοῦ ὡσεὶ ἄνθος τοῦ ἀγροῦ οὕτως ἐξανθήσει. Οτι πνεῦμα διῆλθεν ἐν αὐτῷ, καὶ οὐχ ὑπάρξει καὶ οὐκ ἐπιγνώσεται ἔτι τὸν τόπον αὐτοῦ. Τὸ δὲ ἔλεος τοῦ κυρίου ἀπὸ τοῦ αἰῶνος καὶ ἕως τοῦ αἰῶνος ἐπὶ τοὺς φοβουμένους αὐτόν. Καὶ ἡ δικαιοσύνη αὐτοῦ ἐπὶ υἱοῖς υἱῶν, τοῖς φυλάσσουσι τὴν διαθήκην αὐτοῦ. καὶ μεμνημένοις τῶν ἐντολῶν αὐτοῦ τοῦ ποιῆσαι αὐτάς. Κύριος ἐν τῷ οὐρανῷ ἡτοίμασε τὸν θρόνον αὐτοῦ καὶ ἡ βασιλεία αὐτοῦ πάντων δεσπόζει. Εὐλογεῖτε τὸν κύριον πάντες οἱ ἄγγελοι αὐτοῦ. δυνατοὶ ἰσχύϊ ποιοῦντες τὸν λόγον αὐτοῦ. τοῦ ἀκοῦσαι τῆς φωνῆς τῶν λόγων αὐτοῦ. Εὐλογεῖτε τὸν κύριον πᾶσαι αἱ δυνάμεις αὐτοῦ. λειτουργοὶ αὐτοῦ ποιοῦντες τὸ θέλημα αὐτοῦ. Εὐλογεῖτε τὸν κύριον πάντα τὰ ἔργα αὐτοῦ ἐν παντὶ τόπῳ τῆς δεσποτείας αὐτοῦ εὐλόγει ἡ ψυχή μου τὸν κύριον.

Δόξα.

Ψαλμὸς τῷ Δαβὶδ ὑπὲρ τῆς τοῦ κόσμου συστάσεως. ργ

Εὐλόγει ἡ ψυχή μου τὸν κύριον. κύριε ὁ θεός μου ἐμεγαλύνθης σφόδρα. Ἐξομολόγησιν καὶ μεγαλοπρέπειαν ἐνεδύσω. Ἀναβαλλόμενος φῶς ὡς ἱμάτιον· ἐκτείνων τὸν οὐρανὸν ὡσεὶ δέρριν. Ὁ στεγάζων ἐν ὕδασι τὰ ὑπερῷα αὐτοῦ. ὁ τιθεὶς νέφη τὴν ἐπίβασιν αὐτοῦ. Ὁ περιπατῶν ἐπὶ πτερύγων ἀνέμων. ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα. Ὁ θεμελιῶν τὴν γῆν ἐπὶ τὴν ἀσφάλειαν αὐτῆς. οὐ κλιθήσεται εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Ἄβυσσος ὡς ἱμάτιον τὸ περιβόλαιον αὐτοῦ. ἐπὶ τῶν ὀρέων στήσονται ὕδατα. Ἀπὸ ἐπιτιμήσεώς σου φεύξονται. ἀπὸ φωνῆς βροντῆς σου δειλιάσουσιν. Ἀναβαίνουσιν ὄρη, καὶ καταβαίνουσι πεδία εἰς τὸν τόπον ὃν ἐθεμελίωσας αὐτά. Ὅριον ἔθου ὃ οὐ παρελεύσονται. οὐδὲ ἐπιστρέψουσι καλύψαι τὴν γῆν. Ὁ ἐξαποστέλλων πηγὰς ἐν φάραγξιν. ἀνὰ μέσον τῶν ὀρέων διελεύσονται ὕδατα. Ποτιοῦσι πάντα τὰ θηρία τοῦ ἀγροῦ προσδέξονται ὄναγροι εἰς δίψαν αὐτῶν. Ἐπ᾽ αὐτὰ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσει. ἐκ μέσου τῶν πετρῶν δώσουσι φωνήν. Ποτίζων ὄρη ἐκ τῶν ὑπερῴων αὐτοῦ. ἀπὸ καρποῦ τῶν ἔργων σου χορτασθήσεται ἡ γῆ. Ὁ ἐξανατέλλων χόρτον τοῖς κτήνεσι. καὶ χλόην τῇ δουλείᾳ τῶν ἀνθρώπων. Τοῦ ἐξαγαγεῖν ἄρτον ἐκ τῆς γῆς. καὶ οἶνος εὐφραίνει καρδίαν ἀνθρώπου. Τοῦ ἱλαρῦναι πρόσωπον ἐν ἐλαίῳ καὶ ἄρτος καρδίαν ἀνθρώπου στηρίζει. Χορτασθήσονται τὰ ξύλα τοῦ πεδίου. αἱ κέδροι τοῦ λιβάνου ἃς ἐφύτευσας. Ἐκεῖ στρουθία ἐννοσσεύσουσι τοῦ ἐρωδιοῦ ἡ κατοικία ἡγεῖται αὐτῶν. Ὄρη τὰ ὑψηλὰ ταῖς ἐλάφοις. πέτρα καταφυγὴ τοῖς λαγωοῖς. Ἐποίησε σελήνην εἰς καιρούς. ὁ ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ. Ἔθου σκότος καὶ ἐγένετο νύξ. ἐν αὐτῇ διελεύσονται πάντα τὰ θηρία τοῦ δρυμοῦ. Σκύμνοι ὠρυόμενοι τοῦ ἁρπάσαι.

καὶ ζητῆσαι παρὰ τῷ θεῷ βρῶσιν αὐτοῖς. Ἀνέτειλεν ὁ ἥλιος καὶ συνήχθησαν· καὶ εἰς τὰς μάνδρας αὐτῶν κοιτασθήσονται. Ἐξελεύσεται ἄνθρωπος ἐπὶ τὸ ἔργον αὐτοῦ· καὶ ἐπὶ τὴν ἐργασίαν αὐτοῦ ἕως ἑσπέρας. Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου κύριε· πάντα ἐν σοφίᾳ ἐποίησας. Ἐπληρώθη ἡ γῆ τῆς κτίσεώς σου. αὕτη ἡ θάλασσα ἡ μεγάλη καὶ εὐρύχωρος. Ἐκεῖ ἑρπετὰ ὧν οὐκ ἔστιν ἀριθμός· ζῶα μικρὰ μετὰ μεγάλων. Ἐκεῖ πλοῖα διαπορεύονται· δράκων οὗτος ὃν ἔπλασας ἐμπαίζειν αὐτῷ. Πάντα πρὸς σὲ προσδοκῶσι δοῦναι τὴν τροφὴν αὐτῶν εἰς εὔκαιρον. δόντος σου αὐτοῖς, συλλέξουσιν. Ἀνοίξαντος σου τὴν χεῖρα, τὰ σύμπαντα πλησθήσονται χρηστότητος· ἀποστρέψαντος δέ σου τὸ πρόσωπον, ταραχθήσονται. Ἀντανελεῖς τὸ πνεῦμα αὐτῶν καὶ ἐκλείψουσι καὶ εἰς τὸν χοῦν αὐτῶν ἐπιστρέψουσιν. Ἐξαποστελεῖς τὸ πνεῦμά σου καὶ κτισθήσονται. καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς. Ἤτω ἡ δόξα κυρίου εἰς τοὺς αἰῶνας. εὐφρανθήσεται κύριος ἐπὶ τοῖς ἔργοις αὐτοῦ. Ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν καὶ ποιῶν αὐτὴν τρέμειν. ὁ ἁπτόμενος τῶν ὀρέων καὶ καπνίζονται. Ἄσω τῷ κυρίῳ ἐν τῇ ζωῇ μου· ψαλῶ τῷ θεῷ μου ἕως ὑπάρχω. Ἡδυνθείη αὐτῷ ἡ διαλογή μου· ἐγὼ δὲ εὐφρανθήσομαι ἐπὶ τῷ κυρίῳ. Ἐκλείποιεν ἁμαρτωλοὶ ἀπὸ τῆς γῆς· καὶ ἄνομοι ὥστε μὴ ὑπάρχειν αὐτούς. εὐλόγει ἡ ψυχή μου τὸν κύριον. Δόξα.

Ἀλληλούϊα. ρδʹ

Ἐξομολογεῖσθε τῷ κυρίῳ καὶ ἐπικαλεῖσθε τὸ ὄνομα
ξ αὐτοῦ. Ἀπαγγείλατε ἐν τοῖς ἔθνεσι τὰ ἔργα αὐτοῦ.
ἄσατε αὐτῷ καὶ ψάλατε αὐτῷ· διηγήσασθε πάντα τὰ θαυμάσια αὐτοῦ. ἐπαινεῖσθε ἐν τῷ ὀνόματι τῷ ἁγίῳ αὐτοῦ. Εὐφρανθήτω καρδία ζητούντων τὸν κύριον. ζητήσατε τὸν κύριον καὶ κραταιώθητε. Ζητήσατε τὸ πρόσωπον αὐτοῦ διαπαντός. μνήσθητε τῶν θαυμασίων αὐτοῦ ὧν ἐποίησε. Τὰ τέρατα αὐτοῦ, καὶ τὰ κρίματα τοῦ στόματος αὐτοῦ. Σπέρμα ἀβραάμ, δοῦλοι

αὐτοῦ. υἱοὶ ἰακὼβ ἐκλεκτοὶ αὐτοῦ. Αὐτὸς κύριος ὁ θεὸς ἡμῶν
ἐν πάσῃ τῇ γῇ τὰ κρίματα αὐτοῦ. Εμνήσθη εἰς τὸν αἰῶνα διαθή-
κης αὐτοῦ. λόγου οὗ ἐνετείλατο εἰς χιλίας γενεάς. Ον διέθετο
τῷ ἀβραάμ. καὶ τοῦ ὅρκου αὐτοῦ τῷ ἰσαάκ. Καὶ ἔστησεν αὐτὸν
τῷ ἰακὼβ εἰς πρόσταγμα. καὶ τῷ ἰσραὴλ εἰς διαθήκην αἰώνιον.
Λέγων. σοὶ δώσω τὴν γῆν χαναάν. σχοίνισμα κληρονομίας
ὑμῶν. Εν τῷ εἶναι αὐτοὺς ἀριθμῷ βραχεῖς. ὀλιγοστοὺς καὶ παροί-
κους ἐν αὐτῇ. Καὶ διῆλθον ἐξ ἔθνους εἰς ἔθνος. καὶ ἐκ βασιλείας
εἰς λαὸν ἕτερον. Οὐκ ἀφῆκεν ἄνθρωπον ἀδικῆσαι αὐτούς. καὶ
ἤλεγξεν ὑπὲρ αὐτῶν βασιλεῖς. Μὴ ἅπτεσθε τῶν χριστῶν μου. καὶ
ἐν τοῖς προφήταις μου μὴ πονηρεύεσθε. Καὶ ἐκάλεσε λιμὸν ἐπὶ
τὴν γῆν. πᾶν στήριγμα ἄρτου συνέτριψεν. Απέστειλεν ἔμπρο-
σθεν αὐτῶν, ἄνθρωπον. εἰς δοῦλον ἐπράθη ἰωσήφ. Εταπείνωσαν
ἐν πέδαις τοὺς πόδας αὐτοῦ. σίδηρον διῆλθεν ἡ ψυχὴ αὐτοῦ.
Μέχρι τοῦ ἐλθεῖν τὸν λόγον αὐτοῦ. τὸ λόγιον κυρίου ἐπύρωσεν αὐτόν.
Απέστειλεν βασιλεὺς καὶ ἔλυσεν αὐτόν. ἄρχων λαοῦ καὶ ἀφῆκεν
αὐτόν. Κατέστησεν αὐτὸν κύριον τοῦ οἴκου αὐτοῦ. καὶ ἄρχοντα πά-
σης τῆς κτήσεως αὐτοῦ. Τοῦ παιδεῦσαι τοὺς ἄρχοντας αὐτοῦ ὡς
ἑαυτόν. καὶ τοὺς πρεσβυτέρους αὐτοῦ σοφίσαι. Καὶ εἰσῆλθεν ἰσραὴλ
εἰς αἴγυπτον. καὶ ἰακὼβ, παρῴκησεν ἐν γῇ χάμ. Καὶ ηὔξησε τὸν
λαὸν αὐτοῦ σφόδρα. καὶ ἐκραταίωσεν αὐτὸν ὑπὲρ τοὺς ἐχθροὺς
αὐτοῦ. Μετέστρεψε τὴν καρδίαν αὐτῶν τοῦ μισῆσαι τὸν λαὸν αὐ-
τοῦ. τοῦ δολιοῦσθαι ἐν τοῖς δούλοις αὐτοῦ. Εξαπέστειλε μωϋσῆν τὸν
δοῦλον αὐτοῦ. ἀαρὼν ὃν ἐξελέξατο ἑαυτῷ. Εθετο ἐν αὐτοῖς τοὺς
λόγους τῶν σημείων αὐτοῦ, καὶ τῶν τεράτων αὐτοῦ ἐν γῇ χάμ. Εξα-
πέστειλε σκότος καὶ ἐσκότασεν. ὅτι παρεπίκραναν τοὺς λόγους
αὐτοῦ. Μετέστρεψε τὰ ὕδατα αὐτῶν εἰς αἷμα. καὶ ἀπέκτεινε τοὺς ἰ-
χθύας αὐτῶν. Εξῆρψεν ἡ γῆ αὐτῶν βατράχους. ἐν τοῖς ταμείοις τῶν
βασιλείων αὐτῶν. Εἶπε καὶ ἦλθε κυνόμυια. καὶ σκνίπες ἐν πᾶσι
τοῖς ὁρίοις αὐτῶν. Εθετο τὰς βροχὰς αὐτῶν, χάλαζαν. πῦρ κατα-

φλέγον ἐν τῇ γῇ αὐτῶν. Καὶ ἐπάταξε τὰς ἀμπέλους αὐτῶν, καὶ τὰς
συκᾶς αὐτῶν. καὶ συνέτριψε πᾶν ξύλον ὁρίου αὐτῶν. Εἶπε καὶ ἦλ-
θεν ἀκρίς. καὶ βροῦχος οὗ οὐκ ἦν ἀριθμός. Καὶ κατέφαγε πάντα
χόρτον ἐν τῇ γῇ αὐτῶν. καὶ κατέφαγε πάντα τὸν καρπὸν τῆς γῆς αὐ-
τῶν. Καὶ ἐπάταξε πᾶν πρωτότοκον ἐν τῇ γῇ αὐτῶν. ἀπαρχὴν
παντὸς πόνου αὐτῶν. Καὶ ἐξήγαγεν αὐτοὺς ἐν ἀργυρίῳ καὶ χρυσί-
ῳ. καὶ οὐκ ἦν ἐν ταῖς φυλαῖς αὐτῶν ὁ ἀσθενῶν. Εὐφράνθη Αἴγυπτος
ἐν τῇ ἐξόδῳ αὐτῶν. ὅτι ἐπέπεσεν ὁ φόβος αὐτῶν ἐπ᾽ αὐτούς. Δι-
επέτασε νεφέλην εἰς σκέπην αὐτοῖς. καὶ πῦρ τοῦ φωτίσαι αὐτοῖς
τὴν νύκτα. Ἤτησαν καὶ ἦλθεν ὀρτυγομήτρα. καὶ ἄρτον οὐρανοῦ ἐνέ-
πλησεν αὐτούς. Διέρρηξε πέτραν, καὶ ἐρρύησαν ὕδατα. ἐπορεύθη-
σαν ἐν ἀνύδροις ποταμοί. Ὅτι ἐμνήσθη τοῦ λόγου τοῦ ἁγίου αὐτοῦ
τοῦ πρὸς Ἀβραὰμ τὸν δοῦλον αὐτοῦ. Καὶ ἐξήγαγε τὸν λαὸν αὐτοῦ
ἐν ἀγαλλιάσει. καὶ τοὺς ἐκλεκτοὺς αὐτοῦ ἐν εὐφροσύνῃ. Καὶ ἔδω-
κεν αὐτοῖς χώρας ἐθνῶν. καὶ πόνους λαῶν κατεκληρονόμησαν.
Ὅπως ἂν φυλάξωσι τὰ δικαιώματα αὐτοῦ. καὶ τὸν νόμον αὐτοῦ ἐκ-
ζητήσωσιν. Δόξα. κάθισμα ιδ´

Ἀλληλούϊα. ρε´

Ξομολογεῖσθε τῷ κυρίῳ, ὅτι χρηστός. ὅτι εἰς τὸν αἰῶ-
ζ να τὸ ἔλεος αὐτοῦ. Τίς λαλήσει τὰς δυναστείας τοῦ
κυρίου. ἀκουστὰς ποιήσει πάσας τὰς αἰνέσεις αὐτοῦ. Μα-
κάριοι οἱ φυλάσσοντες κρίσιν. καὶ ποιοῦντες δικαιο-
σύνην ἐν παντὶ καιρῷ. Μνήσθητι ἡμῶν κύριε ἐν τῇ εὐδοκίᾳ τοῦ λα-
οῦ σου. ἐπίσκεψαι ἡμᾶς ἐν τῷ σωτηρίῳ σου. Τοῦ ἰδεῖν ἐν τῇ χρη-
στότητι τῶν ἐκλεκτῶν σου. τοῦ εὐφρανθῆναι ἐν τῇ εὐφροσύνῃ τοῦ
ἔθνους σου. τοῦ ἐπαινεῖσθαι μετὰ τῆς κληρονομίας σου. Ἡμάρτομεν με-
τὰ τῶν πατέρων ἡμῶν. ἠνομήσαμεν. ἠδικήσαμεν. Οἱ πατέρες
ἡμῶν ἐν Αἰγύπτῳ οὐ συνῆκαν τὰ θαυμάσιά σου. οὐκ ἐμνήσθησαν
τοῦ πλήθους τοῦ ἐλέους σου. Καὶ παρεπίκραναν ἀναβαίνοντες ἐν
τῇ ἐρυθρᾷ θαλάσσῃ. καὶ ἔσωσεν αὐτοὺς ἕνεκεν τοῦ ὀνόματος αὐ-

τοῦ. Τοῦ γνωρίσαι τὴν δυναστείαν αὐτοῦ. καὶ ἐπετίμησε τῇ ἐρυθρᾷ θαλάσσῃ, καὶ ἐξηράνθη. Καὶ ὡδήγησεν αὐτοὺς ἐν ἀβύσσῳ, ὡς ἐν ἐρήμῳ. καὶ ἔσωσεν αὐτοὺς ἐκ χειρὸς μισοῦντας. Καὶ ἐλυτρώσατο αὐτοὺς ἐκ χειρὸς ἐχθρῶν. Ἐκάλυψεν ὕδωρ τοὺς θλίβοντας αὐτούς. εἷς ἐξ αὐτῶν οὐχ ὑπελείφθη. Καὶ ἐπίστευσαν τῷ λόγῳ αὐτοῦ. καὶ ᾖσαν τὴν αἴνεσιν αὐτοῦ. Ἐτάχυναν ἐπελάθοντο τῶν ἔργων αὐτοῦ. οὐχ ὑπέμειναν τὴν βουλὴν αὐτοῦ. Καὶ ἐπεθύμησαν ἐπιθυμίαν ἐν τῇ ἐρήμῳ. καὶ ἐπείρασαν τὸν θεὸν ἐν ἀνύδρῳ. Καὶ ἔδωκεν αὐτοῖς τὸ αἴτημα αὐτῶν. ἐξαπέστειλε πλησμονὴν εἰς τὰς ψυχὰς αὐτῶν. Καὶ παρώργισαν τὸν μωϋσῆν ἐν τῇ παρεμβολῇ τὸν ἀαρὼν τὸν ἅγιον κυρίου. Ἠνοίχθη ἡ γῆ καὶ κατέπιε δαθάν. καὶ ἐκάλυψεν ἐπὶ τὴν συναγωγὴν ἀβειρών. Καὶ ἐξεκαύθη πῦρ ἐν τῇ συναγωγῇ αὐτῶν. φλὸξ κατέφλεξεν ἁμαρτωλούς. Καὶ ἐποίησαν μόσχον ἐν χωρήβ. καὶ προσεκύνησαν τῷ γλυπτῷ. Καὶ ἠλλάξαντο τὴν δόξαν αὐτοῦ, ἐν ὁμοιώματι μόσχου ἐσθίοντος χόρτον. Καὶ ἐπελάθοντο τοῦ θεοῦ τοῦ σώζοντος αὐτούς. τοῦ ποιήσαντος μεγάλα ἐν αἰγύπτῳ. Θαυμάσια ἐν γῇ χάμ. φοβερὰ ἐπὶ θαλάσσης ἐρυθρᾶς. Καὶ εἶπε τοῦ ἐξολοθρεῦσαι αὐτούς. εἰ μὴ μωϋσῆς ὁ ἐκλεκτὸς αὐτοῦ, ἔστη ἐν τῇ θραύσει ἐνώπιον αὐτοῦ. τοῦ ἀποστρέψαι τὸν θυμὸν αὐτοῦ. τοῦ μὴ ἐξολοθρεῦσαι αὐτούς. Καὶ ἐξουδένωσαν γῆν ἐπιθυμητήν. οὐκ ἐπίστευσαν τῷ λόγῳ αὐτοῦ. Καὶ ἐγόγγυσαν ἐν τοῖς σκηνώμασιν αὐτῶν. οὐκ εἰσήκουσαν τῆς φωνῆς κυ. Καὶ ἐπῆρε τὴν χεῖρα αὐτοῦ ἐπ' αὐτούς. τοῦ καταβαλεῖν αὐτοὺς ἐν τῇ ἐρήμῳ. Καὶ τοῦ καταβαλεῖν τὸ σπέρμα αὐτῶν ἐν τοῖς ἔθνεσι. καὶ διασκορπίσαι αὐτοὺς ἐν ταῖς χώραις. Καὶ ἐτελέσθησαν τῷ βεελφεγώρ. καὶ ἔφαγον θυσίας νεκρῶν. Καὶ παρώξυναν αὐτὸν ἐν τοῖς ἐπιτηδεύμασιν αὐτῶν καὶ ἐπληθύνθη ἐν αὐτοῖς ἡ πτῶσις.

Καὶ ἔστη φινεὲς καὶ ἐξιλάσατο, καὶ ἐκόπασεν ἡ θραῦσις. καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην. εἰς γενεὰν καὶ γενεὰν ἕως τοῦ αἰῶνος. Καὶ παρώργισαν αὐτὸν ἐπὶ ὕδατος ἀντιλογίας. καὶ ἐκακώθη

μωϋσῆς δι' αὐτούς. Ὅτι παρεπίκραναν τὸ πνεῦμα αὐτοῦ, καὶ διέστειλεν ἐν τοῖς χείλεσιν αὐτοῦ. Οὐκ ἐξωλόθρευσαν τὰ ἔθνη ἃ εἶπε κύριος αὐτοῖς. καὶ ἐμίγησαν ἐν τοῖς ἔθνεσι καὶ ἔμαθον τὰ ἔργα αὐτῶν. Καὶ ἐδούλευσαν τοῖς γλυπτοῖς αὐτῶν. καὶ ἐγενήθη αὐτοῖς εἰς σκάνδαλον. Καὶ ἔθυσαν τοὺς υἱοὺς αὐτῶν, καὶ τὰς θυγατέρας αὐτῶν τοῖς δαιμονίοις. Καὶ ἐξέχεαν αἷμα ἀθῶον. αἷμα υἱῶν αὐτῶν καὶ θυγατέρων. ὧν ἔθυσαν τοῖς γλυπτοῖς χαναάν. Καὶ ἐφονοκτονήθη ἡ γῆ ἐν τοῖς αἵμασι. καὶ ἐμιάνθη ἐν τοῖς ἔργοις αὐτῶν. Καὶ ἐπόρνευσαν ἐν τοῖς ἐπιτηδεύμασιν αὐτῶν. Καὶ ὠργίσθη θυμῷ κύριος ἐπὶ τὸν λαὸν αὐτοῦ. καὶ ἐβδελύξατο τὴν κληρονομίαν αὐτοῦ. Καὶ παρέδωκεν αὐτοὺς εἰς χεῖρας ἐχθρῶν. καὶ ἐκυρίευσαν αὐτῶν οἱ μισοῦντες αὐτούς. Καὶ ἔθλιψαν αὐτοὺς οἱ ἐχθροὶ αὐτῶν. καὶ ἐταπεινώθησαν ὑπὸ τὰς χεῖρας αὐτῶν. Πλειονάκις ἐρρύσατο αὐτούς. αὐτοὶ δὲ παρεπίκραναν αὐτὸν ἐν τῇ βουλῇ αὐτῶν. Καὶ ἐταπεινώθησαν ἐν ταῖς ἀνομίαις αὐτῶν. Καὶ εἶδε κύριος ἐν τῷ θλίβεσθαι αὐτούς. ἐν τῷ αὐτὸν εἰσακοῦσαι τῆς δεήσεως αὐτῶν. Καὶ ἐμνήσθη τῆς διαθήκης αὐτοῦ, καὶ μετεμελήθη κατὰ τὸ πλῆθος τοῦ ἐλέους αὐτοῦ. Καὶ ἔδωκεν αὐτοὺς εἰς οἰκτιρμοὺς ἐναντίον πάντων τῶν αἰχμαλωτευσάντων αὐτούς. Σῶσον ἡμᾶς κύριε ὁ θεὸς ἡμῶν. καὶ ἐπισυνάγαγε ἡμᾶς ἐκ τῶν ἐθνῶν. Τοῦ ἐξομολογήσασθαι τῷ ὀνόματί σου τῷ ἁγίῳ. τοῦ ἐγκαυχᾶσθαι ἐν τῇ αἰνέσει σου. Εὐλογητὸς κύριος ὁ θεὸς ἰσραήλ. ἀπὸ τοῦ αἰῶνος καὶ ἕως τοῦ αἰῶνος. καὶ ἐρεῖ πᾶς ὁ λαός γένοιτο γένοιτο. Δόξα.

Ἀλληλούϊα. ρϛ´

Ξομολογεῖσθε τῷ κυρίῳ, ὅτι χρηστός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Εἰπάτωσαν οἱ λελυτρωμένοι ὑπὸ κυρίου. οὓς ἐλυτρώσατο ἐκ χειρὸς ἐχθροῦ. καὶ ἐκ τῶν χωρῶν συνήγαγεν αὐτούς. Ἀπὸ ἀνατολῶν, καὶ δυσμῶν καὶ βορρᾶ, καὶ θαλάσσης. ἐπλανήθησαν ἐν τῇ ἐρήμῳ ἐν ἀνύδρῳ.

Ὁδὸν

Ὁδὸν πόλεως κατοικητηρίου οὐχ εὗρον. πεινῶντες καὶ διψῶντες, ἡ ψυχὴ αὐτῶν ἐν αὐτοῖς ἐξέλιπεν. Καὶ ἐκέκραξαν πρὸς κύριον ἐν τῷ θλίβεσθαι αὐτούς. καὶ ἐκ τῶν ἀναγκῶν αὐτῶν ἐρρύσατο αὐτούς. Καὶ ὡδήγησεν αὐτοὺς εἰς ὁδὸν εὐθεῖαν. τοῦ πορευθῆναι εἰς πόλιν κατοικητηρίου. Ἐξομολογησάσθωσαν τῷ κυρίῳ τὰ ἐλέη αὐτοῦ. καὶ τὰ θαυμάσια αὐτοῦ τοῖς υἱοῖς τῶν ἀνθρώπων. Ὅτι ἐχόρτασε ψυχὴν κενήν. καὶ ψυχὴν πεινῶσαν ἐνέπλησεν ἀγαθῶν. Καθημένους ἐν σκότει καὶ σκιᾷ θανάτου. πεπεδημένους ἐν πτωχείᾳ καὶ σιδήρῳ. Ὅτι παρεπίκραναν τὰ λόγια τοῦ θεοῦ. καὶ τὴν βουλὴν τοῦ ὑψίστου παρώξυναν. Καὶ ἐταπεινώθη ἐν κόποις ἡ καρδία αὐτῶν ἠσθένησαν καὶ οὐκ ἦν ὁ βοηθῶν. Καὶ ἐκέκραξαν πρὸς κύριον ἐν τῷ θλίβεσθαι αὐτούς. καὶ ἐκ τῶν ἀναγκῶν αὐτῶν ἔσωσεν αὐτούς. Καὶ ἐξήγαγεν αὐτοὺς ἐκ σκότους καὶ σκιᾶς θανάτου. καὶ τοὺς δεσμοὺς αὐτῶν διέρρηξεν. Ἐξομολογησάσθωσαν τῷ κυρίῳ τὰ ἐλέη αὐτοῦ. καὶ τὰ θαυμάσια αὐτοῦ τοῖς υἱοῖς τῶν ἀνθρώπων. Ὅτι συνέτριψε πύλας χαλκᾶς. καὶ μοχλοὺς σιδηροῦς συνέθλασεν. Ἀντελάβετο αὐτῶν ἐξ ὁδοῦ ἀνομίας αὐτῶν. διὰ γὰρ τὰς ἀνομίας αὐτῶν ἐταπεινώθησαν. Πᾶν βρῶμα ἐβδελύξατο ἡ ψυχὴ αὐτῶν, καὶ ἤγγισαν ἕως τῶν πυλῶν τοῦ θανάτου. καὶ ἐκέκραξαν πρὸς κύριον ἐν τῷ θλίβεσθαι αὐτούς. καὶ ἐκ τῶν ἀναγκῶν αὐτῶν ἔσωσεν αὐτούς. Ἀπέστειλε τὸν λόγον αὐτοῦ, καὶ ἰάσατο αὐτούς. καὶ ἐρρύσατο αὐτούς, ἐκ τῶν διαφθορῶν αὐτῶν. Ἐξομολογησάσθωσαν τῷ κυρίῳ τὰ ἐλέη αὐτοῦ καὶ τὰ θαυμάσια αὐτοῦ τοῖς υἱοῖς τῶν ἀνθρώπων. Καὶ θυσάτωσαν αὐτῷ θυσίαν αἰνέσεως καὶ ἐξαγγειλάτωσαν τὰ ἔργα αὐτοῦ ἐν ἀγαλλιάσει. Οἱ καταβαίνοντες εἰς θάλασσαν ἐν πλοίοις. ποιοῦντες ἐργασίαν ἐν ὕδασι πολλοῖς. Αὐτοὶ εἶδον τὰ ἔργα κυρίου, καὶ τὰ θαυμάσια αὐτοῦ ἐν τῷ βυθῷ. Εἶπε καὶ ἔστη πνεῦμα καταιγίδος. καὶ ὑψώθη τὰ κύματα αὐτῆς. Ἀναβαίνουσιν ἕως τῶν οὐρανῶν. καὶ καταβαίνουσιν ἕως τῶν ἀβύσσων.

Η ψυχὴ αὐτῶν ἐν κακοῖς ἐτήκετο. ἐταράχθησαν. ἐσαλεύθησαν ὡς
ὁ μεθύων. καὶ πᾶσα ἡ σοφία αὐτῶν κατεπόθη. Καὶ ἐκέκραξαν πρὸς
κύριον ἐν τῷ θλίβεσθαι αὐτούς. καὶ ἐκ τῶν ἀναγκῶν αὐτῶν, ἐ-
ξήγαγεν αὐτούς. Καὶ ἐπέταξε τῇ καταιγίδι καὶ ἔστη εἰς αὔραν.
καὶ ἐσίγησαν τὰ κύματα αὐτῆς. Καὶ εὐφράνθησαν, ὅτι ἡσύχα-
σαν, καὶ ὡδήγησεν αὐτὸν ἐπὶ λιμένα θελήματος αὐτῶν. Ἐ-
ξομολογησάσθωσαν τῷ κυρίῳ τὰ ἐλέη αὐτοῦ. καὶ τὰ θαυμάσια
αὐτοῦ τοῖς υἱοῖς τῶν ἀνθρώπων. Ὑψωσάτωσαν αὐτὸν ἐν ἐκκλη-
σίᾳ λαοῦ, καὶ ἐν καθέδρᾳ πρεσβυτέρων αἰνεσάτωσαν αὐτόν.
Ἔθετο ποταμοὺς εἰς ἔρημον. καὶ διεξόδους ὑδάτων εἰς δίψαν.
Γῆν καρποφόρον εἰς ἅλμην. ἀπὸ κακίας τῶν κατοικούντων
ἐν αὐτῇ. Ἔθετο ἔρημον εἰς λίμνας ὑδάτων. καὶ γῆν ἄνυδρον
εἰς διεξόδους ὑδάτων. Καὶ κατῴκισεν ἐκεῖ πεινῶντας. καὶ
συνεστήσαντο πόλεις κατοικεσίας. Καὶ ἔσπειραν ἀγρούς, καὶ ἐ-
φύτευσαν ἀμπελῶνας. καὶ ἐποίησαν καρπὸν γεννήματος.
Καὶ εὐλόγησεν αὐτούς, καὶ ἐπληθύνθησαν σφόδρα. καὶ τὰ κτή-
νη αὐτῶν οὐκ ἐσμίκρυνε. Καὶ ὠλιγώθησαν καὶ ἐκακώθησαν
ἀπὸ θλίψεως κακῶν καὶ ὀδύνης. Ἐξεχύθη ἐξουδένωσις ἐπ'
ἄρχοντας αὐτῶν. καὶ ἐπλάνησεν αὐτοὺς ἐν ἀβάτῳ καὶ οὐχ
ὁδῷ. Καὶ ἐβοήθησε πένητι ἐκ πτωχείας. καὶ ἔθετο ὡς πρόβα-
τα πατριάς. Ὄψονται εὐθεῖς καὶ εὐφρανθήσονται. καὶ πᾶσα
ἀνομία ἐμφράξει τὸ στόμα αὐτῆς. Τίς σοφὸς καὶ φυλάξει ταῦ-
τα. καὶ συνήσει τὰ ἐλέη τοῦ κυρίου.

Δόξα.

Ὠδὴ ψαλμοῦ τῷ δαβίδ. ρζ

Τοίμη ἡ καρδία μου ὁ θεὸς ἑτοίμη ἡ καρδία μου. ᾄ-
ε σομαι καὶ ψαλῶ ἐν τῇ δόξῃ μου. Ἐξεγέρθητι ἡ δό-
ξα μου. ἐξεγέρθητι ψαλτήριον καὶ κιθάρα. ἐξεγερθή-
σομαι ὄρθρου. Ἐξομολογήσομαί σοι ἐν λαοῖς κύριε. ψαλῶ σοι
ἐν ἔθνεσιν. Ὅτι μέγα ἐπάνω τῶν οὐρανῶν τὸ ἔλεός σου. καὶ ἕως

τῶν νεφελῶν ἡ ἀλήθειά σου. Ὑψώθητι ἐπὶ τοὺς οὐρανοὺς ὁ θεός·
καὶ ἐπὶ πᾶσαν τὴν γῆν ἡ δόξα σου. Ὅπως ἂν ῥυσθῶσιν οἱ
ἀγαπητοί σου· σῶσον τῇ δεξιᾷ σου καὶ ἐπάκουσόν μου. Ὁ θε
ὸς ἐλάλησεν ἐν τῷ ἁγίῳ αὐτοῦ· ὑψωθήσομαι καὶ διαμεριῶ σί
κιμα, καὶ τὴν κοιλάδα τῶν σκηνῶν διαμετρήσω. Ἐμός ἐστι γα
λαάδ· καὶ ἐμός ἐστι μανασσῆς· καὶ ἐφραὶμ ἀντίληψις τῆς κεφαλῆς
μου. Ἰούδας βασιλεύς μου· μωὰβ λέβης τῆς ἐλπίδος μου. Ἐπὶ
τὴν ἰδουμαίαν ἐπιβαλῶ τὸ ὑπόδημά μου· ἐμοὶ ἀλλόφυλοι ὑπε
τάγησαν. Τίς ἀπάξει με εἰς πόλιν περιοχῆς· ἢ τίς ὁδηγήσει με
ἕως τῆς ἰδουμαίας. Οὐχὶ σὺ ὁ θεὸς ὁ ἀπωσάμενος ἡμᾶς καὶ οὐκ
ἐξελεύσῃ ὁ θεὸς ἐν ταῖς δυνάμεσιν ἡμῶν; Δὸς ἡμῖν βοήθειαν
ἐκ θλίψεως· καὶ ματαία σωτηρία ἀνθρώπου. Ἐν τῷ θεῷ ποιή
σωμεν δύναμιν· καὶ αὐτὸς ἐξουδενώσει τοὺς ἐχθροὺς ἡμῶν.

Εἰς τὸ τέλος ψαλμὸς τῷ δαβίδ. ρή

Θεὸς τὴν αἴνεσίν μου μὴ παρασιωπήσῃς· ὅτι στόμα
β ἁμαρτωλοῦ καὶ στόμα δολίου ἐπ' ἐμὲ ἠνοίχθη. Ἐλά
λησαν κατ' ἐμοῦ γλώσσῃ δολίᾳ, καὶ λόγοις μίσους
ἐκύκλωσάν με· καὶ ἐπολέμησάν με δωρεάν. Ἀντὶ τοῦ ἀγαπᾶν
με ἐνδιέβαλλόν με· ἐγὼ δὲ προσηυχόμην. Καὶ ἔθεντο κατ' ἐ
μοῦ κακὰ ἀντὶ ἀγαθῶν· καὶ μῖσος ἀντὶ τῆς ἀγαπήσεώς μου. Κα
τάστησον ἐπ' αὐτὸν ἁμαρτωλόν· καὶ διάβολος στήτω ἐκ δεξιῶν αὐ
τοῦ. Ἐν τῷ κρίνεσθαι αὐτὸν, ἐξέλθοι καταδεδικασμένος· καὶ ἡ
προσευχὴ αὐτοῦ γενέσθω εἰς ἁμαρτίαν. Γενηθήτωσαν αἱ ἡμέ
ραι αὐτοῦ ὀλίγαι· καὶ τὴν ἐπισκοπὴν αὐτοῦ λάβοι ἕτερος. Γενηθή
τωσαν οἱ υἱοὶ αὐτοῦ ὀρφανοί· καὶ ἡ γυνὴ αὐτοῦ χήρα. Σαλευόμε
νοι μεταναστήτωσαν οἱ υἱοὶ αὐτοῦ, καὶ ἐπαιτησάτωσαν· ἐκβληθή
τωσαν ἐκ τῶν οἰκοπέδων αὐτῶν. Ἐξερευνησάτω δανειστὴς πάν
τα ὅσα ὑπάρχει αὐτῷ· καὶ διαρπασάτωσαν ἀλλότριοι τοὺς πό
νους αὐτοῦ. Μὴ ὑπαρξάτω αὐτῷ ἀντιλήπτωρ· μηδὲ γενηθήτω
οἰκτίρμων τοῖς ὀρφανοῖς αὐτοῦ. Γενηθήτω τὰ τέκνα αὐτοῦ εἰς ἐξο

λόθρευσιν· ἐν γενεᾷ μιᾷ ἐξαλειφθείη τὸ ὄνομα αὐτοῦ. Ἀναμνη-
σθείη ἡ ἀνομία τῶν πατέρων αὐτοῦ ἔναντι κυρίου, καὶ ἡ ἁμαρ-
τία τῆς μητρὸς αὐτοῦ, μὴ ἐξαλειφθείη. Γενηθήτωσαν ἐναντίον κυ-
ρίου διαπαντός, καὶ ἐξολοθρευθείη ἐκ γῆς τὸ μνημόσυνον αὐτῶν.
Ἀνθ' ὧν οὐκ ἐμνήσθη τοῦ ποιῆσαι ἔλεος, καὶ κατεδίωξεν ἄνθρωπον πέ-
νητα καὶ πτωχόν, καὶ κατανενυγμένον τῇ καρδίᾳ τοῦ θανατῶσαι.
Καὶ ἠγάπησε κατάραν καὶ ἥξει αὐτῷ, καὶ οὐκ ἠθέλησεν εὐλογί-
αν, καὶ μακρυνθήσεται ἀπ' αὐτοῦ. Καὶ ἐνεδύσατο κατάραν
ὡς ἱμάτιον, καὶ εἰσῆλθεν ὡσεὶ ὕδωρ εἰς τὰ ἔγκατα αὐτοῦ, καὶ
ὡσεὶ ἔλαιον ἐν τοῖς ὀστέοις αὐτοῦ. Γενηθήτω αὐτῷ ὡς ἱμάτιον
ὃ περιβάλλεται, καὶ ὡσεὶ ζώνη ἣν διαπαντὸς περιζώννυται. Τοῦ-
το τὸ ἔργον τῶν ἐνδιαβαλλόντων με παρὰ κυρίου, καὶ τῶν λα-
λούντων πονηρὰ κατὰ τῆς ψυχῆς μου. Καὶ σὺ κύριε κύριε ποίη-
σον μετ' ἐμοῦ ἕνεκεν τοῦ ὀνόματός σου· ὅτι χρηστὸν τὸ ἔλεός σου.
Ῥῦσαί με ὅτι πτωχὸς καὶ πένης εἰμὶ ἐγώ, καὶ ἡ καρδία μου τε-
τάρακται ἐντός μου. Ὡσεὶ σκιὰ ἐν τῷ ἐκκλῖναι αὐτὴν ἀν-
τανῃρέθην· ἐξετινάχθην ὡσεὶ ἀκρίδες. Τὰ γόνατά μου ἠσθένη-
σαν ἀπὸ νηστείας, καὶ ἡ σάρξ μου ἠλλοιώθη δι' ἔλαιον. Κἀγὼ
ἐγενήθην ὄνειδος αὐτοῖς· εἴδοσάν με, ἐσάλευσαν κεφαλὰς αὐ-
τῶν. Βοήθησόν μοι κύριε ὁ θεός μου, καὶ σῶσόν με κατὰ τὸ ἔλεός
σου. Καὶ γνώτωσαν ὅτι ἡ χείρ σου αὕτη, καὶ σὺ κύριε ἐποίησας
αὐτήν. Καταράσονται αὐτοί, καὶ σὺ εὐλογήσεις. Οἱ ἐπανιστά-
μενοί μοι αἰσχυνθήτωσαν, ὁ δὲ δοῦλός σου εὐφρανθήσεται.
Ἐνδυσάσθωσαν οἱ ἐνδιαβάλλοντές με ἐντροπήν, καὶ περιβαλέ-
σθωσαν ὡς διπλοΐδα αἰσχύνην αὐτῶν. Ἐξομολογήσομαι τῷ κυ-
ρίῳ σφόδρα ἐν τῷ στόματί μου· καὶ ἐν μέσῳ πολλῶν αἰνέσω αὐ-
τόν. Ὅτι παρέστη ἐκ δεξιῶν πένητος, τοῦ σῶσαι ἐκ τῶν καταδιω-
κόντων τὴν ψυχήν μου.

Δόξα. κάθισμα. ιε

Ψαλμὸς τῷ δαβίδ. ρθ

Εἶπεν ὁ κύριος τῷ κυρίῳ μου κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου, ὑποπόδιον τῶν ποδῶν σου. Ῥάβδον δυνάμεως ἐξαποστελεῖ σοι κύριος ἐκ σιών. καὶ κατακυρίευε ἐν μέσῳ τῶν ἐχθρῶν σου. Μετὰ σοῦ ἡ ἀρχὴ ἐν ἡμέρᾳ τῆς δυνάμεώς σου. ἐν ταῖς λαμπρότησι τῶν ἁγίων σου. Ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγέννησά σε. ὤμοσε κύριος καὶ οὐ μεταμεληθήσεται. Σὺ ἱερεὺς εἰς τὸν αἰῶνα, κατὰ τὴν τάξιν μελχισεδέκ. Κύριος ἐκ δεξιῶν σου συνέθλασεν ἐν ἡμέρᾳ ὀργῆς αὐτοῦ βασιλεῖς. κρινεῖ ἐν τοῖς ἔθνεσι. πληρώσει πτώματα. συνθλάσει κεφαλὰς ἐπὶ τῆς γῆς πολλῶν. Ἐκ χειμάῤῥου ἐν ὁδῷ πίεται, διὰ τοῦτο ὑψώσει κεφαλήν.

Ἀλληλούια. ρι.

Ἐξομολογήσομαί σοι κύριε ἐν ὅλῃ καρδίᾳ μου. ἐν βουλῇ εὐθέων καὶ συναγωγῇ. Μεγάλα τὰ ἔργα κυρίου. ἐξεζητημένα εἰς πάντα τὰ θελήματα αὐτοῦ. Ἐξομολόγησις καὶ μεγαλοπρέπεια τὸ ἔργον αὐτοῦ. καὶ ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Μνείαν ἐποιήσατο τῶν θαυμασίων αὐτοῦ. Ἐλεήμων καὶ οἰκτίρμων ὁ κύριος. τροφὴν ἔδωκε τοῖς φοβουμένοις αὐτόν. Μνησθήσεται εἰς τὸν αἰῶνα διαθήκης αὐτοῦ. ἰσχὺν ἔργων αὐτοῦ, ἀνήγγειλε τῷ λαῷ αὐτοῦ. Τοῦ δοῦναι αὐτοῖς κληρονομίαν ἐθνῶν ἔργα χειρῶν αὐτοῦ, ἀλήθεια καὶ κρίσις. Πισταὶ πᾶσαι αἱ ἐντολαὶ αὐτοῦ. ἐστηριγμέναι εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. πεποιημέναι ἐν ἀληθείᾳ καὶ εὐθύτητι. Λύτρωσιν ἀπέστειλε τῷ λαῷ αὐτοῦ. Ἐνετείλατο εἰς τὸν αἰῶνα διαθήκην αὐτοῦ. ἅγιον καὶ φοβερὸν τὸ ὄνομα αὐτοῦ. Ἀρχὴ σοφίας, φόβος κυρίου. σύνεσις δὲ ἀγαθὴ πᾶσι τοῖς ποιοῦσιν αὐτήν. Ἡ αἴνεσις αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Ἀλληλούια. ρια

Ακάριος ἀνὴρ ὁ φοβούμενος τὸν κύριον, ἐν ταῖς ἐν-
μ τολαῖς αὐτοῦ θελήσει σφόδρα. Δυνατὸν ἐν τῇ γῇ ἔ-
σαι τὸ σπέρμα αὐτοῦ· γενεὰ εὐθέων εὐλογηθήσεται
Δόξα καὶ πλοῦτος ἐν τῷ οἴκῳ αὐτοῦ· καὶ ἡ δικαιοσύνη αὐτοῦ μέ-
νει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Εξανέτειλεν ἐν σκότει φῶς τοῖς εὐθέ-
σιν ἐλεήμων καὶ οἰκτίρμων καὶ δίκαιος. Χρηστὸς ἀνὴρ ὁ οἰκτεί-
ρων καὶ κιχρῶν· οἰκονομήσει τοὺς λόγους αὐτοῦ ἐν κρίσει, ὅτι εἰς
τὸν αἰῶνα οὐ σαλευθήσεται. Εἰς μνημόσυνον αἰώνιον ἔσται δί-
καιος· ἀπὸ ἀκοῆς πονηρᾶς οὐ φοβηθήσεται. Ετοίμη ἡ καρδία
αὐτοῦ ἐλπίζειν ἐπὶ κύριον, ἐστήρικται ἡ καρδία αὐτοῦ οὐ μὴ φοβηθῇ
ἕως οὗ ἐπίδῃ ἐπὶ τοὺς ἐχθροὺς αὐτοῦ. Εσκόρπισεν ἔδωκε
τοῖς πένησιν· ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.
Τὸ κέρας αὐτοῦ ὑψωθήσεται ἐν δόξῃ. Αμαρτωλὸς ὄψεται καὶ
ὀργισθήσεται· τοὺς ὀδόντας αὐτοῦ βρύξει καὶ τακήσεται. Επιθυ-
μία ἁμαρτωλοῦ ἀπολεῖται. δόξα.

Αλληλούϊα. ριβ

Ινεῖτε παῖδες κύριον, αἰνεῖτε τὸ ὄνομα κυρίου. Εἴη τὸ
α ὄνομα κυρίου εὐλογημένον ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ
αἰῶνος. Απὸ ἀνατολῶν ἡλίου μέχρι δυσμῶν, αἰνετὸν
τὸ ὄνομα κυρίου. Υψηλὸς ἐπὶ πάντα τὰ ἔθνη ὁ κύριος ἐπὶ τοὺς
οὐρανοὺς ἡ δόξα αὐτοῦ. Τίς ὡς κύριος ὁ θεὸς ἡμῶν· ὁ ἐν ὑψηλοῖς
κατοικῶν καὶ τὰ ταπεινὰ ἐφορῶν· Εν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ
ὁ ἐγείρων ἀπὸ γῆς πτωχὸν, καὶ ἀπὸ κοπρίας ἀνυψῶν πένητα.
Τοῦ καθίσαι αὐτὸν μετὰ ἀρχόντων, μετὰ ἀρχόντων λαοῦ αὐτοῦ
Ο κατοικίζων στεῖραν ἐν οἴκῳ· μητέρα ἐπὶ τέκνοις εὐφραινομέ-
νην. Αλληλούϊα. ριγ.

Ν ἐξόδῳ ἰσραὴλ ἐξ αἰγύπτου, οἴκου ἰακὼβ ἐκ λαοῦ
ζ βαρβάρου. Εγενήθη ἰουδαία ἁγίασμα αὐτοῦ, ἰσρα-
ὴλ ἐξουσία αὐτοῦ. Η θάλασσα εἶδε καὶ ἔφυγεν· ὁ ἰ-
ορδάνης ἐστράφη εἰς τὰ ὀπίσω. Τὰ ὄρη ἐσκίρτησαν, ὡσεὶ κριοί·
καὶ οἱ βουνοὶ ὡς ἀρνία προβάτων. Τί σοί ἐστι θάλασσα ὅτι ἔφυ-

γες καὶ σὺ ἰορδάνη ὅτι ἐστράφης εἰς τὰ ὀπίσω· Τὰ ὄρη ὅτι ἐσκιρτήσατε ὡσεὶ κριοί· καὶ οἱ βουνοὶ ὡς ἀρνία προβάτων. Ἀπὸ προσώπου κυρίου ἐσαλεύθη ἡ γῆ· ἀπὸ προσώπου τοῦ θεοῦ ἰακώβ. Τοῦ στρέψαντος τὴν πέτραν εἰς λίμνας ὑδάτων· καὶ τὴν ἀκρότομον εἰς πηγὰς ὑδάτων. Μὴ ἡμῖν, κύριε, μὴ ἡμῖν· ἀλλ' ἢ τῷ ὀνόματί σου δὸς δόξαν. Ἐπὶ τῷ ἐλέει σου καὶ τῇ ἀληθείᾳ σου, μήποτε εἴπωσι τὰ ἔθνη, ποῦ ἐστιν ὁ θεὸς αὐτῶν. Ὁ δὲ θεὸς ἡμῶν ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ· πάντα ὅσα ἠθέλησεν ἐποίησε. Τὰ εἴδωλα τῶν ἐθνῶν, ἀργύριον καὶ χρυσίον· ἔργα χειρῶν ἀνθρώπων. Στόμα ἔχουσι, καὶ οὐ λαλήσουσιν· ὀφθαλμοὺς ἔχουσι, καὶ οὐκ ὄψονται. Ὦτα ἔχουσι, καὶ οὐκ ἀκούσονται· ῥῖνας ἔχουσι, καὶ οὐκ ὀσφρανθήσονται. Χεῖρας ἔχουσι καὶ οὐ ψηλαφήσουσι· πόδας ἔχουσι καὶ οὐ περιπατήσουσιν· οὐ φωνήσουσιν ἐν τῷ λάρυγγι αὐτῶν. Ὅμοιοι αὐτοῖς γένοιντο οἱ ποιοῦντες αὐτά, καὶ πάντες οἱ πεποιθότες ἐπ' αὐτοῖς. Οἶκος ἰσραὴλ ἤλπισεν ἐπὶ κύριον· βοηθὸς καὶ ὑπερασπιστὴς αὐτῶν ἐστιν. Οἶκος ἀαρὼν ἤλπισεν ἐπὶ κύριον. βοηθὸς καὶ ὑπερασπιστὴς αὐτῶν ἐστιν. Οἱ φοβούμενοι τὸν κύριον ἤλπισαν ἐπὶ κύριον· βοηθὸς καὶ ὑπερασπιστὴς αὐτῶν ἐστιν. Κύριος μνησθεὶς ἡμῶν, εὐλόγησεν ἡμᾶς· εὐλόγησε τὸν οἶκον ἰσραήλ· εὐλόγησε τὸν οἶκον ἀαρών. Εὐλόγησε τοὺς φοβουμένους τὸν κύριον. τοὺς μικροὺς μετὰ τῶν μεγάλων. Προσθείη κύριος ἐφ' ὑμᾶς ἐφ' ὑμᾶς καὶ ἐπὶ τοὺς υἱοὺς ὑμῶν. Εὐλογημένοι ὑμεῖς τῷ κυρίῳ, τῷ ποιήσαντι τὸν οὐρανὸν καὶ τὴν γῆν. Ὁ οὐρανὸς τοῦ οὐρανοῦ τῷ κυρίῳ, τὴν δὲ γῆν ἔδωκε τοῖς υἱοῖς τῶν ἀνθρώπων. Οὐχ οἱ νεκροὶ αἰνέσουσί σε κύριε. οὐδὲ πάντες οἱ καταβαίνοντες εἰς ᾅδου. Ἀλλ' ἡμεῖς οἱ ζῶντες εὐλογήσομεν τὸν κύριον· ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος.

Ἀλληλούϊα. ριδ'

Γάπησα ὅτι εἰσακούσεται κύριος τῆς φωνῆς τῆς
ᾱ δεήσεώς μου. Ὅτι ἔκλινε τὸ οὖς αὐτοῦ ἐμοί. καὶ

ἐν ταῖς ἡμέραις μου ἐπικαλέσομαι. Περιέσχον με ὠδῖνες θανά-
του. κίνδυνοι ᾅδου εὕροσάν με. Θλίψιν καὶ ὀδύνην εὗρον. καὶ
τὸ ὄνομα κυρίου ἐπικαλεσάμην. ὦ κύριε ῥῦσαι τὴν ψυχήν μου
Ελεήμων ὁ κύριος καὶ δίκαιος, καὶ ὁ θεὸς ἡμῶν ἐλεεῖ. φυ-
λάσσων τὰ νήπια ὁ κύριος. ἐταπεινώθην καὶ ἔσωσέ με. Επί-
στρεψον ψυχή μου εἰς τὴν ἀνάπαυσίν σου. ὅτι κύριος εὐηργέτη-
σέ σε. Οὐ ἐξείλετο τὴν ψυχήν μου ἐκ θανάτου. τοὺς ὀφθαλμούς
μου ἀπὸ δακρύων, καὶ τοὺς πόδας μου ἀπὸ ὀλισθήματος. Εὐαρεστή-
σω ἐνώπιον κυρίου ἐν χώρᾳ ζώντων. Δόξα.

Αλληλούϊα. ριε.

ἐπίστευσα, διὸ ἐλάλησα. ἐγὼ δὲ ἐταπεινώθην σφό-
ε δρα. Εγὼ δὲ εἶπα ἐν τῇ ἐκστάσει μου, πᾶς ἄνθρω-
πος ψεύστης. Τί ἀνταποδώσω τῷ κυρίῳ περὶ πάν-
των ὧν ἀνταπέδωκέ μοι. Ποτήριον σωτηρίου λήψομαι, καὶ τὸ
ὄνομα κυρίου ἐπικαλέσομαι. Τὰς εὐχάς μου τῷ κυρίῳ ἀπο-
δώσω ἐναντίον παντὸς τοῦ λαοῦ αὐτοῦ. Τίμιος ἐναντίον κυρίου
ὁ θάνατος τῶν ὁσίων αὐτοῦ. Ω κύριε ἐγὼ δοῦλος σός. ἐγὼ δοῦ-
λος σός, καὶ υἱὸς τῆς παιδίσκης σου. διέρρηξας τοὺς δεσμούς μου
Σοὶ θύσω θυσίαν αἰνέσεως. καὶ ἐν ὀνόματι κυρίου ἐπικαλέ-
σομαι. Τὰς εὐχάς μου τῷ κυρίῳ ἀποδώσω, ἐναντίον παντὸς τοῦ
λαοῦ αὐτοῦ. Εν αὐλαῖς οἴκου κυρίου ἐν μέσῳ σου Ἱερουσαλήμ.

Αλληλούϊα. ρις.

ἰνεῖτε τὸν κύριον πάντα τὰ ἔθνη. ἐπαινέσατε αὐτὸν
α πάντες οἱ λαοί. Οτι ἐκραταιώθη τὸ ἔλεος αὐτοῦ ἐφ'
ἡμᾶς. καὶ ἡ ἀλήθεια τοῦ κυρίου μένει εἰς τὸν αἰῶνα.

Αλληλούϊα ριζ.

Ξομολογεῖσθε τῷ κυρίῳ, ὅτι ἀγαθὸς ὅτι εἰς τὸν
ε αἰῶνα τὸ ἔλεος αὐτοῦ. Εἰπάτω δὴ οἶκος ἰσραήλ,
ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Εἰπάτω δὴ οἶκος
ἀαρών, ὅτι ἀγαθός. ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Εἰπάτω

των δὴ πάντες οἱ φοβούμενοι τὸν κύριον, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Ἐκ θλίψεως ἐπεκαλεσάμην τὸν κύριον· καὶ ἐπήκουσέ μου εἰς πλατυσμόν. Κύριος ἐμοὶ βοηθός, καὶ οὐ φοβηθήσομαι τί ποιήσει μοι ἄνθρωπος. Κύριος ἐμοὶ βοηθὸς κἀγὼ ἐπόψομαι τοὺς ἐχθρούς μου. Ἀγαθὸν πεποιθέναι ἐπὶ κύριον, ἢ πεποιθέναι ἐπ' ἄνθρωπον. Ἀγαθὸν ἐλπίζειν ἐπὶ κύριον, ἢ ἐλπίζειν ἐπ' ἄρχουσι. Πάντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι κῦ ἠμυνάμην αὐτούς. Κυκλώσαντες ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι κῦ ἠμυνάμην αὐτούς. Ἐκύκλωσάν με ὡσεὶ μέλισσαι κηρίον, καὶ ἐξεκαύθησαν ὡς πῦρ ἐν ἀκάνθαις, καὶ τῷ ὀνόματι κῦ ἠμυνάμην αὐτούς. Ὠσθεὶς ἀνετράπην τοῦ πεσεῖν, καὶ ὁ κ͞ς ἀντελάβετό μου. Ἰσχύς μου καὶ ὕμνησίς μου ὁ κύριος· καὶ ἐγένετό μοι εἰς σωτηρίαν. Φωνὴ ἀγαλλιάσεως καὶ σωτηρίας ἐν σκηναῖς δικαίων. Δεξιὰ κῦ ἐποίησε δύναμιν. Δεξιὰ κῦ ὕψωσέ με. Δεξιὰ κυρίου ἐποίησε δύναμιν. οὐκ ἀποθανοῦμαι, ἀλλὰ ζήσομαι, καὶ διηγήσομαι τὰ ἔργα κῦ. Παιδεύων ἐπαίδευσέ με ὁ κ͞ς, καὶ τῷ θανάτῳ οὐ παρέδωκέ με. Ἀνοίξατέ μοι πύλας δικαιοσύνης· εἰσελθὼν ἐν αὐταῖς, ἐξομολογήσομαι τῷ κυρίῳ. Αὕτη ἡ πύλη τοῦ κυρίου, δίκαιοι εἰσελεύσονται ἐν αὐτῇ. Ἐξομολογήσομαί σοι, ὅτι ἐπήκουσάς μου καὶ ἐγένου μοι εἰς σωτηρίαν. Λίθον ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες, οὗτος ἐγενήθη εἰς κεφαλὴν γωνίας. Παρὰ κῦ ἐγένετο αὕτη καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν. Αὕτη ἡ ἡμέρα ἣν ἐποίησεν ὁ κύριος, ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ. Ὦ κύριε σῶσον δή, ὦ κύριε εὐόδωσον δή. Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κῦ. Εὐλογήκαμεν ὑμᾶς ἐξ οἴκου κυρίου. Θεὸς κύριος καὶ ἐπέφανεν ἡμῖν. Συστήσασθε ἑορτὴν ἐν τοῖς πυκάζουσιν, ἕως τῶν κεράτων τοῦ θυσιαστηρίου. Θεός μου εἶ σύ, καὶ ἐξομολογήσομαί σοι. θεός μου εἶ σύ, καὶ ὑψώσω σε. Ἐξομολογήσομαί σοι, ὅτι ἐπήκουσάς μου καὶ ἐγένου μοι εἰς σωτηρίαν. Ἐξομολογεῖσθε τῷ κυρίῳ, ὅτι ἀγα

θεὸς, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Δόξα. κάθισμα. ιϛ´

Ἀλληλούϊα. ριη´

α Ἀκάριοι ἄμωμοι ἐν ὁδῷ, οἱ πορευόμενοι ἐν νό-
μῳ κυ. Μακάριοι οἱ ἐξερευνῶντες τὰ μαρτύρια
ἐν ὅλῃ καρδίᾳ ἐκζητήσουσιν αὐτόν. Οὐ γὰρ οἱ ἐργαζόμενοι τὴν
ἀνομίαν ἐν ταῖς ὁδοῖς αὐτοῦ ἐπορεύθησαν. Σὺ ἐνετείλω τὰς
ἐντολάς σου τοῦ φυλάξασθαι σφόδρα. Ὄφελον κατευθυνθείησαν αἱ
ὁδοί μου, τοῦ φυλάξασθαι τὰ δικαιώματά σου. Τότε οὐ μὴ αἰσχυν-
θῶ ἐν τῷ με ἐπιβλέπειν ἐπὶ πάσας τὰς ἐντολάς σου. Ἐξομολογή-
σομαί σοι ἐν εὐθύτητι καρδίας. ἐν τῷ μεμαθηκέναι με τὰ κρί-
ματα τῆς δικαιοσύνης σου. Τὰ δικαιώματά σου φυλάξω, μή
με ἐγκαταλίπῃς ἕως σφόδρα. Ἐν τίνι κατορθώσει νεώτερος
τὴν ὁδὸν αὐτοῦ, ἐν τῷ φυλάξασθαι τοὺς λόγους σου. Ἐν ὅλῃ καρ-
δίᾳ μου ἐξεζήτησά σε. μὴ ἀπώσῃ με ἀπὸ τῶν ἐντολῶν σου. Ἐν τῇ
καρδίᾳ μου ἔκρυψα τὰ λόγιά σου, ὅπως ἂν μὴ ἁμάρτω σοι. Εὐ-
λογητὸς εἶ κύριε. δίδαξόν με τὰ δικαιώματά σου. Ἐν τοῖς χεί-
λεσί μου ἐξήγγειλα πάντα τὰ κρίματα τοῦ ςόματός σου. ἐν τῇ
ὁδῷ τῶν μαρτυρίων σου ἐτέρφθην, ὡς ἐπὶ παντὶ πλούτῳ. Ἐν
ταῖς ἐντολαῖς σου ἀδολεσχήσω, καὶ κατανοήσω τὰς ὁδούς σου.
Ἐν τοῖς δικαιώμασί σου μελετήσω. οὐκ ἐπιλήσομαι τῶν λόγων
σου. Ἀνταπόδος τῷ δούλῳ σου. ζῆσόν με καὶ φυλάξω τοὺς λό-
γους σου. Ἀποκάλυψον τοὺς ὀφθαλμούς μου, καὶ κατανοήσω τὰ
θαυμάσια ἐκ τοῦ νόμου σου. Πάροικος ἐγώ εἰμι ἐν τῇ γῇ. μὴ ἀ-
ποκρύψῃς ἀπ᾽ ἐμοῦ τὰς ἐντολάς σου. Ἐπεπόθησεν ἡ ψυχή μου
τοῦ ἐπιθυμῆσαι τὰ κρίματά σου ἐν παντὶ καιρῷ, Ἐπετίμησας
ὑπερηφάνοις. ἐπικατάρατοι οἱ ἐκκλίνοντες ἀπὸ τῶν ἐντολῶν
σου. Περίελε ἀπ᾽ ἐμοῦ ὄνειδος καὶ ἐξουδένωσιν, ὅτι τὰ μαρτύ-
ριά σου ἐξεζήτησα. Καὶ γὰρ ἐκάθισαν ἄρχοντες καὶ κατ᾽ ἐμοῦ κα-
τελάλουν. ὁ δὲ δοῦλός σου ἠδολέσχει ἐν τοῖς δικαιώμασί σου. Καὶ
γὰρ τὰ μαρτύριά σου μελέτη μού ἐστι, καὶ αἱ συμβουλίαι μου τὰ

δικαιώματά σου. Ἐκολλήθη τῷ ἐδάφει ἡ ψυχή μου· ζῆσόν με
κατὰ τὸν λόγον σου. Τὰς ὁδούς μου ἐξήγγειλα καὶ ἐπήκουσάς
μου· δίδαξόν με τὰ δικαιώματά σου. Ὁδὸν δικαιωμάτων σου
συνέτισόν με, καὶ ἀδολεσχήσω ἐν τοῖς θαυμασίοις σου. Ἐνύστα-
ξεν ἡ ψυχή μου ἀπὸ ἀκηδίας. βεβαίωσόν με ἐν τοῖς λόγοις σου.
Ὁδὸν ἀδικίας ἀπόστησον ἀπ' ἐμοῦ, καὶ τῷ νόμῳ σου ἐλέησόν με.
Ὁδὸν ἀληθείας ᾑρετισάμην· καὶ τὰ κρίματά σου οὐκ ἐπελα-
θόμην. Ἐκολλήθην τοῖς μαρτυρίοις σου κύριε μή με καταισχύ-
νῃς. Ὁδὸν ἐντολῶν σου ἔδραμον ὅταν ἐπλάτυνας τὴν καρδί-
αν μου. Νομοθέτησόν με κύριε τὴν ὁδὸν τῶν δικαιωμάτων σου
καὶ ἐκζητήσω αὐτὴν διαπαντός. Συνέτισόν με, καὶ ἐξερευνή-
σω τὸν νόμον σου· καὶ φυλάξω αὐτὸν ἐν ὅλῃ καρδίᾳ μου. Ὁδή-
γησόν με ἐν τῇ τρίβῳ τῶν ἐντολῶν σου ὅτι αὐτὴν ἠθέλησα.
Κλῖνον τὴν καρδίαν μου εἰς τὰ μαρτύριά σου καὶ μὴ εἰς πλεονε-
ξίαν. Ἀπόστρεψον τοὺς ὀφθαλμούς μου τοῦ μὴ ἰδεῖν ματαιότητα
ἐν τῇ ὁδῷ σου ζῆσόν με. Στῆσον τῷ δούλῳ σου τὸ λόγιόν σου εἰς
τὸν φόβον σου. Περίελε τὸν ὀνειδισμόν μου ὃν ὑπώπτευσα ὅτι τὰ κρί-
ματά σου χρηστά. Ἰδοὺ ἐπεθύμησα τὰς ἐντολάς σου ἐν τῇ δικαιο-
σύνῃ σου ζῆσόν με. Καὶ ἔλθοι ἐπ' ἐμὲ τὸ ἔλεός σου κύριε τὸ σωτήρι-
όν σου κατὰ τὸν λόγον σου. Καὶ ἀποκριθήσομαι τοῖς ὀνειδίζουσί
μοι λόγον, ὅτι ἤλπισα ἐπὶ τοῖς λόγοις σου. Καὶ μὴ περιέλῃς ἐκ τοῦ
στόματός μου λόγον ἀληθείας ἕως σφόδρα. ὅτι ἐπὶ τοῖς κρίμασί
σου ἐπήλπισα. Καὶ φυλάξω τὸν νόμον σου διαπαντός, εἰς τὸν
αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Καὶ ἐπορευόμην ἐν πλα-
τυσμῷ, ὅτι τὰς ἐντολάς σου ἐξεζήτησα. Καὶ ἐλάλουν ἐν
τοῖς μαρτυρίοις σου ἐναντίον βασιλέων, καὶ οὐκ ᾐσχυνόμην.
Καὶ ἐμελέτων ἐν ταῖς ἐντολαῖς σου αἷς ἠγάπησα σφόδρα.
Καὶ ἦρα τὰς χεῖράς μου πρὸς τὰς ἐντολάς σου ἃς ἠγάπησα, καὶ
ἠδολέσχουν ἐν τοῖς δικαιώμασί σου. Μνήσθητι τὸν λόγον σου τῷ
δούλῳ σου ᾧ ἐπήλπισάς με. Αὕτη με παρεκάλεσεν ἐν τῇ τα

πεινώσει μου, ὅτι τὸ λόγιόν σου ἔζησέ με. Υπερήφανοι παρηνό-
μουν ἕως σφόδρα, ἀπὸ δὲ τοῦ νόμου σου οὐκ ἐξέκλινα. Εμνήσθην τῶν
κριμάτων σου ἀπ' αἰῶνος κύριε, καὶ παρεκλήθην. Αθυμία κατέσχε
με ἀπὸ ἁμαρτωλῶν τῶν ἐγκαταλιμπανόντων τὸν νόμον σου. Ψαλ-
τὰ ἦσάν μοι τὰ δικαιώματά σου, ἐν τόπῳ παροικίας μου. Εμνή-
σθην ἐν νυκτὶ τοῦ ὀνόματός σου κύριε, καὶ ἐφύλαξα τὸν νόμον σου.
Αὕτη ἐγενήθη μοι ὅτι τὰ δικαιώματά σου ἐξεζήτησα. Μερίς
μου εἶ κύριε, εἶπα τοῦ φυλάξασθαι τὸν νόμον σου. Εδεήθην τοῦ προσώ-
που σου ἐν ὅλῃ καρδίᾳ μου. ἐλέησόν με κατὰ τὸ λόγιόν σου. Δι-
ελογισάμην τὰς ὁδούς σου, καὶ ἐπέστρεψα τοὺς πόδας μου εἰς τὰ
μαρτύριά σου. Ητοιμάσθην καὶ οὐκ ἐταράχθην τοῦ φυλάξασθαι τὰς
ἐντολάς σου. Σχοινία ἁμαρτωλῶν περιεπλάκησάν μοι, καὶ τοῦ
νόμου σου οὐκ ἐπελαθόμην. Μεσονύκτιον ἐξεγειρόμην τοῦ ἐξο-
μολογεῖσθαί σοι ἐπὶ τὰ κρίματα τῆς δικαιοσύνης σου. Μέτοχος
ἐγώ εἰμι πάντων τῶν φοβουμένων σε, καὶ τῶν φυλασσόντων τὰς
ἐντολάς σου. Τοῦ ἐλέους σου κύριε πλήρης ἡ γῆ. τὰ δικαιώματά
σου δίδαξόν με. Χρηστότητα ἐποίησας μετὰ τοῦ δούλου σου. κύριε
κατὰ τὸν λόγον σου. Χρηστότητα καὶ παιδείαν καὶ γνῶσιν δίδα-
ξόν με, ὅτι ταῖς ἐντολαῖς σου ἐπίστευσα. Πρὸ τοῦ με ταπεινωθῆ-
ναι ἐγὼ ἐπλημμέλησα. διὰ τοῦτο τὸ λόγιόν σου ἐφύλαξα. Χρη-
στὸς εἶ σὺ κύριε καὶ ἐν τῇ χρηστότητί σου δίδαξόν με τὰ δικαιώ-
ματά σου. Επληθύνθη ἐπ' ἐμὲ ἀδικία ὑπερηφάνων. Εγὼ δὲ ἐν
ὅλῃ καρδίᾳ μου ἐξερευνήσω τὰς ἐντολάς σου. Ετυρώθη ὡς γά-
λα ἡ καρδία αὐτῶν, ἐγὼ δὲ τὸν νόμον σου ἐμελέτησα. Αγα-
θόν μοι ὅτι ἐταπείνωσάς με, ὅπως ἂν μάθω τὰ δικαιώματά
σου. Αγαθός μοι ὁ νόμος τοῦ στόματός σου ὑπὲρ χιλιάδας χρυ-
σίου καὶ ἀργυρίου. Δόξα.

Στάσις ά

ά Ι χεῖρές σου ἐποίησάν με, καὶ ἔπλασάν με. συνέ-
τισόν με καὶ μαθήσομαι τὰς ἐντολάς σου. Οἱ φοβούμενοί σε

ὄψονταί με καὶ εὐφρανθήσονται, ὅτι εἰς τοὺς λόγους σου ἐπήλπισα. Ἔγνων κύριε, ὅτι δικαιοσύνη τὰ κρίματά σου, καὶ ἀληθείᾳ ἐταπείνωσάς με. Γενηθήτω δὴ τὸ ἔλεός σου τοῦ παρακαλέσαι με κατὰ τὸ λόγιόν σου τῷ δούλῳ σου. Ἐλθέτωσάν μοι οἱ οἰκτιρμοί σου καὶ ζήσομαι, ὅτι ὁ νόμος σου μελέτη μου ἐστίν. Αἰσχυνθήτωσαν ὑπερήφανοι, ὅτι ἀδίκως ἠνόμησαν εἰς ἐμέ, ἐγὼ δὲ ἀδολεσχήσω ἐν ταῖς ἐντολαῖς σου. Ἐπιστρεψάτωσάν με οἱ φοβούμενοί σε καὶ οἱ γινώσκοντες τὰ μαρτύριά σου. Γενηθήτω ἡ καρδία μου ἄμωμος ἐν τοῖς δικαιώμασί σου ὅπως ἂν μὴ αἰσχυνθῶ. Ἐκλείπει εἰς τὸ σωτήριόν σου ἡ ψυχή μου εἰς τοὺς λόγους σου ἐπήλπισα. Ἐξέλιπον οἱ ὀφθαλμοί μου εἰς τὸ λόγιόν σου λέγοντες πότε παρακαλέσεις με. Ὅτι ἐγενήθην ὡς ἀσκὸς ἐν πάχνῃ τὰ δικαιώματά σου οὐκ ἐπελαθόμην. Πόσαι εἰσὶν αἱ ἡμέραι τοῦ δούλου σου, πότε ποιήσεις μοι ἐκ τῶν καταδιωκόντων με κρίσιν. Διηγήσαντό μοι παράνομοι ἀδολεσχίας· ἀλλ' οὐχ ὡς ὁ νόμος σου κύριε. Πᾶσαι αἱ ἐντολαί σου ἀλήθεια. Ἀδίκως κατεδίωξάν με, βοήθησόν μοι. παρὰ βραχὺ συνετέλεσάν με ἐν τῇ γῇ, Ἐγὼ δὲ οὐκ ἐγκατέλιπον τὰς ἐντολάς σου. Κατὰ τὸ ἔλεός σου ζῆσόν με καὶ φυλάξω τὰ μαρτύρια τοῦ στόματός σου. Εἰς τὸν αἰῶνα κύριε ὁ λόγος σου διαμένει ἐν τῷ οὐρανῷ. εἰς γενεὰν καὶ γενεὰν ἡ ἀλήθειά σου. Ἐθεμελίωσας τὴν γῆν καὶ διαμένει τῇ διατάξει σου. διαμένει ἡμέρα, ὅτι τὰ σύμπαντα δοῦλα σά. Εἰ μὴ ὅτι ὁ νόμος σου μελέτη μου ἐστί, τότε ἂν ἀπωλόμην ἐν τῇ ταπεινώσει μου. Εἰς τὸν αἰῶνα οὐ μὴ ἐπιλάθωμαι τῶν δικαιωμάτων σου, ὅτι ἐν αὐτοῖς ἔζησάς με.

Στάσις β'

Σός εἰμι ἐγὼ σῶσόν με, ὅτι τὰ δικαιώματά σου ἐξεζήτησα. Ἐμὲ ὑπέμειναν ἁμαρτωλοὶ τοῦ ἀπολέσαι με. τὰ μαρτύριά σου συνῆκα. Πάσης συντελείας

εἶδον πέρας· πλατεῖα ἡ ἐντολή σου σφόδρα. Ὡς ἠγάπησα τὸν νόμον σου κύριε, ὅλην τὴν ἡμέραν μελέτη μου ἐστί. Ὑπὲρ τοὺς ἐχθρούς μου ἐσόφισάς με τὴν ἐντολήν σου, ὅτι εἰς τὸν αἰῶνα ἐμή ἐστιν. Ὑπὲρ πάντας τοὺς διδάσκοντάς με συνῆκα, ὅτι τὰ μαρτύριά σου μελέτη μου ἐστίν. Ὑπὲρ πρεσβυτέρους συνῆκα, ὅτι τὰς ἐντολάς σου ἐξεζήτησα. Ἐκ πάσης ὁδοῦ πονηρᾶς ἐκώλυσα τοὺς πόδας μου, ὅπως ἂν φυλάξω τοὺς λόγους σου. Ἀπὸ τῶν κριμάτων σου οὐκ ἐξέκλινα· ὅτι σὺ ἐνομοθέτησάς με. Ὡς γλυκέα τῷ λάρυγγί μου τὰ λόγιά σου ὑπὲρ μέλι τῷ στόματί μου. Ἀπὸ τῶν ἐντολῶν σου συνῆκα· διὰ τοῦτο ἐμίσησα πᾶσαν ὁδὸν ἀδικίας. Λύχνος τοῖς ποσί μου ὁ νόμος σου, καὶ φῶς ταῖς τρίβοις μου. Ὤμοσα καὶ ἔστησα τοῦ φυλάξασθαι τὰ κρίματα τῆς δικαιοσύνης σου. Ἐταπεινώθην ἕως σφόδρα κύριε· ζῆσόν με κατὰ τὸν λόγον σου. Τὰ ἑκούσια τοῦ στόματός μου, εὐδόκησον δή κύριε, καὶ τὰ κρίματά σου δίδαξόν με. Ἡ ψυχή μου ἐν ταῖς χερσί σου διαπαντός, καὶ τοῦ νόμου σου οὐκ ἐπελαθόμην. Ἔθεντο ἁμαρτωλοὶ παγίδα μοι, καὶ ἐκ τῶν ἐντολῶν σου οὐκ ἐπλανήθην. Ἐκληρονόμησα τὰ μαρτύριά σου εἰς τὸν αἰῶνα, ὅτι ἀγαλλίαμα τῆς καρδίας μου εἰσίν. Ἔκλινα τὴν καρδίαν μου τοῦ ποιῆσαι τὰ δικαιώματά σου εἰς τὸν αἰῶνα δι' ἀντάμειψιν. Παρανόμους ἐμίσησα, τὸν δὲ νόμον σου ἠγάπησα. Βοηθός μου, καὶ ἀντιλήπτωρ μου εἶ σύ, εἰς τοὺς λόγους σου ἐπήλπισα. Ἐκκλίνατε ἀπ' ἐμοῦ πονηρευόμενοι, καὶ ἐξερευνήσω τὰς ἐντολὰς τοῦ θεοῦ μου. Ἀντιλαβοῦ μου κατὰ τὸ λόγιόν σου καὶ ζῆσόν με· καὶ μὴ καταισχύνης με ἀπὸ τῆς προσδοκίας μου. Βοήθησόν μοι, καὶ σωθήσομαι· καὶ μελετήσω ἐν τοῖς δικαιώμασί σου διαπαντός. Ἐξουδένωσας πάντας τοὺς ἀποστατοῦντας ἀπὸ τῶν δικαιωμάτων σου, ὅτι ἄδικον τὸ ἐνθύμημα αὐτῶν. Παραβαίνοντας ἐλογισάμην πάντας τοὺς ἁμαρτωλοὺς τῆς γῆς· διὰ τοῦτο ἠγάπησα τὰ μαρτύριά σου. Καθήλωσον ἐκ τοῦ φόβου σου

τὰς σάρκας μου, ἀπὸ γὰρ τῶν κριμάτων σου ἐφοβήθην. Ἐποίησα κρίμα, καὶ δικαιοσύνην, μὴ παραδῷς με τοῖς ἀδικοῦσί με. Ἔκδεξαι τὸν δοῦλόν σου εἰς ἀγαθὸν, μὴ συκοφαντησάτωσάν με ὑπερήφανοι. Οἱ ὀφθαλμοί μου ἐξέλιπον εἰς τὸ σωτήριόν σου καὶ εἰς τὸ λόγιον τῆς δικαιοσύνης σου. Ποίησον μετὰ τοῦ δούλου σου κατὰ τὸ ἔλεός σου. καὶ τὰ δικαιώματά σου δίδαξόν με. Δοῦλός σου εἰμὶ ἐγὼ, συνέτισόν με καὶ γνώσομαι τὰ μαρτύριά σου. Καιρὸς τοῦ ποιῆσαι τῷ κυρίῳ, διεσκέδασαν τὸν νόμον σου. Διὰ τοῦτο ἠγάπησα τὰς ἐντολάς σου ὑπὲρ χρυσίον καὶ τοπάζιον. Διὰ τοῦτο πρὸς πάσας τὰς ἐντολάς σου κατωρθούμην. πᾶσαν ὁδὸν ἄδικον ἐμίσησα. Θαυμαστὰ τὰ μαρτύριά σου, διὰ τοῦτο ἐξηρεύνησεν αὐτὰ ἡ ψυχή μου. Ἡ δήλωσις τῶν λόγων σου, φωτιεῖ καὶ συνετιεῖ νηπίους. Τὸ στόμα μου ἤνοιξα καὶ εἵλκυσα πνεῦμα ὅτι τὰς ἐντολάς σου ἐπεπόθουν. Δόξα.

Στάσις γ

Ἐπίβλεψον ἐπ' ἐμὲ καὶ ἐλέησόν με, κατὰ τὸ κρίμα τῶν
ε ἀγαπώντων τὸ ὄνομά σου. Τὰ διαβήματά μου κατεύθυνον κατὰ τὸ λόγιόν σου, καὶ μὴ κατακυριευσάτω μου πᾶσα ἀνομία. Λύτρωσαί με ἀπὸ συκοφαντίας ἀνθρώπων, καὶ φυλάξω τὰς ἐντολάς σου. Τὸ πρόσωπόν σου ἐπίφανον ἐπὶ τὸν δοῦλόν σου, καὶ δίδαξόν με τὰ δικαιώματά σου. Διεξόδους ὑδάτων κατέδυσαν οἱ ὀφθαλμοί μου, ἐπεὶ οὐκ ἐφύλαξα τὸν νόμον σου. Δίκαιος εἶ κύριε, καὶ εὐθεῖς αἱ κρίσεις σου. Ἐνετείλω δικαιοσύνην τὰ μαρτύριά σου, καὶ ἀλήθειαν σφόδρα. Ἐξέτηξέ με ὁ ζῆλός σου ὅτι ἐπελάθοντο τῶν λόγων σου οἱ ἐχθροί μου. Πεπυρωμένον τὸ λόγιόν σου σφόδρα. καὶ ὁ δοῦλός σου ἠγάπησεν αὐτό. Νεώτερος ἐγώ εἰμι καὶ ἐξουδενωμένος. τὰ δικαιώματά σου οὐκ ἐπελαθόμην. Ἡ δικαιοσύνη σου δικαιοσύνη εἰς τὸν αἰῶνα καὶ ὁ νόμος σου ἀλήθεια. Θλίψεις καὶ ἀνάγκαι εὕροσάν με. αἱ ἐντολαί σου μελέτη μου.

Δικαιοσύνη τὰ μαρτύριά σου εἰς τὸν αἰῶνα. συνέτισόν με, καὶ
ζήσομαι. Ἐκέκραξα ἐν ὅλῃ καρδίᾳ μου ἐπάκουσόν μου κύριε
τὰ δικαιώματά σου ἐκζητήσω. Ἐκέκραξά σοι σῶσόν με, καὶ φυ
λάξω τὰ μαρτύριά σου. Προέφθασα ἐν ἀωρίᾳ καὶ ἐκέκραξα·
εἰς τοὺς λόγους σου ἐπήλπισα. Προέφθασαν οἱ ὀφθαλμοί μου
πρὸς ὄρθρον τοῦ μελετᾶν τὰ λόγιά σου. Τῆς φωνῆς μου ἄκουσον
κύριε κατὰ τὸ ἔλεός σου, κατὰ τὸ κρῖμά σου ζῆσόν με. Προσήγγι
σαν οἱ καταδιώκοντές με ἀνομίᾳ, ἀπὸ δὲ τοῦ νόμου σου ἐμα
κρύνθησαν. Ἐγγὺς εἶ κύριε, καὶ πᾶσαι αἱ ὁδοί σου ἀλήθεια. Κα
τ' ἀρχὰς ἔγνων ἐκ τῶν μαρτυρίων σου, ὅτι εἰς τὸν αἰῶνα ἐθεμελίω
σας αὐτά. Ἴδε τὴν ταπείνωσίν μου, καὶ ἐξελοῦ με, ὅτι τοῦ νόμου
σου οὐκ ἐπελαθόμην. Κρῖνον τὴν κρίσιν μου καὶ λύτρωσαί με·
διὰ τὸν λόγον σου ζῆσόν με. Μακρὰν ἀπὸ ἁμαρτωλῶν σωτηρία
ὅτι τὰ δικαιώματά σου οὐκ ἐξεζήτησαν. Οἱ οἰκτιρμοί σου πολ
λοὶ κύριε, κατὰ τὸ κρῖμά σου ζῆσόν με. Πολλοὶ οἱ ἐκδιώκοντές
με καὶ θλίβοντές με, ἐκ τῶν μαρτυρίων σου οὐκ ἐξέκλινα. Εἶ
δον ἀσυνετοῦντας καὶ ἐξετηκόμην. ὅτι τὰ λόγιά σου οὐκ ἐφυ
λάξαντο. Ἴδε ὅτι τὰς ἐντολάς σου ἠγάπησα. κύριε ἐν τῷ ἐλέει
σου ζῆσόν με. Ἀρχὴ τῶν λόγων σου ἀλήθεια καὶ εἰς τὸν αἰῶνα
πάντα τὰ κρίματα τῆς δικαιοσύνης σου. Ἄρχοντες κατεδίω
ξάν με δωρεάν, καὶ ἀπὸ τῶν λόγων σου ἐδειλίασεν ἡ καρδία
μου. Ἀγαλλιάσομαι ἐγὼ ἐπὶ τὰ λόγιά σου, ὡς ὁ εὑρίσκων σκῦ
λα πολλά. Ἀδικίαν ἐμίσησα καὶ ἐβδελυξάμην, τὸν δὲ νόμον
σου ἠγάπησα. Ἑπτάκις τῆς ἡμέρας ᾔνεσά σε ἐπὶ τὰ κρίματα
τῆς δικαιοσύνης σου. Εἰρήνη πολλὴ τοῖς ἀγαπῶσι τὸν νόμον
σου, καὶ οὐκ ἔστιν αὐτοῖς σκάνδαλον. Προσεδόκων τὸ σωτήρι
όν σου κύριε καὶ τὰς ἐντολάς σου ἠγάπησα. ἐφύλαξεν ἡ ψυχή
μου τὰ μαρτύριά σου καὶ ἠγάπησεν. Ἐφύλαξα τὰς ἐντολάς σου
καὶ τὰ μαρτύριά σου. ὅτι πᾶσαι αἱ ὁδοί μου ἐνώπιόν σου κύριε.
Ἐγγισάτω ἡ δέησίς μου ἐνώπιόν σου κύριε κατὰ τὸ λόγιόν σου συνέ
τισόν με.

ποόν με. Εἰσέλθοι τὸ ἀξίωμά μου ἐνώπιόν σου κύριε. κατὰ τὸν λό-
γιόν σου ῥῦσαί με. Ἐξερεύξαιντο τὰ χείλη μου ὕμνον, ὅταν δι-
δάξῃς με τὰ δικαιώματά σου. Φθέγξαιτο ἡ γλῶσσά μου τὰ
λόγιά σου, ὅτι πᾶσαι αἱ ἐντολαί σου δικαιοσύνη. Γενέσθω ἡ
χείρ σου τοῦ σῶσαί με, ὅτι τὰς ἐντολάς σου ᾑρετισάμην. Ἐπεπό-
θησα τὸ σωτήριόν σου κύριε. καὶ ὁ νόμος σου μελέτη μου ἐστί.
Ζήσεται ἡ ψυχή μου, καὶ αἰνέσει σε. καὶ τὰ κρίματά σου βοη-
θήσει μοι. Ἐπλανήθην ὡς πρόβατον ἀπολωλὸς, ζήτησον τὸν δοῦ-
λόν σου, ὅτι τὰς ἐντολάς σου οὐκ ἐπελαθόμην. Δόξα. κάθισμα. ιζ

Ὠιδὴ τῶν ἀναβαθμῶν ριθ

Ρὸς κύριον ἐν τῷ θλίβεσθαί με ἐκέκραξα, καὶ εἰσήκου-
π σέ μου. Κύριε ῥῦσαι τὴν ψυχήν μου ἀπὸ χειλέων
ἀδίκων καὶ ἀπὸ γλώσσης δολίας. Τί δοθείη σοι καὶ τί
προστεθείη σοι πρὸς γλῶσσαν δολίαν. Τὰ βέλη τοῦ δυνατοῦ ἠκονη-
μένα σὺν τοῖς ἄνθραξι τοῖς ἐρημικοῖς. Οἴμοι ὅτι ἡ παροικία
μου ἐμακρύνθη. κατεσκήνωσα μετὰ τῶν σκηνωμάτων κηδάρ. πολ-
λὰ παρῴκησεν ἡ ψυχή μου. Μετὰ τῶν μισούντων τὴν εἰρήνην, ἤ-
μην εἰρηνικός. Ὅταν ἐλάλουν αὐτοῖς ἐπολέμουν με δωρεάν.

Ὠιδὴ τῶν ἀναβαθμῶν. ρκ.

Ρα τοὺς ὀφθαλμούς μου εἰς τὰ ὄρη, ὅθεν ἥξει ἡ βοή-
ξ θειά μου. Ἡ βοήθειά μου παρὰ κυρίου τοῦ ποιήσαντος
τὸν οὐρανὸν καὶ τὴν γῆν. Μὴ δώῃς εἰς σάλον τὸν πό-
δα σου. μηδὲ νυστάξει ὁ φυλάσσων σε. Ἰδοὺ οὐ νυστάξει οὐδὲ ὑπνώ-
σει ὁ φυλάσσων τὸν ἰσραήλ. Κύριος φυλάξει σε. κύριος σκέ-
πη σοι ἐπὶ χεῖρα δεξιάν σου, Ἡμέρας ὁ ἥλιος οὐ συγκαύσει σε.
οὐδὲ ἡ σελήνη τὴν νύκτα. κύριος φυλάξει σε ἀπὸ παντὸς κακοῦ
φυλάξει τὴν ψυχήν σου, ὁ κύριος. Κύριος φυλάξει τὴν εἴσο-
δόν σου καὶ τὴν ἔξοδόν σου. ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος.

Ὠιδὴ τῶν ἀναβαθμῶν. ρκα.

ι. Ὑφράνθην ἐπὶ τοῖς εἰρηκόσι μοι, εἰς οἶκον κυρίου πο-

ρυσόμεθα. Ἑστῶτες ἦσαν οἱ πόδες ἡμῶν ἐν ταῖς αὐλαῖς σου
ἱερουσαλήμ. Ἱερουσαλὴμ οἰκοδομουμένη ὡς πόλις. ἧς ἡ μετο-
χὴ αὐτῆς ἐπὶ τὸ αὐτό. Ἐκεῖ γὰρ ἀνέβησαν αἱ φυλαί. φυλαὶ κυ-
ρίου μαρτύριον τοῦ ἰσραήλ. Τοῦ ἐξομολογήσασθαι τῷ ὀνό-
ματι κυρίου. Ὅτι ἐκεῖ ἐκάθισαν θρόνοι εἰς κρίσιν. θρόνοι ἐπὶ
οἶκον δαβίδ. Ἐρωτήσατε δὴ τὰ εἰς εἰρήνην τὴν ἱερουσαλὴμ
καὶ εὐθηνία τοῖς ἀγαπῶσί σε. Γενέσθω δὴ εἰρήνη ἐν τῇ δυ-
νάμει σου. καὶ εὐθηνία ἐν ταῖς πυργοβάρεσί σου. Ἕνεκα τῶν ἀ-
δελφῶν μου καὶ τῶν πλησίον μου ἐλάλουν δὴ εἰρήνην περὶ σοῦ.
Ἕνεκα τοῦ οἴκου κυρίου τοῦ θεοῦ ἡμῶν ἐξεζήτησα ἀγαθά σοι.

Ὠιδὴ τῶν ἀναβαθμῶν. ρκβ΄.

Ρὸς σὲ ἦρα τοὺς ὀφθαλμούς μου τὸν κατοικοῦντα
π ἐν τῷ οὐρανῷ. Ἰδοὺ ὡς ὀφθαλμοὶ δούλων εἰς χεῖρας
τῶν κυρίων αὐτῶν, ὡς ὀφθαλμοὶ παιδίσκης εἰς χεῖ-
ρας τῆς κυρίας αὐτῆς, οὕτως οἱ ὀφθαλμοὶ ἡμῶν πρὸς κύριον τὸν
θεὸν ἡμῶν, ἕως οὗ οἰκτειρῆσαι ἡμᾶς. Ἐλέησον ἡμᾶς κύριε ἐ-
λέησον ἡμᾶς. ὅτι ἐπὶ πολὺ ἐπλήσθημεν ἐξουδενώσεως. Ἐπὶ
πλεῖον ἐπλήσθη ἡ ψυχὴ ἡμῶν τὸ ὄνειδος τοῖς εὐθηνοῦσι καὶ
ἡ ἐξουδένωσις τοῖς ὑπερηφάνοις.

Ὠιδὴ τῶν ἀναβαθμῶν. ρκγ΄.

Ι μὴ ὅτι κύριος ἦν ἐν ὑμῖν, εἰπάτω δὴ ἰσραήλ. Εἰ μὴ
ε ὅτι κύριος ἦν ἐν ἡμῖν, ἐν τῷ ἐπαναστῆναι ἀνθρώ-
πους ἐφ᾽ ἡμᾶς. Ἄρα ζῶντας ἂν κατέπιον ἡμᾶς. ἐν τῷ
ὀργισθῆναι τὸν θυμὸν αὐτοῦ ἐφ᾽ ἡμᾶς. Ἄρα τὸ ὕδωρ ἂν κατεπόν-
τισεν ἡμᾶς. Χείμαῤῥον διῆλθεν ἡ ψυχὴ ἡμῶν. Ἄρα διῆλθεν
ἡ ψυχὴ ἡμῶν τὸ ὕδωρ τὸ ἀνυπόστατον. Εὐλογητὸς κύριος ὃς οὐκ ἔ-
δωκεν ἡμᾶς εἰς θήραν τοῖς ὀδοῦσιν αὐτῶν. Ἡ ψυχὴ ἡμῶν ὡς
στρουθίον ἐῤῥύσθη ἐκ τῆς παγίδος τῶν θηρευόντων. Ἡ παγὶς συ-
νετρίβη καὶ ἡμεῖς ἐῤῥύσθημεν. Ἡ βοήθεια ἡμῶν ἐν ὀνόματι κυρί-
ου, τοῦ ποιήσαντος τὸν οὐρανὸν καὶ τὴν γῆν. Δόξα.

Ὠιδὴ τῶν ἀναβαθμῶν. ρκδʹ.

Ι πεποιθότες ἐπὶ κύριον ὡς ὄρος σιών. οὐ σαλευ-
θ θήσεται εἰς τὸν αἰῶνα ὁ κατοικῶν ἱερουσαλήμ. Ὄρη κύ-
κλῳ αὐτῆς, καὶ ὁ κύριος κύκλῳ τοῦ λαοῦ αὐτοῦ, ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος. Ὅτι οὐκ ἀφήσει κύριος τὴν ῥάβδον τῶν ἁμαρτωλῶν ἐπὶ τὸν κλῆρον τῶν δικαίων. Ὅπως ἂν μὴ ἐκτείνωσιν οἱ δίκαιοι ἐν ἀνομίαις χεῖρας αὐτῶν. Ἀγάθυνον κύριε τοῖς ἀγαθοῖς καὶ τοῖς εὐθέσι τῇ καρδίᾳ. Τοὺς δὲ ἐκκλίνοντας εἰς τὰς στραγγαλιὰς ἀπάξει κύριος μετὰ τῶν ἐργαζομένων τὴν ἀνομίαν. Εἰρήνη ἐπὶ τὸν ἰσραήλ.

Ὠιδὴ τῶν ἀναβαθμῶν. ρκεʹ

Ν τῷ ἐπιστρέψαι κύριον τὴν αἰχμαλωσίαν σιών. ἐγενή-
ξ θημεν ὡσεὶ παρακεκλημένοι. Τότε ἐπλήσθη χαρᾶς τὸ
στόμα ἡμῶν, καὶ ἡ γλῶσσα ἡμῶν ἀγαλλιάσεως. Τότε ἐροῦσιν ἐν τοῖς ἔθνεσιν ἐμεγάλυνε κύριος τοῦ ποιῆσαι μετ᾽ αὐτῶν. ἐμεγάλυνε κύριος τοῦ ποιῆσαι μεθ᾽ ἡμῶν. ἐγενήθημεν εὐφραινόμενοι. Ἐπίστρεψον κύριε τὴν αἰχμαλωσίαν ἡμῶν ὡς χειμάῤῥους ἐν τῷ νότῳ. Οἱ σπείροντες ἐν δάκρυσιν, ἐν ἀγαλλιάσει θεριοῦσι. Πορευόμενοι ἐπορεύοντο καὶ ἔκλαιον βάλλοντες τὰ σπέρματα αὐτῶν. Ἐρχόμενοι δὲ ἥξουσιν ἐν ἀγαλλιάσει αἴροντες τὰ δράγματα αὐτῶν.

Ὠιδὴ τῶν ἀναβαθμῶν. ρκϛʹ

Αν μὴ κύριος οἰκοδομήσῃ οἶκον, εἰς μάτην ἐκοπί-
ξ ασαν οἱ οἰκοδομοῦντες. Ἐὰν μὴ κύριος φυλάξῃ πό-
λιν, εἰς μάτην ἠγρύπνησεν ὁ φυλάσσων. Εἰς μάτην ὑμῖν ἐστι τοῦ ὀρθρίζειν. Ἐγείρεσθε μετὰ τὸ καθῆσθαι, οἱ ἐσθίοντες ἄρτον ὀδύνης. ὅταν δῷ τοῖς ἀγαπητοῖς αὐτοῦ ὕπνον. Ἰδοὺ ἡ κληρονομία κυρίου υἱοί. ὁ μισθὸς τοῦ καρποῦ τῆς γαστρός. Ὡσεὶ βέλη ἐν χειρὶ δυνατοῦ, οὕτως οἱ υἱοὶ τῶν ἐκτετιναγμένων. Μακάριος ὃς πληρώσει τὴν ἐπιθυμίαν αὐτοῦ ἐξ αὐτῶν. Οὐ καταισχυνθήσονται, ὅταν λαλῶσι τοῖς ἐχθροῖς αὐτῶν ἐν πύλαις.

Ὠιδὴ τῶν ἀναβαθμῶν. ρκζ΄.

Ακάριοι πάντες οἱ φοβούμενοι τὸν κύριον. οἱ πορευ-
μ ὁμενοι ἐν ταῖς ὁδοῖς αὐτοῦ. Τοὺς πόνους τῶν καρπῶν
σου φάγεσαι. Μακάριος εἶ καὶ καλῶς σοι ἔσται. ἡ γυ-
νή σου ὡς ἄμπελος εὐθηνοῦσα ἐν τοῖς κλίτεσι τῆς οἰκίας σου.
Οἱ υἱοί σου ὡς νεόφυτα ἐλαιῶν κύκλῳ τῆς τραπέζης σου. Ἰδοὺ
οὕτως εὐλογηθήσεται ἄνθρωπος ὁ φοβούμενος τὸν κύριον. Εὐ-
λογήσαι σε κύριος ἐκ σιών. Καὶ ἴδοις τὰ ἀγαθὰ ἱερουσα-
λὴμ πάσας τὰς ἡμέρας τῆς ζωῆς σου. Καὶ ἴδοις υἱοὺς τῶν υἱῶν
σου. εἰρήνη ἐπὶ τὸν ἰσραήλ.

Ὠιδὴ τῶν ἀναβαθμῶν. ρκη΄

Λεονάκις ἐπολέμησάν με ἐκ νεότητός μου, εἰπάτω
π δὴ ἰσραήλ. Πλεονάκις ἐπολέμησάν με ἐκ νεότη-
τός μου, καὶ γὰρ οὐκ ἠδυνήθησάν μοι. Ἐπὶ τὸν νῶτον
μου ἐτέκταινον οἱ ἁμαρτωλοί. ἐμάκρυναν τὴν ἀνομίαν αὐτῶν.
Κύριος δίκαιος συνέκοψεν αὐχένας ἁμαρτωλῶν. Αἰσχυνθή-
τωσαν καὶ ἀποστραφήτωσαν εἰς τὰ ὀπίσω πάντες οἱ μισοῦντες
σιών. Γενηθήτωσαν ὡσεὶ χόρτος δωμάτων. ὃς πρὸ τοῦ ἐκσπα-
σθῆναι ἐξηράνθη. Οὗ οὐκ ἐπλήρωσε τὴν χεῖρα αὐτοῦ ὁ θερίζων
καὶ τὸν κόλπον αὐτοῦ ὁ τὰ δράγματα συλλέγων. Καὶ οὐκ εἶ-
παν οἱ παράγοντες, εὐλογία κυρίου ἐφ' ὑμᾶς. εὐλογήκαμεν
ὑμᾶς ἐν ὀνόματι κυρίου. Δόξα.

Ὠιδὴ τῶν ἀναβαθμῶν. ρκθ΄.

Κ βαθέων ἐκέκραξά σοι κύριε. κύριε εἰσάκουσον τῆς
ξ φωνῆς μου. γενηθήτω τὰ ὦτα σου προσέχοντα εἰς
τὴν φωνὴν τῆς δεήσεώς μου. Ἐὰν ἀνομίας παρατηρή-
σῃς κύριε. κύριε τίς ὑποστήσεται, ὅτι παρὰ σοὶ ἱλασμός ἐστιν.
Ἕνεκεν τοῦ ὀνόματός σου ὑπέμεινά σε κύριε. ὑπέμεινεν ἡ ψυ-
χή μου εἰς τὸν λόγον σου, ἤλπισεν ἡ ψυχή μου ἐπὶ τὸν κύριον.
Ἀπὸ φυλακῆς πρωΐας μέχρι νυκτός. ἀπὸ φυλακῆς πρωΐας

ἐλπισάτω ἰσραὴλ ἐπὶ τὸν κύριον. Ὅτι παρὰ τῷ κυρίῳ τὸ ἔ
λεος καὶ πολλὴ παρ' αὐτῷ λύτρωσις. καὶ αὐτὸς λυτρώσεται
τὸν ἰσραὴλ ἐκ πασῶν τῶν ἀνομιῶν αὐτοῦ.

Ὠιδὴ τῶν ἀναβαθμῶν. ρλ

Κύριε οὐχ ὑψώθη ἡ καρδία μου. οὐδὲ ἐμετεωρίσθη
κ σαν οἱ ὀφθαλμοί μου. Οὐδὲ ἐπορεύθην ἐν μεγά
λοις. οὐδὲ ἐν θαυμασίοις ὑπὲρ ἐμέ. Εἰ μὴ ἐταπει
νοφρόνουν ἀλλὰ ὕψωσα τὴν ψυχήν μου. Ὡς τὸ ἀπογεγαλακτι
σμένον ἐπὶ τὴν μητέρα αὐτοῦ. ὡς ἀνταποδώσεις ἐπὶ τὴν ψυχήν
μου. Ἐλπισάτω ἰσραὴλ ἐπὶ τὸν κύριον ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος.

Ὠιδὴ τῶν ἀναβαθμῶν. ρλα

Μνήσθητι κύριε τοῦ δαβὶδ, καὶ πάσης τῆς πραότητος
μ αὐτοῦ. Ὡς ὤμοσε τῷ κυρίῳ ηὔξατο τῷ θεῷ ἰακώβ.
Εἰ εἰσελεύσομαι εἰς σκήνωμα οἴκου μου. εἰ ἀναβήσο
μαι ἐπὶ κλίνης στρωμνῆς μου. Εἰ δώσω ὕπνον τοῖς ὀφθαλμοῖς
μου, καὶ τοῖς βλεφάροις μου νυσταγμὸν, καὶ ἀνάπαυσιν τοῖς κρο
τάφοις μου. Ἕως οὗ εὕρω τόπον τῷ κυρίῳ. σκήνωμα τῷ θε
ῷ ἰακώβ. Ἰδοὺ ἠκούσαμεν αὐτὴν ἐν ἐφραθᾷ. εὕρομεν αὐ
τὴν ἐν τοῖς πεδίοις τοῦ δρυμοῦ. Εἰσελευσόμεθα εἰς τὰ σκηνώ
ματα αὐτοῦ. Προσκυνήσωμεν εἰς τὸν τόπον οὗ ἔστησαν οἱ πόδες
αὐτοῦ. Ἀνάστηθι κύριε εἰς τὴν ἀνάπαυσίν σου. σὺ καὶ ἡ κιβωτὸς
τοῦ ἁγιάσματός σου. Οἱ ἱερεῖς σου ἐνδύσονται δικαιοσύνην
καὶ οἱ ὅσιοί σου ἀγαλλιάσονται. Ἕνεκεν δαβὶδ τοῦ δούλου σου μὴ
ἀποστρέψῃς τὸ πρόσωπον τοῦ χριστοῦ σου. Ὤμοσε κύριος τῷ
δαβὶδ ἀλήθειαν, καὶ οὐ μὴ ἀθετήσει αὐτήν. Ἐκ καρποῦ τῆς
κοιλίας σου, θήσομαι ἐπὶ τοῦ θρόνου σου. Ἐὰν φυλάξωνται
οἱ υἱοί σου τὴν διαθήκην μου. καὶ τὰ μαρτύριά μου ταῦτα ἃ
διδάξω αὐτούς. Καὶ οἱ υἱοὶ αὐτῶν ἕως τοῦ αἰῶνος καθιοῦνται
ἐπὶ τοῦ θρόνου σου. Ὅτι ἐξελέξατο κύριος τὴν σιών. ᾑρετίσατο
αὐτὴν εἰς κατοικίαν ἑαυτῷ. Αὕτη ἡ κατάπαυσίς μου εἰς αἰῶ

να αἰῶνος· ὧδε κατοικήσω· ὅτι ᾑρετισάμην αὐτήν. Τὴν θήραν
αὐτῆς εὐλογῶν εὐλογήσω· τοὺς πτωχοὺς αὐτῆς χορτάσω ἄρ-
των. Τοὺς ἱερεῖς αὐτῆς ἐνδύσω σωτηρίαν· καὶ οἱ ὅσιοι αὐτῆς
ἀγαλλιάσει ἀγαλλιάσονται. Ἐκεῖ ἐξανατελῶ κέρας τῷ δαβίδ.
ἡτοίμασα λύχνον τῷ χριστῷ μου. Τοὺς ἐχθροὺς αὐτοῦ ἐνδύσω
αἰσχύνην· ἐπὶ δὲ αὐτὸν ἐξανθήσει τὸ ἁγίασμά μου.

Ωἰδὴ τῶν ἀναβαθμῶν. ρλβ΄.

Δοὺ δὴ τί καλὸν, ἢ τί τερπνὸν, ἀλλ᾽ ἢ τὸ κατοικεῖν ἀ-
ι δελφοὺς ἐπὶ τὸ αὐτό. Ὡς μύρον ἐπὶ κεφαλῆς τὸ καταβαῖ-
νον ἐπὶ πώγωνα· τὸν πώγωνα τὸν ἀαρών. Τὸ καταβαῖ-
ἐπὶ τὴν ὤαν τοῦ ἐνδύματος αὐτοῦ. Ὡς δρόσος ἀερμὼν ἡ κατα-
βαίνουσα ἐπὶ τὰ ὄρη σιών. Ὅτι ἐκεῖ ἐνετείλατο κύριος τὴν εὐ-
λογίαν· ζωὴν ἕως τοῦ αἰῶνος.

Ωἰδὴ τῶν ἀναβαθμῶν. ρλγ΄

Δοὺ δὴ εὐλογεῖτε τὸν κύριον πάντες οἱ δοῦλοι κυ-
ι ρίου. Οἱ ἑστῶτες ἐν οἴκῳ κυρίου ἐν αὐλαῖς οἴκου θεοῦ
ἡμῶν. Ἐν ταῖς νυξὶν ἐπάρατε τὰς χεῖρας ἡμῶν εἰς τὰ
ἅγια, καὶ εὐλογεῖτε τὸν κύριον. Εὐλογήσαι σε κύριος ἐκ σιών. ὁ
ποιήσας τὸν οὐρανὸν καὶ τὴν γῆν. Δόξα, κάθισμα ιθ

Ἀλληλούϊα ρλδ΄.

Ινεῖτε τὸ ὄνομα κυρίου, αἰνεῖτε δοῦλοι κύριον. Οἱ ἑστῶ-
α τες ἐν οἴκῳ κυρίου, ἐν αὐλαῖς οἴκου θεοῦ ἡμῶν. Αἰ-
νεῖτε τὸν κύριον, ὅτι ἀγαθὸς κύριος. ψάλατε τῷ ὀνό-
ματι αὐτοῦ ὅτι καλόν. Ὅτι τὸν ἰακὼβ ἐξελέξατο ἑαυτῷ ὁ κύρι-
ος ἰσραὴλ εἰς περιουσιασμὸν ἑαυτῷ. Ὅτι ἐγὼ ἔγνωκα, ὅ-
τι μέγας ὁ κύριος· καὶ ὁ κύριος ἡμῶν παρὰ πάντας τοὺς θεούς.
Πάντα ὅσα ἠθέλησεν ὁ κύριος ἐποίησεν ἐν τῷ οὐρανῷ καὶ
ἐν τῇ γῇ. Ἐν ταῖς θαλάσσαις καὶ ἐν πάσαις ταῖς ἀβύσ-
σοις. Ἀνάγων νεφέλας ἐξ ἐσχάτου τῆς γῆς. ἀστραπὰς εἰς ὑετὸν ἐ-
ποίησεν. Ὁ ἐξάγων ἀνέμους ἐκ θησαυρῶν αὐτοῦ. Ὃς ἐπά-

πάταξε τὰ πρωτότοκα αἰγύπτου ἀπὸ ἀνθρώπου ἕως κτήνους. Ἐ-
ξαπέστειλε σημεῖα καὶ τέρατα ἐν μέσῳ σου αἴγυπτε. Ἐν φα-
ραὼ καὶ ἐν πᾶσι τοῖς δούλοις αὐτοῦ. Ὃς ἐπάταξεν ἔθνη πολλὰ
καὶ ἀπέκτεινε βασιλεῖς κραταιούς. Τὸν σηὼν βασιλέα τῶν ἀ-
μορραίων. καὶ τὸν ὢγ βασιλέα τῆς βασάν. καὶ πάσας τὰς βα-
σιλείας χαναάν. Καὶ ἔδωκε τὴν γῆν αὐτῶν κληρονομίαν.
κληρονομίαν ἰσραὴλ λαῷ αὐτοῦ. Κύριε τὸ ὄνομά σου εἰς τὸν αἰῶνα
καὶ τὸ μνημόσυνόν σου εἰς γενεὰν καὶ γενεάν. Ὅτι κρινεῖ κύριος
τὸν λαὸν αὐτοῦ. καὶ ἐπὶ τοῖς δούλοις αὐτοῦ παρακληθήσεται.
Τὰ εἴδωλα τῶν ἐθνῶν ἀργύριον καὶ χρυσίον ἔργα χειρῶν
ἀνθρώπων. Στόμα ἔχουσι καὶ οὐ λαλήσουσιν. ὀφθαλ-
μοὺς ἔχουσι καὶ οὐκ ὄψονται. Ὦτα ἔχουσι καὶ οὐκ ἐνωτι-
σθήσονται. οὐδὲ γάρ ἐστι πνεῦμα ἐν τῷ στόματι αὐτῶν.
Ὅμοιοι αὐτοῖς γένοιντο οἱ ποιοῦντες αὐτά. καὶ πάντες οἱ
πεποιθότες ἐπ' αὐτοῖς. Οἶκος ἰσραὴλ εὐλογήσατε τὸν
κύριον. Οἶκος ἀαρὼν εὐλογήσατε τὸν κύριον. Οἶ-
κος λευὶ εὐλογήσατε τὸν κύριον. Οἱ φοβούμενοι τὸν κύριον εὐ-
λογήσατε τὸν κύριον. Εὐλογητὸς κύριος ἐν σιὼν ὁ κατοι-
κῶν ἰερουσαλήμ.

Ἀλληλούϊα. ρλε

Ξομολογεῖσθε τῷ κυρίῳ ὅτι ἀγαθός. ὅτι εἰς τὸν αἰ-
ε ῶνα τὸ ἔλεος αὐτοῦ. Ἐξομολογεῖσθε τῷ θεῷ τῶν
θεῶν. ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Ἐξομολογεῖσθε
τῷ κυρίῳ τῶν κυρίων. ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Τῷ ποι-
ήσαντι θαυμάσια μεγάλα μόνῳ. ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος
αὐτοῦ. Τῷ ποιήσαντι τοὺς οὐρανοὺς ἐν συνέσει. ὅτι εἰς τὸν
αἰῶνα τὸ ἔλεος αὐτοῦ. Τῷ στερεώσαντι τὴν γῆν ἐπὶ τῶν ὑδά-
των. ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Τῷ ποιήσαντι φῶτα με-
γάλα μόνῳ. ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Τὸν ἥλιον εἰς
ἐξουσίαν τῆς ἡμέρας. ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

τὴν σελήνην καὶ τοὺς ἀστέρας εἰς ἐξουσίαν τῆς νυκτός· ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Τῷ πατάξαντι αἴγυπτον σὺν τοῖς πρωτοτόκοις αὐτῶν ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Καὶ ἐξαγαγόντι τὸν ἰσραὴλ ἐκ μέσου αὐτῶν· ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Ἐν χειρὶ κραταιᾷ καὶ ἐν βραχίονι ὑψηλῷ· ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Τῷ καταδιελόντι τὴν ἐρυθρὰν θάλασσαν εἰς διαιρέσεις· ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Καὶ διαγαγόντι τὸν ἰσραὴλ διὰ μέσου αὐτῆς· ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Καὶ ἐκτινάξαντι φαραὼ καὶ τὴν δύναμιν αὐτοῦ εἰς θάλασσαν ἐρυθράν· ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Τῷ διαγαγόντι τὸν λαὸν αὐτοῦ ἐν τῇ ἐρήμῳ· ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Τῷ πατάξαντι βασιλεῖς μεγάλους ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Καὶ ἀποκτείναντι βασιλεῖς κραταιούς· ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Τὸν σηὼν βασιλέα τῶν ἀμορραίων· ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Καὶ τὸν ὢγ βασιλέα τῆς βασάν· ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Καὶ δόντι τὴν γῆν αὐτῶν κληρονομίαν· ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Κληρονομίαν ἰσραὴλ δούλῳ αὐτοῦ· ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Ὅτι ἐν τῇ ταπεινώσει ἡμῶν ἐμνήσθη ἡμῶν ὁ κύριος· ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Καὶ ἐλυτρώσατο ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν· ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Ὁ διδοὺς τροφὴν πάσῃ σαρκί· ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Ἐξομολογεῖσθε τῷ θεῷ τοῦ οὐρανοῦ· ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

Τῷ δαβὶδ διὰ ἱερεμίου. ρλς.

Πὶ τῶν ποταμῶν βαβυλῶνος, ἐκεῖ ἐκαθίσαμεν καὶ ἐκλαύσαμεν ἐν τῷ μνησθῆναι ἡμᾶς τῆς σιών. Ἐπὶ ταῖς ἰτέαις ἐν μέσῳ αὐτῆς ἐκρεμάσαμεν τὰ ὄργανα ἡμῶν. Ὅτι ἐκεῖ ἐπηρώτησαν ἡμᾶς, οἱ αἰχμαλωτεύσαντες ἡμᾶς λόγους ᾠδῶν· καὶ οἱ ἀπαγαγόντες ἡμᾶς ὕμνον. Ἄσατε ἡμῖν ἐκ τῶν ᾠδῶν σιών· πῶς ᾄσωμεν τὴν ᾠδὴν

κυρίου ἐπὶ γῆς ἀλλοτρίας. Ἐὰν ἐπιλάθωμαί σου ἱερου-
σαλήμ, ἐπιλησθείη ἡ δεξιά μου. Κολληθείη ἡ γλῶσσά μου τῷ
λάρυγγί μου ἐὰν μή σου μνησθῶ. Ἐὰν μὴ προανατάξωμαι
τὴν ἱερουσαλὴμ ὡς ἐν ἀρχῇ τῆς εὐφροσύνης μου. Μνήσθητι
κύριε τῶν υἱῶν ἐδὼμ τὴν ἡμέραν ἱερουσαλήμ. Τῶν λεγόντων
ἐκκενοῦτε ἐκκενοῦτε, ἕως τῶν θεμελίων αὐτῆς. Θυγάτηρ βα-
βυλῶνος ἡ ταλαίπωρος. Μακάριος ὃς ἀνταποδώσει σοι τὸ
ἀνταπόδομά σου, ὃ ἀνταπέδωκας ἡμῖν. Μακάριος ὃς κρα-
τήσει καὶ ἐδαφιεῖ τὰ νήπιά σου πρὸς τὴν πέτραν. Δόξα.

Ψαλμὸς τῷ Δαβὶδ ἀγγαίου καὶ ζαχαρίου. ρλζ

Ξομολογήσομαί σοι κύριε ἐν ὅλῃ καρδίᾳ μου. καὶ
ε ἐναντίον ἀγγέλων ψαλῶ σοι. Ὅτι ἤκουσας πάν-
τα τὰ ῥήματα τοῦ στόματός μου. Προσκυνήσω πρὸς
ναὸν ἅγιόν σου. καὶ ἐξομολογήσομαι τῷ ὀνόματί σου. ἐπὶ
τῷ ἐλέει σου καὶ τῇ ἀληθείᾳ σου. Ὅτι ἐμεγάλυνας ἐπὶ πᾶν τὸ ὄ-
νομα τὸ ἅγιόν σου. ἐν ᾗ ἂν ἡμέρᾳ ἐπικαλέσωμαί σε, ταχὺ ἐ-
πάκουσόν μου. Πολυωρήσεις με ἐν ψυχῇ μου δυνάμει σου. Ἐξο-
μολογησάσθωσάν σοι κύριε, πάντες οἱ βασιλεῖς τῆς γῆς. ὅτι ἤ-
κουσαν πάντα τὰ ῥήματα τοῦ στόματός σου. Καὶ ᾀσάτωσαν ἐν
ταῖς ᾠδαῖς κυρίου. ὅτι μεγάλη ἡ δόξα κυρίου. Ὅτι ὑψηλὸς κύριος, καὶ τὰ
ταπεινὰ ἐφορᾷ. καὶ τὰ ὑψηλὰ ἀπὸ μακρόθεν γινώσκει. Ἐὰν
πορευθῶ ἐν μέσῳ θλίψεως ζήσεις με. Ἐπ' ὀργὴν ἐχθρῶν μου
ἐξέτεινας χεῖράς σου, καὶ ἔσωσέ με ἡ δεξιά σου. Κύριος ἀντα-
ποδώσει ὑπὲρ ἐμοῦ. Κύριε τὸ ἔλεός σου εἰς τὸν αἰῶνα. τὰ ἔρ-
γα χειρῶν σου μὴ παρίδῃς.

Εἰς τὸ τέλος τῷ δαβίδ, ψαλμὸς ζαχαρίου
ἐν τῇ διασπορᾷ. ρλη

ύριε ἐδοκίμασάς με καὶ ἔγνως με. Σὺ ἔγνως
κ τὴν καθέδραν καὶ τὴν ἔγερσίν μου. Σὺ συνῆκας
τοὺς διαλογισμούς μου ἀπὸ μακρόθεν, Τὴν τρί-

βόν μου καὶ τὴν σχοῖνόν μου σὺ ἐξιχνίασας. Καὶ πά-
σας τὰς ὁδούς μου προεῖδες. ὅτι οὐκ ἔστι δόλος ἐν γλώσσῃ
μου. Ἰδοὺ κύριε σὺ ἔγνως πάντα τὰ ἔσχατα καὶ τὰ ἀρχαῖα.
Σὺ ἔπλασάς με καὶ ἔθηκας ἐπ᾽ ἐμὲ τὴν χεῖρά σου. Ἐθαυμα-
στώθη ἡ γνῶσίς σου ἐξ ἐμοῦ. ἐκραταιώθη, οὐ μὴ δύνωμαι πρὸς
αὐτήν. Ποῦ πορευθῶ ἀπὸ τοῦ πνεύματός σου. καὶ ἀπὸ τοῦ
προσώπου σου ποῦ φύγω; Ἐὰν ἀναβῶ εἰς τὸν οὐρανὸν, σὺ ἐ-
κεῖ εἶ. ἐὰν καταβῶ εἰς τὸν ᾅδην, πάρει. Ἐὰν ἀναλάβοιμι τὰς πτέ-
ρυγάς μου κατ᾽ ὄρθρον, καὶ κατασκηνώσω εἰς τὰ ἔσχατα τῆς
θαλάσσης. Καὶ γὰρ ἐκεῖ ἡ χείρ σου ὁδηγήσει με, καὶ καθέξει με
ἡ δεξιά σου. Καὶ εἶπα ἄρα σκότος καταπατήσει με. καὶ νὺξ φω-
τισμὸς ἐν τῇ τρυφῇ μου. Ὅτι σκότος οὐ σκοτισθήσεται ἀπὸ
σοῦ. καὶ νὺξ ὡς ἡμέρα φωτισθήσεται. Ὡς τὸ σκότος αὐτῆς,
οὕτως καὶ τὸ φῶς αὐτῆς. Ὅτι σὺ ἐκτήσω τοὺς νεφρούς μου. ἀν-
τελάβου μου ἐκ γαστρὸς μητρός μου. Ἐξομολογήσομαί σοι ὅ-
τι φοβερῶς ἐθαυμαστώθης. Θαυμάσια τὰ ἔργα σου, καὶ ἡ ψυ-
χή μου γινώσκει σφόδρα. Οὐκ ἐκρύβη τὸ ὀστοῦν μου ἀπὸ σοῦ
ὃ ἐποίησας ἐν κρυφῇ. καὶ ἡ ὑπόστασίς μου ἐν τοῖς κατωτάτοις
τῆς γῆς. Τὸ ἀκατέργαστόν μου εἶδον οἱ ὀφθαλμοί σου. καὶ ἐπὶ
τὸ βιβλίον σου πάντες γραφήσονται. Ἡμέρας πλασθήσον-
ται καὶ οὐθεὶς ἐν αὐτοῖς. Ἐμοὶ δὲ λίαν ἐτιμήθησαν οἱ φί-
λοι σου ὁ θεός. λίαν ἐκραταιώθησαν αἱ ἀρχαὶ αὐτῶν. Ἐξα-
ριθμήσομαι αὐτοὺς καὶ ὑπὲρ ἄμμον πληθυνθήσονται. Ἐξη-
γέρθην καὶ ἔτι εἰμὶ μετὰ σοῦ. ἐὰν ἀποκτείνῃς ἁμαρτωλοὺς ὁ
θεός. Ἄνδρες αἱμάτων ἐκκλίνατε ἀπ᾽ ἐμοῦ. ὅτι ἐρισταί ἐ-
στε εἰς διαλογισμούς. Λήψονται εἰς ματαιότητα τὰς πόλεις
σου. Οὐχὶ τοὺς μισοῦντάς σε κύριε ἐμίσησα, καὶ ἐπὶ τοὺς ἐ-
χθρούς σου ἐξετηκόμην; Τέλειον μῖσος ἐμίσουν αὐτούς. εἰς ἐχθροὺς
ἐγένοντό μοι. Δοκίμασόν με ὁ θεὸς, καὶ γνῶθι τὴν καρδίαν
μου. Ἔτασόν με, καὶ γνῶθι τὰς τρίβους μου. Καὶ ἴδε εἰ ὁδὸς

ἀνομίας ἐν ἐμοί. καὶ ὁδήγησόν με ἐν ὁδῷ αἰωνίᾳ.

Εἰς τὸ τέλος ψαλμὸς τῷ Δαβίδ. ρλθ

Ἐξελοῦ με κύριε ἐξ ἀνθρώπου πονηροῦ· ἀπὸ ἀνδρὸς
ξ ἀδίκου, ῥῦσαί με. Οἵτινες ἐλογίσαντο ἀδικίαν ἐν
καρδίᾳ· ὅλην τὴν ἡμέραν παρετάσσοντο πολέμους.
Ἠκόνησαν γλῶσσαν αὐτῶν ὡσεὶ ὄφεως· ἰὸς ἀσπίδων ὑπὸ τὰ
χείλη αὐτῶν. ΔΙΑΨΑΛΜΑ. Φύλαξόν με κύριε ἐκ χει-
ρὸς ἁμαρτωλοῦ· ἀπὸ ἀνθρώπων ἀδίκων ἐξελοῦ με. Οἵτινες
διελογίσαντο τοῦ ὑποσκελίσαι τὰ διαβήματά μου. ἔκρυψαν
ὑπερήφανοι παγίδα μοι. ΔΙΑΨΑΛΜΑ. Καὶ σχοι-
νίοις διέτειναν παγίδα τοῖς ποσί μου. ἐχόμενα τρίβου σκάν-
δαλα ἔθεντό μοι. Εἶπα τῷ κυρίῳ, θεός μου εἶ σύ. ἐνώτισαι κύριε
τὴν φωνὴν τῆς δεήσεώς μου. Κύριε κύριε δύναμις τῆς σωτη-
ρίας μου· ἐπεσκίασας ἐπὶ τὴν κεφαλήν μου ἐν ἡμέρᾳ πολέμου.
Μὴ παραδῷς με κύριε ἀπὸ τῆς ἐπιθυμίας μου ἁμαρτωλῷ. Διε-
λογίσαντο κατ' ἐμοῦ, μὴ ἐγκαταλίπῃς με, μήποτε ὑψωθῶσιν.
ΔΙΑΨΑΛΜΑ. Ἡ κεφαλὴ τοῦ κυκλώματος αὐ-
τῶν. κόπος τῶν χειλέων αὐτῶν, καλύψει αὐτούς. Πεσοῦνται
ἐπ' αὐτοὺς ἄνθρακες, ἐν πυρὶ καταβαλεῖς αὐτούς. ἐν ταλαιπω-
ρίαις καὶ οὐ μὴ ὑποστῶσιν. Ἀνὴρ γλωσσώδης, οὐ κατευθυνθή-
σεται ἐπὶ τῆς γῆς. Ἄνδρα ἄδικον, κακὰ θηρεύσει εἰς διαφθο-
ράν. Ἔγνων ὅτι ποιήσει κύριος τὴν κρίσιν τῶν πτωχῶν καὶ τὴν
δίκην τῶν πενήτων. Πλὴν δίκαιοι ἐξομολογήσονται τῷ ὀνόματί
σου. καὶ κατοικήσουσιν εὐθεῖς σὺν τῷ προσώπῳ σου. Δόξα.

Ψαλμὸς τῷ Δαβίδ. ρμ

Κύριε ἐκέκραξα πρὸς σέ εἰσάκουσόν μου. πρόσχες τῇ
κ φωνῇ τῆς δεήσεώς μου, ἐν τῷ κεκραγέναι με πρὸς σέ.
Κατευθυνθήτω ἡ προσευχή μου ὡς θυμίαμα ἐνώ-
πιόν σου. Ἔπαρσις τῶν χειρῶν μου θυσία ἑσπερινή. Θοῦ κύριε φυλα-
κὴν τῷ στόματί μου. καὶ θύραν περιοχῆς περὶ τὰ χείλη μου. Μὴ ἐκ-

κλίνῃς τὴν καρδίαν μου εἰς λόγους πονηρίας· τοῦ προφασίζεσθαι προφάσεις ἐν ἁμαρτίαις· Σὺν ἀνθρώποις ἐργαζομένοις τὴν ἀνομίαν, καὶ οὐ μὴ συνδυάσω μετὰ τῶν ἐκλεκτῶν αὐτῶν. Παιδεύσει με δίκαιος ἐν ἐλέει καὶ ἐλέγξει με, ἔλαιον δὲ ἁμαρτωλοῦ μὴ λιπανάτω τὴν κεφαλήν μου. Ὅτι ἔτι καὶ ἡ προσευχή μου ἐν ταῖς εὐδοκίαις αὐτῶν· κατεπόθησαν ἐχόμενα πέτρας οἱ κριταὶ αὐτῶν. Ἀκούσονται τὰ ῥήματά μου ὅτι ἡδύνθησαν, ὡσεὶ πάχος γῆς ἐρράγη ἐπὶ τῆς γῆς· διεσκορπίσθη τὰ ὀστᾶ αὐτῶν παρὰ τὸν ᾅδην. Ὅτι πρὸς σὲ κύριε κύριε οἱ ὀφθαλμοί μου· ἐπὶ σοὶ ἤλπισα, μὴ ἀντανέλῃς τὴν ψυχήν μου. Φύλαξόν με ἀπὸ παγίδος ἧς συνεστήσαντό μοι· καὶ ἀπὸ σκανδάλων τῶν ἐργαζομένων τὴν ἀνομίαν. Πεσοῦνται ἐν ἀμφιβλήστρῳ αὐτῶν οἱ ἁμαρτωλοί· κατὰ μόνας εἰμὶ ἐγὼ ἕως ἂν παρέλθω.

Συνέσεως τῷ Δαβὶδ ἐν τῷ εἶναι αὐτὸν ἐν τῷ σπηλαίῳ προσευχόμενον. ρμά

Ωνῇ μου πρὸς κύριον ἐκέκραξα· φωνῇ μου πρὸς κύριον ἐδεήθην. Ἐκχεῶ ἐνώπιον αὐτοῦ τὴν δέησίν μου· τὴν θλῖψίν μου ἐνώπιον αὐτοῦ ἀπαγγελῶ.
φ
Ἐν τῷ ἐκλείπειν ἐξ ἐμοῦ τὸ πνεῦμά μου· καὶ σὺ ἔγνως τὰς τρίβους μου. Ἐν ὁδῷ ταύτῃ ᾗ ἐπορευόμην, ἔκρυψαν παγίδα μοι. Κατενόουν εἰς τὰ δεξιὰ καὶ ἐπέβλεπον, καὶ οὐκ ἦν ὁ ἐπιγινώσκων με. Ἀπώλετο φυγὴ ἀπ᾽ ἐμοῦ καὶ οὐκ ἔστιν ὁ ἐκζητῶν τὴν ψυχήν μου. Ἐκέκραξα πρὸς σὲ κύριε. εἶπα, σὺ εἶ ἡ ἐλπίς μου· μερίς μου εἶ ἐν γῇ ζώντων. Πρόσχες πρὸς τὴν δέησίν μου ὅτι ἐταπεινώθην σφόδρα. Ῥῦσαί με ἐκ τῶν καταδιωκόντων με, ὅτι ἐκραταιώθησαν ὑπὲρ ἐμέ. Ἐξάγαγε ἐκ φυλακῆς τὴν ψυχήν μου, τοῦ ἐξομολογήσασθαι τῷ ὀνόματί σου. Ἐμὲ ὑπομενοῦσι δίκαιοι ἕως οὗ ἀνταποδῷς μοι.

Ψαλμὸς τῷ Δαβίδ· ὁπότε κατεδίωκεν αὐτὸν Ἀβεσαλὼμ υἱὸς αὐτοῦ. ρμβ

ύριε εἰσάκουσον τῆς προσευχῆς μου ἐνώτισαι τὴν
κ δέησίν μου ἐν τῇ ἀληθείᾳ σου. Εἰσάκουσόν μου ἐν
τῇ δικαιοσύνῃ σου· καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ
τοῦ δούλου σου. Ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν.
Ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου. ἐταπείνωσεν εἰς
γῆν τὴν ζωήν μου. Ἐκάθισέ με ἐν σκοτεινοῖς ὡς νεκροὺς αἰῶ-
νος. καὶ ἠκηδίασεν ἐπ᾿ ἐμὲ τὸ πνεῦμά μου. Ἐν ἐμοὶ ἐταράχθη
ἡ καρδία μου. ἐμνήσθην ἡμερῶν ἀρχαίων. Ἐμελέτησα ἐν πᾶ-
σι τοῖς ἔργοις σου. ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων. Διε-
πέτασα πρὸς σὲ τὰς χεῖράς μου. ἡ ψυχή μου, ὡς γῆ ἄνυδρός σοι.
Ταχὺ εἰσάκουσόν μου κύριε. ἐξέλιπε τὸ πνεῦμά μου. Μὴ ἀποστρέ-
ψῃς τὸ πρόσωπόν σου ἀπ᾿ ἐμοῦ, καὶ ὁμοιωθήσομαι τοῖς καταβαί-
νουσιν εἰς λάκκον. Ἀκουστὸν ποίησόν μοι τὸ πρωῒ τὸ ἔλεός σου,
ὅτι ἐπὶ σοὶ ἤλπισα. Γνώρισόν μοι κύριε ὁδὸν, ἐν ᾗ πορεύσομαι
ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου. Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου
κύριε πρὸς σὲ κατέφυγον, δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου.
Ὅτι σὺ εἶ ὁ θεός μου. τὸ πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν
γῇ εὐθείᾳ. Ἕνεκεν τοῦ ὀνόματός σου κύριε ζήσεις με. Ἐν τῇ δι-
καιοσύνῃ σου. ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου. Καὶ ἐν τῷ
ἐλέει σου ἐξολοθρεύσεις τοὺς ἐχθρούς μου. Καὶ ἀπολεῖς πάν-
τας τοὺς θλίβοντας τὴν ψυχήν μου, ὅτι ἐγὼ δοῦλός σου εἰμί.

Δόξα. Κάθισμα. ιθ΄

Ψαλμὸς τῷ Δαβὶδ πρὸς τὸν γολιάθ. ρμγ΄

ὐλογητὸς κύριος ὁ θεός μου. Ὁ διδάσκων τὰς χεῖ-
ε ράς μου εἰς παράταξιν. τοὺς δακτύλους μου εἰς πό-
λεμον. Ἔλεός μου καὶ καταφυγή μου. ἀντιλήπτωρ
μου καὶ ῥύστης μου. ὑπερασπιστής μου καὶ ἐπ᾿ αὐτῷ ἤλπισα. Ὁ
ὑποτάσσων τὸν λαόν μου ὑπ᾿ ἐμέ. Κύριε τί ἐστιν ἄνθρωπος ὅτι ἐ-
γνώσθης αὐτῷ. ἢ υἱὸς ἀνθρώπου ὅτι λογίζῃ αὐτῷ. Ἄνθρωπος
ματαιότητι ὡμοιώθη. αἱ ἡμέραι αὐτοῦ ὡσεὶ σκιὰ παράγουσι.

Κύριε κλῖνον οὐρανοὺς καὶ κατάβηθι. ἅψαι τῶν ὀρέων καὶ καπνισθήσονται. Ἄστραψον ἀστραπὴν καὶ σκορπιεῖς αὐτούς. ἐξαπόστειλον τὰ βέλη σου καὶ συνταράξεις αὐτούς. Ἐξαπόστειλον τὴν χεῖρά σου ἐξ ὕψους. ἐξελοῦ με, καὶ ῥῦσαί με ἐξ ὑδάτων πολλῶν. ἐκ χειρὸς υἱῶν ἀλλοτρίων. Ὧν τὸ στόμα ἐλάλησε ματαιότητα. καὶ ἡ δεξιὰ αὐτῶν δεξιὰ ἀδικίας. Ὁ θεὸς ᾠδὴν καινὴν ᾄσομαί σοι. ἐν ψαλτηρίῳ δεκαχόρδῳ ψαλῶ σοι. Τῷ διδόντι τὴν σωτηρίαν τοῖς βασιλεῦσι. τῷ λυτρουμένῳ Δαβὶδ τὸν δοῦλον αὐτοῦ, ἐκ ῥομφαίας πονηρᾶς. Ῥῦσαί με καὶ ἐξελοῦ με ἐκ χειρὸς υἱῶν ἀλλοτρίων. Ὧν τὸ στόμα ἐλάλησε ματαιότητα. καὶ ἡ δεξιὰ αὐτῶν δεξιὰ ἀδικίας. Ὧν οἱ υἱοὶ αὐτῶν ὡς νεόφυτα ἱδρυμένα ἐν τῇ νεότητι αὐτῶν. Αἱ θυγατέρες αὐτῶν κεκαλλωπισμέναι. περικεκοσμημέναι ὡς ὁμοίωμα ναοῦ. Τὰ ταμιεῖα αὐτῶν πλήρη ἐξερευγόμενα ἐκ τούτου εἰς τοῦτο. Τὰ πρόβατα αὐτῶν πολύτοκα πληθύνοντα ἐν ταῖς ἐξόδοις αὐτῶν. Οἱ βόες αὐτῶν παχεῖς. Οὐκ ἔστι κατάπτωμα φραγμοῦ. οὐδὲ διέξοδος, οὐδὲ κραυγὴ ἐν ταῖς πλατείαις αὐτῶν. Ἐμακάρισαν τὸν λαὸν ᾧ ταῦτά ἐστι. μακάριος ὁ λαὸς οὗ κύριος ὁ θεὸς αὐτοῦ.

Αἴνεσις τοῦ Δαβίδ. ρμδ

ὑ Ψώσω σε ὁ θεός μου ὁ βασιλεύς μου. καὶ εὐλογήσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Καθ' ἑκάστην ἡμέραν εὐλογήσω σε. καὶ αἰνέσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Μέγας κύριος καὶ αἰνετὸς σφόδρα. καὶ τῆς μεγαλωσύνης αὐτοῦ οὐκ ἔστι πέρας Γενεὰ καὶ γενεὰ ἐπαινέσει τὰ ἔργα σου. καὶ τὴν δύναμίν σου ἀπαγγελοῦσι. Τὴν μεγαλοπρέπειαν τῆς δόξης τῆς ἁγιωσύνης σου λαλήσουσι. καὶ τὰ θαυμάσιά σου διηγήσονται. Καὶ τὴν δύναμιν τῶν φοβερῶν σου ἐροῦσι. καὶ τὴν μεγαλωσύνην σου διηγήσονται. Μνήμην τοῦ πλήθους τῆς χρηστότητός σου ἐξερεύξονται. καὶ τῇ δικαιοσύνῃ σου ἀγαλλιάσονται. Οἰκτίρ

πιῶν καὶ ἐλεήμων ὁ κύριος· μακρόθυμος καὶ πολυέλεος.
Χρηστὸς κύριος τοῖς σύμπασι· καὶ οἱ οἰκτιρμοὶ αὐτοῦ ἐπὶ πάν-
τα τὰ ἔργα αὐτοῦ. Ἐξομολογησάσθωσάν σοι κύριε πάντα τὰ
ἔργα σου· καὶ οἱ ὅσιοί σου εὐλογησάτωσάν σε. Δόξαν τῆς
βασιλείας σου ἐροῦσι· καὶ τὴν δυναστείαν σου λαλήσουσι.
Τοῦ γνωρίσαι τοῖς υἱοῖς τῶν ἀνθρώπων τὴν δυναστείαν σου· καὶ
τὴν δόξαν τῆς μεγαλοπρεπείας τῆς βασιλείας σου. Ἡ βασι-
λεία σου βασιλεία πάντων τῶν αἰώνων· καὶ ἡ δεσποτεία σου ἐν
πάσῃ γενεᾷ καὶ γενεᾷ. Πιστὸς κύριος ἐν πᾶσι τοῖς λόγοις αὐτοῦ·
καὶ ὅσιος ἐν πᾶσι τοῖς ἔργοις αὐτοῦ. Ὑποστηρίζει κύριος πάν-
τας τοὺς καταπίπτοντας· καὶ ἀνορθοῖ πάντας τοὺς κατεῤῥαγμέ-
νους. Οἱ ὀφθαλμοὶ πάντων εἰς σὲ ἐλπίζουσι· καὶ σὺ δίδως τὴν
τροφὴν αὐτῶν ἐν εὐκαιρίᾳ. Ἀνοίγεις σὺ τὴν χεῖρά σου, καὶ ἐμπι-
πλᾷς πᾶν ζῶον εὐδοκίας. Δίκαιος κύριος ἐν πάσαις ταῖς ὁδοῖς
αὐτοῦ καὶ ὅσιος ἐν πᾶσι τοῖς ἔργοις αὐτοῦ. Ἐγγὺς κύριος πᾶσι τοῖς
ἐπικαλουμένοις αὐτόν· πᾶσι τοῖς ἐπικαλουμένοις αὐτὸν ἐν ἀληθεί-
ᾳ. Θέλημα τῶν φοβουμένων αὐτὸν ποιήσει καὶ τῆς δεήσεως αὐτῶν
εἰσακούσεται, καὶ σώσει αὐτούς. Φυλάσσει κύριος πάντας τοὺς
ἀγαπῶντας αὐτόν· καὶ πάντας τοὺς ἁμαρτωλοὺς ἐξολοθρεύ-
σει. Αἴνεσιν κυρίου λαλήσει τὸ στόμα μου· καὶ εὐλογείτω πᾶ-
σα σὰρξ τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ, εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶ-
να τοῦ αἰῶνος. Δόξα.

Ἀλληλούϊα. ἀγγαίου καὶ ζαχαρίου. ρμε

Ινει ἡ ψυχή μου τὸν κύριον, αἰνέσω κύριον ἐν τῇ ζωῇ
α μου, ψαλῶ τῷ θεῷ μου ἕως ὑπάρχω. Μὴ
πεποίθατε ἐπ' ἄρχοντας ἐπὶ υἱοὺς ἀνθρώπων οἷς οὐκ
ἔστι σωτηρία. Ἐξελεύσεται τὸ πνεῦμα αὐτοῦ· καὶ ἐπιστρέψει εἰς τὴν
γῆν αὐτοῦ. Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἀπολοῦνται πάντες οἱ διαλο-
γισμοὶ αὐτοῦ. Μακάριος οὗ ὁ θεὸς ἰακὼβ βοηθὸς αὐτοῦ ἡ ἐλπὶς
αὐτοῦ ἐπὶ κύριον τὸν θεὸν αὐτοῦ. Τὸν ποιήσαντα τὸν οὐρανὸν καὶ τὴν γῆν

τὴν θάλασσαν καὶ πάντα τὰ ἐν αὐτοῖς. Τὸν φυλάσσοντα ἀλή-
θειαν εἰς τὸν αἰῶνα ποιοῦντα κρῖμα τοῖς ἀδικουμένοις. διδόν-
τα τροφὴν τοῖς πεινῶσι. Κύριος λύει πεπεδημένους. κύριος
σοφοῖ τυφλούς. κύριος ἀνορθοῖ κατερραγμένους. κύριος ἀγα-
πᾷ δικαίους. κύριος φυλάσσει τοὺς προσηλύτους. Ὀρφανὸν
καὶ χήραν ἀναλήψεται. καὶ ὁδὸν ἁμαρτωλῶν ἀφανιεῖ. Βα-
σιλεύσει κύριος εἰς τὸν αἰῶνα ὁ θεός σου σιὼν εἰς γενεὰν καὶ γενεάν.

Ἀλληλούϊα. ρμϛ´

Ινεῖτε τὸν κύριον ὅτι ἀγαθὸν ψαλμός. τῷ θεῷ ἡμῶν
α ἡδυνθείη ἡ αἴνεσις. οἰκοδομῶν ἱερουσαλὴμ ὁ κύρι-
ος. τὰς διασπορὰς τοῦ ἰσραὴλ ἐπισυνάξει. Ὁ ἰώ-
μενος τοὺς συντετριμμένους τὴν καρδίαν. καὶ δεσμεύων τὰ
συντρίμματα αὐτῶν. Ὁ ἀριθμῶν πλήθη ἄστρων. καὶ πᾶσιν αὐ-
τοῖς ὀνόματα καλῶν. Μέγας ὁ κύριος ἡμῶν. καὶ μεγάλη ἡ
ἰσχὺς αὐτοῦ. καὶ τῆς συνέσεως αὐτοῦ οὐκ ἔστιν ἀριθμός. Ἀνα-
λαμβάνων πραεῖς ὁ κύριος. ταπεινῶν δὲ ἁμαρτωλοὺς ἕως γῆς.
Ἐξάρξατε τῷ κυρίῳ ἐν ἐξομολογήσει. ψάλατε τῷ θεῷ ἡμῶν
ἐν κιθάρᾳ. Τῷ περιβάλλοντι τὸν οὐρανὸν ἐν νεφέλαις. τῷ ἑτοι-
μάζοντι τῇ γῇ ὑετόν. Τῷ ἐξανατέλλοντι ἐν ὄρεσι χόρτον. καὶ
χλόην τῇ δουλείᾳ τῶν ἀνθρώπων, Διδόντι τοῖς κτήνεσι τρο-
φὴν αὐτῶν. καὶ τοῖς νεοσσοῖς τῶν κοράκων τοῖς ἐπικαλουμέ-
νοις αὐτόν. Οὐκ ἐν τῇ δυναστείᾳ τοῦ ἵππου θελήσει. οὐδὲ ἐν
ταῖς κνήμαις τοῦ ἀνδρὸς εὐδοκεῖ. Εὐδοκεῖ κύριος ἐν τοῖς φο-
βουμένοις αὐτόν. καὶ ἐν τοῖς ἐλπίζουσιν ἐπὶ τὸ ἔλεος αὐτοῦ.

Ἀλληλούϊα.. Ἀγγαίου καὶ ζαχαρίου. ρμζ´

Παίνει ἱερουσαλὴμ τὸν κύριον, αἴνει τὸν θεόν σου σι-
ἐ ών. Ὅτι ἐνίσχυσε τοὺς μοχλοὺς τῶν πυλῶν σου.
εὐλόγησε τοὺς υἱούς σου ἐν σοί. Ὁ τιθεὶς τὰ ὅριά
σου εἰρήνην. καὶ στέαρ πυροῦ ἐμπιπλῶν σε. Ὁ ἀποστέλλων τὸ
λόγιον αὐτοῦ τῇ γῇ. ἕως τάχους δραμεῖται ὁ λόγος αὐτοῦ. Δι-
δόντος

δόντος χιόνα αὐτοῦ ὡσεὶ ἔριον. ὁμίχλην ὡσεὶ σποδὸν πάσσον-
τος. βάλλοντος κρύσταλλον αὐτοῦ ὡσεὶ ψωμοὺς κατὰ πρόσω-
πον ψύχους αὐτοῦ, τίς ὑποστήσεται; Ἐξαποστελεῖ τὸν λόγον αὐτοῦ
καὶ τήξει αὐτά. πνεύσει τὸ πνεῦμα αὐτοῦ, καὶ ῥυήσεται ὕδατα.
Ὁ ἀπαγγέλλων τὸ λόγιον αὐτοῦ τῷ ἰακώβ. δικαιώματα καὶ κρί-
ματα αὐτοῦ τῷ ἰσραήλ. Οὐκ ἐποίησεν οὕτως παντὶ ἔθνει.
καὶ τὰ κρίματα αὐτοῦ οὐκ ἐδήλωσεν αὐτοῖς. Δόξα.

Ἀλληλούϊα· ἀγγαίου καὶ ζαχαρίου. ρμη

Ινεῖτε τὸν κύριον ἐκ τῶν οὐρανῶν, αἰνεῖτε αὐτὸν ἐν τοῖς
α ὑψίστοις. Αἰνεῖτε αὐτὸν πάντες οἱ ἄγγελοι αὐτοῦ. αἰ-
νεῖτε αὐτὸν πᾶσαι αἱ δυνάμεις αὐτοῦ. Αἰνεῖτε αὐτὸν
ἥλιος καὶ σελήνη. αἰνεῖτε αὐτὸν πάντα τὰ ἄστρα καὶ τὸ φῶς. Αἰνεῖ-
τε αὐτὸν οἱ οὐρανοὶ τῶν οὐρανῶν, καὶ τὸ ὕδωρ τὸ ὑπεράνω τῶν οὐ-
ρανῶν. αἰνεσάτωσαν τὸ ὄνομα κυρίου. Ὅτι αὐτὸς εἶπε καὶ ἐγενή-
θησαν, αὐτὸς ἐνετείλατο καὶ ἐκτίσθησαν. Ἔστησεν αὐτὰ εἰς τὸν αἰ-
ῶνα. καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. πρόσταγμα ἔθετο. καὶ οὐ παρε-
λεύσεται. Αἰνεῖτε τὸν κύριον ἐκ τῆς γῆς, δράκοντες καὶ πᾶσαι
ἄβυσσοι. Πῦρ χάλαζα. χιών. κρύσταλλος. πνεῦμα καταιγίδος.
τὰ ποιοῦντα τὸν λόγον αὐτοῦ. Τὰ ὄρη καὶ πάντες οἱ βουνοί.
ξύλα καρποφόρα καὶ πᾶσαι κέδροι. Τὰ θηρία καὶ πάντα τὰ
κτήνη. ἑρπετὰ καὶ πετεινὰ πτερωτά. Βασιλεῖς τῆς γῆς καὶ πάν-
τες λαοί, ἄρχοντες καὶ πάντες κριταὶ γῆς. Νεανίσκοι. καὶ παρ-
θένοι. πρεσβύτεροι μετὰ νεωτέρων, αἰνεσάτωσαν τὸ ὄνομα κυ-
ρίου. ὅτι ὑψώθη τὸ ὄνομα αὐτοῦ μόνου. Ἡ ἐξομολόγησις αὐτοῦ ἐπὶ τῆς γῆς
καὶ οὐρανοῦ, καὶ ὑψώσει κέρας λαοῦ αὐτοῦ. Ὕμνος πᾶσι τοῖς ὁσί-
οις αὐτοῦ τοῖς υἱοῖς ἰσραήλ. λαῷ ἐγγίζοντι αὐτῷ.

Ἀλληλούϊα. ρμθ

α Σατε τῷ κυρίῳ ᾆσμα καινόν. ἡ αἴνεσις αὐτοῦ ἐν
ἐκκλησίᾳ ὁσίων. Εὐφρανθήτω ἰσραὴλ ἐπὶ τῷ
ποιήσαντι αὐτόν. καὶ υἱοὶ σιὼν ἀγαλλιάσθωσαν ἐπὶ τῷ βα-

σιλεῖ αὐτῶν. Αἰνεσάτωσαν τὸ ὄνομα αὐτοῦ ἐν χορῷ. ἐν τυμπάνῳ
καὶ ψαλτηρίῳ ψαλάτωσαν αὐτῷ. Ὅτι εὐδοκεῖ κύριος ἐν τῷ
λαῷ αὐτοῦ καὶ ὑψώσει πραεῖς ἐν σωτηρίᾳ. Καυχήσονται ὅ-
σιοι ἐν δόξῃ καὶ ἀγαλλιάσονται ἐπὶ τῶν κοιτῶν αὐτῶν. Αἱ ὑ-
ψώσεις τοῦ θεοῦ ἐν τῷ λάρυγγι αὐτῶν, καὶ ῥομφαῖαι δίστομοι
ἐν ταῖς χερσὶν αὐτῶν. Τοῦ ποιῆσαι ἐκδίκησιν ἐν τοῖς ἔ-
θνεσιν. ἐλεγμοὺς ἐν τοῖς λαοῖς. Τοῦ δῆσαι τοὺς βασιλεῖς
αὐτῶν ἐν πέδαις καὶ τοὺς ἐνδόξους αὐτῶν ἐν χειροπέδαις σι-
δηραῖς. Τοῦ ποιῆσαι ἐν αὐτοῖς κρίμα ἔγγραπτον, δόξα αὕτη ἔ-
σται πᾶσι τοῖς ὁσίοις αὐτοῦ. Ἀλληλούϊα ρν΄

Ινεῖτε τὸν θεὸν ἐν τοῖς ἁγίοις αὐτοῦ, αἰνεῖτε αὐτὸν ἐν στερεώ-
α ματι δυνάμεως αὐτοῦ. Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστεί-
αις αὐτοῦ. αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύ-
νης αὐτοῦ. Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ σάλπιγγος, αἰνεῖτε αὐτὸν ἐν ψαλτη-
ρίῳ καὶ κιθάρᾳ. Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ. αἰνεῖτε αὐτὸν
ἐν χορδαῖς καὶ ὀργάνῳ. αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις. Αἰνεῖ-
τε αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμοῦ. Πᾶσα πνοὴ αἰνεσάτω τὸν κύ-
ριον. Δόξα. κάθισμα. κ΄

Οὗτος ὁ ψαλμὸς, ἰδιόγραφος τοῦ Δαβίδ ἐστι καὶ ἔξω-
θεν τοῦ ἀριθμοῦ τῶν ἑκατὸν πεντήκοντα ψαλμῶν
ὅτε ἐμονομάχησε πρὸς τὸν Γολιάθ.

Ικρὸς ἤμην ἐν τοῖς ἀδελφοῖς μου, καὶ νεώτερος ἐν τῷ
οἴκῳ τοῦ πατρός μου. ἐποίμαινον τὰ πρόβατα τοῦ πα-
μ τρός μου. Αἱ χεῖρές μου ἐποίησαν ὄργανον. καὶ
οἱ δάκτυλοί μου ἥρμοσαν ψαλτήριον. Καὶ τίς ἀναγγελεῖ τῷ κυ-
ρίῳ. μου. αὐτὸς κύριος αὐτὸς εἰσακούει. Αὐτὸς ἐξαπέστειλε τὸν
ἄγγελον αὐτοῦ, καὶ ἦρέ με ἐκ τῶν προβάτων τοῦ πατρός μου.
Καὶ ἔχρισέ με ἐν τῷ ἐλαίῳ τῆς χρίσεως αὐτοῦ. Οἱ ἀδελφοί
μου καλοὶ καὶ μεγάλοι, καὶ οὐκ εὐδόκησεν ἐν αὐτοῖς ὁ κύριος.
Ἐξῆλθον εἰς συνάντησιν τῷ ἀλλοφύλῳ. καὶ ἐπικατηράσατό με

ἐν τοῖς εἰδώλοις αὐτοῦ. Ἐγὼ δὲ σπασάμενος τὴν παρ' αὐτοῦ μά-
χαιραν, ἀπεκεφάλισα αὐτόν. καὶ ἦρα ὄνειδος ἐξ υἱῶν ἰσραήλ.

Ἄρδην βυθίσας φαραὼ μωσῆς λέγει.

Ὠιδὴ μωϋσέως ἐν τῇ ἐξόδῳ α'

Σῶμεν τῷ κυρίῳ ἐνδόξως γὰρ δεδόξασται. ἵππον καὶ
α' ἀναβάτην ἔρριψεν εἰς θάλασσαν, Βοηθὸς καὶ σκεπα-
στὴς ἐγένετό μοι εἰς σωτηρίαν. οὗτός μου θεὸς, καὶ δο-
ξάσω αὐτόν. θεὸς τοῦ πατρός μου καὶ ὑψώσω αὐτόν. Κύριος συν-
τρίβων πολέμους κύριος ὄνομα αὐτῷ. ἅρματα φαραὼ καὶ τὴν
δύναμιν αὐτοῦ, ἔρριψεν εἰς θάλασσαν. Ἐπιλέκτους ἀναβάτας τρι-
στάτας κατεπόντισεν ἐν ἐρυθρᾷ θαλάσσῃ. Πόντῳ ἐκάλυψεν
αὐτούς. κατέδυσαν εἰς βυθὸν ὡσεὶ λίθος. Ἡ δεξιά σου κύριε δε-
δόξασται ἐν ἰσχύϊ. ἡ δεξιά σου χεὶρ κύριε ἔθραυσεν ἐχθρούς.
Καὶ τῷ πλήθει τῆς δόξης σου συνέτριψας τοὺς ὑπεναντίους. Ἀπέ-
στειλας τὴν ὀργήν σου κατέφαγεν αὐτοὺς ὡσεὶ καλάμην. καὶ
διὰ πνεύματος τοῦ θυμοῦ σου διέστη τὸ ὕδωρ. Ἐπάγη ὡσεὶ τεῖ-
χος τὰ ὕδατα. ἐπάγη καὶ τὰ κύματα ἐν μέσῳ τῆς θαλάσσης.
Εἶπεν ὁ ἐχθρὸς διώξας καταλήψομαι. μεριῶ σκῦλα. ἐμπλή-
σω ψυχήν μου. ἀνελῶ τῇ μαχαίρᾳ μου. κυριεύσει ἡ χείρ μου. Ἀ-
πέστειλας τὸ πνεῦμά σου, ἐκάλυψεν αὐτοὺς θάλασσα. ἔδυσαν ὡ-
σεὶ μόλυβδος ἐν ὕδατι σφοδρῷ. Τίς ὅμοιός σοι ἐν θεοῖς κύριε.
τίς ὅμοιός σοι. δεδοξασμένος ἐν ἁγίοις θαυμαστὸς, ἐνδόξως ποι-
ῶν τέρατα. Ἐξέτεινας τὴν δεξιάν σου κατέπιεν αὐτοὺς γῆ. ὡδή-
γησας τῇ δικαιοσύνῃ σου, τὸν λαόν σου τοῦτον. ὃν ἐλυτρώσω. Πα-
ρεκάλεσας τῇ ἰσχύϊ σου, εἰς κατάλυμα ἅγιόν σου. ἤκουσαν ἔθνη καὶ
ὠργίσθησαν. ὠδῖνες ἔλαβον κατοικοῦντας φιλιστιείμ. Τότε ἐ-
σπεύσαν ἡγεμόνες ἐδώμ, καὶ ἄρχοντες μωαβιτῶν. ἔλαβεν
αὐτοὺς τρόμος. ἐτάκησαν πάντες οἱ κατοικοῦντες χαναάν. Ἐπι-
πέσοι ἐπ' αὐτοὺς φόβος καὶ τρόμος. μεγέθει βραχίονός σου ἀπολι-
θωθήτωσαν. Ἕως ἂν παρέλθοι ὁ λαός σου κύριε ἕως ἂν παρέλθοι ὁ

λαός σου, οὗτος ὃν ἐκτήσω. Εἰσαγαγὼν καταφύτευσον αὐτοὺς
εἰς ὄρος κληρονομίας σου· εἰς ἕτοιμον κατοικητήριόν σου, ὃ κατ-
ειργάσω κύριε· ἁγίασμα ὃ ἡτοίμασαν αἱ χεῖρές σου. Κύριος
βασιλεύων τῶν αἰώνων, καὶ ἐπ᾽ αἰῶνα καὶ ἔτι. ὅτε εἰσῆλθεν ἵπ-
πος φαραὼ σὺν ἅρμασι καὶ ἀναβάταις εἰς θάλασσαν. Καὶ ἐ-
πήγαγεν ἐπ᾽ αὐτοὺς κύριος τὸ ὕδωρ τῆς θαλάσσης. οἱ δὲ υἱοὶ ἰ-
σραὴλ ἐπορεύθησαν διὰ ξηρᾶς ἐν μέσῳ τῆς θαλάσσης. Δόξα.

Νόμου γραφέντος αὖθις ᾠδὴ μωϋσέως. Ὠδὴ
μωϋσέως ἐν τῷ δευτερονομίῳ. Ὠδή. β.

Πρόσεχε οὐρανὲ καὶ λαλήσω, καὶ ἀκουέτω γῆ ῥήμα-
π τα ἐκ στόματός μου, Προσδοκάσθω ὡς ὑετὸς τὸ ἀπό-
φθεγμά μου· καὶ καταβήτω ὡς δρόσος τὰ ῥήματά
μου. ὡσεὶ ὄμβρος ἐπ᾽ ἄγρωστιν, καὶ ὡσεὶ νιφετὸς ἐπὶ χόρτον. ὅτι
ὄνομα κυρίου ἐκάλεσα. δότε μεγαλωσύνην τῷ θεῷ ἡμῶν.
Θεὸς ἀληθινὰ τὰ ἔργα αὐτοῦ. καὶ πᾶσαι αἱ ὁδοὶ αὐτοῦ κρίσις.
Θεὸς πιστὸς, καὶ οὐκ ἔστιν ἀδικία ἐν αὐτῷ. δίκαιος καὶ ὅσι-
ος ὁ κύριος. Ἡμάρτοσαν οὐκ αὐτῷ τέκνα μωμητὰ γενεὰ
σκολιὰ καὶ διεστραμμένη. ταῦτα κυρίῳ ἀνταποδίδοτε. Οὗ-
τος λαὸς μωρὸς καὶ οὐχὶ σοφός. οὐκ αὐτὸς οὗτός σου πατήρ; ἐκ-
τήσατό σε, καὶ ἐποίησέ σε, καὶ ἔπλασέ σε; Μνήσθητε ἡμέρας αἰ-
ῶνος. σύνετε δὴ ἔτη γενεᾶς γενεῶν. Ἐπερώτησον τὸν πατέρα σου,
καὶ ἀναγγελεῖ σοι· τοὺς πρεσβυτέρους σου, καὶ ἐροῦσί σοι. Ὅτε διεμέ-
ριζεν ὁ ὕψιστος ἔθνη, ὡς διέσπειρεν υἱοὺς ἀδάμ. Ἔστησεν ὅρια ἐ-
θνῶν κατὰ ἀριθμὸν ἀγγέλων θεοῦ. καὶ ἐγενήθη μερὶς κυρίου λα-
ὸς αὐτοῦ. ἰακώβ. σχοίνισμα κληρονομίας αὐτοῦ ἰσραήλ. Αὐτάρ-
κησεν αὐτὸν ἐν τῇ ἐρήμῳ ἐν δίψει καύματος ἐν ἀνύδρῳ. Ἐκύ-
κλωσεν αὐτὸν καὶ ἐπαίδευσεν αὐτὸν, καὶ διεφύλαξεν αὐτὸν, ὡς
κόρην ὀφθαλμοῦ. Ὡς ἀετὸς σκεπάσαι νοσσιὰν ἑαυτοῦ, καὶ ἐπὶ
τοῖς νεοσσοῖς αὐτοῦ ἐπεπόθησεν. Διεὶς τὰς πτέρυγας αὐτοῦ ἐδέ-
ξατο αὐτοὺς, καὶ ἀνέλαβεν αὐτοὺς, ἐπὶ τῶν μεταφρένων αὐτοῦ.

Κύριος μόνος ἦγεν αὐτοὺς, καὶ οὐκ ἦν μετ' αὐτῶν θεὸς ἀλλότριος. Ἀνεβίβασεν αὐτοὺς ἐπὶ τὴν ἰσχὺν τῆς γῆς. ἐψώμισεν αὐτοὺς γεννήματα ἀγρῶν. Ἐθήλασε μέλι ἐκ πέτρας καὶ ἔλαιον ἐκ στερεᾶς πέτρας. Βούτυρον βοῶν καὶ γάλα προβάτων μετὰ στέατος ἀρνῶν, καὶ κριῶν, υἱῶν ταύρων καὶ τράγων μετὰ στέατος νεφρῶν πυροῦ. καὶ αἷμα σταφυλῆς ἔπινον οἶνον. Καὶ ἔφαγεν Ἰακὼβ καὶ ἐνεπλήσθη καὶ ἀπελάκτισεν ὁ ἠγαπημένος. Ἐλιπάνθη, ἐπαχύνθη, ἐπλατύνθη, καὶ ἐγκατέλιπε θεὸν τὸν ποιήσαντα αὐτὸν καὶ ἀπέστη ἀπὸ θεοῦ σωτῆρος αὐτοῦ. Παρώξυνάν με ἐπ' ἀλλοτρίοις· καὶ ἐν βδελύγμασιν αὐτῶν, ἐξεπίκρανάν με. Ἔθυσαν δαιμονίοις καὶ οὐ θεῷ. θεοῖς οἷς οὐκ ᾔδεισαν καινοὶ καὶ πρόσφατοι ἥκασιν, οἷς οὐκ ᾔδεισαν οἱ πατέρες αὐτῶν. Θεὸν τὸν γεννήσαντά σε ἐγκατέλιπες, καὶ ἐπελάθου θεοῦ τοῦ τρέφοντός σε; Καὶ εἶδε κύριος καὶ ἐζήλωσε. καὶ παρωξύνθη δι' ὀργὴν υἱῶν αὐτῶν καὶ θυγατέρων. Καὶ εἶπεν, ἀποστρέψω τὸ πρόσωπόν μου ἀπ' αὐτῶν καὶ δείξω τί ἔσται αὐτοῖς ἐπ' ἐσχάτων. Ὅτι γενεὰ ἐξεστραμμένη ἐστίν· υἱοὶ οἷς οὐκ ἔστι πίστις ἐν αὐτοῖς. Αὐτοὶ παρεζήλωσάν με ἐπ' οὐ θεῷ· παρώργισάν με ἐν τοῖς εἰδώλοις αὐτῶν· Κἀγὼ παραζηλώσω αὐτοὺς ἐπ' οὐκ ἔθνει· ἐπὶ ἔθνει ἀσυνέτῳ παροργιῶ αὐτούς. Ὅτι πῦρ ἐκκέκαυται ἐκ τοῦ θυμοῦ μου· καυθήσεται ἕως ᾅδου κατωτάτου. Καταφάγεται γῆν καὶ τὰ γεννήματα αὐτῆς· φλέξει θεμέλια ὀρέων. Συνάξω εἰς αὐτοὺς κακά· καὶ τὰ βέλη μου συντελέσω εἰς αὐτούς. Τηκόμενοι λιμῷ καὶ βρώσει ὀρνέων, καὶ ὀπισθότονος ἀνίατος. Ὀδόντας θηρίων ἐπαποστελῶ εἰς αὐτοὺς, μετὰ θυμοῦ συρόντων ἐπὶ τῆς γῆς. Ἔξωθεν ἀτεκνώσει αὐτοὺς μάχαιρα, καὶ ἐκ τῶν ταμιείων, φόβος. Νεανίσκος σὺν παρθένῳ· θηλάζων, μετὰ καθεστηκότος πρεσβύτου. Εἶπον διασπερῶ αὐτούς· παύσω δὴ ἐξ ἀνθρώπων τὸ μνημόσυνον αὐτῶν. Εἰ μὴ δι' ὀργὴν ἐχθρῶν ἵνα μὴ μακροχρονήσωσι· καὶ ἵνα μὴ συνεπιθῶνται οἱ ὑπεναντίοι

τίοι. Μὴ ἄπωισαν ἡ χεὶρ ἡμῶν ὑψηλή· καὶ οὐχὶ κύριος ἐποίησε ταῦτα πάντα. Ὅτι ἔθνος ἀπολωλεκὸς βουλήν ἐστι· καὶ οὐκ ἔστιν ἐν αὐτοῖς ἐπιστήμη. Οὐκ ἐφρόνησαν συνιέναι· ταῦτα πάντα καταδεξάσθωσαν εἰς τὸν ἐπιόντα χρόνον. Πῶς διώξεται εἷς χιλίους· καὶ δύο μετακινήσουσι μυριάδας. Εἰ μὴ ὁ θεὸς ἀπέδοτο αὐτούς, καὶ ὁ κύριος παρέδωκεν αὐτούς. Οὐ γάρ εἰσιν οἱ θεοὶ αὐτῶν ὡς ὁ θεὸς ἡμῶν· οἱ δὲ ἐχθροὶ ἡμῶν ἀνόητοι. Ἐκ γὰρ ἀμπέλων σοδόμων ἡ ἄμπελος αὐτῶν· καὶ ἡ κληματὶς αὐτῶν ἐκ γομόρρας. Ἡ σταφυλὴ αὐτῶν, σταφυλὴ χολῆς· βότρυς πικρίας αὐτῶν. Θυμὸς δρακόντων ὁ οἶνος αὐτῶν· καὶ θυμὸς ἀσπίδων ἀνίατος. Οὐκ ἰδοὺ ταῦτα πάντα συνῆκται παρ᾽ ἐμοί· καὶ ἐσφράγισται ἐν τοῖς θησαυροῖς μου; Ἐν ἡμέρᾳ ἐκδικήσεως ἀνταποδώσω· ἐν καιρῷ ὅταν σφαλῇ ὁ ποὺς αὐτῶν. Ὅτι ἐγγὺς ἡμέρα ἀπωλείας αὐτῶν, καὶ πάρεστιν ἕτοιμα ὑμῖν. Ὅτι κρινεῖ κύριος τὸν λαὸν αὐτοῦ· καὶ ἐπὶ τοῖς δούλοις αὐτοῦ παρακληθήσεται. Εἶδε γὰρ αὐτοὺς παραλελυμένους καὶ ἐκλελοιπότας ἐν ἐπαγωγῇ καὶ παρειμένους. Καὶ εἶπε κύριος ποῦ εἰσιν οἱ θεοὶ αὐτῶν, ἐφ᾽ οἷς ἐπεποίθεισαν ἐπ᾽ αὐτοῖς. Ὧν τὸ στέαρ τῶν θυσιῶν αὐτῶν ἤσθιετε, καὶ ἐπίνετε τὸν οἶνον τῶν σπονδῶν αὐτῶν. Ἀναστήτωσαν, καὶ βοηθησάτωσαν ὑμῖν· καὶ γενηθήτωσαν ὑμῶν σκεπασταί. Ἴδετε ἴδετε ὅτι ἐγώ εἰμι· καὶ οὐκ ἔστι θεὸς πλὴν ἐμοῦ. Ἐγὼ ἀποκτενῶ καὶ ζῆν ποιήσω· πατάξω, κἀγὼ ἰάσομαι· καὶ οὐκ ἔστιν ὃς ἐξελεῖται ἐκ τῶν χειρῶν μου. Ὅτι ἀρῶ εἰς τὸν οὐρανὸν τὴν χεῖρά μου, καὶ ὀμοῦμαι τῇ δεξιᾷ μου· καὶ ἐρῶ, ζῶ ἐγὼ εἰς τὸν αἰῶνα. Ὅτι παροξυνῶ ὡς ἀστραπὴν τὴν μάχαιράν μου, καὶ ἀνθέξεται κρίματος ἡ χείρ μου. Καὶ ἀνταποδώσω δίκην τοῖς ἐχθροῖς· καὶ τοῖς μισοῦσί με ἀνταποδώσω. Μεθύσω τὰ βέλη μου ἀφ᾽ αἵματος· καὶ ἡ μάχαιρά μου φάγεται κρέα. Ἀφ᾽ αἵματος τραυματιῶν, καὶ αἰχμαλωσίας ἀπὸ κεφαλῆς ἀρχόντων ἐθνῶν. Εὐφράνθητε οὐρανοὶ ἅμα αὐτῷ· καὶ προσκυνησά-

τωσαν αὐτῷ πάντες ἄγγελοι θεοῦ. Εὐφράνθητε ἔθνη μετὰ τοῦ λαοῦ αὐτοῦ. καὶ ἐνισχυσάτωσαν αὐτῷ πάντες υἱοὶ θεοῦ. Ὅτι τὸ αἷμα τῶν υἱῶν αὐτοῦ ἐκδικεῖται. καὶ ἐκδικήσει καὶ ἀνταποδώσει δίκην τοῖς ἐχθροῖς μισοῦσιν αὐτὸν ἀνταποδώσει. Καὶ ἐκκαθαριεῖ κύριος τὴν γῆν τοῦ λαοῦ αὐτοῦ. Δόξα.

Θεὸν γεραίρει στεῖρα τίκτουσα ξένως. Προσευχὴ Ἄννης μητρὸς Σαμουὴλ τοῦ προφήτου. Ὠδὴ γ΄

Ἐστερεώθη ἡ καρδία μου ἐν κυρίῳ. ὑψώθη κέρας μου ἐν θεῷ μου. ἐπλατύνθη στόμα μου ἐπ᾽ ἐχθρούς μου. ηὐφράνθην ἐν σωτηρίᾳ σου. Ὅτι οὐκ ἔστιν ἅγιος ὡς ὁ κύριος. καὶ οὐκ ἔστι δίκαιος ὡς ὁ θεὸς ἡμῶν, καὶ οὐκ ἔστιν ἅγιος πλὴν σοῦ. Μὴ καυχᾶσθε καὶ μὴ λαλεῖτε ὑψηλὰ εἰς ὑπεροχήν. μὴ δὲ ἐξελθέτω μεγαλοῤῥημοσύνη ἐκ τοῦ στόματος ὑμῶν. Ὅτι θεὸς γνώσεων κύριος. καὶ θεὸς ἑτοιμάζων ἐπιτηδεύματα αὐτοῦ. Τόξον δυνατῶν ἠσθένησε καὶ οἱ ἀσθενοῦντες περιεζώσαντο δύναμιν. Πλήρεις ἄρτων ἠλαττώθησαν, καὶ οἱ πεινῶντες παρῆκαν γῆν. Ὅτι στεῖρα ἔτεκεν ἑπτά. καὶ ἡ πολλὴ ἐν τέκνοις ἠσθένησε. Κύριος θανατοῖ καὶ ζωογονεῖ κατάγει εἰς ᾅδου καὶ ἀνάγει. Κύριος πτωχίζει. καὶ πλουτίζει. ταπεινοῖ, καὶ ἀνυψοῖ. ἀνιστᾷ, ἀπὸ γῆς πένητα, καὶ ἀπὸ κοπρίας ἐγείρει πτωχόν. Τοῦ καθίσαι αὐτὸν μετὰ δυναστῶν λαοῦ. καὶ θρόνον δόξης κατακληρονομῶν αὐτόν. Διδοὺς εὐχὴν τῷ εὐχομένῳ. καὶ εὐλόγησεν ἔτη δικαίου. Ὅτι οὐκ ἐν ἰσχύϊ δυνατὸς ἀνὴρ ἐν τῇ ἰσχύϊ αὐτοῦ. κύριος ἀσθενῆ ποιήσει τὸν ἀντίδικον αὐτοῦ, κύριος ἅγιος. Μὴ καυχάσθω ὁ σοφὸς ἐν τῇ σοφίᾳ αὐτοῦ. καὶ μὴ καυχάσθω ὁ δυνατὸς ἐν τῇ δυνάμει αὐτοῦ. καὶ μὴ καυχάσθω ὁ πλούσιος ἐν τῷ πλούτῳ αὐτοῦ. Ἀλλ᾽ ἢ ἐν τούτῳ καυχάσθω ὁ καυχώμενος. ἐν τῷ συνιεῖν καὶ γινώσκειν τὸν κύριον. καὶ ποιεῖν κρίμα καὶ δικαιοσύνην ἐν μέσῳ τῆς γῆς. Κύριος ἀνέβη εἰς οὐρανοὺς καὶ ἐβρόντησεν. αὐτὸς κρινεῖ ἄκρα γῆς, δίκαιος ὤν. Καὶ δώσει ἰσχὺν τοῖς βασιλεῦσιν ἡμῶν. καὶ ὑψώσει κέρας χριστῶν αὐτοῦ.

τὴν τοῦ λόγου κένωσιν ἀββακοὺμ φράσον. προσευχὴ ἀββακοὺμ τοῦ προφήτου. ᾠδὴ δ΄.

Κύριε εἰσακήκοα τὴν ἀκοήν σου καὶ ἐφοβήθην, κύριε
κ κατενόησα τὰ ἔργα σου καὶ ἐξέστην. Ἐν μέσῳ δύο
ζώων γνωσθήσῃ. ἐν τῷ ἐγγίζειν τὰ ἔτη ἐπιγνωσθήσῃ ἐν τῷ παρεῖναι τὸν καιρὸν ἀναδειχθήσῃ ἐν τῷ ταραχθῆναι τὴν ψυχήν μου ἐν ὀργῇ ἐλέους μνησθήσῃ. Ὁ θεὸς ἀπὸ θαιμὰν ἥξει. καὶ ὁ ἅγιος ἐξ ὄρους κατασκίου δασέως. Ἐκάλυψεν οὐρανοὺς ἡ ἀρετὴ αὐτοῦ, καὶ τῆς αἰνέσεως αὐτοῦ πλήρης ἡ γῆ. Καὶ φέγγος αὐτοῦ ὡς φῶς ἔσται. κέρατα ἐν χερσὶν αὐτοῦ. καὶ ἔθετο ἀγάπησιν κραταιὰν ἰσχύος αὐτοῦ. Πρὸ προσώπου αὐτοῦ πορεύσεται λόγος, καὶ ἐξελεύσεται εἰς παιδείαν κατὰ πόδας αὐτοῦ. Ἔστη καὶ ἐσαλεύθη ἡ γῆ ἐπέβλεψε καὶ ἐτάκη ἔθνη. Διεθρύβη τὰ ὄρη βίᾳ. ἐτάκησαν βουνοὶ αἰώνιοι. πορείας αἰωνίους αὐτῶν ἀντὶ κόπων εἶδον. Σκηνώματα αἰθιόπων πτοηθήσονται. καὶ σκηναὶ γῆς μαδιάμ. Μὴ ἐν ποταμοῖς ὠργίσθης κύριε. μὴ ἐν ποταμοῖς ὁ θυμός σου, ἢ ἐν θαλάσσῃ τὸ ὅρμημά σου. Ὅτι ἐπιβήσῃ ἐπὶ τοὺς ἵππους σου, καὶ ἡ ἱππασία σου σωτηρία. Ἐντείνων ἐντενεῖς τὸ τόξον σου ἐπὶ σκῆπτρα λέγει κύριος. Ποταμῶν ῥαγήσεται γῆ ὄψονταί σε, καὶ ὠδινήσουσι λαοί. Σκορπίζων ὕδατα πορείας. ἔδωκεν ἡ ἄβυσσος φωνὴν αὐτῆς, ὕψος φαντασίας αὐτῆς. Ἐπήρθη ὁ ἥλιος καὶ ἡ σελήνη ἔστη ἐν τῇ τάξει αὐτῆς. Εἰς φῶς βολίδες σου πορεύσονται. εἰς φέγγος ἀστραπῆς ὅπλων σου. Ἐν ἀπειλῇ ὀλιγώσεις γῆν, καὶ ἐν θυμῷ κατάξεις ἔθνη. Ἐξῆλθες εἰς σωτηρίαν λαοῦ σου τοῦ σῶσαι τοὺς χριστούς σου. Ἔβαλες εἰς κεφαλὰς ἀνόμων θάνατον. ἐξήγειρας δεσμοὺς ἕως τραχήλου εἰς τέλος. Διέκοψας ἐν ἐκστάσει κεφαλὰς δυναστῶν. σεισθήσονται ἐν αὐτοῖς διανοίξουσι χαλινοὺς αὐτῶν ὡς ὁ ἐσθίων πτωχὸς λάθρα. Καὶ ἐπεβίβασας εἰς θάλασσαν τοὺς ἵππους σου, ταράσσοντας ὕδατα πολλά. Ἐφυλαξάμην καὶ ἐπτοήθη ἡ καρδία μου, ἀπὸ φωνῆς

προσευχῆς χειλέων μου. Καὶ εἰσῆλθε τρόμος εἰς τὰ ὀστᾶ μου. καὶ ἐν ἐμοὶ ἐταράχθη ἡ ἰσχύς μου. Ἀναπαύσομαι ἐν ἡμέρᾳ θλίψεώς μου, τοῦ ἀναβῆναι με εἰς λαὸν παροικίας μου. Διότι συκῆ οὐ καρποφορήσει. καὶ οὐκ ἔσται γεννήματα ἐν ταῖς ἀμπέλοις. Ψεύσεται ἔργον ἐλαίας, καὶ τὰ πεδία οὐ ποιήσει βρῶσιν, Ἐξέλιπον ἀποβρώσεως πρόβατα καὶ οὐχ ὑπάρξουσι βόες ἐπὶ φάτναις. Ἐγὼ δὲ ἐν τῷ κυρίῳ ἀγαλλιάσομαι. χαρήσομαι ἐπὶ τῷ θεῷ τῷ σωτῆρί μου. Κύριος ὁ θεός μου, δύναμίς μου. καὶ τάξει τοὺς πόδας μου εἰς συντέλειαν. Καὶ ἐπὶ τὰ ὑψηλὰ ἐπιβιβᾷ με, τοῦ νικῆσαί με ἐν τῇ ᾠδῇ αὐτοῦ.

Ἠσαΐου πρόρρησις, εὐχὴ τὸ πλέον. Προσευχὴ Ἠσαΐου τοῦ προφήτου. ᾨδὴ ε

Ἐκ νυκτὸς ὀρθρίζει τὸ πνεῦμά μου πρὸς σὲ ὁ θεός. διότι φῶς τὰ προστάγματά σου ἐπὶ τῆς γῆς. Δικαιοσύνην μάθετε οἱ ἐνοικοῦντες ἐπὶ τῆς γῆς. πέπαυται γὰρ ὁ ἀσεβὴς οὐ μὴ μάθῃ δικαιοσύνην, ἐπὶ τῆς γῆς ἀλήθειαν οὐ μὴ ποιήσει. Ἀρθήτω ὁ ἀσεβής, ἵνα μὴ ἴδῃ τὴν δόξαν κυρίου. κύριε ὑψηλός σου ὁ βραχίων καὶ οὐκ ᾔδεισαν. γνόντες δὲ αἰσχυνθήτωσαν. Ζῆλος λήψεται λαὸν ἀπαίδευτον. καὶ νῦν πῦρ τοὺς ὑπεναντίους ἔδεται. Κύριε ὁ θεὸς ἡμῶν εἰρήνην δὸς ἡμῖν, πάντα γὰρ ἀπέδωκας ἡμῖν. Κύριε ὁ θεὸς ἡμῶν. κτῆσαι ἡμᾶς. κύριε ἐκτός σου ἄλλον οὐκ οἴδαμεν, τὸ ὄνομά σου ὀνομάζομεν. Οἱ δὲ νεκροὶ ζωὴν οὐ μὴ ἴδωσιν, οὐδὲ ἰατροὶ οὐ μὴ ἀναστήσωσιν. Διὰ τοῦτο ἐπήγαγες καὶ ἀπώλεσας, καὶ ἦρας πᾶν ἄρσεν αὐτῶν. Πρόσθες αὐτοῖς κακὰ κύριε. πρόσθες κακὰ τοῖς ἐνδόξοις τῆς γῆς.

Κύριε ἐν θλίψει ἐμνήσθημέν σου. ἐν θλίψει μικρᾷ ἡ παιδεία σου ἡμῖν. Καὶ ὡς ἡ ὠδίνουσα ἐγγίζει τοῦ τεκεῖν. καὶ ἐπὶ τῇ ὠδῖνι αὐτῆς ἐκέκραγεν, οὕτως ἐγενήθημεν τῷ ἀγαπητῷ σου. Διὰ τὸν φόβον σου, κύριε ἐν γαστρὶ ἐλάβομεν, καὶ ὠδινήσαμεν καὶ ἐτέκομεν, πνεῦμα σωτηρίας σου ὃ ἐποιήσαμεν ἐπὶ τῆς γῆς. Οὐ πεσοῦ-

μεθα, ἀλλὰ πεσοῦνται οἱ ἐνοικοῦντες ἐπὶ τῆς γῆς. Ἀναστήσονται οἱ νεκροί, καὶ ἐγερθήσονται οἱ ἐν τοῖς μνημείοις, καὶ εὐφρανθήσονται οἱ ἐν τοῖς μνημείοις, καὶ εὐφρανθήσονται οἱ ἐν τῇ γῇ. Ἡ γὰρ δρόσος ἡ παρὰ σοῦ, ἴαμα αὐτοῖς ἐστω. ἡ δὲ γῆ τῶν ἀσεβῶν πεσεῖται. Βάδιζε λαός μου. εἴσελθε εἰς τὰ ταμιεῖά σου. ἀπόκλεισον τὴν θύραν σου. ἀποκρύβηθι μικρὸν ὅσον ὅσον, ἕως ἂν παρέλθοι ἡ ὀργὴ κυρίου.

Ἐκ θηρὸς ἐκραύγασεν ἰωνᾶς λέγων. ᾨδή. ς

Ἐβόησα ἐν θλίψει μου πρὸς κύριον τὸν θεόν μου καὶ εἰσήκουσέ μου. Ἐκ κοιλίας ᾅδου, κραυγῆς μου ἤκουσας φωνῆς μου. ἀπέρριψάς με εἰς βάθη καρδίας θαλάσσης, καὶ ποταμοὶ ἐκύκλωσάν με. Πάντες οἱ μετεωρισμοί σου, καὶ τὰ κύματά σου ἐπ' ἐμὲ διῆλθον. Κἀγὼ εἶπον ἀπῶσμαι ἐξ ὀφθαλμῶν σου, ἄρα προσθήσω τοῦ ἐπιβλέψαι με πρὸς ναὸν τὸν ἅγιόν σου. Περιεχύθη μοι ὕδωρ ἕως ψυχῆς μου. ἄβυσσος ἐκύκλωσέ με ἐσχάτη. Ἔδυ ἡ κεφαλή μου εἰς σχισμὰς ὀρέων κατέβην εἰς γῆν ἧς οἱ μοχλοὶ αὐτῆς κάτοχοι αἰώνιοι. Καὶ ἀναβήτω ἐκ φθορᾶς ἡ ζωή μου, πρὸς σὲ κύριε ὁ θεός μου. Ἐν τῷ ἐκλείπειν ἐξ ἐμοῦ τὴν ψυχήν μου, τοῦ κυρίου ἐμνήσθην. Καὶ ἔλθοι πρὸς σὲ ἡ προσευχή μου πρὸς ναὸν τὸν ἅγιόν σου. Φυλασσόμενοι μάταια καὶ ψευδῆ, ἔλεον αὐτοῖς ἐγκατέλιπον. Ἐγὼ δὲ μετὰ φωνῆς αἰνέσεως καὶ ἐξομολογήσεως θύσω σοι. ὅσα ηὐξάμην ἀποδώσω σοι εἰς σωτηρίαν μου τῷ κυρίῳ.

Αἶνος φλόγα σβέννυσι τῶν τριῶν παίδων.

Προσευχὴ τῶν ἁγίων τριῶν παίδων. ᾨδή. ζ

Υλογητὸς εἶ κύριε ὁ θεὸς τῶν πατέρων ἡμῶν καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας.

Ὅτι δίκαιος εἶ ἐπὶ πᾶσιν οἷς ἐποίησας ἡμῖν. καὶ πάντα τὰ ἔργα σου ἀληθινά, καὶ εὐθεῖαι αἱ ὁδοί σου. Καὶ πᾶσαι αἱ κρίσεις σου, ἀληθεῖς. καὶ κρίματα ἀληθείας ἐποίησας.

Οτι ἐν ἀληθείᾳ καὶ κρίσει ἐπήγαγες ταῦτα πάντα ἐφ' ἡμᾶς
διὰ τὰς ἁμαρτίας ἡμῶν. Οτι ἡμάρτομεν καὶ ἠνομήσαμεν ἀ-
ποστῆναι ἀπὸ σοῦ. καὶ ἐξημάρτομεν ἐν πᾶσι καὶ τῶν ἐντολῶν σου
οὐκ ἠκούσαμεν. Οὐ δὲ συνετηρήσαμεν οὐδ' ἐποιήσαμεν καθὼς
ἐνετείλω ἡμῖν, ἵνα εὖ ἡμῖν γένηται. Καὶ πάντα ὅσα ἐποίησας
ἡμῖν. καὶ πάντα ὅσα ἐπήγαγες ἐν ἡμῖν, ἀληθινῇ κρίσει ἐποίη-
σας. Καὶ παρέδωκας ἡμῖν εἰς χεῖρας ἐχθρῶν ἀνόμων, ἐχθίστων
ἀποστατῶν. καὶ βασιλεῖ ἀδίκῳ καὶ πονηροτάτῳ παρὰ πᾶσαν
τὴν γῆν. Καὶ νῦν οὐκ ἔστιν ἡμῖν ἀνοῖξαι τὸ στόμα. αἰσχύνη καὶ
ὄνειδος ἐγενήθημεν τοῖς δούλοις σου, καὶ τοῖς σεβομένοις σε.
Μὴ δὴ παραδῴης ἡμᾶς εἰς τέλος διὰ τὸ ὄνομά σου καὶ μὴ δια-
σκεδάσῃς τὴν διαθήκην σου. καὶ μὴ ἀποστήσῃς τὸ ἔλεός σου
ἀφ' ἡμῶν. Διὰ ἀβραὰμ τὸν ἠγαπημένον ὑπὸ σοῦ. καὶ διὰ ἰσα-
ὰκ τὸν δοῦλόν σου, καὶ ἰσραὴλ τὸν ἅγιόν σου. Οἷς ἐλάλησας
πληθῦναι τὸ σπέρμα αὐτῶν. ὡς τὰ ἄστρα τοῦ οὐρανοῦ. καὶ ὡς τὴν
ἄμμον τὴν παρὰ τὸ χεῖλος τῆς θαλάσσης. Οτι δέσποτα ἐσμι-
κρύνθημεν παρὰ πάντα τὰ ἔθνη. καὶ ἐσμὲν ταπεινοὶ ἐν πάσῃ
τῇ γῇ σήμερον, διὰ τὰς ἁμαρτίας ἡμῶν. Καὶ οὐκ ἔστιν ἐν τῷ
καιρῷ τούτῳ, ἄρχων καὶ προφήτης καὶ ἡγούμενος. οὐδὲ ὁλο-
καύτωσις. οὐ δὲ θυσία. οὐ δὲ προσφορά. οὐ δὲ θυμίαμα. οὐ τό-
πος τοῦ καρπῶσαι ἐνώπιόν σου, καὶ εὑρεῖν ἔλεος. Ἀλλ' ἐν ψυχῇ
συντετριμμένῃ. καὶ πνεύματι ταπεινώσεως, προσδεχθείημεν,
ὡς ἐν ὁλοκαυτώμασι κριῶν καὶ ταύρων καὶ ὡς ἐν μυριάσιν ἀρ-
νῶν πιόνων. Οὕτως γενέσθω ἡ θυσία ἡμῶν ἐνώπιόν σου σήμε-
ρον. καὶ ἐκτελέσθω ὄπισθέν σου, ὅτι οὐκ ἔστιν αἰσχύνη τοῖς πεποι-
θόσιν ἐπὶ σοί. Καὶ νῦν ἐξακολουθοῦμεν ἐν ὅλῃ καρδίᾳ. καὶ φο-
βούμεθά σε. καὶ ζητοῦμεν τὸ πρόσωπόν σου, μὴ καταισχύνῃς ἡ-
μᾶς. Ἀλλὰ ποίησον μεθ' ἡμῶν κατὰ τὴν ἐπιείκειάν σου. καὶ κατὰ
τὸ πλῆθος τοῦ ἐλέους σου. ἐξελοῦ ἡμᾶς κατὰ θαυμάσιά σου, καὶ
δὸς δόξαν τῷ ὀνόματί σου κύριε. καὶ ἐντραπείησαν πάντες οἱ

ἐνδεικνύμενοι τοῖς δούλοις σου κακά. Καὶ καταισχυνθείησαν
ἀπὸ πάσης δυναστείας. Καὶ ἡ ἰσχὺς αὐτῶν συντριβείη. καὶ γνώ-
τωσαν ὅτι σὺ εἶ θεός, καὶ ἔνδοξος ἐφ' ὅλην τὴν οἰκουμένην.
Καὶ οὐ διέλιπον οἱ ἐμβάλλοντες αὐτοὺς ὑπηρέται τοῦ βασιλέ-
ως, καίοντες τὴν κάμινον νάφθῃ. καὶ πίσσῃ. καὶ στυππίῳ καὶ κλη-
ματίσι. Καὶ διεχεῖτο ἡ φλὸξ ἐπάνω τῆς καμίνου ἐπὶ πήχεις
τεσσαράκοντα ἐννέα. Καὶ διώδευσε καὶ ἐνεπύρισεν οὓς εὗρε
περὶ τὴν κάμινον τῶν χαλδαίων. Ὁ δὲ ἄγγελος κυρίου συγ-
κατέβη ἅμα τοῖς περὶ τὸν ἀζαρίαν εἰς τὴν κάμινον. Καὶ ἐξετί-
ναξε τὴν φλόγα τοῦ πυρὸς ἐκ τῆς καμίνου. Καὶ ἐποίησε τὸ μέ-
σον τῆς καμίνου ὡς πνεῦμα δρόσου διασυρίζον. Καὶ οὐχ ἥ-
ψατο αὐτῶν τὸ καθόλου τὸ πῦρ, οὐδὲ ἐλύπησεν, οὐδὲ παρηνώ-
χλησεν αὐτούς. Τότε οἱ τρεῖς ὡς ἐξ ἑνὸς στόματος ὕμνουν. καὶ εὐ-
λόγουν καὶ ἐδόξαζον τὸν θεὸν ἐν τῇ καμίνῳ λέγοντες.

Ἡ τῶν τριῶν ὕμνησις, ἣν ᾖδον νέοι.

Λογητὸς εἶ κύριε ὁ θεὸς τῶν πατέρων ἡμῶν καὶ ὑ-
εὐ περύμνητος καὶ ὑπερυψούμενος εἰς τοὺς αἰῶνας
Καὶ εὐλογημένον τὸ ὄνομα τῆς δόξης σου τὸ ἅγιον τὸ
ὑπερύμνητον καὶ ὑπερυψούμενον εἰς τοὺς αἰῶνας. Εὐλογημένος
εἶ ἐν τῷ ναῷ τῆς ἁγίας δόξης σου. ὁ ὑπερύμνητος καὶ ὑπερυ-
ψούμενος εἰς τοὺς αἰῶνας. Εὐλογημένος εἶ ὁ βλέπων ἀβύσσους
καθήμενος ἐπὶ τῶν χερουβίμ. ὁ ὑπερύμνητος καὶ ὑπερυψού-
μενος εἰς τοὺς αἰῶνας. Εὐλογημένος εἶ ἐπὶ θρόνου δόξης τῆς βα-
σιλείας σου ὁ ὑπερύμνητος καὶ ὑπερυψούμενος εἰς τοὺς αἰῶνας.
Εὐλογημένος εἶ ἐν τῷ στερεώματι τοῦ οὐρανοῦ καὶ ὑπερύμνητος
καὶ ὑπερυψούμενος εἰς τοὺς αἰῶνας.

Ὕμνος τῶν ἁγίων τριῶν παίδων. ᾨδὴ. η

Λογεῖτε πάντα τὰ ἔργα κυρίου τὸν κύριον ὑμνεῖτε
εὐ καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας. Εὐλογεῖτε ἄγ-
γελοι κυρίου οὐρανοὶ κυρίου τὸν κύριον. ὑμνεῖτε καὶ

ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας. Εὐλογεῖτε ὕδατα πάντα τὰ ὑπεράνω τῶν οὐρανῶν. πᾶσαι αἱ δυνάμεις κυρίου τὸν κύριον. ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας. Εὐλογεῖτε ἥλιος καὶ σελήνη, ἄστρα τοῦ οὐρανοῦ τὸν κύριον. ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας. Εὐλογεῖτε πᾶς ὄμβρος καὶ δρόσος. πάντα τὰ πνεύματα τὸν κύριον ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας. Εὐλογεῖτε πῦρ, καὶ καῦμα ψῦχος καὶ καύσων. τὸν κύριον, ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας. Εὐλογεῖτε δρόσοι, καὶ νιφετοὶ, πάγοι, καὶ ψῦχος, τὸν κύριον. ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας. Εὐλογεῖτε πάχναι καὶ χιόνες, ἀστραπαὶ, καὶ νεφέλαι τὸν κύριον. ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας. Εὐλογεῖτε φῶς, καὶ σκότος, νύκτες, καὶ ἡμέραι τὸν κύριον. ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας. Εὐλογεῖτε ἡ γῆ, ὄρη, καὶ βουνοὶ, πάντα τὰ φυόμενα ἐν αὐτῇ, τὸν κύριον. ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας. Εὐλογεῖτε πηγαὶ, θάλασσαι, καὶ ποταμοὶ, κήτη. καὶ πάντα τὰ κινούμενα ἐν τοῖς ὕδασι τὸν κύριον. ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας. Εὐλογεῖτε πάντα τὰ πετεινὰ τοῦ οὐρανοῦ, τὰ θηρία. καὶ πάντα τὰ κτήνη, τὸν κύριον. ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας. Εὐλογεῖτε υἱοὶ τῶν ἀνθρώπων, εὐλογείτω ἰσραὴλ τὸν κύριον. ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας. Εὐλογεῖτε ἱερεῖς κυρίου. δοῦλοι κυρίου τὸν κύριον. ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας. Εὐλογεῖτε πνεύματα καὶ ψυχαὶ δικαίων ὅσιοι καὶ ταπεινοὶ τῇ καρδίᾳ τὸν κύριον. ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας. Εὐλογεῖτε ἀνανία, ἀζαρία, μισαὴλ, τὸν κύριον. ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας. Εὐλογεῖτε ἀπόστολοι, προφῆται, καὶ μάρτυρες κῦ τὸν κύριον. ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας. Εὐλογοῦμεν πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα τὸν κύριον, ὑμνοῦμεν καὶ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας. Αἰνοῦμεν εὐλογοῦμεν προσκυνοῦμεν τὸν κύριον. ὑ-

μνοῦντες καὶ ὑπερυψοῦντες αὐτὸν εἰς τοὺς αἰῶνας.

Αἴνεσις ἁγνῆς μητρὸς παρθένου κόρης. Ωιδὴ. θ'

Εγαλύνει ἡ ψυχή μου τὸν κύριον καὶ ἠγαλλίασε τὸ
μ πνεῦμά μου ἐπὶ τῷ θεῷ τῷ σωτῆρί μου. Ὅτι
ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ.
ἰδοὺ γὰρ ἀπὸ τοῦ νῦν μακαριοῦσί με πᾶσαι αἱ γενεαί. Ὅτι ἐ-
ποίησέ μοι μεγαλεῖα ὁ δυνατὸς καὶ ἅγιον τὸ ὄνομα αὐτοῦ. καὶ
τὸ ἔλεος αὐτοῦ εἰς γενεὰν καὶ γενεὰν τοῖς φοβουμένοις αὐτόν.
Ἐποίησε κράτος ἐν βραχίονι αὐτοῦ. διεσκόρπισεν ὑπερηφά-
νους διανοίᾳ καρδίας αὐτῶν. Καθεῖλε δυνάστας ἀπὸ θρόνων
καὶ ὕψωσε ταπεινούς. πεινῶντας ἐνέπλησεν ἀγαθῶν. καὶ πλου-
τοῦντας ἐξαπέστειλε κενούς. Ἀντελάβετο ἰσραὴλ παιδὸς αὐ-
τοῦ. μνησθῆναι ἐλέους καθὼς ἐλάλησε πρὸς τοὺς πατέρας ἡμῶν
τῷ ἀβραὰμ καὶ τῷ σπέρματι αὐτοῦ ἕως αἰῶνος.

Προσευχὴ τοῦ προφήτου ζαχαρίου.

Υλογητὸς κύριος ὁ θεὸς τοῦ ἰσραήλ, ὅτι ἐπεσκέψα-
ε το καὶ ἐποίησε λύτρωσιν τῷ λαῷ αὐτοῦ. Καὶ ἤ-
γειρε κέρας σωτηρίας ἡμῖν ἐν τῷ οἴκῳ δαβὶδ τοῦ
παιδὸς αὐτοῦ. Καθὼς ἐλάλησε διὰ στόματος ἁγίων τῶν ἀπ'
αἰῶνος προφητῶν. Σωτηρίαν ἐξ ἐχθρῶν ἡμῶν καὶ ἐκ χειρὸς
πάντων τῶν μισούντων ἡμᾶς. Ποιῆσαι ἔλεος μετὰ τῶν πα-
τέρων ἡμῶν καὶ μνησθῆναι διαθήκης ἁγίας αὐτοῦ. Ὅρκον
ὃν ὤμοσε πρὸς ἀβραὰμ τὸν πατέρα ἡμῶν. τοῦ δοῦναι ἡμῖν
ἀφόβως ἐκ χειρὸς τῶν ἐχθρῶν ἡμῶν ῥυσθέντας. Λατρεύειν
αὐτῷ ἐν ὁσιότητι καὶ δικαιοσύνῃ ἐνώπιον αὐτοῦ πάσας τὰς
ἡμέρας τῆς ζωῆς ἡμῶν. Καὶ σὺ παιδίον προφήτης ὑψίστου κλη-
θήσῃ. προπορεύσῃ γὰρ πρὸ προσώπου κυρίου ἑτοιμάσαι ὁδοὺς αὐτοῦ.
Τοῦ δοῦναι γνῶσιν σωτηρίας τῷ λαῷ αὐτοῦ, ἐν ἀφέσει ἁμαρτιῶν
αὐτῶν διὰ σπλάγχνα ἐλέους θεοῦ ἡμῶν. Ἐν οἷς ἐπεσκέψατο ἡμᾶς
ἀνατολὴ ἐξ ὕψους, ἐπιφᾶναι τοῖς ἐν σκότει καὶ σκιᾷ θανάτου καθη-

μένοις. τοῦ κατευθῦναι τοὺς πόδας ἡμῶν εἰς ὁδὸν εἰρήνης.

## ΤΕΛΟΣ.

Δαβὶδ μελῳδὲ μουσικῆς ἀποκρύφου.
Σὺ μὲν δι' αὐτῶν καὶ θοῶν ζῆς τῶν λόγων.
Ἡμῖν δὲ τὴν σὴν ἐμμελῆ δίδως λύραν.
Ἧς ἐστιν εὑρεῖν ἐμμελῆ τὰ πρακτέα.
Καὶ γὰρ δι' αὐτῆς μυστικῶς κινουμένης
Διώκεται μὲν ἐμπαθὴς πᾶσα φθίσις.
Ἐλαύνεται δὲ δυσχερὴς ἅπας πόνος.
Συστέλλεται δὲ συμφορῶν ἀπληστία.
Κοιμίζεται δὲ γνωστικῆς ἅλμης κλύδων.
Στηρίζεται δὲ τῶν παθῶν ἡ στερρότης.
Καὶ τέρπεται μὲν τῆς ψυχῆς ἡ σεμνότης.
Ἐλέγχεται δὲ τοῦ σκότου ἡ φαυλότης.
Ἐκ τῆς νοητῆς τῶν μελῶν εὐρυθμίας.
Ὦ τίς τοσαύτην εὗρεν ἀνθρώπων χάριν.
Εἰ μή συ τὴν πρέπουσαν ἀνθρώποις χάριν.

Τῷ θεῷ δόξα.

יְהוָה סַלְעִי מָגִנִּי וְקֶרֶן יִשְׁעִי

Ὅπλῳ κυκλώσει σε ἡ ἀλήθεια αὐτοῦ.



ὁ Χριστός ἐστι λίθος ἐξουθενημένος.

Omnium longe fortißima Veritas.

neaq
xiii.
ista
ract.
[illegible]
tra e
[illegible]pos
[illegible]
comu
teste
[illegible]
fine
[illegible]tre
[illegible]
[illegible]
[illegible] de
[illegible] pon
[illegible]
[illegible] a
[illegible] p
[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible] i
[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible] e
[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]

... egrudis
... ib. ri.
... 7 ... in
... enford.
... annum
... locum
... ce. oppo
... ni. 7 i
... apiun
... nomi
... act. una
... pmoroch
... dicto
... icgi. una
... 9. i.
... iebraos
... re. ozimi
... mu. se.
... on. ma
... e. ro. de
... polin.
... cos cap
... gteciane
... gruapi
... ra. pu
... unc. oi
... mihi
... ragge
... aqui
... ppi ... ea
... ccbui
... pure sui
... pit. uh
... ro nam
... prou
... ugiie
... plemmo
... caliu
... urui
... R
... 7 ... i
... uid 7 in

pa...
o
cu...
sic...
no...
sio...
cu...
cu...
cu...
su...
cu...
q...
tu...
pri...
co...
7 i...
d...
7 c...
co...
se. ...
mu...
uu...
d
cu...
re...
in...
m...
en...
oz...
q. 7...
ma...
s. d...

z· de
ari
e· 7
rūe;
·lu
con
ē
v·
nt
uit
m
ra
ssimi
m
ina
am
re
is· de
lsire
re· g·
ui

i dr
nz· ad
sf·
oro
ā e
oce
·lir·
pa
ro·
llire
cochi
men
e ur
cola
uar
obis

la· q
rpam
oce
[illegible]
[illegible]
[illegible]

amigd·
puppis·
ii dactili·
z·ii·-r·
ci· q· s·
e idea
ping
tiu
rus· v3·
7 cotos
nitnia
i sero da
dolore
no calo·
hoc mu
ii de pa
re· lici
linin·
7 ritro
difficile
uz· sic
ara r sam
co isten
necesse
anuli
labioz
q rioesui
tu 7 abo
bz 7 cau
nir· onac
e mino
te· xl· pe
mente
apu se·
9· i· 7 g
gani· su
stie au
ps· ani
ce· zedo
gu· ab
dactil·
galan·
cardi li
chori pu
siriaci· b

Paxpu

hic

-nuit

[illegible]
ci fanle geussent ... intell ... anj ...
que i die solem sinbis repel ... qui inge clam
venustas filios sibi ... i ... are in eat ...
regia ... bona ... alig...
... nec ia ... franch ...
... pictare ... regis nang...
... anno ... eluz...
... passes ... suppresant ... ...
frater ... paup ...
... cap ... ab ...
... ...
... a ... ...
... ...
... ... ... ... patre
... ... ... ...